ΚΛΑΥΔΙΟΥ ΓΑΛΗΝΟΥ

ΑΠΑΝΤΑ.

CLAVDII GALENI

OPERA OMNIA.

EDITIONEM CVRAVIT

D. CAROLVS GOTTLOB KÜHN

PROFESSOR PHYSIOLOGIAE ET PATHOLOGIAE IN LITERARVM VNIVERSITATE LIPSIENSI PVBLICVS ORDINARIVS ETC.

TOMVS XV.

LIPSIAE

PROSTAT IN OFFICINA LIBRARIA CAR. CNOBLOCHII

1828.

MEDICORVM GRAECORVM

OPERA

QVAE EXSTANT.

EDITIONEM CVRAVIT

D. CAROLVS GOTTLOB KÜHN

PROFESSOR PHYSIOLOGIAE ET PATHOLOGIAE IN LITERARVM VNIVERSITATE LIPSIENSI PVBLICVS ORDINARIVS ETC.

VOLVMEN XV.

CONTINENS

CLAVDII GALENI T. XV.

LIPSIAE

PROSTAT IN OFFICINA LIBRARIA CAR. CNOBLOCHII

1828.

CONTENTA TOMI XV.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΦΥΣΙΟΣ ΑΝΘΡΩΠΟΥ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟ ΥΠΟΜΝΗΜΑ.

Ed. Chart. III. [91.] Galen. V. (1.)

[91.] (1.) *Προοίμιον Γαλήνου.* Περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων πάλαι ποθ᾽ ὑπόμνημα τῶν ἑταίρων τινὶ πρὸς ἀποδημίαν στελλομένῳ γράψας ἐπιδέδωκα, τῆς ἐκείνου στοχαζόμενος ἕξεως· ἅπερ οὖν ᾔδειν αὐτὸν ἀκριβῶς ἐπιστάμενος, οὔτ᾽ ἀπέδειξα κατὰ τὴν ἀρχὴν τοῦ συγγράμματος οὔτ᾽ ἀνέμνησα καί περ εἰωθὼς

HIPPOCRATIS DE NATURA HOMINIS LIBER PRIMUS ET GALENI IN EUM COMMENTARIUS.

Prooemium Galeni. Quem olim de elementis ex Hippocratis *sententia* commentarium conscripsi, amicorum cuidam peregrinationem suscipienti pro ingenii illius conjectura tradidi. Quae igitur ipsum accurate scire noveram, ea neque operis initio demonstravi, neque commemoravi; etsi ita facere consueveram, quum sermo omni-

οὕτω πράττειν, ὅταν κοινὸς ὁ λόγος ἅπασι τοῖς ἀναγνωσομένοις αὐτὸν ἔσεσθαι μέλλοι. φθάσαντος δ' οὐκ οἶδ' ὅπως εἰς πολλοὺς ἐκπεσεῖν τοῦ συγγράμματος, οὐκέθ' ἕτερον ἐπ' αὐτῷ ποιεῖν ἔδοξέ μοι, καὶ τὴν ἐξήγησιν τοῦ περὶ φύσιος ἀνθρώπου βιβλίου διὰ τοῦτ' ἀνεβαλλόμην, ὅτι τὰ συνέχοντα πάντα διὰ τοῦ προεκδοθέντος ὑπομνήματος, ὃ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐπιγέγραπται, σαφῶς ἐδέδεικτο. νῦν οὖν ἐπειδὴ καὶ αὐτοῦ τοῦ Ἱπποκρατείου συγγράμματος ἐξήγησιν οὐ μόνον τῶν ἀναγκαίων εἰς τὸ δόγμα λέξεων, ὡς ἐν ἐκείνῳ πρότερον ἐπεποιήμην, ἀλλ' ἁπασῶν ἐφεξῆς, ἐδεήθησαν οἱ ἑταῖροι παρ' ἐμοῦ λαβεῖν, ἀρχόμενος τῆς ἐξηγήσεως ἐκεῖνα λέξω πρότερον, ὅσα παρέλιπον εἰπεῖν ἐν ἀρχῇ τοῦ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων, [92] ἐπειδὴ γινώσκειν αὐτὰ τὸν ἑταῖρον ἐπιστάμην. ἓν μὲν δὴ καὶ πρῶτόν ἐστιν εἰπεῖν, ὅ τί ποτε σημαίνεται πρὸς τοῦ τῆς φύσεως ὀνόματος, ἀφ' οὗ καὶ τῶν παλαιῶν φιλοσόφων ἔνιοι παρονομασθέντες ἐκλήθησαν φυσικοί. γενήσεται δ' ἡμῖν ὧν ἕνεκεν λέγω τοῦτο δῆλον ἀναγνοῦσι τὰ περὶ φύσεως αὐ-

bus ipſum lecturis eſt communis futurus. Quum autem ad multos liber haud novi qua ratione elabi praecepiſſet, nondum alterum poſt ipſum conſtruere mihi viſum eſt, explicationem etiam libri de natura hominis ea de re diſtuli, quod quae *ibi* continentur omnia, in commentario prius edito (quod de elementis ex Hippocratis ſententia inſcriptum eſt) manifeſte ſint prodita. Nunc itaque (quandoquidem familiares mei hujus etiam Hippocratici operis non modo neceſſariarum ad dogma ſententiarum, ut in illo prius attigi, ſed deinceps omnium explicationem a me accipere rogarunt) exordium ducens explicationis, illa prius docebo quae in operis de elementis ex Hippocratis ſententia principio dicere omiſeram, quum ea familiarem noſtrum ſcirem agnoſcere. Fiet autem nobis perſpicuum id cujus gratia hoc dico, ſi libros de natura ab ipſis conſcriptos perlegamus. Ii namque videntur primam ſubſtantiam qualisnam ſit ex-

τοῖς γεγραμμένα βιβλία. φαίνεται γὰρ ἐξηγούμενα τὴν πρώτην οὐσίαν ὁποία τίς ἐστιν, ἣν ἀγέννητόν τε καὶ ἀΐδιον εἶναί φασιν, ὑποβεβλημένην ἅπασι τοῖς γεννητοῖς καὶ φθαρτοῖς σώμασι, τά θ' ὑπάρχοντα κατὰ τὸν ἴδιον λόγον ἑκάστῳ τῶν γεννωμένων τε καὶ φθειρομένων, οἷς γνωσθεῖσιν ἕπεται καὶ ἡ τῶν ἄλλων γνῶσις, ὅσα μὴ κατὰ τὸν ἴδιον λόγον ἑκάστῃ τῶν κατὰ μέρος οὐσιῶν συμβαίνει. τελεία μὲν οὖν διδασκαλία τῆς ἑκάστου τῶν ὄντων φύσεως οὕτω γίγνεται· κἂν ἓν δή τις ἢ δύο τῶν ὑπαρχόντων τινὶ διέρχηται καὶ οὕτως εἰθισμένοι λέγειν εἰσὶν οἱ ἄνθρωποι, ἐν ᾧ περὶ τῆς τοῦ πράγματος φύσεως ἀποφαίνεσθαί τι, καθάπερ καὶ ὁ ποιητής. προειπὼν γὰρ

Ὣς ἄρα φωνήσας πόρε φάρμακον Ἀργειφόντης
Ἐκ γαίης ἀνελὼν, καί μοι φύσιν αὐτοῦ ἔδειξεν.

ἐφεξῆς φησιν

Ῥίζῃ μὲν μέλαν ἔσχε, γάλακτι δὲ ἴκελον ἄνθος.

οὕτω δὲ καὶ οἱ περὶ τῶν βοτανῶν γράψαντες ἢ ὅλως περὶ

plicare, quam et increatam ac perpetuam esse tradunt omnibus corporibus ortui et interitui obnoxiis subjectam; ac praeterea quae peculiari ratione insunt singulis quae generantur et intereunt, quibus cognitis sequitur et aliorum cognitio, quae non propria ratione cuique particulari substantiae accidunt. Perfecta igitur naturae cujusque rei existentia doctrina hunc in modum efficitur, etsi unum aliquis aut duo eorum quae rei cuipiam insunt recenseat. Atque sunt homines qui ita loqui consueverunt ubi nonnihil de rei natura pronunciant, quemadmodum et poëta; nam quum praedixisset,

Sic jam praefatus medicamen porrigit Hermes

mox concinit

E terra evulsum, naturamque edocet ejus,
Nigra ipsi radix, sed lacti concolor est flos.

Sic etiam qui de herbis aut in universum de plantis

φυτῶν ἐκδιδάσκουσι τὴν αἰσθητὴν αὐτῶν φύσιν, ὁποῖόν ἐστιν ἕκαστον ἁπτομένῳ καὶ γευομένῳ καὶ ὀσμωμένῳ καὶ βλέποντι διηγούμενοι τίνα τ' ἔχει δυνάμιν ἢ εἴσω τοῦ σώματος λαμβανόμενον ἢ ἔξωθεν ἐπιτιθέμενον. ἐν τούτοις γὰρ ἡ αἰσθητὴ φύσις ἑκάστου τῶν ὄντων ἐστίν. ἡ δὲ τούτων ἀνωτέρω καὶ πρώτη, περὶ ἧς ἐγώ τε προείρηκα καὶ Πλάτων ἐπίστασθαι συμβουλεύει τὸν βουλόμενον ὁτιοῦν πρᾶγμα μεθόδῳ μεταχειρίζεσθαι. παραγράψω δέ σοι καὶ τὴν ῥῆσιν αὐτοῦ. ΣΩ. Ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατανοῆσαι οἴει δυνατὸν εἶναι ἄνευ τῆς τοῦ ὅλου φύσεως; ΦΑΙ. εἰ μὲν οὖν Ἱπποκράτει τῷ τῶν Ἀσκληπιαδῶν δεῖ τι πείθεσθαι, οὐδὲ περὶ σώματος ἄνευ τῆς μεθόδου ταύτης. ΣΩ. καλῶς γάρ, ὦ ἑταῖρε, λέγει· χρὴ μέντοι πρὸς τῷ Ἱπποκράτει τὸν λόγον ἐξετάζοντας σκοπεῖν εἰ συμφωνεῖ. ΦΑΙ. φημί. ΣΩ. τὸ τοίνυν περὶ φύσεως σκόπει τί ποτε λέγει Ἱπποκράτης τε καὶ ὁ ἀληθὴς λόγος, ἆρ' οὐχ ὧδε; δεῖ διανοεῖσθαι περὶ ὁτουοῦν φύσεως. πρῶτον μὲν εἰ ἁπλοῦν ἢ

ſcripſerunt, ſenſilem ipſarum naturam edocent, qualis quaeque ſit tangenti et guſtanti et odoranti et conſpicienti, quamque habeat facultatem declarant, quum vel intra corpus aſſumuntur, vel foris admoventur. In his enim ſenſilis cujusque natura exiſtit. At haec ſuperior ac prima eſt *naturae exceptio*, de qua tum ego prius loquutus ſum, tum quam Plato eum ſcire conſulit qui quamcumque rem methodo tractare deſiderat. Aſcribam autem tibi et ipſius verba. *SO. Naturamne animae absque univerſi natura, prout rationi conſentaneum eſt, intelligere poſſe arbitraris? PHAE. Si ſane Hippocrati et Aſclepiadi fides quaedam adhibenda ſit, neque etiam corporis naturam citra hanc methodum poteris. SO. Recte quidem ille, o amice, edocet. Attamen qui ſupra Hippocratem rationem perpendunt, ipſis an conſentanea ſit, ſpeculandum eſt. PHAE. Aſſentior. SO. De natura igitur quidnam et Hippocrates et vera ratio dicat, velim animadvertas. Nam ſic de cujusque rei natura ſtatuen-*

πολυειδές ἐστιν, οὗπερ βουλησόμεθα εἶναι αὐτοὶ τεχνικοὶ καὶ ἄλλους δυνατοὶ ποιεῖν. ἔπειτα δὲ ἂν μὲν ἁπλοῦν ᾖ, σκοπεῖν τὴν δύναμιν αὐτοῦ, τίνα πρὸς τί πέφυκεν εἰς τὸ δρᾷν ἔχον, ἢ τίνα εἰς τὸ παθεῖν ὑπὸ τοῦ. ἐὰν δὲ πλείω εἴδη ἔχῃ, ταῦτ᾽ ἀριθμησάμενον, ὅπερ ἐφ᾽ ἑνὸς, τοῦτ᾽ ἰδεῖν ἐφ᾽ ἑκάστου, τὸ τί ποιεῖν αὐτὸ πέφυκεν, ἢ τὸ τί παθεῖν ὑπὸ τοῦ. αὕτη σοι καὶ ἡ τοῦ Πλάτωνος ῥῆσις ἐκ τοῦ Φαίδρου, διδάσκουσα τοῦ τε τῆς φύσεως ὀνόματος τὸ σημαινόμενον, ὅπως τε χρὴ μεθόδῳ τὴν οὐσίαν αὐτῆς ἐπισκοπεῖσθαι. τοιαῦτα δ᾽ εὕροις ἂν ἅπαντα τὰ περὶ φύσεως ἐπιγεγραμμένα βιβλία τῶν παλαιῶν φιλοσόφων, Ἐμπεδοκλέους, Παρμενίδου, Μελίσσου, Ἀλκμαίωνος, Ἡρακλείτου. τινὲς δ᾽ οὐχ ἓν, ἀλλὰ πλείονα βιβλία τῆς θεωρίας ἐποιήσαντο ταύτης. ἔνιοι δὲ καὶ πάνυ πολλὰ, καθάπερ Ἐπίκουρος. ἄρχεται γὰρ καὶ αὐτὸς ὥσπερ οὖν καὶ οἱ ἄλλοι πάντες ἀπὸ τοῦ ζητῆσαι πότερον ἕν τι καὶ ἁπλοῦν ἐστιν οὗ τὴν φύσιν εὑρεῖν ἐπιχειροῦμεν, ἢ σύνθετον ἔκ τινων

dum est. Primum quidem utrum illud simplex sit an multiplex, cujus artis periti ipsi esse voluerimus, et alios efficere voluerimus? postea vero si simplex fuerit, exploranda est ipsius facultas, quam certam ad quid agendum aut ab aliis patiendum a natura sortiatur. At si plures specie habeat, his dinumeratis, quae in uno, ea in singulis aliquid agendi, aut ab alio aliquid patiendi natura facultas inspicienda est. Haec tibi et Platonis verba sunt ex Phaedro, quae tum quod naturae nomen significet, tum quomodo ipsius substantiam inspicere oporteat, edocent. Tales vero omnes verbum philosophorum libros de natura conscriptos comperias, Empedoclis, Parmenidis, Melissi, Alcmeonis et Heracliti. Quidam autem *ex his* non unum, sed plures hujus speculationis libros composuerunt; nonnulli vero etiam permultos, quemadmodum Epicurus. Is etenim exorditur quemadmodum et alii omnes a quaestione utrum unum sit ac simplex cujus naturam invenire conemur, an compositum ex simplicibus quibusdam se prioribus, quae veterum ipsorum successores

ἑαυτοῦ προτέρων ἁπλῶν, ἅπερ οἱ μετ' αὐτοὺς τοὺς παλαιοὺς εἰθίσθησαν ὀνομάζειν στοιχεῖα. καθάπερ ἐπὶ τῆς φωνῆς οἱ γραμματικοὶ τέτταρα καὶ εἴκοσί φασιν εἶναι στοιχεῖα, [93] τουτέστιν ἁπλᾶ τε καὶ πρῶτα μόρια, μηκέτι εἰς ἄλλα διαιρεῖσθαι δυνάμενα, καθάπερ αἱ συλλαβαί· τῆς γοῦν στρα συλλαβῆς ἐστιν ἀφελόντι σοι τὸ πρῶτον στοιχεῖον τὸ σ, τὴν ὑπόλοιπον ἔχειν τὴν τρα μένουσαν ἔτι συλλαβήν. οὕτω δὲ καὶ εἰ αὐτῆς πάλιν τῆς τρα τὸ πρῶτον ἀφέλῃς γράμμα τὸ τ, τὸ ταύτης ὑπόλοιπον ἕξεις διαιρεῖσθαι δυνάμενον τὴν ρα. οὐ μὴν τήν γε α διαιρήσεις ἔτι καὶ δείξεις ἐκ δυοῖν ἢ τριῶν φθόγγων, ὥσπερ ἄλλας πολλὰς συγκειμένην. ἀλλ' ἔστιν εἷς αὐτῆς ἀδιαίρετος φθόγγος, οὐ κατὰ ποσὸν ἁπλῶς, ὡς ἑτέρωθι δεδείχαμεν ἡμεῖς τε καὶ ἄλλοι πολλοὶ τῶν φιλοσόφων, ἀλλὰ κατὰ μόνον τὸ εἶδος. οὕτω δὲ καὶ οἱ τὰ τέτταρα στοιχεῖα τῶν ἐν γενέσει καὶ φθορᾷ σωμάτων εἶναι λέγοντες, ἀέρα καὶ πῦρ καὶ γῆν καὶ ὕδωρ, ἐπεὶ μηκέτι δυνατόν ἐστιν ἕκαστον αὐτῶν εἰς εἴδη πλείω τμηθῆναι, διὰ τοῦτο τῆς φυσιολογίας ἀρχὰς αὐτὰ

elementa nominare consueverunt, quemadmodum grammatici in voce quatuor et viginti esse elementa pronunciant, hoc est simplices primasque particulas, quae non amplius in alias dividi possunt, sicuti syllabae. Nam si de hac syllaba *stra* primum adimas elementum *s*, licet reliquam adhuc integram habere syllabam *tra*. Ita si rursus ab ipsa *tra* primam demas litteram *t*, id quod ex hac reliquum est habebis *ra*, quod dividi potest; non tamen *a* adhuc dividere licet, neque illam ex duobus tribusve sonis, sicut alias multas constare ostendes, verum individuus unus ipsius sonus est, non secundum quantitatem simpliciter, ut alibi et nos et alii plerique philosophi ostendimus, verum secundum solam speciem. Eodem quoque modo qui corporum generationi et corruptioni obnoxiorum elementa quatuor esse asserunt, aërem, ignem, terram et aquam, quod amplius singula ipsa in plures species secari nequeant, eo physiologiae principia ipsa statuunt. Prima siquidem minimorum corporum

τίθενται. πρώτη μὲν γάρ ἐστι σωμάτων ἐλαχίστων ἔννοια κατὰ ποσὸν, ἐφεξῆς δ' ἄλλη δευτέρα κατὰ τὸ ποιὸν, ὡς ἐπὶ τῶν τῆς φωνῆς στοιχείων ἐδείχθη, καὶ διέστησάν γε πρὸς ἀλλήλους οἱ φυσικοὶ φιλόσοφοι. τινὲς μὲν κατὰ τὸ ποσὸν ὑποτιθέμενοι τὰ στοιχεῖα τῶν ἐν γενέσει καὶ φθορᾷ σωμάτων ἐλάχιστα μόρια, τινὲς δὲ κατὰ τὸ ποιόν. ἀλλὰ περὶ μὲν τοῦ σημαινομένου πρὸς τῆς στοιχείου φωνῆς ἐν τῷ πρώτῳ περὶ τῶν ἰατρικῶν ὀνομάτων ἐπὶ πλεῖστον εἴρηται, καθάπερ γε καὶ περὶ τοῦ τῆς φύσεως ἐν τῷ πέμπτῳ. νυνὶ δὲ οὐ περὶ προσηγοριῶν ἢ σημαινομένων, ἀλλὰ περὶ τῶν πραγμάτων αὐτῶν ὁ λόγος ἡμῖν ἐστιν, (2) ἐξ ὧν ἐλαχίστων, εἴτε κατὰ μέγεθος εἴτε κατ' εἶδος, ἡ πρώτη σύνθεσις γίνεται τῶν γεννητῶν σωμάτων, ἅπερ Ἀριστοτέλης καὶ ἡμεῖς ὀνομάζομεν ὁμοιομερῆ. δευτέρα γὰρ ἐκ τούτων ἄλλη σύνθεσις γίγνεται σωμάτων, ἃ καλοῦμεν ὀργανικὰ, χειρὸς, σκέλους, ὀφθαλμοῦ τε καὶ γλώττης καὶ πνεύμονος καὶ καρδίας, ἥπατός τε καὶ σπληνὸς καὶ νεφρῶν καὶ γαστρὸς καὶ μήτρας, ὅσα τ' ἄλλα τοιαῦτα. σύγκειται γὰρ ἐκ τῶν

notio est penes quantitatem, altera vero quae sequitur penes qualitatem, ut in vocis elementis monstratum est. Atque hinc physici philosophi inter se discreparunt. Quidam enim corporum quae generantur ac intereunt minimas quantitate particulas elementa suppofuerunt, quidam vero qualitate. Verum de significatione vocis elementi primo libro de medicis vocabulis, ut et de naturae *vocabuli significatione* quinto a me amplissime concertatum est. Jam vero non de appellationibus aut significationibus, sed de rebus ipsis sermo est instituendus, ex quibus minimis sive secundum magnitudinem, sive secundum speciem prima compositio fit generalium corporum, quae Aristoteles et nos similaria appellamus. Secunda namque ex his alia compositio fit corporum, quae organica vocamus, manus, pedis, oculi etiam et pulmonis et cordis, hepatis et lienis et renum et ventriculi et uteri et id genus aliorum. Horum enim organorum natura ex primis illis

πρώτων καὶ ὁμοιομερῶν, ἃ δὴ καὶ πρωτόγονα καλεῖν εἴωθεν ὁ Πλάτων, ἡ πρώτη τῶν τοιούτων ὀργάνων φύσις. ὑπὲρ τούτων τῆς διαφορᾶς εἴρηται μὲν ἤδη καὶ καθ' ἕν τι γράμμα, εἰρήσεται δὲ καὶ νῦν ἐπὶ κεφαλαίων, ἕνεκα σαφοῦς διδασκαλίας. ὁμοιομερὲς μέν ἐστιν ὀστοῦν καὶ χόνδρος καὶ σύνδεσμος, ὁμοιομερὲς δὲ καὶ ὑμὴν καὶ πιμελὴ καὶ σάρξ, ἥ τε τῶν μυῶν ταῖς ἰσὶ περιπλαττομένη καὶ αὐταῖς οὔσαις ὁμοιομερέσιν, ἥ τ' ἐν τοῖς σπλάγχνοις, ἣν δὴ καὶ παρέγχυμα καλεῖν Ἐρασίστρατος εἴωθεν. ἐδείχθη δ' εὐθὺς ἐν ἀρχῇ τῆς πραγματείας, ἐν ᾗ τὴν θεραπευτικὴν μέθοδον, ὁποία τίς ἐστιν, ἀπεδείκνυον, ἀδύνατον ὂν ἐνδεικτικῶς θεραπεύειν περὶ τῶν ὁμοιομερῶν σωμάτων ἄνευ τοῦ γνῶναι πότερον ἁπλοῦν ἕκαστον αὐτῶν ἐστιν, ἢ ἐκ πλειόνων σύγκειται, καὶ πότερον ἐκεῖνα κέκραται δι' ὅλων, ἢ ψαύει μόνον. ἐδείχθη δὲ καὶ ὡς ἔνιοι τῶν ἰατρῶν, ὧν ἐστι καὶ ὁ Ἐρασίστρατος, ἐξ ἡμίσεως μέρους εἰσὶ δογματικοί, τὰ μὲν τῶν ὀργανικῶν μορίων νοσήματα λογικῶς θεραπεύοντες, τὰ δὲ τῶν ὁμοιομερῶν ἢ οὐδ' ὅλως, ἢ ἐμ-

ſimilaribus, quae utique Plato primigenia vocare conſuevit. De horum vero differentia dictum jam eſt uno quodam volumine, nunc autem et per capita, clarioris doctrinae gratia, dicetur. Similare quidem eſt os, cartilago et ligamentum; ſimilare quoque membrana, adeps et caro, ſive quae muſculorum fibris, quae ipſae etiam ſunt ſimilares, obducitur, ſive quae in viſceribus habetur, quam Eraſiſtratus etiam parenchyma vocitare ſolitus eſt. Proditum eſt ſtatim ab initio operis (quo medendi methodum, qualisnam ea ſit demonſtravimus) fieri non poſſe, ut quis per indicationes ſimilaribus corporibus medeatur, niſi prius agnoſcat, utrum eorum quodque ſimplex ſit, an ex pluribus compoſitum, et utrum illa per tota temperata ſint, an ſolum *ſe mutuo* tangant. Praeterea demonſtratum eſt nonnullos medicos, ex quibus eſt Eraſiſtratus, ex dimidia parte dogmaticos eſſe, qui partium organicarum morbos ratione curavit, ſimilarium autem aut

πειρικῶς. οἱ πλεῖστοι δ' αὐτῶν οὐδ' ὅπῃ διαφέρει τὰ τῶν ὀργανικῶν νοσήματα τῶν ἐν τοῖς ὁμοιομερέσι γιγνομένων ἐπίστανται, καθάπερ οὐδὲ περὶ τοῦ καθ' ἑκάτερον αὐτῶν ἀριθμοῦ. ἀλλ' ὑμεῖς γε, ὦ ἑταῖροι, καὶ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ἕν τι τῶν ἡμετέρων ὑπομνημάτων ἔχετε καὶ τῶν ἰαμάτων οὐ σμικρὰν πραγματείαν, ἣν ἐπέγραψα μέθοδον θεραπευτικήν. ἀλλὰ καὶ ταῦτα καὶ τὰ ἄλλα τὸν περὶ τῆς φύσεως τοῦ σώματος ἡμῶν ἀπαιτοῦσι λόγον, ὃς ἐν τῷ προκειμένῳ συγγράμματι διδάσκεται. [94] διὸ καὶ θαυμάσειεν ἄν τις ἐκείνων, ὅσοι νομίζουσι τὸ περὶ φύσιος ἀνθρώπου βιβλίον οὐκ εἶναι τῶν γνησίων Ἱπποκράτους, ἀλλ', ὡς αὐτοὶ καλεῖν εἰώθασι, νόθον, ἀπατηθέντες ἐκ τῶν ἐν αὐτῷ διεσκευασμένων τε καὶ παρεγγεγραμμένων, ὑπὲρ ὧν ἐπὶ πλέον μὲν ἐν αὐτοῖς τούτοις ἐπιδείξω τοῖς ὑπομνήμασιν, ἀρκεῖ δὲ νῦν ἐρεῖν ὅσα κἂν τῷ γνησίῳ ἢ καὶ νόθῳ Ἱπποκράτους συγγράμματι εἴρηται, κατὰ λέξιν οὕτως ἔχοντα. τούτου τοῦ βιβλίου τὸ μὲν κατὰ τὸ ἓν γράμμα μέρος τὸ πρῶτον εἰς διακοσίους καὶ τεσσαράκοντα στίχους ἐξήκει,

nequaquam, aut empirico more. Imo eorum plurimi quomodo organicarum partium morbi ab iis differant qui similaribus oboriuntur, minime norunt; quemadmodum neque utrorumque ipsorum numerum. Sed vos, o amici, etiam de morborum differentiis unum e nostris commentariis aliquem habetis et remediorum non exiguum opus, quod inscripsi methodum medendi. Verum tum haec, tum alia de natura corporis nostri orationem expostulant, quae proposito hoc in volumine docetur. Quare etiam mirari aliquis possit illos qui librum de natura hominis non esse germanum Hippocratis judicant, sed, ut ipsi vocare consueverunt, spurium, decepti ab iis quae in eo digesta ac inserta sunt, de quibus his in commentariis fusius tractabo. Nunc vero satis est explicasse quae in germano vel etiam adulterino Hippocratis opere narrata sunt, ex lectione ita sese habentia. Hujus libelli prima in uno volumine pars in ducentos et quadraginta versus excedit, quae ex calido, frigido, sicco et humido animalium cor-

δεικνύον ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ τὰ μὲν ζώων σώματα γεγονέναι, μετὰ τοῦ καὶ διδάξαι περὶ τῆς τῶν χυμῶν φύσεως, τὸ δὲ ἀπὸ τοῦδε ποικίλον τ' ἐστί. τὸ μὲν γὰρ πρῶτον αὐτοῦ μέρος διακρίνει τὰς σποραδικὰς ὀνομαζομένας νόσους ἀπὸ τῶν ἐπιδημιῶν γε καὶ λοιμωδῶν, ἰδίαν τε θεραπείαν ἑκατέρου τοῦ γένους, ἐν τῷ καθόλου διδάσκει. τὸ δὲ μετ' αὐτὸ ἀνατομὴν φλεβῶν διέρχεται. κἄπειτα περὶ νοσημάτων ἐστὶ ποικίλη διδασκαλία καὶ μετὰ ταῦτα ὑγιεινὴ δίαιτα πρὸς ἰδιώτας γεγραμμένη. κἄπειτ' ἐφεξῆς ὅπως ἄν τις τοὺς παχυτάτους ἀνθρώπους λεπτύνειεν, ἢ τοὺς λεπτοτάτους σαρκώσειεν, οἷς ἔζευκται διδασκαλία περὶ ἐμέτων. εἶτά τις ὑπογραφὴ διὰ βραχέων διαίτης παιδίων καὶ μετὰ ταῦτα γυναικῶν, εἶτα τῶν γυμναζομένων, εἶτ' ἐπὶ τέλει πρόσκειται διὰ στίχων ὡς δέκα, περὶ τῶν ἐγκεφάλου νόσων εἰκῇ καὶ ὡς ἔτυχε προσεῤῥιμμένων. εὔδηλον οὖν ὅτι τὸ μὲν ὅλον βιβλίον ἐκ πολλῶν διεσκεύασται καὶ σύγκειται σχεδὸν εἰς ἑξακοσίους στίχους ἢ βραχύ τι ἧττον ἐκτεταμένον. ἔχει δὲ τὸν μὲν πρῶτον

pora constituta esse demonstrat, simulque de humorum natura docet. Altera post hanc pars varia est. Etenim prima ipsius pars sporadicos, quos appellant, morbos et ab epidemiis et a pestilentibus discernit, et propriam utriusque generis curationem summatim praescribit. Quae pars libri subsequitur, venarum dissectionem persequitur. Deinde de morbis varia est doctrina, et postea salubris victus ratio ad privatos conscripta. Postremo qua ratione quis crassissimos homines attenuet, aut tenuissimos carne repleat; quibus conjuncta est de vomitu praeceptio, mox brevis quaedam puerorum victus rationis descriptio, deinde mulierum, post eorum qui exercentur, ad finem adjecta est versibus circiter decem cerebri morborum doctrina temere et sine judicio. Proinde clarum est universis hunc libellum ex multis constructum conflatumque esse, ad sexcentos fere versus aut paulo minus extensum. Habet autem primum sane librum ubi de elementis et humori-

λόγον, ἔνθα περὶ τῶν στοιχείων καὶ τῶν χυμῶν διέρχεται, παντοίως ἐχόμενον τῆς Ἱπποκράτους τέχνης. ὥσπερ γε καὶ τὸν δεύτερον, τὸν διακριτικὸν τῶν ἐπιδημιῶν τε καὶ σποραδικῶν νοσημάτων. τὸν δὲ περὶ τῆς τῶν φλεβῶν ἀνατομῆς ἐναργῶς παρεγκείμενον ἔχει μοχθηρὸν ὅλον. οὔτε γὰρ τοῖς φαινομένοις ὁμολογεῖ καὶ τοῖς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν εἰρημένοις μάχεται. τῶν δ' ἑξῆς τὰ μὲν παρέγκειται, περὶ ὧν ὅτ' ἐξηγούμεθά σοι τὸ βιβλίον, ἀκριβωθήσεται· τὰ δέ ἐστιν ἀξιόλογα καὶ διὰ βραχέων καλῶς εἰρημένα καὶ τῆς Ἱπποκράτους ἐχόμενα τέχνης, ὥσπερ ὅσα περὶ τῆς ὑγιεινῆς διαίτης εἴρηται. τὸ μὲν ὅλον τὸ βιβλίον ἐκ τούτων σύγκειται, τὸ δὲ πρῶτον αὐτοῦ μέρος ἁπάσης τῆς Ἱπποκράτους τέχνης ἔχει τὴν οἷον κρηπῖδα, διὸ καὶ θαυμάζειν ἔφην ἐνίων ἀποξενούντων αὐτὸ τῆς τοῦ Ἱπποκράτους ἐννοίας. οἱ πλεῖστοι μὲν γὰρ τῶν γνόντων Ἱπποκράτειον τέχνην τοῖς γνησίοις αὐτὸ συγκαταριθμοῦσι, νομίζοντες τοῦ μεγάλου Ἱπποκράτους σύγγραμμα, τινὲς δὲ Πολύβου τοῦ μαθητοῦ τε ἅμα καὶ διαδεξαμένου τὴν τῶν

bus agit, omnino Hippocratis arti conſentaneum, quemadmodum et ſecundum, qui morbos epidemios et ſporadicos ab invicem diſtinguit. At eam quae de venarum diſſectione eſt oratio evidenter ab aliis interpoſita totum continet vitioſum. Neque enim iis quae apparent conſonat, et cum iis pugnat quae in ſecundo Epidemiorum ſunt comprehenſa. Subſequentium alia interjecta ſunt, de quibus, quum tibi librum interpretabimur, exacte agetur; alia vero ſunt mentione digna et paucis recte dicta, nec artem Hippocratis callentia, ſicuti quae de ſalubri victus ratione prodita ſunt. Ex his totus quidem liber conſtat, verum prima ipſius pars totius Hippocraticae artis veluti fundamentum continet; quare demirari nonnullos me dixi, qui eam ab Hippocratis ſenſu alienam eſſe tuentur. Plurimi ſiquidem qui Hippocratis artem habent cognitam, germanis ipſam aſcribunt, judicantes magni Hippocratis eſſe commentarium, quidam vero Polybi ejus diſcipuli,

νέων διδασκαλίαν, ὃς οὐδὲν ὅλως φαίνεται μετακινήσας τῶν Ἱπποκράτους δογμάτων ἐν οὐδενὶ τῶν ἑαυτοῦ βιβλίων, ὥσπερ οὐδὲ Θεσσαλὸς ὁ αὐτοῦ υἱὸς, θαυμάσιος μὲν ἀνὴρ καὶ οὗτος γενόμενος, ἀλλ' οὐ καταμείνας ἐν τῇ πατρίδι καθάπερ ὁ Πόλυβος. Ἀρχελάῳ γὰρ τῷ Μακεδονίας βασιλεῖ συνεγένετο. πεπιστεύκασι μὲν οὖν, ὡς ἔφην, καὶ ἄλλοι σχεδὸν ἅπαντες ἰατροὶ, πλὴν ὀλίγων δή τινων, Ἱπποκράτους εἶναι τὸ περὶ φύσιος ἀνθρώπου βιβλίον, οὐκ ἀγνοεῖ δὲ οὐδὲ Πλάτων αὐτός. γράφει γοῦν ἐν Φαίδρῳ προγεγραμμένην ῥῆσιν ὀλίγον ἔμπροσθεν, ἧς ἡ ἀρχὴ, ΣΩ. Ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατανοῆσαι οἴει δυνατὸν εἶναι ἄνευ τῆς τοῦ ὅλου φύσεως; ΦΑΙ. εἰ μὲν οὖν Ἱπποκράτει τῷ τῶν Ἀσκληπιαδῶν δεῖ τι πείθεσθαι, οὐδὲ περὶ τοῦ σώματος ἄνευ τῆς μεθόδου ταύτης. ταύτην τὴν ῥῆσιν ἐχρῆν ἀναγνόντας τοὺς εἰκῇ φλυαροῦντας ἐπισκέψασθαι τίνι τῶν βιβλίων Ἱπποκράτους ἡ ὑπὸ Πλάτωνος ἐπαινουμένη μέθοδος [95] γέγραπται. φανεῖται γὰρ οὐ καθ' ἓν ἄλλο παρὰ τὸ προκείμενον ἡμῖν σύγγραμμα τὸ περὶ φύσιος ἀνθρώπου.

ſimul et in juvenibus docendis ſucceſſoris, qui nullum plane Hippocratis dogmatum videtur transmutaſſe in ullo ſuo libro, quemadmodum neque Theſſalus ejus filius, mirabilis ſane vir et hic exiſtimatus, ſed qui non in patria ſicuti Polybus permanſerit, nam Archelao regi Macedoniae familiariter convixit. Itaque perſuaſum habent, ut dixi, et alii prope univerſi medici, praeter paucos quosdam, Hippocratis eſſe librum de natura hominis, id quod nec Plato ipſe ignorat. Scribit itaque in Phaedro ſententiam paulo ante a me recitatam, cujus initium hoc eſt: *SOC. Animae igitur naturam ſine univerſi natura intelligere te, ut convenit, poſſe arbitraris? PHAE. Si ſane Hippocrati Aſclepiadae credendum eſt, ne corporis quidem naturam citra hanc methodum poſſis.* Haec verba perlegentes inconſultos illos nugatores conſiderare oportebat, quo in libro Hippocratis methodus, quam Plato commendat, perſcripta ſit; quippe non in alio quam praeſenti hoc commentario de natura hominis tradita eſſe

ἔπειτα δὲ καὶ τῶν ἄλλων ἕκαστον ὧν ὁ Πλάτων διῆλθεν, ἃ κἀγὼ διά τε τῶν περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐδίδαξα καὶ νῦν οὐχ ἧττον ἔρχομαι δείξων, ἐπειδήπερ ὑμῖν οὕτως ἔδοξεν. ἐκεῖνο δ' οὖν ἔτι προσθεὶς τῷ λόγῳ πρὸς τὴν ἐξήγησιν ἀφίξομαι τῶν ἐν τῷ βιβλίῳ ῥήσεων· ἐκπεσόντος εἰς πολλοὺς τοῦ γραφέντος μοί ποτε βιβλίου περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων, ἐπαινεθέντος τε πρὸς ἁπάντων τῶν πεπαιδευμένων, ὀλίγοι τινὲς τῶν ἀπαιδεύτων, ὅσοι τῶν μὲν ἐν αὐτῷ γεγραμμένων ἀποδείξεων οὐδεμίαν ἠδυνήθησαν ἐλέγξαι, καίτοι γ' ἐπιχειρήσαντες, ἀπεπνίγοντο δὲ ὑπὸ τοῦ φθόνου, τοῦτο ᾠήθησαν ἱκανὸν εἶναι πρὸς διαβολὴν, ὡς οὐκ ἔστιν Ἱπποκράτους αὐτοῦ. τὸ σύγγραμμα τοίνυν ἔστω μήθ' Ἱπποκράτους μήτ' αὐτοῦ Πολύβου, μηδ', εἰ βούλοιντο, γεγράφθω τὴν ἀρχήν τι σύγγραμμα περὶ φύσιος ἀνθρώπου, δεικνύον ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ τὰ σώματα' ἡμῶν γεγονέναι. εἰ γὰρ καὶ τοῦτ' αὐτοῖς χαρισόμεθα, τό γε ἐκ τούτων συγκεῖσθαι τὰ σώμαθ' ἡμῶν, Ἱπποκράτους ἐστὶ δόγμα. φαίνεται γὰρ ἐν τοῖς

videbitur. Deinde vero et alia ſingula quae Plato enumeravit, quae etiam ego in opere de Elementis ſecundum Hippocratem edocui et nihilo minus in praeſentia perſequar, ad idque me nunc accingo, quandoquidem ita vobis viſum eſt; illud ſane adhuc ubi ſermoni adjecero, orationum quae in libro ſunt expoſitionem aggrediar. Quum liber de Elementis ſecundum Hippocratis ſententiam a me aliquando conſcriptus in multorum manus incidiſſet, probatusque ab omnibus eſſet eruditis, pauculi indocti (qui demonſtrationum in eo ſcriptarum nullam potuerunt reprehendere, quamvis id aggreſſi) contabeſcebant, rumpebanturque invidia, hoc ſatis eſſe ad calumniam putantes, ſi dicerent opus non eſſe ipſius Hippocratis. Eſto igitur neque Hippocratis, nec ipſius Polybi, nec, ſi velint, omnino conſcriptus liber ſit de hominis natura, qui oſtendat corpora noſtra ex calido, frigido, ſicco et humido eſſe conflata. Etſi enim hoc ipſis donabimus, tamen corpora noſtra ex his conſtare Hippocratis eſt

γνησιωτάτοις ἑαυτοῦ βιβλίοις οὐ μόνον τὰς τῶν νόσων διαφορὰς ἀκολούθως ταῖς ἀρχαῖς ταύ- (3) ταις ποιούμενος, ἀλλὰ καὶ τοὺς τῶν ἰάσεων τρόπους ἐντεῦθεν εὑρίσκων. τὰ νοσήματα μὲν γὰρ αὐτῶν κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν, ὑγρόν τε καὶ ξηρὸν ἀλλήλων διαφέρει. ἡ θεραπεία δὲ γίγνεται τῶν μὲν θερμῶν ψυχομένων, τῶν δ' ὑγρῶν ξηραινομένων, ὥσπερ γε καὶ τῶν μὲν ψυχρῶν θερμαινομένων, τῶν δὲ ξηρῶν ὑγραινομένων. ἔτι τε τούτων ἔμπροσθεν αὐτῶν τῶν κατὰ τοὺς ἀνθρώπους φύσεων τὰς μὲν θερμὰς ἡγεῖται, τὰς δὲ ψυχρὰς, τὰς δὲ ὑγρὰς, τὰς δὲ ξηρὰς, ἡλικίας τε ὡσαύτως καὶ χώρας κατὰ τὸν αὐτὸν τρόπον ἀλλήλων διαφέρειν ὑπολαμβάνει, μηδὲν τούτων Ἐρασιστράτου ποτὲ φθεγξαμένου, καθάπερ οὐδὲ ἄλλου τινὸς, ὅσοι τὸ θερμὸν ἐπίκτητον, οὐ σύμφυτον εἶναι νομίζουσιν. οὕτω δὲ καὶ τἄλλα πάντα τὰ κατὰ μέρος ὁ μὲν Ἱπποκράτης εἰς τὰς ἀρχὰς ταύτας ἀναφέρει, οὐ φυλάττει δ' Ἐρασίστρατος, ὡς διὰ τοῦτο καὶ τῶν φυσικῶν ἔργων ἀνεπιζήτητα καταλιπεῖν ἔνια, καθάπερ ἐδιδάξαμεν ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπο-

dogma. Nam in libris, maxime germanis ipfius, non modo differentias morborum his principiis confentaneas facere videtur, fed etiam curationum modos illinc invenire. Siquidem morbi, ipforum principiorum ratione calidi, frigidi, humidi et ficci, inter fe differunt. Curatio autem fit calidorum refrigerantibus, humidorum ficcantibus, ut et frigidorum calefacientibus, ficcorum humectantibus. Praeterea ante haec ipfas naturas hominum alias calidas, alias frigidas, has humidas, illas ficcas arbitratur; aetatesque fimiliter et regiones etiam pari modo invicem differre autumat, quum nihil horum Erafiftratus unquam prodiderit, ficut nec alius quispiam eorum, qui calidum afcititium non innatum effe putant. Sic etiam alia omnia particularia Hippocrates fane ad haec principia refert, Erafiftratus autem non obfervat, quae caufa eft ut nonnulla naturae opera indifcuffa reliquerit, quemadmodum in commentariis de facultatibus naturalibus docuimus. Quoniam vero qui omnibus honeftis

μνήμασι. ἐπεὶ δὲ οἱ πᾶσι λωβώμενοι τοῖς καλοῖς ἐγκαλοῦσι τῷ μήκει τοῦ λόγου, πάντα μᾶλλον ἢ ὑπομνήματα γράφειν ἡμᾶς εἰπόντες, ἔγνωκα καὶ ταύτην αὐτῶν ἀποκόψαι τὴν ἐπήρειαν, ἰδίαν γράψας ἑτέραν πραγματείαν, ἐν ᾗ δείξω τὴν αὐτὴν δόξαν Ἱπποκράτει ἐμὲ διαφυλάττοντα, τῇ κατὰ τὸ περὶ φύσεως ἀνθρώπου γεγραμμένῃ καὶ κατὰ τὰ ἄλλα πάντα συγγράμματα. οἶδα δὲ πάλιν ὥσπερ ἐν ἅπασι τοῖς ἀποδεικνυομένοις ὑφ' ἡμῶν, οἱ βάσκανοι διαβάλλειν αἰδεσθέντες τὰ πρὸς ἁπάντων ἐπαινούμενα, μέμφονταί τινα θεωρήματα τῶν κοινωνούντων αὐτοῖς, οὕτω καὶ νῦν πράξοντας αὐτούς. ἐπὶ μὲν γὰρ τῶν γραφησομένων βιβλίων ἐροῦσι χρῆσθαι μὲν ὄντως Ἱπποκράτην σκοποῖς στοιχειώδεσι, τῷ θερμῷ καὶ ψυχρῷ καὶ ξηρῷ καὶ ὑγρῷ, οὐ μήν γ' ἀληθῶς ὑπολαμβάνειν αὐτόν. ὅταν δ' ἀποδεικνύῃ πάλιν, ἐκ τούτων τὰ σώμαθ' ἡμῶν συγκεῖσθαι, μὴ δοκεῖν Ἱπποκράτει τοῦτο ἐροῦσιν, οὐ γὰρ εἶναι τὸ περὶ φύσεως ἀνθρώπου βιβλίον Ἱπποκράτους. ὥσπερ οὖν ἐκεῖνοι κακουργοῦντες οὐ παύονται, οὕτω καὶ ἡμεῖς μεμνῆσθαι τῶν

obstrepunt, sermonis prolixitatem criminantur, dicentes nos quidvis potius quam commentarios scribere, decrevi et hanc ipsorum contumeliam recidere, proprio alio opere a me conscripto, in quo opinionem eandem cum Hippocrate me tueri ostendam, quae in libro de natura hominis scripta est et in aliis omnibus commentariis. Novi autem rursus quemadmodum in omnibus iis quae a nobis demonstrantur, invidi ea calumniari veriti quae ab omnibus collaudantur, criminantur aliqua theoremata eorum qui ipsis communicant, ita etiam nunc facturos ipsos [cogito]. Etenim in libris qui scribentur, dicunt Hippocratem uti quidem vere scopis elementaribus, calido, frigido, sicco et humido, non tamen vere ipsum sentire. Quum autem demonstret rursus ex iis corpora nostra conflari, non videri hoc Hippocrati dictitant, quippe librum de natura humana non esse Hippocratis. Sicut igitur illi malefacere non desinunt, ita et nos convenit memores eorum, quae in singulis commentariis erant pro-

προκειμένων ἐν ἑκάστῳ τῶν ὑπομνημάτων ἀναμιμνήσκειν αὐτοὺς καὶ μήθ' ὅταν ἀποδεικνύωμεν Ἱπποκράτην κατὰ πάντα τὰ συγγράμματα θεμέλιον τῆς ἑαυτοῦ τέχνης τιθέμενον ἐν τῇ περὶ τῶν εὑρημένων στοιχείων ἐπιστήμῃ, [96] καταλιπόντες τοῦτο, περὶ τῆς ἀληθείας αὐτῶν ζητῶσι, μήθ' ὅταν περὶ τῆς ἀληθείας ζητῶμεν, ἢ καὶ ἀποδεικνύωμεν, ἀποχωρείτωσαν ἐπὶ τὴν περὶ τῆς γνώμης αὐτοῦ σκέψιν, ἀλλ' ἰδίᾳ μὲν εἰ ἀληθὴς ὁ περὶ τῶν στοιχείων λόγος ἐξεταζέτωσαν, ἰδίᾳ δὲ, εἰ ταῦθ' Ἱπποκράτης ἐτίθετο στοιχεῖα. δυοῖν οὖν ὄντοιν τούτοιν τοῖν προβλημάτοιν, τὸ πρότερον ἔν τε τῷ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων κἀν τῷ νῦν προκειμένῳ λόγῳ σκοπείτωσαν. ἐκ περιουσίας δὲ κατὰ τὴν ἀκολουθίαν τοῖς οὐκ ἀσυνέτοις φαίνεται τὰ αὐτὰ τιθέμενος ἀεὶ στοιχεῖα, τό τε βιβλίον τὸ νῦν ἡμῖν προκείμενον αὐτὸς γράψας.

α'.

Ὅστις μὲν εἴωθεν ἀκούειν λεγόντων ἀμφὶ τῆς φύσιος τῆς

posita, in memoriam illis revocare et neque, quum demonstramus Hippocratem in omnibus commentariis artis suae fundamentum in scientia de Elementis repertis statuere: hoc omisso, de veritate ipsorum inquirant. Neque quum de veritate inquirimus, aut etiam demonstramus, digrediantur ad sententiae ipsius considerationem: sed privatim quidem an vera de elementis disputatio sit disquirant, privatim quoque an haec elementa Hippocrates statuerit. Quum itaque duo haec disquirenda proponantur, prius in opere de Elementis secundum Hippocratem et in disputatione modo proposita considerent. Hinc abunde ex consequentia colligitur, eadem semper elementa statuisse, librumque nunc nobis propositum conscripsisse, viris non imprudentibus apparet.

I.

Quicunque de natura humana ulterius quam quod ejus

ἀνθρωπίνης προσωτέρω, ἢ ὁκόσον αὐτέης ἐς ἰητρικὴν ἀφήκει, τουτέῳ μὲν οὐκ ἐπιτήδειος ὅδε ὁ λόγος ἀκούειν. οὔτε γὰρ τὸ πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον εἶναι, οὔτε πῦρ, οὔτε ὕδωρ, οὔτε γῆν, οὔτε ἄλλο οὐδὲν, ὅ τι μὴ φανερόν ἐστιν ἓν ἐὸν ἐν τῷ ἀνθρώπῳ. ἀλλὰ τοῖσι βουλομένοισι ταῦτα λέγειν παρίημι.

Ὅσον ἐπὶ τῇ ῥήσει ταύτῃ γνῶναι σαφῶς τὴν τοῦ συγγραφέως γνώμην οὐ πάνυ τι δόξει δυνατὸν εἶναι. μέμφεται γὰρ τοῖς προσωτέρω τὸν περὶ τῆς φύσεως λόγον ἀπάγουσι τῆς ἰατρικῆς χρείας. προσωτέρω δ' ἀπάγειν ὑπονοήσειεν ἄν τις ἐκείνους, ὅσοι τε πῦρ καὶ ὕδωρ καὶ ἀέρα καὶ γῆν εἶναι λέγουσι τὰ στοιχεῖα τῆς ἀνθρώπου φύσεως, εἰ μὴ μιγνύουσι τὰ στοιχεῖα, ὅσοι τε τούτων τὸ στοιχεῖον ἕν τι· κατὰ μὲν τὴν πρόχειρον φαντασίαν ἐπὶ τὸ πρότερον ἀφικνουμένων ἡμῶν, κατὰ δὲ τὴν ἀκριβεστέραν σκέψιν ἐπὶ τὸ δεύτερον. τοὺς γὰρ ἐκ πυρὸς καὶ γῆς ὕδατός τε καὶ ἀέρος ἀλλήλοις κραθέντων ἡγουμένους τὰ σώμαθ' ἡμῶν γεγονέναι

ad medicinam spectat differentes audire consuevit, huic certe ut auscultet, minime est accommodata haec oratio. Neque enim omnino aërem dico hominem esse, neque ignem, neque aquam, neque terram, neque aliud quicquam, quod minime appareat unum in homine esse. Verum iis haec volentibus dicere concedo.

Quantum ad hanc dictionum seriem spectat, haud adeo fieri posse videbitur ut manifesto auctoris sententiam intelligas; accusat enim eos qui disputationem de natura ulterius abducunt quam medicinae usui sit. Ulterius autem abducere aliquis poterit intelligere illos, qui ignem, aquam, aërem et terram hominis naturae elementa esse dicunt, si non misceant ipsa elementa: item illos, qui elementum unum aliquod ponunt, quorum priorem sententiam prompta imaginatione, secundam vero exacta magis consideratione percipimus. Nam qui corpora nostra ex igne, terra, aqua et aëre invicem temperatis constare ar-

μοχθηρῶς ἄν τις ἀξιώσειε κρίνεσθαι ὕδωρ, ἢ πῦρ, ἢ γῆν, ἢ ἀέρα δεικνύοντας ἐν ἡμῖν, ἢ μὴ δεικνύοντας ἐξελέγχεσθαι φάσκειν. ὅμοιον γὰρ τοῦτο τῷ κατὰ τὴν τετραφάρμακον δύναμιν ἀξιοῦν ἤτοι κηρὸν, ἢ πίτταν, ἢ στέαρ, ἢ ῥητίνην εἰλικρινῆ δεικνύειν, ἢ μὴ δυναμένους δεῖξαι, μὴ συγχωρεῖν ἐκ τούτων αὐτὴν συγκεῖσθαι. ἐν γὰρ τῷ κεκρᾶσθαι φάναι τὰ τέτταρα τὸ μηδὲν εἰλικρινὲς αὐτῶν εἶναι δηλοῦται. δυνατὸν μὲν οὖν ἐστιν ἄμφω νοῆσαι κατὰ τὴν προκειμένην ῥῆσιν· ἐν δὲ τοῖς ἑξῆς εἰρησομένοις φαίνεται τὸ δεύτερον ὑπὸ τοῦ συγγραφέως κατασκευαζόμενον. εἰ δέ τις ἀκριβῶς προσέχοι τὸν νοῦν καὶ κατ' αὐτὴν τήνδε τὴν λέξιν, ἔνθα φησίν. [97] οὔτε γὰρ ἠέρα τὸ πάμπαν εἶναι τὸν ἄνθρωπον, οὐ τοῦτό φησιν, ὡς οὐκ ἔστιν ὅλως ἐν ἡμῖν ἀὴρ, ὥσπερ οὐδ' ὅτι πῦρ, ἢ ὕδωρ ἢ γῆ, ἀλλ' ὡς τὸ πάμπαν. ἐκ δὲ τῆς φωνῆς ταύτης σημαίνεται τὸ μὴ παντελῶς, οὐ τὸ μηδ' ὅλως. οὐ γὰρ ἀναιρεῖται παντάπασιν ὑπὸ τῆς τοῦ πάμπαν λέξεως τὸ πρᾶγμα περὶ οὗ ποιούμεθα τὸν λόγον,

bitrantur, ab iis inique poſtulabit aliquis ut ſecernant demonſtrantes in nobis aquam aut ignem aut terram aut aërem; aut ſi non demonſtrant, convinci dicat. Simile enim id eſt ac ſi voles in medicamento tetrapharmaco vel ceram vel picem vel ſevum vel reſinam puram ſinceramque oſtendi: aut iis qui nequeant oſtendere, non concedas ex his ipſum eſſe compoſitum. Nam dum quatuor contemperari dicuntur, nullum ex ipſis ſincerum eſſe oſtenditur. Poſſis igitur ambo in propoſita oratione intelligere. Verum in iis quae mox dicentur, ſecundum ab auctore aſtrui videtur. At (ſi quis animum diligenter advertat) etiam hac ipſa oratione, ubi inquit: neque enim hominem in totum aërem eſſe dixerim, non hoc dicit, quod non ſit omnino in nobis aër; quemadmodum neque quod ignis vel aqua vel terra, ſed quod non in totum ſit, **οὐ τὸ πάμπαν**: ex qua dictione ſignificatur *μὴ παντελῶς non omnino*, non *μηδ' ὅλως*, *nulla ex parte*. Neque enim res, de qua verba facimus, per dictionem *πάμπαν*

ἀλλὰ τὸ τέλειον αὐτοῦ καὶ ἄμικτον παραθραύεται. φαίνεται γοῦν ὅ τε ποιητὴς κατὰ τοῦτο τὸ σημαινόμενον χρώμενος τῷ πάμπαν φωνῇ, δι' ὧν φησιν

— οὐδ' ὅτι πάμπαν
Ἤθελε λαὸν ὀλέσσαι Ἀχαϊκὸν Ἰλιόθι πρό.

αὐτός θ' Ἱπποκράτης, ἡνίκα ἂν λέγῃ· τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ προσαγορεύσιες, οὔτε τῆς ὑγιείης οὔτε τοῦ θανάτου. ὁ μὲν γὰρ ποιητὴς τὸν Δία φησὶ χαριζόμενον τῇ Θέτιδι πολὺν μὲν ὄλεθρον ἐθέλειν ἐργάσεσθαι τῶν Ἑλλήνων, οὐ μὴν παντελῶς γ' αὐτοὺς διαφθεῖραι. ὁ δ' Ἱπποκράτης πολλὰς μὲν τῶν προῤῥήσεων εἶναι βεβαίας, ὡς ἐπεδείξαμεν ἐν τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν, οὐ μὴν ἁπάσας γε, βέλτιον ἀκούειν, ὅπερ καὶ διὰ τῶν ἐφεξῆς δηλοῦται, μὴ συγχωρεῖν τὸν Ἱπποκράτην τοῖς ἀέρα μόνον εἶναι λέγουσι τὸ στοιχεῖον τοῦ ἀνθρωπείου σώματος, ὥσπερ οὐδὲ τὴν γῆν μόνην, ἢ ὕδωρ, ἢ πῦρ. οὐδὲ γὰρ ἕν τι τούτων ἐστὶν, ἀλλ' ἅπαντα στοιχεῖα.

tollitur omnino, ſed quod in ea absolutum eſt et mixturae expers comminuitur. Quin et poeta eo ſignificatu voce *πάμπαν* uti videtur, in quibus vaticinatur,

— quia prorſus Achivum
Noluit is populum pro Troiae perdere muris.

Item Hippocrates ipſe, quum ait: *Morborum acutorum non in totum ſecurae ſunt praedictiones, tum ſanitatis tum mortis.* Etenim poeta ſcribit Iovem in gratiam Thetidis magnam Graecorum cladem velle moliri, non tamen omnino ipſos extinguere. Hippocrates vero multas ſane praedictiones firmas eſſe dicit, ut in commentariis in librum Prognoſticon oſtendimus, non tamen omnes, praeſtat intelligere. Quod etiam ſubſequentibus declarat, Hippocratem non concedere iis, qui aërem ſolum humani corporis eſſe elementum dictitant, quemadmodum neque his qui terram ſolam aut aquam aut ignem. Neque enim unum aliquod horum eſt, ſed omnia elementa. Proinde

διὸ καὶ τὴν κατὰ τὸ τέλος τῆς ῥήσεως φωνὴν, ἀμφίβολον οὖσαν ἐν τῷ παρὰ διαίρεσιν καὶ σύνθεσιν γένει ἀμφιβολίας, ἄμεινόν ἐστι κατὰ διαίρεσιν ἀναγινώσκειν, ἔνθα φησίν· οὔτ' ἄλλο οὐδὲν ὅ τι μὴ φανερόν ἐστιν ἓν ἐὸν ἐν τῷ ἀνθρώπῳ. τὸ γὰρ ἓν ἐὸν οὐχ ὡς οἱ τὴν προτέραν τῶν ἐξηγήσεων πρεσβεύοντες οἴονται, μέρος ἕν ἐστι λόγου, λεγόμενον ὑπὸ τῶν ἄλλων Ἑλλήνων ἐν δυοῖν συλλαβαῖν, ἓν ὄν. ὑπὸ δὲ τῶν Ἰώνων ἐν τρισὶν, ἐνεὸν, ἀλλὰ δύο ἐστὶ λόγου μέρη. τὸ μὲν ἕτερον ὄνομα μονοσύλλα- (4) βον, ὡς ἐπειδὰν λέγωμεν ἀριθμοῦντες ἓν, δύο, τρία. τὸ δ' ἕτερον, ὅπερ ἡμεῖς μὲν ὂν λέγομεν, οἱ δ' Ἴωνες ἐὸν ἐν δυοῖν συλλαβαῖν. ἐπιδειχθήσεται γὰρ ἐν τοῖς ἑξῆς ὁ Ἱπποκράτης ἀντιλέγων οὐ τοῖς περιέχεσθαι κατὰ τὸ σῶμα τῶν τεσσάρων στοιχείων ἕκαστον οἰομένοις, ἀλλὰ τοῖς ἓν μόνον ἐξ αὐτῶν τὴν φύσιν εἶναι τοῦ ἀνθρώπου νομίζουσι. πῶς οὖν φησί τις προσωτέρω ἢ κατὰ τὴν ἰατρικὴν ὁ λόγος οὗτος ἀποχωρεῖ, καθ' ὃν ἓν ὁτιοῦν στοιχεῖον ὑποτίθενταί τινες εἶναι τὴν φύσιν τοῦ ἀνθρώπου; ὅτι, καθάπερ αὐτὸς ὀλίγον ὕστερόν φησι, ταύτῃ

etiam dictionem ad finem orationis pofitam, quum ambigua fit, in eo ambiguitatis genere, quod ex divifione et compofitione nascitur, fatius eft divifim legere, ubi inquit, neque aliud quicquam, quod non unum effe in homine appareat; in qua fententia ἐνεὸν non, ut priorem interpretationem celebrantes cenfent, una eft orationis pars, quae ab aliis Graecis duabus fyllabis effertur, ἓν ὄν, ab Ionicis tribus, ἓν ἐὸν, verum duae funt orationis partes; prior nomen monofyllabum, ut quum numerando dicimus, ἓν unum, duo, tria; altera, quam nos quidem ὂν, ens dicimus; Iones autem duabus fyllabis ἐόν. Oftendetur enim in fubfequentibus Hippocrates refragari non iis qui putant fingula quatuor elementorum in corpore contineri; fed iis qui unum duntaxat ex ipfis naturam hominis effe arbitrantur. Quomodo igitur, inquies, ulterius quam medicina poftulat, disputatio haec procedit, in qua unum quodlibet elementum nonnulli naturam hominis effe ftatuunt? quoniam, ut ipfe paulo poft dicet, hanc opi-

τῇ δόξῃ τὸ μή ποτε ἀλγεῖν τὸν ἄνθρωπον ἕπεται, καίτοι κἂν τοῦτό τις συγχωρήσῃ, ἓν καὶ τὸ ἰώμενον εἶναι. φαίνεται δὲ ἀλγοῦν καὶ θεραπευόμενον πολυειδῶς, ὥστε ψευδὴς ἀληθῶς. ἴδωμεν οὖν τῶν εἰρημένων ἕκαστον ἐν ταῖς ἐφεξῆς ῥήσεσιν, ὅπως αὐτὰ κατασκευάζῃ.

Οὔτε γὰρ τὸ πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον εἶναι, οὔτε πῦρ, οὔτε ὕδωρ, οὔτε γῆν, οὔτε ἄλλο οὐδὲν, ὅ τι μὴ φανερόν ἐστιν ἓν ἐὸν ἐν τῷ ἀνθρώπῳ. ἀλλὰ τοῖσι βουλομένοισι ταῦτα λέγειν παρίημι.

Ἀρτεμίδωρος ὁ ἐπικληθεὶς Καπίτων ἔκδοσιν ἐποιήσατο τῶν Ἱπποκράτους βιβλίων, εὐδοκιμήσασαν οὐ μόνον παρὰ Ἀδριανῷ τῷ αὐτοκράτορι, ἀλλὰ καὶ νῦν ἱκανῶς ὑπὸ πολλῶν σπουδαζομένην, ὥσπερ καὶ ἡ τοῦ συγγενοῦς αὐτῷ Διοσκουρίδου. πολλὰ μὲν οὖν ἀμφότεροι μετέγραψαν, ὑπαλλάττοντες τὰς παλαιὰς γραφὰς, ἃς μόνας ἴσασιν οἱ ἐξηγησάμενοι τὰ Ἱπποκράτους βιβλία. πρὸς δὲ τοῖς πολλοῖς καὶ τήνδε

nionem ſequitur, nunquam hominem dolere, et ſi quis hoc conceſſerit, unum etiam remedium eſſe: ſed dolere et curari videtur multiſariam: eoque falſa plane eſt opinio. Inſpiciamus igitur ſingula iam dicta, quomodo ipſa in ſubſcriptis verbis comprobet.

Neque enim τὸ πάμπαν in totum dico hominem eſſe aërem, neque ignem, neque aquam, neque terram, neque aliud quidquam: quia unum in homine eſſe non apparet: ſed iis haec volentibus dicere concedo.

Artemidorus, cognomento Capito, Hippocratis libros edidit: quae editio non ſolum apud Adrianum imperatorem in pretio eſt habita, verum etiam nunc admodum a multis ſtudiose affectatur, probaturque ut et ea Dioſcoridis ipſi coaetanei. Multa igitur uterque tranſcribendo corrigens veteres ſcripturas immutavit, quas ſolas norunt, Hippocratis libros interpretati ſunt. Capito autem prae-

τὴν νῦν προκειμένην λέξιν ὑπήλλαξε Καπίτων, ὡδέ πως γράψας· [98] οὔτε γὰρ τὸ πᾶν ἠέρα λέγω τὸν ἄνθρωπον εἶναι, οὔτε πῦρ, οὔτε ὕδωρ. ἐπειδὴ γὰρ οὔτε βιβλίον ηὕρισκεν ἀνδρὸς παλαιοῦ τὴν γῆν μόνην εἰπόντος εἶναι στοιχεῖον, οὔτε παρὰ τοῖς μάλιστα τὴν τοιαύτην ἱστορίαν ἀναλεξαμένοις ἀνδράσι τοῖς Περιπατητικοῖς ἱστορούμενον, τῆς δόξης ταύτης προθεῖναί τινα τὴν λέξιν ὑπήλλαξε τολμηρῶς. ἄμεινον δ' ἦν ἐπιτιμῆσαι τοῖς φιλοτίμως ἐζητηκόσι τίνος ἦν ἀνδρὸς ἡ περὶ τῆς γῆς ὡς μόνης στοιχείου δόξα. παραπλήσιον γάρ ἐστι τοῦτο τῷ ζητῆσαι, τίς μὲν οὖν ὁ ἀξιῶν ἐκτετραμμένην ἐπιδεῖσθαι τὴν χεῖρα ὑπτίαν. καὶ τίς μὲν ὁ τὴν τῆς πτέρνης ἐπίδεσιν ἑτέρως ἢ ὡς Ἱπποκράτης ἀξιῶν ποιεῖσθαι· τίς δὲ ὁ τὴν τῆς κλειδὸς, ἢ τίς ὁ τὰ μεθ' ἕλκους κατάγματα, κατ' αὐτὸ μὲν τὸ ἕλκος οὐκ ἐπιδῶν, ἑκατέρωθι δὲ ἐπιδῶν· ἢ τίς ἐν τῷ καίειν τὸ κατ' ὦμον ἄρθρον, οὐκ ἐν οἷς χρὴ μέρεσιν ἐτίθει τὰς ἐσχάρας. ἢ τίνες ἦσαν οὓς ἐν τῷ περὶ ῥάχεων λόγῳ μέμφεται. πολλὰ γὰρ τοιαῦτα κατά τε τὸ περὶ ἀγμῶν καὶ περὶ ἄρθρων εἴρη-

ter pleraque alia hanc modo propoſitam orationem immutavit, huncque in modum ſcripſit, *neque enim in totum aërem dixerim eſſe hominem, neque ignem, neque aquam.* Quia enim neque librum viri veteris invenit, qui terram ſolum elementum eſſe diceret, neque apud eos viros Peripateticos qui maxime huiusmodi historiam pertractaverunt, huius opinionis auctorem quenquam prodi; lectionem audacter immutavit. Satius autem erat increpare eos, qui contentiose inveſtigarunt, quis eſſet vir, qui terram ſolam elementum opinatus ſit. Perinde enim hoc eſt, ac ſi quaeras, quis erat qui manum luxatam ſupinam deligari voluerit? et quis ille qui calcanei deligationem aliter quam Hippocrates fieri praecepit? quis rurſus, qui claviculam; aut quis qui fracturas cum ulcere coniunctas in ipſo quidem ulcere non deliget, in utraque autem ipſius parte deliget? aut quis in adurendo humeri articulum non in quibus convenit partibus eſcharas induxit? aut qui erant quos in oratione de ſpinis dorſi

ται τῷ Ἱπποκράτει, ποτὲ μὲν ὡς ἑνὸς, ἐνίοτε δ' ὡς πολλῶν ἁμαρτανόντων, ὥσπερ κἀν τῷ περὶ διαίτης ὀξέων. ἅμα γὰρ κἀκεῖ πολλοὺς ἰατροὺς μεμφόμενος ἔγραψεν ὡδέ πως. οἶδα τοὺς ἰητροὺς τὰ ἐναντιώτατα ἢ ὡς δεῖ ποιέοντας· βούλονται γὰρ πάντες ὑπὸ τὰς ἀρχὰς τῶν νούσων προταριχεύσαντες τοὺς ἀνθρώπους, ἢ δύο, ἢ καὶ τρεῖς, ἢ καὶ πλείους ἡμέρας, οὕτω προσφέρειν καὶ τὰ ῥοφήματα καὶ τὰ ποτά. τίνες οὖν ἦσαν οἱ διαιτῶντες οὕτω δεικνύτωσαν ἡμῖν οἱ ἐξηγηταί. τίνες δὲ οἱ νομίζοντες φλέγμα μόνον εἶναι τὸν ἄνθρωπον, τίνες οἱ ξανθὴν χολὴν, ἢ τίνες οἱ μέλαιναν. ἐφεξῆς γάρ τοι κατὰ τοῦτο αὐτὸ τὸ περὶ φύσιος ἀνθρώπου βιβλίον εἶναί τινάς φησιν, οἵ οὕτως ἐδόξασαν. ἄμεινον μὲν οὖν εἰρῆσθαι τοῖς ἐξηγηταῖς ὡς τάχα μὲν οὐδ' ἔγραψαν πάντες οὗτοι τὰς ἑαυτῶν δόξας. ἐγχωρεῖ δὲ καὶ γραψάντων αὐτῶν μὴ διασωθῆναι. φαίνεται γὰρ τοῦτο κατὰ πλείους αἰτίας γιγνόμενον. ἔνιοι μὲν γὰρ τοὺς διαδεξαμένους αὐτῶν τὴν διδασκαλίαν οὐκ ἔσχον, ἔνιοι δὲ οὐκ

accusat? Multa enim huius generis Hippocrates et in opere de fracturis et de articulis est persequutus, nunc quasi uno, nunc quasi multis aberrantibus, quemadmodum in opere de victus ratione in morbis acutis simul multos medicos accusans hunc in modum scripsit: *Novi medicos iis quae oportet maxime contraria moliri; volunt enim omnes sub morborum initiis, ubi homines aut duos aut tres aut etiam plures dies fame cruciaverint, ita iam et sorbitiones et poculenta offerre.* Qui igitur fuerunt, qui ita victus rationem tradebant, ostendant nobis interpretes: qui rursus erant, qui pituitam solam esse hominem arbitrarentur, qui flavam bilem, aut qui atram bilem hominem esse iudicabant: nam inferius in hoc ipso de natura hominis libello esse nonnullos ait, qui sic opinati sunt. Quare praestiterat interpretibus dixisse quod forsan omnes hi suas ipsorum opiniones ne scriptis quidem mandaverint. Rursus fieri potuit ut ipsi conscripserint, sed libri interciderint; nam hoc pluribus de causis fieri videtur.

ἐξέδοσαν ζῶντες τὰς βίβλους, εἶτα ἀποθανόντων αὐτῶν, ἓν ἢ δύο που σωζόμενα τῶν ἀντιγράφων, ἀπώλετο. δυνατὸν δέ ἐστι καὶ διότι κατεφρονήθη τὰ συγγράμματα αὐτῶν, ἀμεληθῆναί τε καὶ τῷ χρόνῳ τελέως ἀπολέσθαι. καὶ μέντοι καὶ φθονεροί τινες ἤτοι κατακρύπτουσιν, ἢ τελέως ἀφανίζουσι τὰ τῶν πρεσβυτῶν βιβλία. τινὲς δ' ὑπὲρ τοῦ λέγειν ὡς ἴδια τὰ ἐν αὐτοῖς γεγραμμένα πράττουσι ταὐτό. ἢ καὶ τί θαυμαστὸν ἀπολέσθαι τῶν ἀλλοκότους δόξας γραψάντων, ὅπου γε καὶ παρὰ τοῖς Ἀθηναίοις εὑρίσκονταί τινες εὐδοκίμως ἠγωνισμένοι κωμικοί τε καὶ τραγικοὶ ποιηταὶ δράμασιν οὐκέτι διασωζομένοις. ἵνα γὰρ παραλείπω τὰς ἄλλας ἁπάσας αἰτίας, δυοῖν δὲ μόνων τῶν ἔναγχος ἐν Ῥώμῃ γιγνομένων μνημονεύσω. πολλάκις μὲν ἐμπρησθέντες σηκοὶ, πολλάκις δὲ ἐν σεισμοῖς καταπεσόντες, ἢ κατ' ἄλλην αἰτίαν, οὐκ ὀλίγων βιβλίων ἀπωλείας αἴτιοι γεγονέναι φαίνονται. κακῶς μὲν ὁ Καπίτων ἐτόλμησε μεταγράψαι τὴν παλαιὰν ῥῆσιν, οὐκοῦν οὐδὲ τοῦτο προσθεὶς, ὡς ἐνεδέχετο τὸν πρῶτον βιβλιογράφον ἁμαρτεῖν, ἀντ' ἄλλου

Nonnulli enim qui fufciperent ipforum difciplinam, non habebant; nonnulli vero libros dum viverent non ediderunt: deinde mortuis ipfis unum aut alterum exemplar quod fupererat, periit. Iam potuerunt etiam, quia fcripta ipforum in pretio nullo erant, negligi et temporis fpatio prorfus interiro. Quin etiam invidi quidam aut fupprimunt aut omnino abolent veterum libros. Sunt qui id faciant, ut quae in eis fint tradita, fua effe dictitent. Vel quid mirum eft, eorum libros qui alienas opiniones literis prodiderunt, perire, quum etiam apud Athenienfes nonnulli inveniantur tum comici tum tragici poëtae, magna celebritate operum commendati, quorum fabulae non amplius fuperfint? Ut enim alias univerfas caufas omittam, duarum duntaxat quae Romae nuper acciderunt meminero. Saepe conflagrata incendio templa, faepe terrae motibus collapfa, aut alia de caufa, fecerunt ut non pauci libri interierint. Prave igitur Capito aufus eft antiquam lectionem abrogare, ita ut ne hoc quidem adjecerit, fieri

γράψαντ' ἄλλο. κακῶς δὲ καὶ τῶν ἐξηγητῶν ἔνιοι κατεψεύσαντο Ξενοφάνους, ὥσπερ καὶ Σαβῖνος, ὡδί πως γράψας αὐτοῖς ὀνόμασιν. οὔτε γὰρ πάμπαν ἀέρα λέγω τὸν ἄνθρωπον, ὥσπερ Ἀναξιμένης, οὔτε ὕδωρ ὡς Θαλῆς, οὔτε γῆν ὡς ἔν τινι Ξενοφάνης. οὐδαμόθεν γὰρ εὑρίσκεται ὁ Ξενοφάνης ἀποφηνάμενος οὕτως. [99] ἀλλὰ καὶ ὁ Σαβῖνος αὐτὸς εὔδηλός ἐστιν ἐκ τῶν αὐτοῦ καταψευδόμενος, οὐχ ὑπ' ἀγνοίας ἐσφαλμένος, ἢ πάντως ἂν ὀνομαστὶ προσέγραψε τὸ βιβλίον ἐν ᾧ ταῦτα ἀπεφήνατο. νῦν δ' οὕτως ἔγραψεν, οὔτε γῆν ὡς ἔν τινι Ξενοφάνης· καὶ Θεόφραστος δ' ἂν ἐν ταῖς τῶν φυσικῶν δοξῶν ἐπιτομαῖς τὴν Ξενοφάνους δόξαν, εἴπερ οὕτως εἶχεν, ἐγεγράφει. καί σοι πάρεστιν εἰ χαίροις τῇ περὶ τούτων ἱστορίᾳ, τὰς τοῦ Θεοφράστου βίβλους ἀναγνῶναι, καθ' ἃς τὴν ἐπιτομὴν ἐποιήσατο τῶν φυσικῶν δοξῶν. ὥσπερ γε πάλιν εἰ τὰς τῶν παλαιῶν ἰατρῶν δόξας ἐθέλοις ἱστορῆσαι, πάρεστί σοι τὰς τῆς ἰατρικῆς συναγωγῆς ἀναγνῶναι βίβλους, ἐπιγεγραμμένας μὲν Ἀριστοτέλει,

potuisse ut primus librorum scriptor erraverit, pro alio scribens aliud. Male etiamnum interpretes quidam de Xenophane mentiti sunt: quemadmodum et Sabinus qui sic suis ipsis verbis scripsit: *Neque enim in totum aërem dico hominem, sicut Anaximenes; neque aquam ut Thales; neque terram sicut alicubi Xenophanes.* Nullo enim in loco sic pronuntiasse Xenophanes invenitur. Quin etiam Sabinus ipse ex suismet verbis mentiri perspicitur, non prae inscitia in errorem prolapsus; alioqui certe librum in quo haec pronuntiavit nominatim protulisset. Nunc autem sic scripsit. Neque terram, sicut quodam in loco Xenophanes. Theophrastus autem in naturalium opinionum compendio Xenophanis opinionem, si ita haberet, conscripsisset. Ac tibi licet, si historia de his prodita te oblectat, Theophrasti libros perlegere, in quibus naturales opiniones in compendium redegit: quemadmodum si veterum medicorum opiniones voles discere, integrum tibi est medica collectione libros evolvere, qui sane Aristoteli

ὁμολογουμένας δὲ ὑπὸ τοῦ Μένωνος, ὃς ἦν μαθητὴς αὐτοῦ, γεγράφθαι, διὸ καὶ Μενώνεια προσαγορεύουσιν ἔνιοι ταυτὶ τὰ βιβλία. δῆλον δὲ ὅτι καὶ ὁ Μένων ἐκεῖνος, ἀναζητήσας ἐπιμελῶς τὰ διασωζόμενα κατ᾽ αὐτὸ ἔτι τῶν παλαιῶν ἰατρῶν βιβλία, τὰς δόξας αὐτῶν ἐκεῖθεν ἀνελέξατο. τῶν δ᾽ ἤδη διεφθαρμένων παντάπασιν, ἢ σωζομένων μὲν, οὐ θεωρηθέντων δ᾽, αὐτῷ τὰς γνώμας οὐκ ἠδύνατο γράψαι. κατὰ ταῦτ᾽ οὖν τὰ βιβλία χολὴν ξανθὴν, ἢ μέλαιναν, ἢ φλέγμα στοιχεῖον ἀνθρώπου φύσεως οὐκ ἂν εὕροις οὐδ᾽ ὑφ᾽ ἑνὸς εἰρημένον. αἷμα δὲ καὶ τῶν μεθ᾽ Ἱπποκράτην φαίνονται πολλοὶ μόνον εἶναι νομίζοντες ἐν ἡμῖν, ὥστε καὶ τὴν πρώτην γένεσιν ἡμῶν ἐξ αὐτοῦ γίγνεσθαι, καὶ τὴν μετὰ ταῦτα κατὰ τὴν μήτραν αὔξησιν καὶ ἀποκυηθέντων τελείωσιν. ἀλλ᾽ ὅ γε Ἱπποκράτης ὀλίγον ὕστερον ἔγρα- (5) ψεν ὡς ὄντων τινῶν οἳ καὶ φλέγμα καὶ χολὴν ἐνόμιζον εἶναι τὸν ἄνθρωπον, οὐκ ἂν οὕτω γράψας, εἰ μή τινες ἦσαν ἤτοι κατ᾽ αὐτὸν, ἢ πρὸ αὐτοῦ δοξάζοντες οὕτως.

---

afcribuntur, fed a Menone eius difcipulo fcriptos eſſe pro confeſſo habetur: quare etiam nonnulli hos libros Menonios appellant. Conftat autem quod et Menon ille, inveftigatis diligenter veterum medicorum libris, qui ipfius tempore adhuc fupererant, opiniones ipforum inde collegerit. Eorum vero qui jam prorfus interiiſſent aut fuperftites quidem eſſent, fed non in lucem editi, fententias haud potuit fcribere. In his itaque libris haud invenias vel ab uno proditum, flavam bilem aut nigram aut pituitam hominis naturae eſſe elementum. Sanguinem vero etiam qui Hippocrati fucceſſerunt permulti folum nobis ineſſe arbitrati funt, quod prima generatio noftra ex ipfo fiat: mox in utero incrementum: deinde in lucem editorum perfectio. Sed Hippocrates paulo poft fcripfit, tanquam nonnulli fint, qui pituitam et bilem hominem eſſe arbitrarentur, non ita fcripturus, nifi quidam fuiſſent vel ipfius tempore vel ante ipfum, qui fic opinarentur.

β'.

Δοκέουσι δέ μοι οὐκ ὀρθῶς γινώσκειν οἱ τὰ τοιαῦτα λέγοντες. γνώμῃ μὲν γὰρ τῇ αὐτέῃ πάντες χρέονται, λέγουσι δὲ οὐ τὰ αὐτά. ἀλλὰ τῆς μὲν γνώμης τὸν ἐπίλογον τὸν αὐτὸν ποιέονται. φασὶ γὰρ ἕν τε εἶναι ὅ τί ἐστι καὶ τοῦτ' εἶναι ἕν τε καὶ τὸ πᾶν, κατὰ δὲ τὰ οὐνόματα οὐχ ὁμολογέουσι. λέγει δὲ αὐτέων ὁ μέν τις φάσκων ἠέρα τοῦτο εἶναι τὸ ἕν τε καὶ τὸ πᾶν, ὁ δὲ πῦρ, ὁ δὲ ὕδωρ, ὁ δὲ γῆν. καὶ ἐπιλέγει ἕκαστος τῷ ἑωϋτοῦ λόγῳ μαρτύριά τε καὶ τεκμήρια, ἅ γε ἐστὶν οὐδέν. ὅτι μὲν γὰρ τῇ αὐτέῃ γνώμῃ πάντες χρέονται, λέγουσι δὲ οὐ τὰ αὐτὰ, δῆλον ὅτι οὐδὲ γινώσκουσι αὐτά. γνοίη δ' ἂν τόδε τις μάλιστα, παραγενόμενος αὐτέοισιν ἀντιλέγουσι. πρὸς γὰρ ἀλλήλους ἀντιλέγοντες οἱ αὐτοὶ ἄνδρες τῶν αὐτέων ἐναντίον ἀκροατέων, οὐδέποτε τρὶς ἐφεξῆς ὁ αὐτὸς ἄνθρωπος περιγίνεται ἐν τῷ λόγῳ, ἀλλὰ ποτὲ μὲν οὗτος ἐπικρατέει, ποτὲ δὲ οὗτος, ποτὲ δὲ ᾧ ἂν τύχῃ μάλιστα ἡ γλῶσσα ῥυεῖσα πρὸς τὸν ὄχλον. καίτοι δίκαιόν ἐστι

II.

Qui vero talia proferunt, non mihi recte id agnoscere videntur; eadem enim sententia utuntur omnes; verum non eadem dicunt, sed sententiae suae epilogum eundem efficiunt. Ajunt enim unum quid esse quodcunque est, et id ipsum unum esse ac universum; nominibus autem non consentiunt. Eorum autem aliquis aërem esse hoc unum et universum asserit; alius ignem, alius aquam, alius terram; tum unusquisque suae orationi testimonia et conjecturas addit, quae nihili sunt. Quod etenim in eadem versentur omnes sententia, nec eadem dicant, eos ipsa ignorare manifestum est. Atque id ex eo maxime is cognoverit qui ipsis disceptantibus interfuerit. Nam nunquam ter continua serie idem homo eodem in sermone superior evadit, sed modo hic vincit, modo ille, modo iste, cui potissimum lingua fluens ad populum contigerit. Quanquam par est, qui recte se

τὸν φάντα ὀρθῶς γινώσκειν περὶ τῶν πραγμάτων, παρέχειν ἀεὶ ἐπικρατέοντα τὸν λόγον τὸν ἑωϋτοῦ, εἴπερ ἐόντα γινώσκει καὶ ὀρθῶς ἀποφαίνεται. ἀλλὰ ἐμοί γε δοκέουσιν οἱ τοιοῦτοι ἄνθρωποι αὐτοὶ σφᾶς αὐτοὺς καταβάλλειν ἐν τοῖσιν ὀνόμασι τῶν λόγων αὐτέων ὑπὸ ἀσυνεσίης, τὸν δὲ Μελίσσου λόγον ἐπανορθοῦν. περὶ μὲν οὖν τουτέων ἀρκέει μοι τὰ εἰρημένα.

---

[100] Ὡς πρὸς εἰδότας ἃ λέγουσιν οἱ στοιχεῖον ἓν ὑποτιθέμενοι, ποιεῖται τὸν λόγον. οἵ τε γὰρ τὸ πῦρ εἶναι στοιχεῖον λέγοντες ἐκ τούτου βούλονται τὰ ἄλλα γεννᾶσθαι, πυκνουμένου τε καὶ συναγομένου καὶ πιλουμένου, τῆς μὲν ὀλίγης αὐτοῦ πιλήσεως ἀέρα γεννώσης, τῆς πλείονος δὲ ὕδωρ, τῆς τελεωτάτης τε καὶ πλείστης γῆν. οἵ τε τὸ ὕδωρ, οἵ τε τὸν ἀέρα, κατὰ τὸν αὐτὸν λόγον ἐκ τοῦ πιλοῦσθαι καὶ χεῖσθαι τἄλλα γεννᾶσθαι λέγουσι. πιληθὲν μὲν γὰρ τὸ ὕδωρ γῆν γεννᾶσθαί φασι, χυθὲν δὲ ἀέρα. καθάπερ γε καὶ τὸν ἀέρα πιληθέντα μὲν ὕδωρ, χυθέντα δὲ πῦρ, ὥστ' ἐκ

de rebus aliquid cognoſcere profitetur, ſuam enim rationem perpetuo ſuperiorem adferre, ſi quae ſunt vera agnoſcit recteque pronunciat. Verum mihi videntur ejusmodi homines ſeipſos in ſuarum rationum vocabulis prae inſcitia evertere, Meliſſi vero ſententiam erigere. Sed de his mihi dicta ſufficiunt.

Qui elementum unum ſtatuunt, iis tanquam quae proferunt ſcientibus orationem ſtruit. Nam qui ignem eſſe elementum affirmant ex hoc quum excraſſeſcit et cogitur et denſatur, alia generari volunt, ita ut ex modica quidem ipſius denſatione aërem generet, ex ampliore vero aquam, ex abſolutiſſima et plurima terram. Qui aquam quique aërem ponunt elementum, pari modo ex denſatione et fuſione illorum alia procreari tuentur. Denſatam ſiquidem aquam, terram gignere dicunt; fuſam aërem, ſicut et aërem denſatum aquam, fuſum ignem. Quare ex

τῆς εἰς ἄλληλα μεταβολῆς τῶν τεττάρων ὁ λόγος ὁρμᾶται τῶν ἓν ὁτιοῦν ὑποτιθεμένων εἶναι στοιχεῖον. καὶ διὰ τοῦτο γνώμῃ μὲν αὐτῇ φησιν αὐτοὺς χρῆσθαι, λέγειν δ' οὐ τὰ αὐτά. φανερῶς οὖν ἐν τούτῳ τῷ λόγῳ παντὶ τοῖς ἕν τι μόνον τῶν τεττάρων στοιχείων ἡγουμένοις εἶναι τὸν ἄνθρωπον ἀντιλέγει καί φησιν αὐτοὺς ἁμαρτάνειν. ὅτι γὰρ μηδὲν ἀποδεικνύουσιν, ἐσχάτως ἀπίθανος ἦν ὁ λόγος αὐτῶν. ἓν μὲν γὰρ τῶν τεττάρων εἶναι τὸν ἄνθρωπον οὐ κατασκευάζουσι. τὸν δὲ Μελίσσου λόγον ὀρθοῦσιν, ἡγουμένου μὲν ἓν εἶναι καὶ αὐτοῦ τοῦτο, οὐ μὴν ἐκ τῶν τεττάρων γ' ἕν τι τούτων, ἀέρος καὶ γῆς, ὕδατός τε καὶ πυρός. ἔοικε δὲ ὁ ἀνὴρ οὗτος ἐννοῆσαι μὲν εἶναί τινα οὐσίαν κοινὴν, ὑποβεβλημένην τοῖς τέτταρσι στοιχείοις, ἀγέννητόν τε καὶ ἄφθαρτον, ἣν οἱ μετ' αὐτὸν ὕλην ἐκάλεσαν, οὐ μὴν διηρθρωμένως γε δυνηθῆναι τοῦτο δηλῶσαι. ταύτην δ' οὖν αὐτὴν τὴν οὐσίαν ὀνομάζει τὸ ἓν καὶ τὸ πᾶν. ἀληθὴς δὲ οὐδ' οὗτος ὁ λόγος ἐστίν. οὐ γὰρ ἕν τι μόνον ἐστὶν ἐκεῖνο τῶν ἐν γενέσει καὶ φθορᾷ σωμάτων ἀρχὴ, καθάπερ

mutua in se quatuor *elementorum* mutatione ratio orta est eorum, qui unum quodlibet elementum esse statuunt: atque ideo sententia ipsos eadem uti, diversa autem dicere scribit. Proinde manifesto hac oratione tota iis adversatur, qui hominem unum quid solum ex quatuor elementis esse autumant, aitque ipsos aberrare. Nam quia nihil demonstrant, summe improbabilis oratio ipsorum extiterat: unum siquidem quatuor *elementorum* esse hominem non tuentur, astruuntque. Melissi vero sententiam erigunt probantque, qui sane etiam esse unum elementum existimet, non tamen ex quatuor illis, aëre, terra, aqua, igne. Videtur autem vir hic considerasse substantiam quandam communem, quatuor subjectam elementis, non generabilem, incorruptibilem, quam posteri ipsius materiam appellarunt; non tamen perfecte id potuisse ostendere. Hanc igitur ipsam substantiam nominat unum et omne. Verus autem nequaquam hic sermo est. Non enim illud unum est solum principium corporum, quae genera-

ὑπέλαβεν ὁ Μέλισσος, ἀλλὰ πρὸς αὐτῷ ποιότητες τέτταρες, ψυχρότης ἄκρα καὶ ξηρότης καὶ θερμότης καὶ ὑγρότης. οὐ μὴν στοιχεῖά γε ταῦτ' ἐστιν οὔτε τῶν ἄλλων οὔτ' ἀνθρώπου φύσεως, ἀλλὰ ἀρχαί. συνεκέχυτο οὖν τοῦτο παρὰ τοῖς ἀρχαίοις. οὐδ' εἰς ἔννοιαν ἀφιγμένοις τῆς διαφορᾶς ἀρχῆς τε καὶ στοιχείου, διὰ τὸ δύνασθαι χρῆσθαι τῇ τοῦ στοιχείου προσηγορίᾳ, κἀπὶ τῶν ἀρχῶν. ἀλλὰ δὲ δύο πράγματά ἐστι φανερῶς ἀλλήλων διαφέροντα, τὸ μὲν ἕτερον ἐλάχιστον μόριον τοῦ ὅλου, τὸ δὲ ἕτερον, εἰς ὃ διέλῃ τις, κατ' ἐπίνοιαν αὐτὸ τοῦτο ἐλάχιστον. αὐτὸ μὲν γὰρ τὸ πῦρ οὐχ οἷόν τε διελεῖν εἰς δύο σώματα καὶ δεῖξαι κεκραμένον ἐξ ἐκείνων, ὥσπερ οὐδὲ τὴν γῆν, ἢ τὸ ὕδωρ, ἢ τὸν ἀέρα. νοῆσαι μέντοι δυνατὸν ἑτέραν μὲν εἶναι τοῦ μεταβάλλοντος τὴν οὐσίαν, ἑτέραν δὲ τὴν μεταβολὴν αὐτοῦ. οὐ γὰρ ταὐτό ἐστι τὸ μεταβάλλον σῶμα τῇ κατ' αὐτὸ μεταβολῇ. τὸ μὲν γὰρ μεταβάλλον ἐστὶ τὸ ὑποκείμενον, ἡ μεταβολὴ δὲ αὐτοῦ κατὰ τὴν τῶν ποιοτήτων ἀμοιβὴν γίνεται. θερμότητος μὲν γὰρ ἄκρας ἐγγενομένης αὐτῷ, πυρὸς ἀποτελου-

tioni et corruptioni subjiciuntur, quemadmodum Melissus opinatus est; sed praeter id qualitates quatuor, frigus summum, siccitas, calor et humor: non tamen haec elementa sunt vel aliorum vel hominis naturae, sed principia. Hoc autem apud veteres confusum erat; ut quibus ne in mentem quidem pervenerat principii et elementi differentia, eo quod potuerint uti etiam in principiis elementi appellatione. Verum duae res sunt manifesto invicem differentes; altera sane est minima totius particula, altera vero, in quam quis dividet intellectu, ipsam hanc particulam minimam. Etenim ignem ipsum non licet in duo corpora dividere et temperatum ex illis ostendere; quemadmodum neque terram, aut aquam, aut aërem; considerare tamen possit, alteram esse ejus quod mutatur substantiam, alteram ipsius mutationem. Non enim idem est corpus quod mutatur, et mutatio quae ei accidit. Siquidem quod mutatur, subjectum est; mutatio vero ipsius ex qualitatum vicissitudine contingit. Nam quum summus

μένου, καθάπερ γε καὶ ἀέρος, ὅταν ἄκραν ὑγρότητα δέξεται. κατὰ ταὐτὰ δὲ γῆς μὲν γιγνομένης, ἐπειδὰν ἐκεῖνο τὸ ὑποκείμενον, ἅπασαν κατὰ τὴν ἑαυτοῦ φύσιν ἄποιον ὑπαρχον εἰς ἑαυτὸ δέξηται ξηρότητα χωρὶς θερμότητος, ὕδατος δ' ὅταν ὑγρότητα. περὶ μὲν γὰρ τοῦ πρώτου ψυχροῦ ζήτησις οὐ σμικρὰ γέγονεν, ἧς οὐκ ἔστι χρεία εἰς τὰ τῆς ἰατρικῆς τέχνης ἔργα μηδὲν συντελούσης. τὸ γάρ τι χρήσιμόν ἐστιν ἐν τῷ ζητῆσαι, πότερον ἓν ἁπλοῦν ἐστι τὸ σῶμα τῶν ἀνθρώπων, ἢ σύνθετον ἐξ ἁπλῶν τεττάρων, ὥς ἥ τε τοῦ Πλάτωνος ἐδίδαξε ῥῆσις [101] ἡμεῖς τε κατὰ τὴν θεραπευτικὴν μέθοδον ἐδιδάξαμεν εὐθὺς ἐν τοῖς πρώτοις αὐτῆς. ἀλλὰ περὶ μὲν τούτου καὶ αὖθις εἰρήσεται. νυνὶ δὲ ἀναμνήσομαι ὡς ἐν τῇ προκειμένῃ ῥήσει τὴν ἀντιλογίαν ἐποιήσατο πρὸς τοὺς ἕν τι τῶν τεττάρων εἶναι λέγοντας τὸν ἄνθρωπον, οὐ πρὸς τοὺς τέτταρα. βελτίων οὖν ἀνάγνωσις εἰκότως ἐλέγετο κατὰ τὴν πρώτην ῥῆσιν ἡ δασύνουσα κατὰ τὴν ἐκφώνησιν τὴν πρώτην συλλαβὴν τοῦ ἓν ἐόν. ὅτι γὰρ οὐχ ἕν ἐστιν, ἀλλὰ πλείω τὰ συντιθέντα τὴν

in eo fuerit calor, ignis efficitur; ficut et aër, ubi fummum humorem acceperit. Simili modo terra fit, ubi illud fubjectum fecundum fuam ipfius naturam qualitatis expers, omnem in fe receperit ficcitatem fine calore; aqua vero quum humiditatem. Etenim de primo frigido quaeftio non exigua oborta eft, quae quum ad medicae artis opera nihil conferat, non eft ufui. Utilitas enim eft in disquirendo utrum unum corpus hominum fimplex fit, an ex quatuor fimplicibus compofitum, ut et Platonis verba declararunt, et nos in medendi methodo ftatim inter initia docuimus. Verum de hoc etiam poftea dicetur: nunc in memoriam revocabo, quomodo in propofita oratione adverfatus fit iis, qui unum aliquod ex quatuor hominem effe, non iis qui quatuor afferverant. Melior itaque lectio merito diceretur in prima fententia, quae primam fyllabam dictionum *ἓν ἐὸν, unum exiftens*, in pronunciatione afpirat. Quod enim non unum fit, fed plura hominis naturam conftituentia, Hippocrates oftendit; non tamen

του ἀνθρώπου φύσιν, ἐπιδείκνυσιν ὁ Ἱπποκράτης. οὐ μὴν ὅτι γε μηδὲν ᾖ τῶν τεττάρων στοιχείων εἰλικρινὲς ἐν τῷ σώματι. τὴν ἀρχὴν γὰρ οὐδὲ λέγουσιν οἱ τῆς δόξης ταύτης ἡγεμόνες τοῦτο, ἓν δέ τι παρὰ τὰ τέτταρα, τὸ ἐξ αὐτῶν συγκείμενον ἀποφαίνονται, ὥς γε τὴν τετραφάρμακον δύναμιν οὔτε κηρὸν, οὔτε πίτταν, [6] οὔτε στέαρ, ἀλλά τι παρὰ ταῦτα ἓν ἄλλο, ὃ ἐξ ἁπάντων κραθέντων γίγονεν. οὔσης δὲ πάλιν καὶ αὐτῆς τῆς δόξης διττῆς, ἔνιοι μὲν γὰρ τὰς τέτταρας ποιότητας μόνας κεράννυσθαι δι᾿ ὅλων ἀλλήλαις, ἔνιοι δὲ τὰς οὐσίας ἀπεφήναντο, Περιπατητικοὶ μὲν τῆς προτέρας δόξης προστάντες, Στωϊκοὶ δὲ τῆς δευτέρας, ἔτι τε τούτων ἔμπροσθεν Ἐμπεδοκλῆς ἐξ ἀμεταβλήτων τῶν τεττάρων στοιχείων ἡγεῖτο γίγνεσθαι τὴν τῶν συνθέτων σωμάτων φύσιν, οὕτως ἀναμεμιγμένων ἀλλήλοις τῶν πρώτων, ὡς εἴ τις λειώσας ἀκριβῶς καὶ χνοώδη ποιήσας ἰὸν καὶ χαλκῖτιν καὶ καδμίαν καὶ μίσυ μίξειεν, ὡς μηδὲν ἐξ αὐτῶν δύνασθαι μεταχειρίσασθαι χωρὶς ἑτέρου.

---

quod ullum ſit ex quatuor elementis ſincerum in corpore. Neutiquam enim id dicunt principium opinionis hujus principes, unum vero aliquod praeter quatuor, quod ex ipſis compoſitum enuncient; ſicut tetrapharmacum facultate, neque ceram, neque picem, neque reſinam, neque adipem: ſed unum quoddam aliud praeter haec, quod ex omnibus contemperatis provenerit. Porro quum haec rurſus opinio duplex ſit, (nonnulli enim quatuor qualitates ſolas per totas invicem contemperari, nonnulli vero ſubſtantias pronunciarunt) Peripatetici ſane prioris opinionis autores, ſecundae vero Stoici habentur. Praeterea ante hos Empedocles corporum compoſitorum naturam ex immutabilibus quatuor elementis generari arbitratur, ita primis illis inter ſe commixtis, ut ſi quis laevigata exacte et in pulverem redacta aeruginem, chalcitidem, cadmiam, miſy ita miscuerit, ut nullum ipſorum ſine altero poſſit in manus aſſumi.

γ'.

Τῶν δὲ ἰητρῶν οἱ μέν τινες λέγουσιν ὡς ὁ ἄνθρωπος αἷμα μοῦνόν ἐστιν, οἱ δὲ αὐτέων χολήν φασιν εἶναι τὸν ἄνθρωπον, ἔνιοι δέ τινες φλέγμα.

Ἀντειπὼν ἐν τῷ πρὸ τούτου λόγῳ τοῖς φιλοσόφοις, οἳ ἢ πῦρ μόνον, ἢ ὕδωρ, ἢ γῆν, ἢ ἀέρα τὴν φύσιν εἶναι νομίζουσι τοῦ σώματος ἡμῶν, καὶ ἐπὶ τοὺς ἰατροὺς μετέβη κατὰ τὴν προκειμένην ῥῆσιν, ἐπιδεικνὺς καὶ τούτους ὁμοίως ἁμαρτάνειν ἐκείνοις, ὅσοι νομίζουσιν ἢ αἷμα μόνον εἶναι τὸν ἄνθρωπον, ἢ χολὴν, ἢ φλέγμα. προφανῶς οὖν ἤδη διώρισται τὸ κατὰ τὴν πρώτην ἁπασῶν ῥῆσιν ἀμφίβολον εἶναι δόξαν, οὐ τούτοις τὰ τέτταρα στοιχεῖα τιθεμένοις, ἀλλὰ τοῖς ἕν τι μόνον ἐξ αὐτῶν ἀντιλέγων ἀεὶ φαίνεται. παραλείπεται δ' ἐνταῦθα δόξα τις ἰατρῶν, ἀναλόγως ἔχουσα τῇ τοῦ Μελίσσου, τῶν λεγόντων ἓν εἶναι τὸν ἄνθρωπον, ὃ μεταβάλλον, ἕκαστον τῶν εἰρημένων γίγνεται.

III.

At e medicis nonnulli hominem sanguinem solum esse dicunt; ex ipsis bilem hominem esse asserunt; quidam denique pituitam.

Quum superiori oratione adversus philosophos egisset, qui aut ignem solum, aut aquam, aut aërem, aut naturam terram corporis nostri esse censent, etiam ad medicos digressus est, ex proposita verborum serie ostendens similiter illis etiam hos aberrare, qui arbitrantur hominem aut solum esse sanguinem, aut bilem, aut pituitam. Manifesto igitur jam distinctum est, quod in prima omnium oratione ambiguum esse videatur, non iis, qui quatuor elementa ponunt, sed illis qui unum aliquod solum ex ipsis, contradicere semper apparet. Caeterum relinquitur hic opinio quaedam medicorum, absurditate Melissi placito respondens: eorum scilicet, qui dicunt hominem esse unum, quod dum mutatur, unumquodque eorum quae dicta sunt efficitur.

δ.

Ἐπίλογον δὲ ποιέονται καὶ αὐτοὶ πάντες τὸν αὐτόν· ἓν γάρ τι εἶναί φασιν, ὅ τι ἕκαστος ἠθέλησεν ὀνομάσαι αὐτέων, καὶ τοῦτο ἓν ἐὸν μεταλλάσ- [102] σειν τὴν ἰδέην καὶ τὴν δύναμιν, ἀναγκαζόμενον ὑπό τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ γίνεσθαι καὶ γλυκὺ καὶ πικρὸν καὶ λευκὸν καὶ μέλαν καὶ παντοῖόν τι ἄλλο· ἐμοὶ δὲ οὐδὲ ταῦτα δοκέει οὕτως ἔχειν. οἱ μὲν οὖν πλεῖστοι τοιαῦτά τινα καὶ ἔτι ἐγγύτατα τουτέων ἀποφαίνονται.

Καὶ τοὺς ἰατροὺς φησιν ὅσοι χυμὸν ἕνα μόνον ἔφασαν εἶναι κατὰ φύσιν, ἐπίλογον ποιεῖσθαι τὸν αὐτὸν ἀλλήλοις τε καὶ τοῖς φιλοσόφοις, ἐπιδεικνύντας τὸν ἕνα τοῦτον χυμὸν, ὃν ἂν ἕκαστος αὐτῶν ὑποτίθεται, μεταβάλλειν εἰς τοὺς ἄλλους. ἃ δὲ κατασκευάζων ἕκαστος τὴν ἑαυτοῦ δόξαν ἔλαβεν, οὐδένα τῶν τεττάρων χυμῶν ἀποδείκνυσιν εἶναι κατὰ φύσιν, ἕτερον δὲ ἀντ' αὐτῶν τινα πρότερον, ἐξ οὗ μεταβάλλοντος οὗτοι γίγνονται. δόγματός τινος τοιοῦδε μὴ δυνα-

IV.

Atque hi omnes epilogum eundem faciunt. Unum enim esse quid affirmant, quodcunque eorum quisque appellare voluerit; atque id unum existens transmutare formam et facultatem, quum a calido et frigido cogitur, fierique et dulce et amarum et album et nigrum et cujuscumque generis quid aliud. Mihi vero neque haec sic se habere videntur. Plurimi igitur talia quaedam et amplius his proxima pronunciant.

Medicos etiam ait, qui humorem unum solum secundum naturam esse affirmarunt, idem inter se quod philosophos concludere, indicantes unum hunc humorem, quemcumque singuli illi statuunt, mutari in alios. Quae vero astruens suam quisque opinionem assumpsit, nullum ex quatuor humoribus secundum naturam esse declarant, sed loco ipsorum alium quendam priorem, ex cujus mutatione hi fiant: dogmatis ejusmodi sunt, quod in medica specu-

μένου συστῆναι κατὰ τὴν ἰατρικὴν θεωρίαν, ἀνάλογον τῇ τοῦ Μελίσσου κατὰ τὴν φυσικήν. ἐν οἷς γοῦν φασι τὸ ἓν τοῦτο μεταβάλλειν ἀναγκαζόμενον ὑπὸ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ γίγνεσθαι γλυκὺ καὶ πικρὸν καὶ λευκὸν καὶ μέλαν, οὐδὲν ἐκ τούτων τῶν τεσσάρων εἰπεῖν ἐοίκασιν ἐκεῖνοι, πρὸς οὓς ἀντιλέγων, οὐ τὸ κατὰ φύσιν εἶναι φάσκει, ἀλλ' ἕτερόν τι μεταβάλλον εἰς ταῦτα. γλυκὺ μὲν γὰρ τὸ αἷμα, πικρὰν δὲ τὴν ξανθὴν χολὴν καὶ λευκὸν μὲν τὸ φλέγμα. μέλαν δὲ τὴν μέλαιναν εὐλόγως εἰρῆσθαι νῦν, εἰς ἃ τὸ ἓν ἐκεῖνο μεταβάλλειν φησὶν, ἀναγκαζόμενον ὑπὸ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. τὸ δὲ ἐπὶ τῇ τελευτῇ τοῦ λόγου προσκείμενον τὸ καὶ παντοῖον τοὺς ἐν ταῖς χαλεπαῖς οὔσαις νόσοις γιγνομένους ἰχῶρας ἐνδείκνυται. φαίνεται οὖν καὶ ἰώδης καὶ φαιὰ χολὴ, καλοῦσι δ' αὐτὴν ἰσατώδη καί τις ἐρυθρὰ καὶ πρασοειδής. ἄλλαι τέ τινες ἀνώνυμοι καὶ μάλισθ' ὅταν ᾖ σηπεδονῶδες τὸ νόσημα.

ε'.

Ἐγὼ δέ φημι, εἰ ἓν ἦν ὁ ἄνθρωπος, οὐδέποτ' ἂν ἤλγεεν.

latione nequit consistere, quemadmodum neque Melissi sententia in physica. In quibus igitur dicunt unum hoc mutari, si a calido et frigido cogatur, fierique dulce, amarum, nigrum et album, nullum ex his quatuor dicere illi videntur: quibus contradicens profert id non secundum naturam esse, sed aliud quippiam quod in haec mutatur. Dulcem enim sanguinem; amaram vero flavam bilem; albam pituitam: nigram vero atram bilem, merito dicta esse, in quae unum illud transmutari inquit, si a calido et frigido cogatur. Quod autem ad finem orationis adjectum est *καὶ παντοῖον*, cujuscumque generis sanies in difficilibus morbis oborientes indicat. Apparet enim et aeruginosa et fusca bilis, hanc et glasteam vocant et quaedam rubra et prasma; aliaeque nonnullae nominis indigae, praesertim ubi morbus fuerit putridus.

V.

Ego autem dico, si unum esset homo, neutiquam doleret.

Ed. Chart. III. [102.] Galen. V. (6.)

οὐδὲ γὰρ ἂν ἦν ὑφ᾽ ὅτου ἀλγήσειεν ἓν ἐόν. εἰ δ᾽ οὖν καὶ ἀλγήσειεν, ἀνάγκη καὶ τὸ ἰώμενον ἓν εἶναι.

Ἔμπροσθεν μὲν αὐτοὺς τοὺς λόγους διέβαλλεν, οὓς ἔλεγον οἱ ἓν εἶναι τὸν ἄνθρωπον ὑπολαβόντες, ἀποδείξας οὐ μόνον ἀναποδείκτους, ἀλλὰ καὶ ἀπιθάνους. τὰ νῦν δὲ τὴν δόξαν αὐτῶν ἀνατρέπει τῶν ἓν οἰομένων εἶναι τὸν ἄνθρωπον. ἔστι δὲ οὐ ταὐτὸ, ἢ λόγον προτεινόμενον ἐλέγχειν, ἢ δόξαν ὡς οὐκ ἀληθῆ διαβάλλειν. ἐνδέχεται γὰρ ἀληθῆ μὲν εἶναι τὴν δόξαν, οὐκ ὀρθῶς δὲ ὑπό τινων συνηγορεῖσθαι καὶ διὰ τοῦτο μὴ τῆς δόξης μὲν τὸν ἔλεγχον, ἀλλὰ τῶν συνηγορησάντων αὐτῇ γεγονέναι. νῦν οὖν ἐάσας τοὺς λόγους αὐτῶν, ἐλέγχει τὴν δόξαν αὐτὴν μόνην ἀφ᾽ ἑαυτῆς, οὐ μόνον ἰσχυροτάτῳ χρησάμενος, ἀλλὰ καὶ βραχυτάτῳ λόγῳ. εἴπερ γὰρ ἓν ἦν ὁ ἄνθρωπος, οὐκ ἂν ἤλγεεν. ὅντινα λόγον ἔφην ἐξελέγχειν καὶ τοὺς ἄτομα καὶ ἄναρμα καὶ ἐλάχιστα στοιχεῖα τιθεμένους. ἓν γὰρ τῷ εἴδει καὶ κατὰ τούτους

Neque enim esset, quum unum existat, a quo doleret. Quod si etiam doleat, necesse est et remedium quod medetur unum esse.

Superius quidem rationes ipsas reprehendebat, quas qui hominem unum esse arbitrantur, adducunt; indicans non solum demonstrationis expertes, sed etiam improbabiles esse. In praesentia vero opinionem illorum subvertit, qui hominem unum esse autumant. At idem non est, aut rationem productam coarguere, aut opinionem ut non veram criminari. Quippe fieri potest, ut vera sit opinio, non recte autem a quibusdam sit defensa, eoque non opinio, sed hi qui ipsam tuentur coarguendi sunt. Nunc igitur relictis eorum rationibus, opinionem ipsam solam coarguit, oratione per se non solum validissima, sed brevissima quoque usus. Si enim homo unum esset, non doleret: quam sententiam coarguere dixi etiam eos qui elementa individua, incompactilia et minima statuunt. Unum

ἐστὶ τὸ ὄντως ὄν. οὕτω δὲ ὠνόμασται τὸ πρῶτον σῶμα τὸ ἀγέννητόν τε καὶ ἄφθαρτον, [103] ἐπειδὴ τἄλλα πάντα τὴν γένεσιν ἐκ τῆς ἐκείνου συνθέσεως λαμβάνει. γενήσεται γὰρ ἡ ἐκ τούτων δόξα, τὴν γένεσιν ἡμῶν ἐν ποίᾳ συνθέσει τῶν ἀϊδίων ἐκείνων σωμάτων τιθεμένη. καθάπερ ἡ Ἱπποκράτους ἐν τῇ κράσει τῶν τεσσάρων στοιχείων, ἣν Ἀριστοτέλης τε καὶ οἱ Στωϊκοὶ προσήκαντο. ὅτι δὲ εἴπερ ἓν ἦν ἁπλοῦν στοιχεῖον, οὐκ ἂν ἤλγει τὸ συγκείμενον ἐκ τοῦ τοιούτου στοιχείου σῶμα, τεκμήριον εἶναί φησι τὸ μηδὲν ἕτερον ὑπάρχειν δεύτερον, εἰς αὐτὸ δρᾶσαι δυνάμενον. οὐ γὰρ δὴ αὐτό γε ὑφ' ἑαυτοῦ πάσχειν ἐγχωρεῖ τὸ ἓν ἐκεῖνο σῶμα. πρὸς τῷ καὶ εἰ συγχωρήσειέ τις ἀλγεῖν αὐτὸ, πάσχον ἐξ ἑαυτοῦ, τὴν ἴασιν ἁπλῆν ἔσεσθαι. οὐκ ὄντων γὰρ πολλῶν παρ' αὐτῷ πολλοὺς τρόπους ἰάσεως ἀδύνατον γενέσθαι.

στʹ.

Νυνὶ δὲ πολλὰ, πολλὰ γάρ ἐστιν ἐν τῷ σώματι ἐνεόντα, ἃ

namque ſpecie etiam his auctoribus eſt id, quod revera eſt. Si autem nominatum eſt primum corpus generationis et corruptionis expers: quandoquidem alia omnia ex illius compoſitione generationem capiunt. Naſcetur enim ex his opinio, generationem noſtram in certa aeternorum illorum corporum compoſitione conſtituens: quemadmodum Hippocratis placitum in quatuor elementorum temperatura, quod Ariſtoteles et Stoici admiſerunt. Quod autem ſi unum ſimplex elementum eſſet, non doleret corpus ex hujusmodi elemento conſtructum, indicium eſſe (ait) nullum aliud exiſtere ſecundum, quod in ipſum poſſit ágere. Non enim jam fieri poteſt, ut unum illud corpus a ſeipſo patiatur. At ſi etiam aliquis dolere ipſum conceſſerit, ex ſe patiens, remedium ſimplex erit. Quum enim multa in eo non ſint, multos curandi modos eſſe non licet.

VI.

Nunc vero multa. Nam multa ſunt in corpore exiſten-

ὁκόταν ὑπ' ἀλλήλων παρὰ φύσιν θερμαίνηταί τε καὶ ψύχηται, ξηραίνηταί τε καὶ ὑγραίνηται, νόσους τίκτει, ὥστε πολλαὶ μὲν ἰδέαι τῶν νοσημάτων, πολλὴ δὲ ἴησις αὐτέων ἐστί.

Ἐν μὲν τῇ πρὸ ταύτης ῥήσει τοὺς ἕν τι λέγοντας εἶναι τὸν ἄνθρωπον, ὅπερ ἐστὶ ταὐτὸ τῷ φάναι τὸ συνθετικὸν αὐτοῦ στοιχεῖον ἓν εἶναι, διήλεγξεν ἐκ τῶν ἀκολουθούντων ἀτόπων τῇ δόξῃ. οὐ γὰρ ἠλγήσαμέν ποτε, μηδενὸς ὄντος δευτέρου τοῦ διαθεῖναι τὸ ἓν ἐκεῖνο δυναμένου. εἶτ' εἰ καὶ τοῦτο συγχωρήσαιμεν, ἡ ἴασις ἂν γένοιτο μονοειδής, οὐ πο- (7) λυειδής. ἐν δὲ ταύτῃ τῇ νῦν ἡμῖν προκειμένῃ ῥήσει διῆλθεν ὅσα μέλλει δείξειν ὄντα πρώτως, ὑφ' ὧν τἄλλα πάντα γίγνεται. ταῦτα δέ ἐστι θερμὸν καὶ ψυχρὸν ξηρόν τε καὶ ὑγρὸν, ἃ ὅταν μὲν ἀλλήλοις κραθῇ συμμέτρως, ὑγιαίνει τὸ ζῶον. ὅταν δ' ἄλληλα θερμαίνῃ καὶ ψύχῃ καὶ ξηραίνῃ καὶ ὑγραίνῃ, τὰς ὀδύνας γεννᾷν πέφυκεν, οὐχ ἑνὶ τρόπῳ θεραπείας ἰωμένας. ἔνιαι μὲν γὰρ

tia, quae quum ab invicem praeter naturam et calefiunt et refrigerantur et exiccantur et humectantur, morbos pariunt: quare multae ſunt morborum ſpecies, et multiplex quoque eorum curatio exiſtit.

Superiore oratione eos qui hominem unum eſſe dicunt (quod eſt idem, ac ſi dicas, compoſitorium ipſius elementum unum eſſe) ex abſurditatibus quae opinionem conſequuntur, coarguit. Non enim doleremus unquam, ſi nullum omnino alterum eſſet, quod unum illud poſſet afficere: deinde etiam ſi hoc donaverimus, curatio una eſſet ſpecie, non multiplex; praeſenti vero ſententia nobis expoſuit ea, quae oſtenſurus eſt primario eſſe, a quibus alia omnia procreantur. Haec autem ſunt calidum, frigidum, ſiccum et humidum: quae quum invicem moderate fuerint contemperata, animal ſanum eſt. Quum autem ſe mutuo calefaciunt, refrigerant, exiccant et humectant, dolores generare ſolent, non uno curationis modo conſa-

αὐτῶν θερμαινομένων τῶν ὀδυνωμένων μορίων, ἔνιαι δὲ ψυχομένων, ἢ ξηραινομένων ἢ ὑγραινομένων παύονται. δέδεικται δὲ περὶ τούτων ἐπὶ πλεῖστον ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, κἀν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασι. χεῖρον δ' οὐδὲν εἰπεῖν τι καὶ νῦν βραχὺ, πρόδηλον ἔχον τὴν ἔνδειξιν τοῦ διὰ τὸ θερμόν τε καὶ ψυχρὸν, ὑγρόν τε καὶ ξηρὸν ἀλγεῖν τε ἡμᾶς καὶ θεραπεύεσθαι. τίς γὰρ οὐκ οἶδε τὴν γιγνομένην ὀδύνην, ὅταν ἐν χειμῶνι τίς ἰσχυρῷ προελθεῖν ἔξω τῆς οἰκίας ἐπιχειρήσῃ; τί δ' ὅταν ἐν καύματι σφοδρῷ; τίς οὐκ ὀδυνᾶται διψῶν; ἢ τίς πληρωθεὶς ποτοῦ; τοῦ μὲν διψεῖν ξηραινομένων ἡμῶν γιγνομένου, τοῦ δ' ὑπερεμπεπλῆσθαι τὴν ἐναντίαν διάθεσιν ἐργαζομένου. καὶ αἱ φλεγμοναὶ δὲ καὶ πάντες οἱ ὀδυνηροὶ καὶ παρὰ φύσιν ὄγκοι ποτὲ μὲν ὑπὸ περιττῆς ὑγρότητος εἰς τὸ μόριον ἐπιῤῥυείσης γίγνονται, ποτὲ δὲ τῷ τοὺς χυμοὺς ἤτοι θερμοὺς παρὰ φύσιν, ἢ ψυχροὺς εἶναι. καὶ μέντοι καὶ αἱ ἰάσεις τῶν μὲν ὑγρότητος υπερπληρωθέντων σωμάτων διὰ κενώσεως γίγνονται, τῶν δὲ παρὰ φύσιν

nescentes. Nonnulli siquidem ipsorum, si quae partes dolent, incalescant, nonnulli si refrigerentur aut siccentur aut humectentur, desinunt. Traditum de his susissime est in libris de simplicium medicamentorum facultatibus et methodi medendi: quanquam nihil mali sit, etiam nunc paululum aliquid dicere, quum manifestam habeam indicationem, nos a calido, humido, frigido et sicco dolere et curari. Quis enim non novit dolorem oboriri, quum in hieme vehementi quis foras progredi tentaverit? quis quum in aestu vehementi? quis non dolet sitiens? aut quis potu repletus? quum sitis quidem fiat nobis siccescentibus: repletio autem nimia contrarium affectum efficiat. Et inflammationes omnesque tumores praeter naturam dolorifici fiunt, interdum a superfluo humore in partem confluente, interdum quod humores aut calidi praeter naturam aut frigidi existant. Quin etiam curationes corporum quidem nimio humore repletorum evacuatione peraguntur; eorum vero quae praeter naturam exiccantur,

ξηραινομένων δι᾽ ὑγρῶν προσφορᾶς, ὥσπερ καὶ τῷ μὲν διὰ κρύους ὀδυνωμένῳ [104] θερμανθέντι, τῷ δὲ διὰ θάλπους ἀμέτρου ψυχθέντι. δέδεικται δὲ καὶ τὰ φάρμακα πάντα διὰ τοῦ θερμαίνειν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν ἐνεργοῦντα. πρῶται γὰρ αὗται αἱ ποιότητές εἰσι δραστικαί τε καὶ ἀλλοιωτικαὶ τῶν σωμάτων, ὡς ἐπεδείξαμεν ἐν τῷ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων. ἕπονται δὲ αὐταῖς αἵ τε κατὰ γεῦσιν ποιότητες, ὧν ὀνόματα στύψις καὶ αὐστηρότης καὶ στρυφνότης καὶ πικρότης, ἁλυκότης τε καὶ δριμύτης, ὀξύτης τε καὶ γλυκύτης καὶ λιπαρότης· αἵ τε κατὰ χροιὰν, ἐν λευκότητι καὶ μελανότητι καὶ ἐρυθρότητι καὶ ταῖς ὁμογενέσιν· αἵ τε κατὰ τὴν ἁφὴν, ἐν σκληρότητι καὶ μαλακότητι καὶ κραυρότητι καὶ γλισχρότητι. ταῖς γευσταῖς δ᾽ ἰσάριθμοί πως εἰσι καὶ αἱ κατὰ τὴν ὄσφρησιν, ἀλλ᾽ οὐκ ἔστιν αὐτῶν τὰ ὀνόματα κατ᾽ εἶδος. ἡ γὰρ κατ᾽ εὐωδίαν τε καὶ δυσωδίαν διαφορὰ τῶν ὀσμῶν, αὐτὸ δὴ τοῦτο διαφορὰ προσηκόντως ἂν νομίζοιτο καὶ λέγοιτο πολλοῖς εἴδεσιν ἑπομένη. τὰ μὲν δὴ κεφάλαια τοῦ λόγου ταῦτα. δέδεικται

humidorum adhibitione; ut etiam qui ex perfrictione dolet, fi calefiat; qui ex immoderato calore, fi refrigeretur. Oftenfum vero a me eft, etiam medicamenta omnia calefaciendo aut refrigerando aut ficcando aut humectando agere. Nam primariae hae qualitates funt et effectrices et alteratrices corporum, ut in primo de Elementis fecundum Hippocratem explicavimus. Has autem fequuntur qualitates quae ad guftum fpectant, quarum nomina funt, aftrictio, aufteritas, acerbitas, amaror, falfedo, acrimonia, acor, dulcedo et pinguedo. Item coloris qualitates verfantur in albedine, nigredine, rubore et confimilibus. Quae funt tactus, in duritie, mollitie, friabilitate et lentore. Guftatoriis autem pares numero funt et olfactoriae, quae tactum afficiunt, fed non habent fpeciei nomina. Nam odorum in fragrantia et foetore differentia: hoc ipfum differentia convenienter putari queat, dicique multas fpecies confequi. Haec fane orationis capita funt; quaedam

δὲ τινὰ μὲν αὐτῶν ἐν τῷ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων, τινὰ δὲ ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ. οἱ πολλοὶ δὲ τὰς μὲν ἀποδείξεις ὀκνοῦσι μανθάνειν, ἀντιλέγουσι δὲ οἷς οὐκ ἴσασιν ἑτοίμως, οὐ τοὐναντίον οἱ φιλομαθεῖς τε καὶ ἀληθείας ἐρασταὶ πράττουσι, φιλοπόνως ἐκμανθάνοντες τὰς ἀποδείξεις, ὀκνηρῶς δὲ ἀντιλέγοντες.

ζ.

Ἀξιῶ δ' ἔγωγε τὸν φάσκοντα αἷμα μοῦνον εἶναι τὸν ἄνθρωπον καὶ ἄλλο μηδὲν δεικνύναι αὐτὸν μὴ μεταλλάσσοντα τὴν ἰδέην, μηδὲ γίγνεσθαι παντοῖον. ἀλλ' ἢ ὥρην τινὰ τοῦ ἐνιαυτοῦ, ἢ τῆς ἡλικίης τῆς τοῦ ἀνθρώπου, ἐν ᾗ αἷμα ἐνεὸν φαίνεται μοῦνον ἐν τῷ ἀνθρώπῳ, εἰκὸς γάρ ἐστιν εἶναι μίαν γέ τινα ὥρην, ἐν ᾗ φαίνεται αὐτὸ ἐφ' ἑωυτῷ ἓν ἐόν. καὶ αὐτὰ δὲ λέγω καὶ περὶ τοῦ φάσκοντος φλέγμα εἶναι τὸν ἄνθρωπον καὶ περὶ τοῦ χολὴν φάσκοντος.

ipforum in libro de Elementis ex Hippocratis fententia comprehenfa funt; quaedam in opere de fimplicium medicamentorum facultatibus. Multi autem demonftrationes addifcere negligunt. Iis autem quae ignorant prompte adverfantur; e contrario ftudiofi et veritatis amatores faciunt, qui demonftrationes diligenter edifcunt, tarde autem ac inviti contradicunt.

VII.

Ego vero cenfeo, qui hominem fanguinem folum nihilque aliud effe afferit, ei monftrandum effe, ipfum neque ideam transmutare, neque univerfae mutationi fieri obnoxium, vel faltem tempeftatem anni aliquam, vel hominis aetatem, in qua fanguis folus in homine ineffe appareat. Confentaneum namque eft unam quandam effe tempeftatem, in qua ipfum per fe unum exiftere appareat, eademque affero tum de eo qui pituitam effe hominem loquitur; tum de eo qui bilem afleverat.

ἔτι καὶ νῦν ἀντιλέγει πρὸς τοὺς ἓν εἶναι φάσκοντας τὸν ἄνθρωπον, ὅπερ ἐξ ἀρχῆς ἔφην αὐτῷ προκεῖσθαι. καὶ πρώτους δὲ ἐλέγχει τοὺς αἷμα φάσκοντας αὐτὸν εἶναι. μάλιστα μὲν γὰρ ἐχρῆν, φησὶ, τοὺς ὑγιαίνοντας ἀνθρώπους αἷμα μόνον ἔχειν ἐν τῷ σώματι, χωρὶς χολῶν τε καὶ φλέγματος, εἴπερ ἡ φύσις αἷμα μόνον ἐστὶν ἐν τῷ σώματι. ἔπειτα δὲ εἰ καὶ συγχωρηθείη πότ' ἐπικτᾶσθαι χολὴν καὶ φλέγμα καὶ ἡλικίαν μίαν τινὰ, ἢ ὥραν τοῦ ἔτους εὑρίσκεσθαι, καθ' ἣν αἷμα μόνον ἐστὶν ἐν τῷ σώματι χωρὶς τῶν ἄλλων χυμῶν. ὡσαύτως δὲ ἐλέγχων καὶ τοὺς ἤτοι χολὴν ἢ φλέγμα φάσκοντας εἶναι τὸν ἄνθρωπον, ὅπερ ἐστὶ τὸ κατὰ φύσιν εἶναι αὐτὸ μόνον, ἡγουμένους δὲ ἐν τούτῳ καὶ τὴν πρώτην γένεσιν ἐκ τούτου τοῦ χυμοῦ γεγονέναι.

η'.

[105] *Ἐγὼ μὲν γὰρ ἀποδείξω, ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι καὶ κατὰ τὸν νόμον καὶ κατὰ τὴν φύσιν, ἀεὶ ταῦτα ἐόντα ὁμοίως καὶ νέου ἐόντος καὶ γέροντος καὶ τῆς ὥρης ψυ-*

Nunc quoque adhuc contra illos agit, qui hominem unum esse tuentur, quod per initia ipsum proposuisse dixi: ac primum reprehendit eos, qui sanguinem ipsum esse ferunt. Maxime enim conveniebat, inquit, sanos homines sanguinem citra utramque bilem et pituitam in corpore obtinere, si natura est sanguis solus in corpore. Deinde vero etiam si admittatur, bilem aliquando et pituitam colligi, aetatem sane unam aliquam aut anni tempus inveniri, quo sanguis solus sine aliis humoribus in corpore esset. Pari modo coarguit eos quoque, qui hominem esse pronuntiant aut bilem aut pituitam, hoc est ex natura id solum esse: putant in hoc et ex hoc humore primam generationem provenisse.

VIII.

Enimvero quaecumque ego hominem esse dixero, ea et lege et natura, tum in juvene, tum in sene, ac tempore tum frigido quam calido semper similia inesse de-

χρῆς ἰούσης, καὶ θερμῆς καὶ τεκμήρια παρέξω καὶ ἀνάγκας ἀποφανῶ, δι' ἃς ἂν ἕκαστον αὔξηταί τε καὶ φθίνῃ ἐν τῷ σώματι.

Δείξειν ἐπαγγέλλεται διὰ παντὸς μὲν ἐν τῷ σώματι περιεχόμενα τὰ πρὸς αὐτοῦ τιθέμενα στοιχεῖα, κατὰ τὰς ἡλικίας καὶ τὰς ὥρας αὔξησίν τε καὶ φθίσιν, ὅπερ ἐστὶ μείωσιν ἴσχοντα. κατὰ τὸν νόμον μὲν οὖν ἐστι τὸ πρὸς τῶν ἀνθρώπων νομιζόμενόν τε καὶ δοξαζόμενον, οὕτως εἰωθότων ὀνομάζειν τῶν παλαιῶν. κατὰ φύσιν δὲ τὸ κατ' αὐτὴν τῶν πραγμάτων τὴν ἀλήθειαν.

θ'.

Πρῶτον μὲν οὖν ἀνάγκη τὴν γένεσιν αἰτίου γίνεσθαι μὴ ἀφ' ἑνός. πῶς γὰρ ἕν γε ἐόν τι γεννήσειεν ἄλλο, εἰ μή τινι μιχθείη;

Ὁ μὲν οὖν Ἱπποκράτης ἀεὶ τοῖς ἐναργῶς φαινομένοις

monſtrabo, indicia etiam proferens et cauſas neceſſarias oſtendam, per quas unumquodque in corpore augeatur minuaturque.

Oſtenſurum ſe pollicetur elementa quae ab ipſo ſtatuuntur, perpetuo in corpore contineri et ſecundum aetates annique tempeſtates habere tum incrementum, tum contabeſcentiam, quod eſt imminutionem. Secundum legem quidem eſt, quod homines exiſtimant et opinantur, quum veteres ita nominare conſueverint: ſecundum naturam autem, id quod ſecundum rerum veritatem eſt.

IX.

Primum itaque generationem non uno fieri neceſſe eſt. Quomodo enim unum exiſtens aliquid aliud generarit, niſi alicui miſceatur.

Hippocrates igitur ſemper ea quae manifeſto apparent

ἀκολουθεῖ· διὰ τοῦτο καὶ νῦν ἔφη μηδὲν ἀφ' ἑνὸς γεννᾶσθαι χωρὶς τοῦ δεηθῆναί τινος ἔξωθεν ἑτέρου καὶ τούτου συμμέτρως ἔχοντος τῆς πρὸς αὐτὸ κράσεως. ἔνιοι δὲ τῶν φυσικῶν ὀνομασθέντων φιλοσόφων οὐκ οἶδ' ὅπως ἐτόλμησαν ἀποφήνασθαι δόξαν ἀλλόκοτον, ἅπασαν ἀνατρέπουσαν τὴν φυσικὴν θεωρίαν. ὁ ἓν γὰρ εἶναι τὸ πᾶν εἰπὼν ἀναιρεῖ τῷ λόγῳ γένεσιν ἅπασαν. εἴπερ γὰρ ἓν τὸ γενόμενον οὐκ ἦν ἔμπροσθεν, ὥσπερ οὐδὲ ἔσεται μικρὸν ὕστερον. οὔτε γὰρ ὁ Θαλῆς οὔθ' ὁ Μέλισσος οὔθ' ὁ Ἡράκλειτος ἔμπροσθεν ἦσαν, ἢ νῦν εἰσιν. ἆρ' οὖν ἀληθῶς ἄν τις εἴποι μὴ γεγονέναι τούτους τοὺς ἄνδρας, ἢ ἐγένοντο μὲν καὶ ἔζησαν ἔτεσιν οὐκ ὀλί- (8) γοις ἕκαστος, οὐκ ἦσαν δὲ καθ' ὃν ἔζων χρόνον, ἢ τὸ μὲν εἶναι κατ' ἐκεῖνον τὸν χρόνον αὐτοὺς συγχωρήσομεν, ὄντας δὲ οὐκ εἶναι φήσομεν ἡνίκ' ἦσαν; καὶ μὴν εἴπερ ὄντας τις αὐτοὺς ὁμολογήσει, ὁμολογήσει καὶ γεγονέναι. πῶς δὲ πλάτανος καὶ λίθος καὶ λέων οὐκ ἦσαν πάλαι γένεσιν ἔχοντα καὶ φθοράν; εἴπερ δέ ἐστι γένεσις τοῦ πρότερον οὐκ ὄντος, ἀναγκαῖον αὐτὴν ἔκ τινος

ſequitur: eoque nunc dicit, nihil ab uno generari, niſi aliud quidpiam extrinſecus admiſceatur, idque commoderatum ipſi temperamentum ſortiatur. Nonnulli autem philoſophi, naturales appellati, haud ſcio quomodo opinionem abſurdam pronuntiare ſunt auſi, quae omnem naturalem ſpeculationem evertat. Nam qui univerſum dicit eſſe unum, tollit oratione univerſam generationem. Si enim unum exiſtit id quod natum eſt, non erat prius, ſicut neque erit paulo poſt. Neque enim Thales, neque Meliſſus, neque Heraclitus prius erant aut nunc ſunt. Aut igitur vere aliquis dixerit hos viros non fuiſſe? an fuerunt quidem et annis non paucis ſinguli vixerunt, non erant autem quo tempore vivebant? An quod eſſent ipſi illo tempore concedemus? eos autem qui erant non eſſe dicemus, quum eſſent? Atqui ſi eſſe quis ipſos fateatur, fuiſſe quoque fatebitur. Quomodo autem platanus, lapis et leo non erant olim, generationem habentia et interitum? Si autem eſt generatio ejus quod prius non erat,

ὑποκειμένης οὐσίας γενέσθαι. ταύτην δ' ὁρῶμεν οὐ δυναμένην αὐτὴν καθ' αὑτὴν μόνην ὁτιοῦν γεννῆσαι. τὰ γοῦν τῶν φυτῶν σπέρματα καὶ ὑγρότητος καὶ θερμασίας συμμέτρου τῆς ἔξωθεν δεῖται πρὸς τὸ γεννῆσαί τι. μόνον γὰρ εἴπερ ἐπεφύκει γεννᾷν τὸ σπέρμα, μηδενὸς ἄλλου προσδεόμενον ἔξωθεν, οὐκ ἂν διέμεινεν οὐδὲ ἐν ἐλαχίστῳ χρόνῳ χωρὶς τοῦ γεννᾷν, ἀλλ' εὐθὺς ἂν ἐφύετο. φαίνεται δὲ διαμένοντα πολλάκις οὐ μῆνας μόνον, ἀλλὰ καὶ ἐνιαυτοὺς οὐκ ὀλίγα τῶν σπερμάτων· οὐ γὰρ ἐξ ἑαυτῶν μόνον ἔχει τὸ γεννᾷν, ἀλλὰ δεῖταί τινος ἔξωθεν ἐπικουρίας καὶ ταύτης [106] οὐ κατὰ θίξιν ἁπλῆν γιγνομένης, ἀλλὰ κατά τινα τοῦ ψαύοντος δύναμιν, εἴσω διαδιδομένην εἰς ὅλον τὸ ψαυόμενον. εἴ γε δι' ὅλου φαίνεται τὴν ἀλλοίωσιν ἴσχον ἐν ταῖς γενέσεσι τὸ σπέρμα, κατά τε τὰ δένδρα καὶ τὰς πόας καὶ τὰ ὅλα φυτὰ, πολὺ δὴ μᾶλλον ἐπὶ τῶν ζώων ἐναργῶς φαίνεται, μήτ' ἐξ ἄῤῥενος μόνου μήτ' ἐκ θήλεως ἄνευ τοῦ μιχθῆναι δυνάμενόν τι γενέσθαι.

---

necessarium est ipsam ex substantia quadam subjecta provenisse. Hanc autem videmus non posse ipsam per se solam quicquam generare. Nam stirpium semina humore et calore commoderato externo ad aliquid generandum indigent. Quod si semen solum suapte natura generare posset, nullius alterius externi auxilium requirens haud differret vel brevissimo tempore generationem, sed statim germinaret. Verum saepe non mensem solum, sed etiam annos haud pauca semina perdurare videas. Non enim ex se tantum generandi facultatem habent, sed externum quoddam praesidium postulant, idque non ex simplici contactu emanans, sed ex aliqua rei contingentis facultate, quae intro in totum quod tangitur distribuatur. Si jam semen inter generandum alterationem per totum subire videtur, in arboribus, herbis et cunctis stirpibus, multo magis in animalibus evidenter apparet, neque ex masculo solo, neque ex femina sine mixtione aliquid posse procreari.

ι'.

Ἔπειτα οὐδ' ἂν μὴ ὁμόφυλα ἐόντα μίσγηται καὶ τὴν αὐτὴν ἔχοντα δύναμιν, γεννᾷ, οὐδ' ἂν τὰ αὐτὰ ἡμῖν ξυντελέοιτο.

Οὐ μόνον ἐξ ἑνὸς ἀδύνατον εἶναι γεννηθῆναί τί φασιν, ἀλλ' οὐδ' ἐκ δυοῖν, εἰ μὴ ὁμόφυλα ἐόντα μίγνοιτο, τουτέστιν οἰκειότητα τῆς οὐσίας ἔχοντα. φαίνεται δὲ καὶ ταῦτα σαφῶς ἐπὶ τῇ τῶν ἑτερογενῶν ζώων γενέσει γιγνόμενα καθάπερ ἐπὶ ἵππων ἔχει καὶ ὄνων ἀλωπέκων τε καὶ κυνῶν. ἐκ γὰρ τῆς τούτων ἐπιμιξίας γεννᾶται τὸ ζῶον, οἷον μικτὸν ἐξ ἀμφοῖν. ὅσα δ' ἐπὶ πολὺ διεστῶσαν ἀλλήλων ἔχει τὴν φύσιν, οὐδ' ἂν μιχθῇ, ποτὲ δύναται γεννῆσαί τι. τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως προσκείμενον, οὐδ' ἂν τὰ αὐτὰ ἡμῖν ξυντελέοιντο, παρέρχονται μὲν ὡς σαφὲς οἱ ἐξηγησάμενοι τὸ βιβλίον, ἀσαφὲς δέ ἐστιν, ἢ μὴ καλῶς ἡρμηνευμένον ὑπὸ τοῦ γράψαντος, ἢ διὰ τοὺς μεταγραψαμένους ἡμαρτημένον. ὃ δ' οὖν μοι δοκεῖ βούλεσθαι δηλοῦν,

X.

Deinde quae miſcentur niſi ejusdem ſint generis, eandemque facultatem habeant, neque generant, neque unquam ad generationem *conferunt.*

Non ſolum ex uno generari aliquid non poſſe dicit, ſed ne ex duobus quidem, niſi ejusdem generis ſint quae miſcentur, hoc eſt familiaritatem ſubſtantiae habentia: at ea manifeſto apparent fieri in diverſi generis animalium generatione, quemadmodum in equis habet et aſinis, vulpibus et canibus: nam ex horum mixtione generatur animal veluti ex duobus mixtum. Quae autem naturam habent multum inter ſe differentem, neque ſi miſceantur, unquam generare aliquid poſſunt. Porro quod ad orationis finem adjectum eſt [neque ſimilia nobis efficiantur] libri interpretes ceu manifeſtum praetereunt. Obſcurum autem eſt, aut non probe a ſcriptore interpretatum aut a tranſcriptoribus vitiatum. Quod autem mihi

ἔστι τοιώνδε. κἂν μὴ ὁμοειδὲς ᾖ τὸ μιγνύμενον ζῶον ἕτερον ἑτέρῳ, κοινωνίαν δή τινα τῆς φύσεώς φησιν εἶναι. οὐ γὰρ ἂν τὰ αὐτὰ ἡμῖν συντελέοιντο, τοῦτ' ἔστιν, οὐκ ἂν γένεσις ἐκ τῆς συνόδου γένοιτο, ζώου τοῖς γεννήσασιν ὁμοίου. τάχα δὲ καὶ ἡ ῥῆσις |οὐχ οὕτως εἶχεν, οὐδ' ἂν τὰ αὐτὰ ἡμῖν συντελέοιτο.

ια'.

Καὶ πάλιν εἰ μὴ τὸ θερμὸν τῷ ψυχρῷ καὶ τὸ ξηρὸν τῷ ὑγρῷ μετρίως πρὸς ἄλληλα ἕξει καὶ ἴσως, ἀλλὰ θάτερον θατέρου πολὺ προέξει καὶ τῷ ἰσχυρότερον τοῦ ἀσθενεστέρου, ἡ γένεσις οὐκ ἂν γένοιτο.

Ἔμπροσθεν μὲν ἔφη μὴ δύνασθαι γόνιμον γένεσιν ἀποτελεσθῆναι μηδὲν, εἰ μὴ ὁμόφυλα εἴη τὰ συνιόντα. καὶ αὐτῶν δὲ τῶν ὁμοφύλων ἡ σύνοδος οὐκ ἐξ ἀνάγκης γεννᾷ. λέλεκται δὲ ἐν τοῖς ἀφορισμοῖς ὁ λόγος οὗτος αὐτῷ τέλειος ἔνθα φησίν· Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχου-

videtur velle innuere, id eſt, etſi non ſimile ſpecie ſit animal alterum, quod alteri miſcetur, communionem certe quandam naturae eſſe dicit. Non enim ſimilia nobis effici poterunt, hoc eſt non generatio ex congreſſu fieri poteſt animalis, iis quae procrearunt ipſum ſimilis. Forſan etiam oratio non ſic habebat, neque ſimilia nobis efficientur.

XI.

Praeterea niſi calidum cum frigido et ſiccum cum humidom oderate et aequabiliter inter ſe habeant, ſed alterum alteri et robuſtius imbecilliori multum praepolleat, nulla generatio futura eſt.

Antea quidem dixit non poſſe prolificam abſolvi generationem ullius, niſi quae coëunt ejusdem ſint generis; non tamen eorum quae generis ſunt ejusdem coitus neceſſario generat. Porro hanc orationem in aphorismis integre protulit, ubi inquit, *quaecunque frigidos denſos-*

σιν, οὐ κυΐσκονται. καὶ ὁκόσαι καθύγρους ἔχουσι τὰς μήτρας, οὐ κυΐσκονται. ἀποσβέννυται γὰρ ὁ γόνος. καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαέας, ἐνδείῃ γὰρ τῆς τροφῆς φθείρεται τὸ σπέρμα. ὁκόσαι δ' ἐξ ἀμφοτέρων τῇ κράσει ἔχουσι συμμέτρως, αἱ τοιαῦται ἐπίτεκνοι γίγνονται. ἐν τούτῳ τῷ λόγῳ διδάσκει μὲν καὶ διά τινας αἰτίας ἄγονοι γίγνονται γυναῖκες. ἐνδείκνυ- [107] ται δὲ καὶ τὸ τούτῳ συνεπόμενον, ὑπὲρ οὗ καὶ ἡμεῖς ἐτέρωθι καὶ ἄλλοι πολλοὶ πρὸ ἡμῶν ἔγραψαν. ἐδήλωσε δὲ καὶ Πλάτων, οὐ σμικρὰν τέχνην εἰπὼν εἶναι, καθ' ἣν ἐπίσταταί τις ζευγνύναι τοὺς ὁμόλογον κρᾶσιν ἔχοντας εἰς γένεσιν ἄνδρας τε καὶ γυναῖκας. ἃ γὰρ ἐπὶ τῶν κράσεων τῆς μήτρας εἶπε, ταῦτα καὶ περὶ τῆς τοῦ σπέρματος κράσεως ἐννοῆσαι χρή. καὶ γὰρ καὶ τοῦτο ποτὲ μὲν ὑγρότερόν ἐστι τοῦ δέοντος, ἢ ψυχρότερον. ἔστι δ' ὅτε ξηρότερον, ἢ διακαέστερον. οἰκεῖον δέ ἐστι τῇ μὲν ξηροτέρᾳ μήτρᾳ τὸ ὑγρότερον σπέρμα, τῇ δὲ ὑγροτέρᾳ τὸ ξηρότερον, ὥσπερ γε καὶ τῇ μὲν θερμοτέρᾳ τὸ ψυχρότερον, τῇ δὲ ψυχροτέρᾳ τὸ θερμότερον. ὑπὲρ ὧν

que habent uteros, non concipiunt, et quaecunque praehumidos uteros obtinent, non concipiunt, nam in his genitura extinguitur. Ad haec quae ſiccos magis et ardentes; nam alimenti inopia ſemen corrumpitur. Quae vero moderatum ex utrisque temperamentum habent, foecundae fiunt. His verbis docet quas ob cauſas mulieres infoecundae fiant. Indicat autem id etiam, quod hoc conſequitur, de quo et nos alibi et alii plerique ante nos ſcripſerunt. Innuit et Plato, quum diceret *non exiguam eſſe artem, qua quis novit et viros et mulieres conſentaneum habentes generationi temperamentum conjungere.* Quae enim de uteri temperamentis dixit, eadem etiam de ſeminis temperamento intelligere oportet: ſiquidem et id interdum humidius eſt quam conveniat, aut frigidius; aliquando ſiccius aut ardentius. Familiare autem eſt ſicciori utero humidius ſemen; humidiori ſiccius, quemadmodum et calidiori frigidius; frigidiori autem calidius.

ἐπὶ πλέον ἔν γε τῷ περὶ τεκνολογίας λόγῳ διερχόμεθα· νυνὶ δ᾽ ἀρκεῖ γιγνώσκειν ὅτι μήτε δυνατόν ἐστιν ἐξ ἑνός τι γίγνεσθαι, μήθ᾽ ὅταν ἐκ δυοῖν, ἢ καὶ πλειόνων συνιόντων γίνηται, χωρὶς οἰκειότητος τῆς πρὸς ἄλληλα καὶ συμμετρίας τινὸς κράσεως, τῆς ἐκ τῶν συνιόντων ἀποτελουμένης, οἷόν τέ ἐστι γεννηθῆναι τοῦτο.

ιβ΄.

Ὥστε πῶς εἰκὸς ἀφ᾽ ἑνός τι γεννηθῆναι, ὅπου γε οὐδὲ ἀπὸ τῶν πλειόνων γεννᾶται, ἢν μὴ τύχῃ καλῶς ἔχοντα τῆς κρήσιος τῆς πρὸς ἄλληλα.

Τὰ μὲν ἄλλα τῆς ῥήσεως ἐκ τῶν προειρημένων ἐστὶ δῆλα. μεμνῆσθαι δὲ χρὴ τοῦ κατ᾽ αὐτὴν ὀνόματος εἰρημένου τοῦ τῆς κράσεως, ὅπερ διὰ τοῦ κρήσιος εἶπεν. ὅτι πρῶτος ὧν ἴσμεν Ἱπποκράτης ἀπεφήνατο κεράννυσθαι τὰ στοιχεῖα, καθάπερ καὶ μικρὸν ἔμπροσθεν ἐδείχθη. καὶ ταύτῃ διήνεγκεν Ἐμπεδοκλέους. κᾀκεῖνος γὰρ ἐκ μὲν τῶν αὐτῶν

De quibus uberius in libro de ratione procreandi liberos pertractamus. Nunc satis est scire, quod neque aliquid potest ex uno gigni, neque ex duobus aut etiam pluribus coëuntibus, nisi familiaritas mutua sit et commoderatio quaedam temperamenti, quae ex coëuntibus perficitur, id generari potest.

XII.

Quocirca quomodo rationi consentaneum fuerit, ab uno aliquid generari, quum ne a pluribus quidem generetur, nisi probam inter se temperiem habere contigerit.

Reliqua hujus sententiae ex praedictis sunt conspicua. Meminisse autem oportet nominis in ea dicti κράσεως, temperamenti, quod Ionice κρήσιος protulit, quoniam primus quorum memoria ad nos pervenit Hippocrates elementa κεράννυσθαι id est contemperari docuit, quemadmodum et paulo ante ostensum est. Atque hac ratione

στοιχείων, ὧν καὶ Ἱπποκράτης γεγονέναι φησὶν ἡμᾶς γε καὶ τὰ ἄλλα σώματα πάντα τὰ περὶ τὴν γῆν, οὐ μὴν κεκραμένων γε δι' ἀλλήλων, ἀλλὰ κατὰ μικρὰ μόρια παρακειμένων τε καὶ ψαυόντων. ὅτι δὲ καὶ ἥδε ἡ δόξα τοὺς αὐτοὺς ἐλέγχους ἔχει ταῖς ἐξ ἀναισθήτων καὶ ἀπαθῶν τῶν πρώτων σωμάτων τὸ αἰσθητικὸν σῶμα γεννώσαις δόξαις, ἐπιδέδεικται διὰ τοῦ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ὑπομνήματος, ἔνθα καὶ πασῶν σχεδὸν τῶν φυσικῶν δοξῶν ἐμνημονευσάμην, ὅσαι περὶ τῶν πρώτων ἀρχῶν, ἢ στοιχείων γεγόνασιν.

ιγ'.

Ἀνάγκη τοίνυν τῆς φύσιος τοιαύτης ὑπαρχούσης καὶ τῶν ἄλλων ἁπάντων καὶ τῆς τοῦ ἀνθρώπου, μὴ ἓν εἶναι τὸν ἄνθρωπον, ἀλλ' ἕκαστον τῶν ξυμβαλλομένων εἰς τὴν γένεσιν, ἔχειν τινὰ δύναμιν ἐν τῷ σώματι, οἵηνπερ ξυνεβάλετο.

differt ab Empedocle; is etenim ex eisdem elementis, quibus et Hippocrates nos aliaque omnia corpora, quae circa terram sunt, constare dicit, non tamen invicem contemperatis, sed per exiguas partes commissis et se contingentibus. Quod vero et haec opinio simili modo coarguitur, quo illae opiniones quae sensile corpus ex insensilibus impatibilibusque primis corporibus generant, in commentario de elementis ex Hippocratis sententia ostensum est, ubi etiam omnium fere physicarum opinionum mentionem fecimus, quae de primis principiis aut elementis extiterunt.

XIII.

Quum itaque ejusmodi sit natura cum reliquorum omnium, tum hominis, non unum esse hominem necesse est; sed unumquodque eorum quae ad generationem conferunt, talem in corpore facultatem qualem contulit obtinere.

(9) *Προειρηκὼς ὁ Ἱπποκράτης, εἰ μὴ τὸ θερμὸν τῷ ψυχρῷ καὶ τὸ ξηρὸν τῷ ὑγρῷ μετρίως κραθείη, τὰς γενέσεις τῶν γεν-* [108] *νητῶν δηλονότι σωμάτων ἀδύνατον εἶναι γενέσθαι· νῦν δὴ σαφῶς οὐκ ἀνθρώπου μόνον, ἀλλὰ καὶ πάντων ὅσα γένεσιν ἔχει καὶ φθορὰν σωμάτων ἐκ τῶν αὐτῶν εἶναι τὴν γένεσίν φησιν. ἐκ θερμοῦ γὰρ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ πάντα γέγονε καὶ διὰ τοῦτο κοινὰ πάντων εἶναι ταῦτα στοιχεῖα. τὰ δὲ ἴδια τῆς τοῦ ἀνθρώπου φύσεως, αἷμα καὶ φλέγμα καὶ χολὴ ξανθή τε καὶ μέλαινα. καίτοι γ᾽ οὐδὲ ταῦτα ἴδια καλῶς ἂν λέγοιτο, κοινὰ γάρ ἐστιν ἁπάντων τῶν ἐναίμων ζώων. εὔδηλον δ᾽ ὅτι καὶ τούτων ἕκαστα ἐκ τῶν πρώτων τεττάρων γέγονεν, ἅπερ ἀπὸ τῶν ποιοτήτων ὀνομάζοντες, ὑγρὸν καὶ ξηρὸν καὶ ψυχρὸν καὶ θερμὸν λέγομεν. ἴδια δὲ τῆς οὐσίας αὐτῶν ἐστιν ὀνόματα πῦρ, ἢ ὕδωρ, ἢ ἀὴρ, ἢ γῆ. πρόδηλον γὰρ ὅτι τὰ στοιχεῖα κατὰ τὰς ἁπλᾶς καὶ ἀμίκτους ποιότητας καλεῖται, θερμότητος μὲν ἄκρας ὑπαρχούσης ἐν πυρὶ, καθάπερ γε καὶ ὑγρότητος ἐν ἀέρι, ψυχρότητος δὲ ἐν ὕδατι, ξηρό-*

Praefatus Hippocrates nisi calidum frigido et sic cum humido moderate contemperatum sit, corporum videlicet generabilium generationis haud posse fieri: nunc sane manifesto non hominis tantum, sed omnium etiam quae generationem corruptionemque corporis subeunt, ex ipsis generationem esse pronuntiat. Nam ex calido, frigido, sicco et humido omnia creata sunt, eoque communia omnium esse haec elementa. Propria autem hominis naturae sanguinem, pituitam, bilem flavam et nigram. Quamquam ne haec quidem propria recte dixeris; ut quae omnium sanguine praeditorum animantium sint communia. Constat autem et horum singula ex primis creata esse quatuor *elementis*, quae a qualitatibus nominantes humidum, siccum, frigidum et calidum dicimus. Propria vero substantiae ipsorum nomina sunt, ignis, aqua, aër, terra. Apertum siquidem est elementa secundum simplices, nec mixtas qualitates nuncupari: quum calor summus igni insit, quemadmodum et humor aëri, frigus aquae, siccitas

τητος δὲ ἄκρας, ἅμα πιλήσει τε καὶ ψύξει κατὰ τὴν γῆν. πῶς οὖν οἴονταί τινες ὑγρὸν μὲν καὶ ξηρὸν καὶ ψυχρὸν καὶ θερμὸν Ἱπποκράτει τίθεσθαι τὰ στοιχεῖα; φαίνεσθαι γὰρ ἐν ἀνθρώπῳ ταῦτα, πῦρ δὲ καὶ ὕδωρ, ἀέρα τε καὶ γῆν μὴ προσίεσθαι, διότι μηδὲ φαίνεταί τι τούτων ἐν ἀνθρώπου σώματι. μὴ παρακολουθοῦντες μὴν, ὅτι τὰ φαινόμενα περὶ τὸ σῶμα μέν ἐστι τὰ φαινόμενα, καθάπερ τὸ σῶμα, θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρά. τίς αὖ ταῦτα τολμήσειε φάναι κοινὰ στοιχεῖα πάντων εἶναι σωμάτων; οὐδεὶς δήπου τῶν καὶ βραδυτάτων, εἰρηκότος τοῦ Ἱπποκράτους, ἀνάγκη τοίνυν τῆς φύσιος τοιαύτης ἐούσης καὶ τῶν ἄλλων ἁπάντων καὶ τῆς τοῦ ἀνθρώπου, μὴ τὰ βλεπόμενα κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρὰ, λέγειν αὐτὸν οἴεσθαι νῦν, ἀλλὰ τὰ τέτταρα στοιχεῖα. ταῦτα γὰρ ἄκρας ἔχει καὶ ἀμίκτους ποιότητας, ἐξ ὧν ἀλλήλαις κεραννυμένων τὰ μεταξὺ σώματα πάντα γίγνεται, κατ' ἐπικράτειαν οὐ κυρίως ὀνομαζόμενα θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρά. ὡς εἴ γε ταῦτα τὰ ἤδη κε-

ſumma una cum denſitate et frigore terrae. Quomodo igitur nonnulli arbitrantur, Hippocratem humidum quidem, ſiccum, frigidum et calidum elementa ſtatuere (haec enim in homine apparere) ignem vero, aquam, aërem et terram non admittere? eo quod neque horum aliquod in humano corpore conſpiciatur? haud tamen aſſequentes intellectu, ea quae in corpore apparent, ut calida, frigida, ſicca, humida, eſſe apparentia et viſibilia corporis elementa. Quae quis audebit elementa omnium corporum eſſe communia pronunciare? Nemo profecto, etiam ſtupidiſſimus, quum Hippocrates dixit: *Neceſſe igitur eſt, quum talis et aliorum omnium et hominis natura ſit*, non arbitrandum eſt nunc ipſum dicere ea quae in corpore humano videntur, calida, frigida, ſicca et humida; ſed quatuor elementa, quae ſummas et expertes mixtionis qualitates obtinent, ex quibus invicem contemperatis omnia quae in medio ſunt corpora gignuntur, per exuperantiam non proprie appellata calida, frigida, ſicca et humida.

κραμένα στοιχεῖα θησόμεθα, τὰ τὰς ἄκρας ἔχοντα ποιότητας, οὐκ οἶδ᾽ ὅ τι φήσομεν εἶναι. καὶ κατὰ τὴν ἐχομένην δὲ ῥῆσιν ἐναργέστερον ἔτι τὴν ἑαυτοῦ γνώμην ἐνδείκνυται. πρὸς ἣν ἤδη μεταβῶμεν.

ιδ'.

Καὶ πάλιν γε ἀνάγκη ἀποχωρέειν εἰς τὴν ἑαυτοῦ φύσιν ἕκαστον, τελευτῶντος τοῦ σώματος τοῦ ἀνθρώπου, τό τε ὑγρὸν πρὸς τὸ ὑγρὸν καὶ τὸ ξηρὸν πρὸς τὸ ξηρὸν καὶ τὸ θερμὸν πρὸς τὸ θερμὸν καὶ τὸ ψυχρὸν πρὸς τὸ ψυχρόν.

Ἀποχωρεῖν φησὶ διακρινόμενον ἐν τῇ τελευτῇ τοῦ ἀνθρώπου, πρὸς τὴν ἑαυτοῦ φύσιν, ἕκαστον τῶν προειρημένων στοιχείων, ἃ θερμὸν ἐκάλει καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρὸν, οὐδέπω λέγων τὸ αἷμα, πρὸς τὸ κατὰ τὸν κόσμον αἷμα· καὶ τὸ φλέγμα πρὸς τὸ φλέγμα. καὶ τὴν χολὴν πρὸς τὴν χολήν. καὶ τὴν ἀρτηρίαν πρὸς τὴν ἀρτηρίαν· καὶ τὴν σάρκα πρὸς τὴν σάρκα· καὶ τὴν φλέβα πρὸς

Nam ſi haec jam contemperata elementa ſtatuamus, ea quae ſummas habent qualitates haud novi quid eſſe dicemus. Jam proxima oratione clarius adhuc ſuam ipſius ſententiam explicat, ad quam modo digrediamur.

XIV.

Rurſus etiam neceſſe eſt, intereunte hominis corpore unumquodque ad ſuam ſecedere naturam, humidum ad humidum, ſiccum ad ſiccum, calidum ad calidum et frigidum ad frigidum.

Quum in hominis obitu unumquodque praedictorum elementorum dirimitur, ad ſuam naturam ſecedere commemorat, quae calidum, frigidum, ſiccum et humidum vocabat: non ſanguinem dicens ad mundi ſanguinem, pituitam ad pituitam, bilem ad bilem, arteriam ad arteriam, carnem ad carnem, venam ad venam, nervum ad ner-

τὴν φλέβα· καὶ τὸ νεῦρον ἀπιέναι πρὸς τὸ νεῦρον· ἀλλὰ τὸ καθ᾽ ἕκαστον τούτων θερμόν τε καὶ ψυχρὸν, [109] ὑγρόν τε καὶ ξηρὸν εἰς τὰ κοινὰ πάντων ἀπέρχεσθαι στοιχεῖα. σύγκειται γὰρ δή που καὶ τὸ νεῦρον ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ τῶν στοιχείων δηλονότι. οὐ γὰρ δὴ ἐξ ἄλλου γε νεύρου, καθάπερ οὐδ᾽ ἡ φλὲψ ἐξ ἄλλης φλεβός. ὅτι μηδ᾽ ἐπινοηθῆναι δύναται κεραννύμενα δι᾽ ὅλων ἀλλήλων ταῦτα, σὰρξ καὶ φλὲψ καὶ ὀστοῦν καὶ ἀρτηρία καὶ τὰ ἄλλα μόρια. βούλεται δ᾽ αὐτὸς κεκρᾶσθαι δι᾽ ὅλων ἀλλήλοις τὸ θερμὸν καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρὸν, εἴ τι μεμνήμεθα τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων. ὥστε οὐ τὰ σαφῶς βλεπόμενα κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρὰ μόρια στοιχεῖα τῆς τοῦ ἀνθρώπου φύσεώς ἐστιν, ἀλλὰ τὰ τούτων αὐτῶν συνθετικά τε καὶ γεννητικά. ταῦτα δέ ἐστιν ὕδωρ τε καὶ πῦρ, ἀήρ τε καὶ γῆ. ἀποδέδεικται γὰρ περὶ τούτων ἱκανῶς ἐν τῷ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων.

---

vum abire: ſed ſingulorum horum calidum et frigidum, humidum et ſiccum ad communia omnium elementa diſcedere. Nervus enim nimirum ex calido, frigido, ſicco et humido elementis ſcilicet compoſitus eſt: quippe non ex alio nervo, ſicut nec vena ex alia vena, quoniam ne cogitari quidem poſſunt per tota invicem contemperata eſſe haec: caro, vena, os, arteria et aliae partes. Vult autem ipſe, ſi paulo ante dictorum meminimus, per tota invicem calidum, frigidum, ſiccum et humidum eſſe contemperata. Quare non hae quae palam in corpore humano videntur calidae, frigidae, ſiccae et humidae particulae, hominis naturae elementa ſunt; ſed illa quae has ipſas compoſuerunt generaruntque. Haec autem ſunt aqua, ignis, aër et terra; de quibus abunde in opere de elementis ſecundum Hippocratis ſententiam diſſeruimus.

ιε'.

Τοιαύτη δὲ καὶ τῶν ζώων ἐστὶν ἡ φύσις καὶ τῶν ἄλλων ἁπάντων.

Τοιαύτη, φησὶν, οὐ μόνον ἡ τοῦ ἀνθρώπου φύσις ἐστὶν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, ἐκ θερμοῦ δηλονότι καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ κεκραμένη τῶν ἁπλῶν καὶ ἄκρων. τὰ γὰρ ἐν τῷ μεταξὺ πάντα τὴν κρᾶσιν ἐκ τούτων ἔσχηκεν. ἀδιανόητον οὖν γίγνεται τὸ λέγειν ἐν τῷ μεταξὺ τὴν κρᾶσιν γίγνεσθαι τῶν ἐν τῷ μεταξύ. τοῦτο δ' οὐκ αἰσθάνονται λέγοντες οἱ ἐκ τῶν κατὰ τὸ σῶμα βλεπομένων ὑγρῶν καὶ ξηρῶν, θερμῶν τε καὶ ψυχρῶν, τὴν φύσιν ἡμῶν συγκεῖσθαι φάσκοντες. ἔτι δὲ ἀδιανοητότερον, εἰ καὶ τῶν ἄλλων ἁπάντων ζώων τε καὶ φυτῶν ἐκ τούτων λέγομεν εἶναι τὴν φύσιν. Ἱπποκράτης μὲν γὰρ εἴρηκε φανερῶς ἐν τῇ ῥήσει καὶ τῶν ἄλλων ἁπάντων τὴν τοιαύτην εἶναι φύσιν. οἱ δ' οὐκ οἶδ' ὅ τι φήσουσιν. ὅταν γοῦν εἰς τὴν γῆν ἐκβληθέντος σπέρματος συκῆς, εἰ τύχῃ, γένηται μέγιστον δένδρον,

XV.

Talis autem tum animantium, tum caeterorum omnium est natura.

Hujusmodi, inquit, non modo hominis, sed etiam aliorum omnium natura est, ex calido nimirum, frigido, sicco et humido, simplicibus et summis contemperata. Nam quae in medio consistunt, omnia temperamentum ex his obtinuerunt. Igitur ab intellectu alienum est dicere, eorum quae in medio habentur temperamentum ex iis quae in medio sunt fieri. Hoc autem non percipiunt se dicere, qui ex iis quae in corpore conspiciuntur, humidis, siccis, calidis et frigidis naturam nostram constare tuentur. Adhuc absurdius est, si et aliorum omnium animantium stirpiumque naturam ex his conflari dicamus. Hippocrates enim clare dixit in oratione proposita et aliorum omnium talem esse naturam. Illi vero haud scio quid dicent, quum fici semine in terram dejecto, verbi gratia, maxima

ἀδιανόητόν ἐστι λέγειν, οὐκ ἐκ γῆς καὶ ὕδατος, ἀλλ' ἑτέρωθεν αὐτῇ τὴν τοσαύτην οὐσίαν ὑπάρξαι. καὶ μὴν ἡ γῆ κατὰ τὸν ἑαυτῆς λόγον ἄκρως ἐστὶ ψυχρὰ, θερμότητα δ' ἔχει πολλὴν ἡ συκῆ δι' ἣν ζῇ, καὶ διὰ τοῦτο κἂν τοῖς ἰσχυροῖς χειμῶσι καταψυχομένη οὐ νεκροῦται. δῆλον οὖν ὅτι μὴ μόνον ἐξ ὕδατος καὶ γῆς συνέστηκε τὸ σῶμα τῆς συκῆς, ἀλλὰ καὶ τῆς πυρώδους φύσεως μετείληφεν. εὔδηλον δ' ὅτι καὶ τῆς ἀερώδους, εἴ γε σαφῶς ἐστι τὸ ξύλον αὐτῆς οὐ μόνον τῆς γῆς, ἀλλὰ καὶ τοῦ ὕδατος κουφότερον. ἐκ τῶν τεσσάρων οὖν ἐστι καὶ ἡ συκῆ. καὶ εἴπερ αὐτὴ καὶ τὸ σῦκον, οὕτω δὲ καὶ οἱ καρποὶ πάντες. εἰσὶ δὲ οἱ πυροὶ καὶ αἱ κριθαὶ καὶ οἱ κύαμοι καὶ τὰ ἄλλα δημήτρια σπέρματα τῶν καρπῶν μόρια. καὶ αὐτὰ τοίνυν ἐκ τῶν τεσσάρων συνεστήκασι, γῆς, πυρὸς, ὕδατός τε καὶ ἀέρος. ἐπεὶ δὲ ἐκ τῆς τῶν καρπῶν τε καὶ φυτῶν ἐδωδῆς οἱ μὲν ἡμῖν γίγνονται χυμοὶ, καὶ οὗτοι δηλονότι τὴν πρώτην ἀρχὴν τῆς γενέσεως ἕξουσιν, ὕδωρ καὶ γῆν, ἀέρα τε καὶ πῦρ. ἀλλ' ὅπερ ἔφην, ἀποδέδεικται καὶ ταῦτα ἐν τῷ περὶ τῶν καθ'

arbor enafcatur. Abfurdum eft dictu, non ex terra et aqua, fed aliunde talem ipfi ineffe naturam. Atqui terra fui ratione fumme eft frigida, calorem vero ficus quo vivit multum obtinet, eoque etiam fi in valida hieme perfrigeretur, non emoritur. Liquet igitur corpus fici non folum ex aqua et terra conftitutum effe, fed etiam igneae naturae particeps evafiffe. Perfpicuum autem eft et aëris partem recepiffe, fiquidem lignum ipfius palam eft non terra folum, fed et aqua levius. Ex quatuor itaque et ficus conftat et fi haec inde conftat, fructus etiam tum ipfius, tum alii omnes. Sunt autem triticum, hordeum, fabae aliaque cerealia femina fructuum particulae: atque ipfae idcirco ex quatuor confiftunt, terra, igne et aqua et aëre. Quoniam vero ex fructuum ftirpiumque efu humores qui in nobis funt generantur, et hi nimirum primam generationis originem habebunt aquam, terram, aërem et ignem. Sed ut dixi, haec etiam in commentario de ele-

Ἱπποκράτην στοιχείων, ὥστ' ἤδη μεταβαίνειν καιρὸς ἐφ' ἑτέραν ῥῆσιν.

ιστ'.

[110] *Γίνεταί τε ὁμοίως πάντα καὶ τελευτᾷ ὁμοίως πάντα.*

Οὐδὲ μαντευσάμενός τις ἔσεσθαί τινας ἀνθρώπους οἳ παρακούσουσιν αὐτοῦ, τοσαυτάκις ἂν εἴπε ταὐτὸ δόγμα, καθάπερ νῦν ὁ Ἱπποκράτης ἐποίησε, πάντα φάσκων οὐ μόνον ἄνθρωπον ὁμοίως γίγνεσθαι καὶ τελευτᾷν, ὥσπερ (10) εἴρηται, ἐκ τῶν τεττάρων δηλονότι στοιχείων, οὐ τῶν ἐν τῷ σώματι μορίων θερμῶν, ἢ ψυχρῶν, ἢ ξηρῶν, ἢ ὑγρῶν. ἀλλ' εἰσί γε οὕτω τινὲς ἀναίσθητοι λέξεως Ἑλληνικῆς, ὡς οἴεσθαι τὸ κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου θερμόν τε καὶ ψυχρὸν, ὑγρόν τε καὶ ξηρὸν αἰσθητῶς διαγιγνωσκόμενα, πάντων εἶναι τῆς γενέσεως κοινὰ στοιχεῖα.

mentis secundum Hippocratem demonstrata sunt. Quare jam ad alteram sententiam digredi tempestivum est.

XVI.

Oriunturque similiter omnia et similiter omnia occidunt.

Nullus vaticinatus fuerit, quosdam fore homines, qui ipsum toties oscitanter audituri sint, quoties idem dogma pronunciaverit, ut nunc Hippocrates fecit, [omnia] dicens non tantum hominem similiter nasci et interire, quemadmodum dictum est, ex quatuor scilicet elementis, non corporis partibus, calidis aut frigidis aut siccis aut humidis. Verum sunt nonnulli adeo imperiti graecanicae dictionis, ut putent id quod in corpore humano est calidum, frigidum, siccum et humidum, sensu dignota communia omnium generationis esse elementa.

ιζ'.

Ξυνίσταται γὰρ αἰτίων ἡ φύσις ἀπὸ τουτέων τῶν προειρημένων πάντων καὶ τελευτᾷ κατὰ τὰ εἰρημένα, ἐς τὸ ἑωϋτὸ ὅθενπερ ξυνέστη ἕκαστον. ἐνταῦθα οὖν καὶ ἀπεχώρησεν.

Ἐπιμένει τῷ δόγματι τὴν φύσιν ἁπάντων ἐκ τῶν εἰρημένων τεττάρων συνίστασθαι καὶ τελευτᾷν εἰς αὐτὰ βουλόμενος. ὅθεν γὰρ ἕκαστον τῶν ὄντων συνέστη, φησὶν, ἐνταῦθα καὶ ἀπεχώρησεν, εἰς τὰ κοινὰ δηλονότι στοιχεῖα τοῦ κόσμου, γῆν, ὕδωρ, ἀέρα τε καὶ πῦρ. ἐσχάτως οὖν ἀγνοοῦσι τὴν Ἱπποκράτους γνώμην καὶ τὸ κατὰ τὴν ἀρχὴν εἰρημένον. οὔτε γὰρ τὸ πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον οὔτε ὕδωρ οὔτε πῦρ οὔτε γῆν, ἀντὶ τοῦ μηδ' ὅλως ἀκούοντες. ἐφάνη γὰρ οὐ τὸ μηδ' ὅλως εἶναι τὰ κοινὰ πάντων στοιχεῖα κατὰ τὸ σῶμα βουλόμενος τοῦ ἀνθρώπου ὁ Ἱπποκράτης, ἀλλὰ τοὺς ἓν μόνον ἐξ αὐτῶν λέγοντας μεμφόμενος.

XVII.

Eorum enim natura ex praedictis omnibus conſtat; et ut praedicta ſunt a nobis, in id ipſum ex quo conſtat unumquodque deſinit, proindeque eo ſecedit.

Immoratur ſuo dogmati naturam omnium cenſens ex commemoratis quatuor conſtitui et in eadem finire. *Unde enim ſingula conſtituta ſunt, inquit, illuc etiam recedunt,* ad communia ſcilicet mundi elementa, terram, aquam, aërem et ignem. Prorſus igitur Hippocratis ſententiam ignorant et id quod initio dictum eſt. Neque enim *τὸ πάμπαν, in totum* hominem dixerim aërem, neque aquam, neque ignem, neque terram pro *μηδ' ὅλως, nequaquam et nulla in parte* intelligentes. Liquet enim Hippocratem non velle communia omnium elementa nequaquam in corpore humano eſſe, verum eos qui unum ſolum ex ipſis dicunt inſectari.

ιη'.

Τὸ δὲ σῶμα τοῦ ἀνθρώπου ἔχει ἐν ἑωϋτῷ αἷμα καὶ φλέγμα καὶ χολὴν διττὴν, ἤγουν ξανθήν τε καὶ μέλαιναν, καὶ ταῦτά ἐστιν αὐτέῳ ἡ φύσις τοῦ σώματος καὶ διὰ ταῦτα ἀλγέει καὶ ὑγιαίνει.

Συντελέσας τὸν περὶ τῶν κοινῶν στοιχείων λόγον, ἐπὶ τὰ τῶν ἐναίμων ζώων, ὧν ἐστι καὶ ὁ ἄνθρωπος, ἐν τῇ προκειμένῃ ῥήσει μετέβη, βουλόμενος ἐξ αἵματος καὶ φλέγματος καὶ χολῆς διττῆς, τήν τε ἐξ ἀρχῆς γένεσιν ἡμῶν γίνεσθαι καὶ τὴν ἐν ὅλῳ τῷ βίῳ διαμονὴν ἐκ τούτων ὑπάρχειν [111] καὶ ταῦτα τὴν ὅλην φύσιν εἶναι τοῦ ἀνθρώπου, τῶν μὲν χυμῶν ἐν τοῖς στερεοῖς περιεχομένων, αὐτῶν δὲ τῶν στερεῶν ἐν τῇ πρώτῃ διαπλάσει κυουμένου τοῦ ζώου, τὴν γένεσιν ἐκ τούτων ἐχόντων. ἐκ γὰρ τοῦ καταμηνίου πάντα τὰ μόρια γέγονεν, οὐκ εἰλικρινοῦς αἵματος ὄντος, ἀλλ' ἔχοντος ἐν ἑαυτῷ διττὰς χολὰς καὶ φλέγμα. δείξει γὰρ ὀλίγον ὕστερον τοῦτο· καὶ μέντοι καὶ τὸ ὑγιαί-

XVIII.

Corpus autem hominis in se sanguinem et pituitam et bilem duplicem, flavam ac nigram continet. Et haec sua ipsi natura est corporis et per haec dolet et sanum est.

Finita de communibus elementis dissertatione ad animalium sanguine praeditorum (in quorum numero est et homo) elementa in oratione proposita digressus est; decernens tum nostram ab initio generationem ex sanguine, pituita et duplici bile, flava et nigra constare, tum totius vitae permansionem, eaque tota esse naturam hominis, quum humores quidem in solidis partibus contineantur; ipsae vero solidae in prima animantis quod gestatur in utero conformatione generationem ex his sortiantur. Nam omnes partes ex menstruo sanguine factae sunt, qui non sincerus est sanguis, sed duplicem in se bilem pituitamque habet; id quod paulo post auctor ostendet. Quin

νειν ἡμῖν ἀλγεῖν τε καὶ νοσεῖν ἐκ τούτων φησὶ γίγνεσθαι, κατὰ τὸν τρόπον καθ' ὃν γίνεται ταῦτα, διὰ τῆς ἐχομένης ῥήσεως.

ιθ'.

Ὑγιαίνειν μὲν οὖν μάλιστα, ὁκόταν μετρίως ἔχῃ ταῦτα τῆς πρὸς ἄλληλα χρήσιος καὶ δυνάμιος καὶ τοῦ πλήθεος καὶ μάλιστα ἢν μεμιγμένα ᾖ.

Κατὰ πάντας ἰατροὺς τε καὶ φιλοσόφους τοὺς τελείους δογματικοὺς ἡ συμμετρία τῶν στοιχείων ὑγίειαν ἐργάζεται. διττῆς δ' οὔσης τῷ γένει τῆς ἐν ταῖς λογικαῖς αἱρέσεσι στοιχειώσεως, ἡ μὲν ἑτέρα κατὰ παράθεσίν τε καὶ περιπλοκὴν τῶν πρώτων σωμάτων τὰς γενέσεις τῶν συνθέτων γενέσθαι φησὶν, ἡ δὲ ἑτέρα κατὰ κρᾶσιν. ἡ μὲν οὖν προτέρα τὴν συμμετρίαν ἐν τῇ ποροποιΐᾳ τίθεται. ἡ δὲ ἑτέρα κατὰ τὴν εὐκρασίαν τῶν στοιχείων ἡμᾶς φησιν, ἧς δηλονότι δόξης ὁ Ἱπποκράτης ἐστὶν ἡγεμών. οὔσης δὲ διττῆς συμμε-

etiam quomodo fiat ut ex his fani fimus, doleamus et aegrotemus, proxima oratione perfequitur.

XIX.

Sanum quidem eft maxime, quum haec moderatum inter fe tum facultate tum copia temperamentum habuerint, idque praefertim fi permixta fuerint.

Omnium et medicorum et philofophorum, qui abfoluti dogmatici funt, confenfu elementorum commoderatio fanitatem efficit. Quum autem rationalis fectae prima elementorum inftitutio duplex genere fit; altera appofitione et complexu primorum corporum generationes compofitorum fieri profitetur, altera temperamento. Prior itaque fymmetriam in meatuum ftructura poropoeia ponit; fecunda ex proba elementorum temperie fanitatem conftare affirmat; cujus nimirum opinionis Hippocrates prin-

τρίας, τῆς μὲν ἐν τῇ δυνάμει τῶν κεραννυμένων, τῆς δὲ ἐν τῷ ποσῷ τῆς οὐσίας, ἑκατέρας ἐμνημόνευσεν Ἱπποκράτης εἰπὼν, τῆς τε δυνάμεως καὶ τοῦ πλήθεος. τὸ δ' ἐπὶ τέλει τῆς ῥήσεως εἰρημένον τὸ καὶ μάλιστα ἢν μεμιγμένα ᾖ, τὴν ἀκρίβειαν τῆς δι' ὅλων αὐτῶν κράσεως ἐνδείκνυται. κατὰ γὰρ τὴν τελείως ἀμεμπτοτάτην τοῦ σώματος διάθεσιν οὐ μόνον ἡ συμμετρία τῶν τεσσάρων στοιχείων, ἀλλὰ καὶ ἡ δι' ὅλων κρᾶσις ἀκριβοῦται. κατὰ δὲ τὰς φαυλοτέρας κράσεις τοῦ σώματος ἐνδέχεταί ποτε καθ' ἕν τι μόριον οὐκ ἴσως, οὐδ' ὁμοίως οὐδὲ δι' ὅλων ἀλλήλοις κεκρᾶσθαι τοὺς χυμοὺς, ἀλλ' ὅταν γε μηδέ πω σαφῶς ἐνέργεια βλάπτεται, μεμπτὴ μέν ἐστιν ἡ ὑγίεια, νόσος δὲ οὐδέ πω.

κ'.

Ἀλγέει δ' ὁκόταν τι τουτέων ἔλασσον ἢ πλεῖον εἴη ἢ χωρισθῇ ἐν τῷ σώματι καὶ μὴ κεκραμένον ᾖ τοῖς ξύμπασι.

ceps exiftit. Rurfus quum duplex fit fymmetria feu commoderatio, haec in facultate eorum quae contemperantur, illa in fubftantiae quantitate, utriusque meminit Hippocrates inquiens, *facultate et copia.* Quod ad fententiae finem dictum eft [*et praefertim fi commixta fint*] accuratam per tota ipfa contemperationem innuit. Nam in difpofitione corporis maxime inculpata non folum quatuor elementorum commoderatio, fed etiam per tota temperies mixtioque accurate abfolvitur. In deterioribus autem corporis temperamentis fieri aliquando poteft, in una aliqua parte humores non aequaliter, neque fimiliter neque per tota invicem effe temperatos; verum quum nondum functio manifefte laeditur, culpata quidem eft fanitas, nec dum tamen morbus eft.

XX.

Dolet autem ubi horum quicquam vel parcius vel copiofius fuerit aut in corpore feparatum, nec reliquis omnibus contemperatum.

Ὥσπερ ἐπὶ τῆς ὑγιείας τὴν ἀκριβῆ συμμετρίαν ἐν ποσότητι καὶ δυνάμει καὶ τῇ δι᾽ ὅλων ἔθετο κράσει, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῆς νόσου τὰ τούτων ἐναντία τίθεται, τὸ μὲν ἔλασσον, ἢ πλέον εἴς τε τὸ ποσὸν τῆς οὐσίας καὶ τὴν δύναμιν ἀναγαγὼν, τὸ δὲ μὴ κεκρᾶσθαι τοῖς πᾶσιν εἰς δυσκρασίαν ἢ ἀνωμαλίαν κράσεως, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ.

κα΄.

[112] Ἀνάγκη γὰρ ὁκόταν τι τουτέων χωρισθῇ καὶ ἐφ᾽ ἑωϋτοῦ στῇ, ἔνθεν τε ἐξέστηκεν, οὐ μόνον τοῦτο τὸ χωρίον ἐπίνοσον γίγνεσθαι, ἀλλὰ καὶ ἔνθα στῇ καὶ ἐπιχυθῇ, ὑπερεκπιμπλάμενον, ὀδύνην τε καὶ πόνον παρέχειν.

Ὅταν τῶν τεσσάρων τις χυμῶν αὐτὸς κατ᾽ ἑαυτὸν ἵστηται που κατά τι μόριον, ἀποχωρισθεὶς τῶν ἄλλων καὶ μὴ κεκραμένος ᾖ ὅλος δι᾽ ὅλων αὐτοῖς, ὀδυνᾶται τὸ ζῶον ἐν δυσκρασίᾳ γενομένων ἀμφοτέρων τῶν μορίων, ἔνθεν τε ἐξέ-

Quemadmodum in ſanitate exquiſitam commoderationem in quantitate et facultate et temperamento per tota ſtatuit, eodem modo in morbo horum contraria ponit: minus quidem aut majus ad ſubſtantiae quantitatem et facultatem reducens; non autem contemperatum eſſe omnibus ad intemperiem aut inaequalitatem temperaturae aut quomodocumque aliquis nominare velit.

XXI.

Neceſſe namque eſt quum quid horum ſecretum fuerit et per ſe conſtiterit, non ſolum eum unde ſeceſſit locum morbo affici, ſed et eum ubi conſtiterit et in quem ob exuperantiam diffuſum fuerit, dolore ac labore vexari.

Quum quatuor humorum aliquis per ſe in aliqua parte conſtiterit ab aliis ſeparatus et non ſit totus per tota ipſis contemperatus, animal dolet, dum utraque pars intemperiem experiatur, tum unde diſceſſit; tum in quam tranſiit,

στῇ καὶ εἰς ὃ μετέστη. καὶ μάλιστα τοῦτο γίνεται κατὰ τοὺς ἰσχυρὰς ἔχοντας τὰς δυνάμεις χυμούς. οὗτοι γὰρ οὐ μόνον τῷ ποσῷ βαρύνοντες τὸ μόριον, εἰς ὃ κατέσκηψαν, ἀλλὰ καὶ τῷ ποιῷ τὴν ὀδύνην ἐργάζονται, θερμαίνοντες ἢ ψύχοντες σφοδρῶς.

κβ'.

Καὶ γὰρ ὁκόταν τι τουτέων ἔξω τοῦ σώματος ἐκρυῇ πλέον τοῦ ἐπιπολάζοντος, ὀδύνην παρέχει ἡ κένωσις.

Ἀντὶ τοῦ πλεονάζοντος ἀκουστέον εἰρῆσθαι νῦν τὸ ἐπιπολάζοντος, ἢ εἴπερ μή τοῦτό τις ἀκούειν ἐθέλοι, τὸ μὴ κεκραμένον ἅπασι τοῖς ἄλλοις, ἐπιπολάζον οἰητέον εἰρῆσθαι. πιθανὸν γὰρ ἑκάτερον αὐτῶν.

κγ'.

Ἢν τ' αὖθις εἴσω ποιήσηται τὴν κένωσιν καὶ τὴν μετάστασιν καὶ τὴν ἀπόκρι-(11)σιν ἀπὸ τῶν ἄλλων, πολλὴ αὐτέῳ

potiffimumque hoc accidit in humoribus, qui validas facultates obtinent. Hi enim non folum quantitate partem in quam decubuerunt aggravantes, fed etiam qualitate dolorem excitant, dum vehementer calefaciunt aut refrigerant.

XXII.

Etenim quum quid horum plus, quam redundet, extra corpus effluat, evacuatio ipfa dolorem concitat.

Ἐπιπολάζοντος, id eft *innatante*, dictum nunc effe loco πλεονάζοντος, id eft *abundante*, intelligendum, aut fi non hoc quis velit intelligere, pro non temperatum omnibus aliis per fumma innatans, pofitum effe putabimus. Utrumque enim eft probabile.

XXIII.

At fi contra intro vacuationem et translationem ac ab aliis fecretionem fecerit, duplicem fane dolorem (ut ex

ἀνάγκη διπλῆν τὴν ὀδύνην παρέχειν κατὰ τὰ εἰρημένα, ἔνθεν τε ἐξέστη καὶ ἔνθα ὑπερέβαλεν. εἶπον δὴ ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι, ἀποφαίνειν ἀεὶ ταῦτα ἐόντα καὶ κατὰ νόμον καὶ κατὰ φύσιν.

Ὅτι προείρηται τοῦτο καὶ αὐτὸς ἐδήλωσεν εἰπὼν κατὰ τὰ εἰρημένα. τῇ λέξει γὰρ, οὐ τῇ δυνάμει τῆς νῦν εἰρημένης ῥήσεως διήνεγκεν ἡ μικρὸν ἔμπροσθεν ὑπ' αὐτοῦ γεγραμμένη, καθ' ἣν οὕτως εἶπεν. ἀνάγκη γὰρ ὅταν τι τουτέων χωρισθῇ καὶ ὑφ' ἑωϋτοῦ στῇ, ἔνθεν τε ἐξέστηκεν, οὐ μόνον τοῦτο τὸ χωρίον νοσερὸν γίγνεσθαι, ἀλλὰ καὶ ἔνθα ἂν στῇ καὶ ἐπιχυθῇ ὑπερεμπιπλάμενον, ὀδύνην τε καὶ πόνον παρέχειν. εἰπὼν δὲ ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι, ἀποφαίνειν ἀεὶ ταῦτα ἐόντα κατὰ νόμον καὶ κατὰ φύσιν. κατὰ νόμον μὲν εἶπε δηλῶσαι βουλόμενος τὴν τῶν [113] ἀνθρώπων δόξαν, ἣν ἔχουσι περὶ αὐτῶν, κατὰ φύσιν δὲ τὴν τῶν αὐτῶν πραγμάτων ἀλήθειαν. προσέχωμεν οὖν ἤδη ταῖς ἑξῆς

dictis patet) concitare necesse est, et unde secessit et ubi exuperat. Dixi sane quaecunque hominem esse affirmavero, ea me demonstraturum eadem semper esse et lege et natura.

Hoc superius esse comprehensum etiam ipse innuit, quum dicit, ut ex dictis patet, nam dictione, non potestate a nunc dicta oratione differt, quam paulo ante adduxit, ubi in hunc modum inquit: *Necesse enim est quum aliquod horum secesserit et per se constiterit, non solum locum ex quo secessit morbo affici, sed eum etiam ubi constiterit et in quem ob exuperantiam diffusum fuerit, dolore laboreque vexari.* Quum autem ait: *Quae vero hominem esse dixero, ea semper secundum legem et secundum naturam inesse monstrabo.* Secundum legem quidem dixit, volens innuere hominum opinionem, quam de ipsis habent, secundum naturam vero ipsarum rerum veritatem. Attendamus igitur jam verbis ipsius subsequentibus, ut

ῥήσεσιν, ἵνα γνῶμεν, εἰ ὅπερ ὑπέσχετο κατὰ τὰς ἀρχὰς τοῦ συγγράμματος νῦν ἀποδίδωσι.

κδʹ.

Φημὶ δὴ εἶναι αἷμα καὶ φλέγμα καὶ χολὴν ξανθήν τε καὶ μέλαιναν· καὶ τουτέων μὲν πρῶτον κατὰ νόμον τὰ ὀνόματα διωρίσθαι φημὶ καὶ οὐδενὶ αὐτέων τωὐτὸ ὄνομα εἶναι, ἔπειτα κατὰ φύσιν τὰς ἰδέας κεχωρίσθαι, καὶ οὔτε τὸ φλέγμα οὐδὲν ἐοικέναι τῷ αἵματι, οὔτε τὸ αἷμα τῇ χολῇ, οὔτε τὴν χολὴν τῷ φλέγματι. πῶς γὰρ ἂν ἐοικότα εἴη ταῦτα ἀλλήλοισιν, ὧν οὔτε τὰ χρώματα ὅμοια φαίνεται προσορώμενα, οὔτε τῇ χειρὶ ψαύοντι ὅμοια δοκέει εἶναι; οὔτε γὰρ θερμὰ ὁμοίως ἐστὶν, οὔτε ψυχρὰ, οὔτε ξηρὰ, οὔτε ὑγρά.

Καὶ σαφὴς ὁ λόγος αὐτοῦ πᾶς ἐστι καὶ ἀποδείκνυσιν ὃ προὔθετο. κατὰ μὲν γὰρ τὴν προκειμένην ταύτην ῥῆσιν ἔδειξε τέτταρας εἶναι χυμοὺς ἐν τῷ σώματι διαφέροντας

cognoſcamus, an quod initio operis pollicitus eſt nunc praeſtet.

XXIV.

Dico etiamnum ſanguinem eſſe et pituitam et bilem tum flavam tum nigram. Atque horum quidem nomina ex lege diſtincta eſſe aſſero nullique ipſorum idem eſſe nomen inditum. Deinde ſpecies natura diſtinctus eſſe nullamque pituitam ſimilem eſſe ſanguini, neque bili ſanguinem, neque bilem pituitae. Quo namque modo haec inter ſe ſimilia fuerint, quorum neque colores conſpicientibus ſimiles apparent, neque qualitates manui tangenti ſimiles eſſe videntur? Neque enim calida conſimiliter ſunt, neque frigida, neque ſicca, neque humida.

Tota ipſius oratio manifeſta eſt et quod inſtituerat demonſtrat. Nam propoſita hac ſerie quatuor eſſe humores in corpore invicem differentes docuit. In ſubſe-

ἀλλήλων· ἐν δὲ ταῖς ἐφεξῆς, ὅτι καὶ κατὰ φύσιν εἰσὶν οὗτοι πάντες, οὐχ εἷς ἐξ αὐτῶν. ἀλλ' ἐν γε τῇ προκειμένῃ ταύτῃ ῥήσει καὶ χροίᾳ καὶ συστάσει καὶ θερμότητι καὶ ψυχρότητι διαφέρειν ἀλλήλων φησὶ τοὺς χυμούς· καὶ γὰρ καὶ φαίνεται σαφῶς ταῦτα· προσκρούεται δὲ ἴσως τισὶ τὸ καὶ ξηρότητι χυμὸν χυμοῦ διαφέρειν, ἁπάντων τῶν χυμῶν ὑγρῶν ὄντων. ἀναιρείτωσαν οὖν οὗτοι τὸ μηδ' ὑγρότητι διαφέρειν αὐτοὺς, εἴπερ γ' ὑγρότερον ἕτερον ἑτέρου συγχωροῦσιν εἶναι. καὶ μέντοι καὶ φαίνεται σαφῶς τοῦτο κατὰ πάντας τοὺς χυμούς. ἥ τε γὰρ ξανθὴ χολὴ πολλάκις μὲν ἐξυγραίνεται σφοδρῶς, ἡνίκα μηδὲ ξανθὸν, ἀλλ' ὠχρὸν αὐτῆς γίγνεται τὸ χρῶμα, πολλάκις δ' ὥσπερ λέκιθος γίγνεται παχεῖα, διότι καὶ λεκιθώδης ὀνομάζεται πρός τινων· ἥ τ' αὖ μέλαινα διὰ παντός ἐστι παχυτέρα τῆς ὠχρᾶς τε καὶ ξανθῆς. οὐκ ὀλίγον δὲ οὐδὲ κατ' αὐτήν ἐστι τὸ μᾶλλόν τε καὶ ἧττον, ὥσπερ γε καὶ τὸ αἷμα. φαίνεται γὰρ τοῦτο, ποτὲ μὲν οὕτως ὑγρὸν, οἷα ῥεῖν, ποτὲ δ' ἱκανῶς παχύ. τὸ φλέγμα δὲ ἔχον τὴν αὐτὴν ἀναλογίαν ἰδεῖν ἐστι τῇ κατὰ τοὺς εἰρη-

quenti vero, quod etiam secundum naturam hi omnes existant, non unicus ex ipsis, sed in hac praesenti oratione humores ait et colore et consistentia et calore et frigore invicem differre, id quod etiam manifesto apparet. Perturbat autem fortasse quosdam, quod humor ab humore siccitate discrepet, quum omnes humores sint liquidi et humidi. Negent igitur hi, quod neque humiditate ipsi differant, siquidem alterum altero humidiorem esse concedunt, quod in omnibus pariter humoribus apparet. Etenim flava bilis vehementer humescit saepe, quum color ipsius non flavus, sed pallidus efficitur, saepe vero vitelli modo crassescit, eoque a nonnullis nominatur vitellina: atra bilis perpetuo crassior est pallida et flava, non parva minoris majorisque ratione, quemadmodum et sanguis. Nam hic interdum humidus adeo, ut fluat, interdum crassus admodum apparet. Pituitam autem commemoratis humoribus proportione respondere videas. Va-

μένους χυμούς. ὑπαλλάττεται γὰρ ἐν πάχει καὶ λεπτότητι, ποτὲ μὲν ὑδατῶδες ὄν, ἔστι δ' ὅτε παχυνόμενον, ὡς ἐοικέναι πύῳ. συμβαίνει δὲ τοῦτο τοῖς χυμοῖς, ὡς ἂν οὐκ οὖσιν ὄντως στοιχείοις, ὥσπερ ὕδωρ καὶ γῆ καὶ ἀὴρ καὶ πῦρ ἐστιν. ἕκαστος γὰρ αὐτῶν ἐκ τῶν τεττάρων τούτων γέγονεν, ἐπικρατοῦντος ἄλλου κατ' ἄλλο αὐτῶν, ὡς δὴ πολλάκις ἐμάθετε.

κέ.

Ἀνάγκη τοίνυν, ὅτε τοσοῦτον διήλλακται τήν ἰδέην τε καὶ τὴν δύναμιν ἀλλήλων, μὴ ἓν αὐτὰ εἶναι, εἴπερ μὴ πῦρ τε καὶ ὕδωρ ἓν καὶ ταυτόν ἐστιν.

[114] Ἀλλόκοτος μὲν ἡ δόξα τῶν ἡγουμένων ἓν εἶναι τὸν ἄνθρωπον, ὅμως ὁ Ἱπποκράτης ἀντιλέγων αὐτῇ φαίνεται διὰ σπουδῆς, ἴσως τινῶν κατ' αὐτὸν ὄντων ἐπιφανῶν ἀνδρῶν, οἳ ταύτην ἐπρέσβευον τὴν δόξαν. ὅπου γὰρ καὶ συγγράμματα πλεῖστα παλαιῶν ἀνδρῶν οὐκέτι σώζεται, πολὺ δὴ μᾶλλον οὐδὲ τὰς ἀγράφους δόξας εἰκός ἐστιν αὐτῶν

riat enim craſſitie et tenuitate, dum nunc eſt aquea, nunc craſſa, ut pus repraeſentet. Accidit hoc humoribus, qui non vere ſunt elementa, quemadmodum aqua, terra, aër et ignis ſunt. Singuli enim ex quatuor his generati ſunt, ita ut in alio aliud ipſorum praepolleat, quemadmodum ſubinde didiciſtis.

XXV.

Quum itaque tantopere inter ſe tum idea tum facultate differant, ea non unum eſſe neceſſe eſt, niſi ignis et aqua unum et idem ſint.

Quamvis abſurda eorum ſit opinio, qui hominem unum eſſe arbitrantur, Hippocrates tamen ſtudioſe ei contradicere videtur, forte quod aliqui illius tempore fuerint inſignes viri, qui hanc opinionem celebrarent. Quum enim plurima veterum virorum opera non amplius ſuperſint, multo veriſimilius eſt opiniones ipſorum nullis mandatas literis

διασώζεσθαι, καὶ μάλισθ' ὅτι μηδ' ἔγραψαν ἔνιοι σύγγραμμα μηδὲν, ὥσπερ Σωκράτης καὶ ὁ Πυθαγόρας καὶ τῶν καθ' ἡμᾶς ἐνδόξων ἰατρῶν Κόϊντος. ἔτι δὲ μᾶλλόν ἐστι πιστεῦσαι πολλοὺς ἄνδρας ἐπιφανεῖς γεγονέναι ζῶντας, ἀποθανόντων δ' αὐτῶν ἀπολωλέναι τὰς περὶ τῶν δογμάτων ὑπολήψεις, ὁπότε καὶ Πλάτωνος τοσαῦτα συγγράμματα γράψαντος ὅμως οἱ μαθηταὶ λέγουσιν εἶναί τινα παρὰ τὰ γεγραμμένα τῶν ἀγράφων δογμάτων αὐτοῦ. ὥσπερ δὲ τοῖς μαθηταῖς ἄγραφα δόγματα λέγουσιν εἶναι πιστεύομεν, οὕτω καὶ τῷ Ἱπποκράτει πιστεύομεν εἶναί τινας, οἳ γῆν μόνην ἔλεγον εἶναι κοινὸν ἁπάντων στοιχεῖον, ἐν ἀνθρώπῳ δὲ χολὴν, ἢ φλέγμα. καὶ γὰρ καὶ νῦν οἶδά τινας ἄλλα γράφοντας, ὧν τὰ συγγράμματα τοῖς μὲν ἤδη συναπέθανε, τοῖς δὲ συντεθνήξεται, καθάπερ καὶ τοῦ λέγοντος ἁπάντων εἶναι μητέρα καὶ τιθήνην καὶ ἀρχὴν καὶ στοιχεῖον τὴν γῆν· αὐτὴν γὰρ καὶ τὸν οὐρανὸν γεννῆσαι, καθάπερ Ἡσίοδός φησι, καὶ τὰ ζῶα τὰ κατ' αὐτήν. καὶ τῶν Ἀρχιγενείων δέ τις, ἀνὴρ οὐ φαυλότατος, ἐπέπειστο μήτ' ἐν

intercidisse, praesertim quoniam nonnulli ne ullum quidem opus conscripserunt, quemadmodum Socrates, Pythagoras et ex claris nostra tempestate medicis Quintus. Praeterea magis licet credere multos viros illustres, dum viverent, extitisse, ipsis autem fato defunctis de dogmatibus opiniones interjisse, quum et Plato tot conscripsit opera: discipuli tamen quaedam ipsius placita non memoriae prodita esse dicant praeter ea quae scripta videmus. Quemadmodum vero discipulis dogmata non prodita esse dicentibus fidem accommodamus, ita etiam Hippocrati extitisse nonnullos credimus, qui terram solam commune omnium elementum esse dicerent, in homine autem bilem aut pituitam. Etenim nunc etiam quosdam novi, qui alia scripserunt, quorum opera partim cum ipsis perierunt, partim peribunt, sicut ejus, qui terram omnium esse matrem, nutricem, principium et elementum affirmat; ipsam namque etiam coelum generasse et animantia quae in ea habentur, uti Hesiodus tuetur. Jam vero ex Archigenis sectatoribus

ταῖς εἰσπνοαῖς εἴσω τοῦ σώματος ἰέναι τὸν ἀέρα μήτ' ἐν ταῖς ἐκπνοαῖς ἔξω. καὶ ἄλλος τις ἐβούλετο τὸν πρῶτον καὶ στοιχειώδη χυμὸν εἶναι φλέγμα. μὴ τοίνυν ζητήσωμεν ὀνόματα τῶν τὰς ἀλλοκότους δόξας ταύτας πρῶτον ἀποφηναμένων. εἰ γὰρ ὅτι Θαλῆς ἀπεφήνατο στοιχεῖον μόνον εἶναι τὸ ὕδωρ ἐκ συγγράμματος αὐτοῦ δεικνύναι οὐκ ἔχομεν, ἀλλ' ὅμως ἅπασι καὶ τοῦτο πεπίστευται.

κϛʹ.

Γνοίης δ' ἂν τοῖσδε ὅτι οὐχ ἓν ταῦτα πάντα ἐστὶν, ἀλλ' ἕκαστον αὐτέων ἔχει δύναμίν τε καὶ φύσιν τὴν ἑωυτέου. ἢν γάρ τινι διδῷς ἀνθρώπῳ φάρμακον, ὅ τι φλέγμα ἄγει, ἀπεμέεταί σοι φλέγμα· καὶ ἢν διδῷς φάρμακον, ὅ τι χολὴν ἄγει, ἐμέεταί σοι χολή. κατὰ τὰ αὐτὰ δὲ καὶ χολὴν μέλαιναν καθαίρει, ἢν διδῷς φάρμακον, ὅ τι χολὴν μέλαιναν ἄγει. καὶ ἢν τρώσῃς αὐτέῳ τοῦ σώματος μέρος τι, ὥστε τραῦμα γενέσθαι, ῥυήσεται αὐτέῳ αἷμα. καὶ

aliquis, vir non omnino pessimus, crediderat neque inspiratione aërem in corpus ingredi, neque in exspiratione foras egredi. Item alius quidam primum et elementarem humorem pituitam esse volebat. Ne igitur inquiramus nomina illorum, qui absurdas has opiniones primum ediderint. Etsi enim quod Thales aquam solam esse elementum pronunciavit ex ipsius libris ostendere nequeamus, attamen hoc quoque omnibus persuasum est.

XXVI.

At vero ex his noveris quod non unum haec omnia sint, sed suam quodque ipsorum et facultatem et naturam obtineat. Si enim cuidam homini medicamentum dederis, quod pituitam educat, pituitam tibi evomet; si medicamentum quoque dederis, quod bilem ducat, tibi bilis evometur. Eadem quoque ratione atram bilem purgat medicamentum quod dederis atram bilem ducens. Quod si ipsi aliquam corporis partem sauciaris ita, ut vulnus

ταῦτα ποιήσει πάντα σοι πᾶσαν ἡμέρην τε καὶ νύκτα καὶ χειμῶνός τε καὶ θέρεος, μέ- (12) χρις ἂν δυνατὸς ᾖ τὸ πνεῦμα ἕλκειν ἐς ἑωυτὸν καὶ πάλιν μεθιέναι, δυνατὸς δὲ ἔσται, ἔστ' ἂν τινος τουτέων στερηθῇ τῶν ξυγγεγονότων· ξυγγέγονε δὲ ταῦτα τὰ εἰρημένα. πῶς γὰρ οὐ ξυγγέγονε; πρῶτον μὲν γὰρ φανερῶς ἐστιν ὁ ἄνθρωπος ἔχων ἐν ἑωυτῷ ταῦτα πάντα αἰεὶ, ἕως ἂν ζῇ, ἔπειτα δὲ γέγονεν ἐξ ἀνθρώπου ταῦτα πάντα ἔχοντος, ἔπειτα τέθραπται ἐν ἀνθρώπῳ ταῦτα πάντα ἔχοντι, ὁκόσα ἔγωγε νῦν φημί τε καὶ ἀποδείκνυμι.

---

[115] Ἐν μὲν τῇ προτέρᾳ ῥήσει δέδεικται πρὸς αὐτοῦ σαφῶς τε ἅμα καὶ ἀληθῶς, ὡς ἔχει ἄνθρωπος ἐν ἑαυτῷ πάντα, χολὰς καὶ φλέγμα καὶ αἷμα· κατὰ δὲ τὴν προκειμένην οὐ τοῦτο μόνον ἐπιδεικνύει, ἀλλ' ὅτι καὶ κατὰ φύσιν ἐστὶν, οὐ, καθάπερ ἔνιοί φασιν, ἓν ἐξ αὐτῶν. αἱ μὲν οὖν ἄλλαι δόξαι τῶν ἕνα λεγόντων εἶναι κατὰ φύσιν ἐν τῷ σώματι χυμὸν εὐέλεγκτοι· ἡ δὲ τῶν τὸ αἷμα φασκόντων

fiat, effluet ipsi sanguis. Atque haec tibi totam diem noctemque tum hieme tum aestate observabuntur, quamdiu spiritum homo ad se trahere vicissimque reddere valebit. Valebit autem, quoad aliquo eorum quae cognata sunt privatus fuerit. Cognata vero sunt ea praedicta. Quomodo enim non essent cognata? Primum quidem haec omnia homo, quoad vita fruitur, semper in se manifeste continet; deinde ex homine natus est haec omnia habente; postremo in homine nutritus est haec continente omnia, quae nunc ego assevero ac demonstro.

Superiore oratione ipse demonstravit manifeste simul et vere hominem omnia in se habere, bilem utramque, pituitam et sanguinem. In praesenti vero non hoc solum ostendit, sed etiam quod secundum naturam sint, non (ut quidam aiunt) unum ex ipsis. Aliae igitur opiniones eorum, qui unicum humorem in corpore secundum naturam esse referunt, facile possunt convinci. At illorum, qui

οὐκ εὐκαταφρόνητος, ἀλλὰ μεγάλου τινὸς ἀγῶνος δεῖται πρὸς τὸ καταβάλλειν αὐτήν. ἐνστήσασθαι δὲ καιρὸς ἤδη τὴν ἀρχὴν ἀπὸ τοῦ πρόσθεν εἰρημένου τῷ ἀνδρὶ ποιησαμένους. λέγει δὲ ὡδέ πως. Ἀξιῶ δ᾽ ἔγωγε τὸν λέγοντα αἷμα μοῦνον εἶναι τὸν ἄνθρωπον καὶ ἄλλο μηδὲν δεικνύναι αὐτὸν μὴ μεταλλάσσοντα τὴν ἰδέην μηδὲ γίγνεσθαι παντοῖον, ἀλλ᾽ ἢ ὥρην τινὰ τοῦ ἐνιαυτοῦ, ἢ τῆς ἡλικίης τοῦ ἀνθρώπου, ἐν ᾗ αἷμα ἓν ἐὸν φαίνεται μοῦνον ἐν τῷ ἀνθρώπῳ. εἰκὸς γάρ ἐστιν εἶναι μίαν γέ τινα ὥρην, ἐν ᾗ φαίνεται αὐτὸ ἐφ᾽ ἑωυτῷ ἓν ἐόν. Ἐὰν οὖν τούτῳ τῷ λόγῳ προσθήσῃς τὸ κατὰ τὴν νῦν ἡμῖν προκειμένην ῥῆσιν ἀποδεικνύμενον, ὁλόκληρον ἐργάσῃ τὸ δόγμα τοῦ Ἱπποκράτους· ἀποδείκνυται γὰρ ἐνταῦθα μήτε ὥραν μίαν ἐνὸν εἶναί τινα τοιαύτην μήθ᾽ ἡλικίαν, ἐν ᾗ τὸν ἄνθρωπον ἐπιδείξει τις οὐ μετέχοντα τῶν ἄλλων χυμῶν. ἀλλὰ καὶ διὰ τῶν καθάρσεων. καὶ γὰρ ἂν δῷς τινι φάρμακον ἤτοι χολὴν ἄγον ἢ φλέγμα, κενούμενον ὄψει τὸ πρὸς αὐτοῦ πεφυκὸς ἕλκεσθαι, ὡς ἐν παντὶ

ſanguinem affirmant, non contemnenda eſt, ſed magnum aliquod certamen, quo ſubvertatur, requirit. Hoc autem aggredi jam tempus eſt, exordio ab eo, quod prius vir dixit, deſumpto. Dicit autem hunc in modum. *Ego vero cenſeo, qui hominem ſanguinem duntaxat et nihil aliud eſſe aſſerit, ut is nec ideam ipſum transmutare nec univerſae mutationi fieri demonſtret obnoxium, aut ſaltem tempeſtatem anni aliquam aut ullam hominis aetatem oſtendat, qua ſanguis unum exiſtens elementum ſolus ineſſe homini appareat. Veriſimile namque eſt tempeſtatem unam quandam eſſe, qua is unum per ſe exiſtens appareat.* Si igitur huic ſermoni adjeceris id, quod in ſententia modo nobis propoſita demonſtratur, integrum Hippocratis dogma efficies, Nam oſtenditur inibi, neque anni tempeſtatem aliquam hujusmodi eſſe neque aetatem, in qua hominem commonſtret aliquis aliorum humorum non eſſe participem: imo etiam per purgationes *liquet.* Si namque dederis alicui medicamentum vel bilem ducens vel pituitam, id vacuari videbis, quod ab eo trahi natum

καιρῷ πάντων περιεχομένων ἐν τῷ σώματι. τούτῳ δὲ ἐνίστανται τῷ λόγῳ τινὲς οὐ συγχωροῦντες ἕλκειν τὸ καθαρτικὸν ἐκ τοῦ σώματος τὸν οἰκεῖον χυμὸν, ἀλλὰ μεταβάλλειν εἰς ἣν αὐτὸ πέφυκεν ἰδέαν. ἀλλ᾽ ὅτι γε ψευδής ὁ λόγος αὐτῶν ἐπιδέδεικται μὲν ἡμῖν καθ᾽ ἓν ὑπόμνημα περὶ τῆς τῶν καθαιρόντων φαρμάκων δυνάμεως ἐπιγεγραμμένον, εἰρήσθω δὲ καὶ νῦν ἕν τι τῶν ἐν ἐκείνῳ λελεγμένων ἕνεκα παραδείγματος. ἐθεάσασθε γὰρ ἐπ᾽ αὐτῶν τῶν ἔργων τῆς τέχνης οὐκ ὀλιγάκις ἐλεγχομένους τοὺς μὴ συγχωροῦντας ἕλκεσθαι τὸ κενούμενον ὑπὸ τῶν καθαιρόντων φαρμάκων, οἷον οἱ ὑδεριῶντες τῷ ἀσκίτῃ καλουμένῳ λαβόντες μὲν ὑδραγωγὸν φάρμακον ἐκκενοῦνται πλῆθος οὐκ ὀλίγον ὑδατώδους ὑγρότητος καὶ προστέλλονται τὸν ὄγκον τῆς γαστρός. εἰ δὲ χολῆς ξανθῆς ἢ μελαίνης ἀγωγὸν αὐτοῖς τις δοίη φάρμακον, ὀλιγοστόν τ᾽ ἐκκενοῖ τὸν χυμὸν, ὅ τ᾽ ὄγκος αὐτοῖς τῆς γαστρὸς οὐ μόνον οὐδὲν ἐλάττων, ἀλλὰ καὶ μείζων γίνεται. τοὐναντίον δὲ συμβαῖνον ἐπὶ τῶν δι᾽ ἔμφραξιν ἥπατος ἰκτεριώντων ἐθεάσασθε. προεκφραχθέντος γὰρ αὐ-

est, ut quum omni tempore omnes in corpore contineantur humores. Huic autem rationi quidam renituntur, qui non concedunt purgans medicamentum familiarem ex corpore humorem attrahere, sed in formam in quam natum est transmutare. Verum quod falsa sit ipsorum sententia, commentario uno de facultatibus medicamentorum purgantium inscripto a nobis demonstratum est. Dicetur autem etiam nunc unum quippiam eorum, quae illic enarrata sunt, causa exempli. Vidistis enim in ipsis artis operibus non raro convinci eos, qui id, quod evacuatur, a medicamentis purgantibus trahi non admittunt: utpote hydero ascite dicto laborantes, medicamento aquam ducente sumpto, non exiguam aquosi humoris copiam evacuant tumoremque ventris demittunt. Quod si flavae bilis aut nigrae eliciens medicamentum ipsis aliquis propinet, paucissimum evacuabit humorem et tumor ventris non modo nihilo minor, sed etiam major evadet. Contrarium accidere ictero ex jecoris obstructione laborantibus con-

τοῖς τοῦ σπλάγχνου διὰ τῶν τοῦτο δρᾷν δυναμένων φαρμάκων, ὅταν ἐπιδοθῇ τὸ χολαγωγὸν, ἥ τε κένωσις παμπόλλη γίνεται τοῦ πλεονάζοντος χυμοῦ, παύεταί τε παραχρῆμα τὸ πάθημα. τὸ δὲ τούτοις ἀνάλογον ἴστε κἀπὶ τῶν ὑπὸ φλέγματος ἢ χολῆς μελαίνης ἐνοχλουμένων γινόμενον· καὶ γὰρ κενοῦται πάμπολυς ὁ λυπῶν χυμὸς, οἵ τε κάμνοντες ὀνίνανται μεγάλως. εἰ τοίνυν ἕλκονται μὲν ἐκ τῶν καθαρτικῶν τοιαῦτα, τὰ δὲ φάρμακα κατὰ πᾶσαν ἡλικίαν τε καὶ ὥραν καθαίρει, διὰ παντός εἰσιν οἱ τέτταρες χυμοὶ κατὰ σῶμα τἀνθρώπου. ἐχρῆν γὰρ, καθάπερ ἔμπροσθεν ἐλέχθη, κἂν μίαν γοῦν τινα ὥραν τοῦ ἐνιαυτοῦ ἢ τῆς ἡλικίας τοῦ ἀνθρώπου φαίνεσθαι μόνον ἔχουσαν τὸ αἷμα, τῆς δόξης ἀληθοῦς ὑποτεθείσης εἶναι τῶν ἀποφηναμένων αἷμα μόνον εἶναι τὴν τοῦ ἀνθρώπου φύσιν, [116] ὅπερ ἐστὶ ταὐτὸν τῷ ἐξ αἵματος μόνου διαπεπλάσθαι πάντ᾽ αὐτοῦ τὰ μόρια τρέφεσθαί τε διὰ παντὸς αἵματι μόνῳ. διττῶς δὲ τοῦ αἵματος λεγομένου, τοῦ μὲν, ὅπερ ἐν ταῖς φλεβοτομίαις καὶ τοῖς τρώμασι κενούμενον φαίνεται, μετέχοντος, ὡς ἐδείκνυμεν,

fpexiftis; nam deobftructo prius ipfis vifcere medicamentis id efficiendi facultate donatis quum bilem ducens exhibitum fuerit, et copiofa redundantis humoris vacuatio fit et affectus ftatim ceffat. His fimile noviftis etiam in his fieri, qui pituita aut atra bile infeftantur. Etenim multus qui vexat humor evacuatur et aegroti magnopere juvantur. Si igitur hisce purgantibus talia trahuntur et medicamenta omni aetate et anni tempore purgant, perpetuo quatuor in corpore humano exiftunt. Oportebat enim, ficut prius dictum eft, faltem unum aliquod anni tempus aut hominis aetatem, quae folum fanguinem haberet, apparere, fi opinio eorum, qui folum fanguinem naturam hominis effe prodiderunt, vera ftatuatur: quod idem eft, ac fi omnes ipfius partes ex folo fanguine conformentur nutrianturque femper folo fanguine. Porro quum bifariam fanguis dicatur, alter, qui in venae fectionibus et vulneribus vacuari cernitur, utriusque bilis et pituitae, ut oftendi, particeps, alter autem purus, fince-

ἀμφοτέρων τε τῶν χολῶν καὶ τοῦ φλέγματος, ἑτέρου δὲ τοῦ καθαροῦ τε καὶ εἰλικρινοῦς ἀμίκτου τε τῶν ἄλλων χυμῶν, ἐκ μὲν τοῦ κατὰ τὸ πρότερον σημαινόμενον αἵματος ἀληθὲς ἴσως ἐστὶ διαπλάττεσθαι τὸ κυούμενον, ἐκ δὲ τοῦ κατὰ τὸ δεύτερον οὐκ ἀληθές· οὐδέποτε γὰρ ἐν ταῖς κυούσαις μόνον γίγνεται τοῦτο. διὰ τί δὲ προσέθηκα τῷ λόγῳ τὸ ἴσως, οἶμαι γινώσκειν ὑμᾶς. ἐν γὰρ τοῖς περὶ σπέρματος ὑπομνήμασιν ἐδείχθη τὰ πλεῖστα μόρια τοῦ σώματος ἐκ τοῦ σπέρματος γιγνόμενα, μόνων τῶν σαρκωδῶν ἐξ αἵματος διαπλασσομένων. ἀλλ' ἐπεὶ μὲν τοῦ σπέρματος ὀλίγος ἐστὶν ὁ καταβαλλόμενος εἰς τὰς μήτρας ὄγκος, ἡ τροφὴ δὲ αὐτῷ καὶ ἡ αὔξησις ἐκ τοῦ αἵματος γίγνεται, διὰ ταῦτ' ἄν τις ὀλίγου δεῖν ἐξ αἵματος φαίη διαπλάττεσθαι τὰ μόρια; καθ' ὅσον δὲ τὸ σπέρμα τὴν γένεσιν ἐξ αἵματος ἔσχε, κατὰ τοῦτο ἄν τις ἐξ αἵματος εἶναι λέγων τὴν γένεσιν τοῦ κυουμένου δόξειεν ἀληθεύειν, ἀλλ' οὐκ ἐξ εἰλικρινοῦς αἵματος ἀμίκτου τῶν ἄλλων χυμῶν, ἀλλ' ἐκ τοῦ κατ' ἐπικράτειαν ὠνομασμένου. τοιαύτη μέν τίς ἐστιν ἡ ὅλη διάνοια τῆς

rus neqne cum aliis humoribus mixtus, ex eo ſanguine ſecundum prius ſignificatum conceptum efformari verum fortaſſis eſt, ex eo autem, qui ſecundo, falſum. Nunquam enim ſolus hic in iis, quae uterum gerunt, gignitur. Cur autem adjecerim ſermoni *fortaſſis*, vos non latere arbitror. Nam in commentariis de ſemine plurimas corporis partes ex ſemine generari docuimus; ſolas autem carnoſas ex ſanguine conformari. Sed quia exigua ſeminis moles eſt, quae in uteros conjicitur, nutrimentum vero ipſi et incrementum ex ſanguine obvenit, ideo quis partes propemodum univerſas ex ſanguine conformari dixerit? Quatenus autem ſemen generationem ex ſanguine obtinet, eatenus concepti generationem ex ſanguine eſſe ſi quis dicat, vera fateri videbitur, ſed non ex ſincero ſanguine aliis humoribus non commixto, ſed ex eo, qui per excellentiam nominatus eſt. Hujusmodi ſane totus praepoſitae orationis ſenſus eſt. Particularium vero in ea hic erit:

προκειμένης ῥήσεως. τῶν δὲ κατὰ μέρος ἐν αὐτῇ πρῶτον μὲν ἐπισημήνασθαι προσήκει τὸ κοινὸν οὐ μόνον ἰατρῶν ἔθος, ἀλλὰ καὶ πάντων Ἑλλήνων ὀνομαζόντων χολὴν ἄνευ προσθήκης, ὅταν τὴν ὠχρὰν ἢ τὴν ξανθὴν δηλῶσαι βουληθῶσιν. ὅτι δὲ ταῦτα ἄμφω ὀνόματα καθ' ἓν εἶδος χυμοῦ λέγεται διαφέροντος ὑγρότητι καὶ ξηρότητι, μικρὸν ἔμπροσθεν εἴρηταί μοι. τὰς δὲ ἄλλας ἁπάσας χολὰς μετὰ προσθήκης ὀνομάζουσιν ἰώδη καλοῦντες, ἢ μέλαιναν, ἢ ἐρυθρὰν, ἢ πρασοειδῆ. δεύτερον δ' ἐπὶ τῷδε κατὰ τὴν προκειμένην ῥῆσιν ἐπισημήνασθαι προσῆκον· ἔνθα φησί· μέχρις ἂν ἕλκειν δυνατὸς ᾖ τὸ πνεῦμα εἰς ἑαυτὸν καὶ πάλιν μεθιέναι. δῆλον γάρ ἐστι τὴν μὲν εἰσπνοὴν ἑλκόντων τῶν ἀναπνευστικῶν ὀργάνων τὸν ἔξωθεν ἀέρα βούλεσθαι γιγνομένην, τὴν δ' ἐκπνοὴν μεθιέντων. εἶτα τρίτον, ἔνθα φησίν· ἔστ' ἂν τινος στερηθῇ τῶν ξυγγεγονότων. βούλεται γὰρ οὐ μόνον ὅταν αἵματος στερηθῇ τὸ ζῶον ἀποθνήσκειν, ἀλλὰ καὶ φλέγματος, ἢ ξανθῆς, ἢ μελαίνης χολῆς.

---

primum significare convenit communem non solum medicorum consuetudinem, sed omnium quoque Graecorum, qui bilem sine adjectione nominant, quum pallidam aut flavam indicare voluerint. Caeterum quod haec utraque nomina de una humoris specie dicantur differentis humiditate et siccitate, paulo ante a me expositum est. Reliquas omnes biles cum appendice nominant aeruginosam dicentes aut nigram aut rubram aut porraceam. Secundum ad hoc in serie proposita indicare oportet, ubi inquit: *quousque spiritum in se possit attrahere et rursus emittere.* Constat enim inspirationem velle ipsum fieri instrumentis respiratoriis externum aërem attrahentibus, expirationem vero emittentibus. Deinde tertium, ubi ait: *quoad aliquo cognatorum privatus fuerit.* Vult enim non solum quum sanguine animal privatum fuerit interire, sed etiam quum aut pituita aut flava aut nigra bile.

κζ'.

Οἱ δὲ λέγοντες ὡς ἕν ἐστιν ὁ ἄνθρωπος, δοκέουσί μοι ταύτῃ τῇ γνώμῃ κεχρῆσθαι. ὁρέοντες τοὺς πίνοντας τὰ φάρμακα καὶ ἀπολλυμένους ἐν τῇσιν ὑπερκαθάρσεσι τοὺς μὲν χολὴν ἐμέ- (13) οντας, τοὺς δέ τινας φλέγμα, τοῦτο ἕκαστον αὐτέων ἐνόμισαν εἶναι τὸν ἄνθρωπον, ὅ τι καθαιρόμενον αὐτὸν ἴδον ἀποθανόντα. καὶ οἱ τὸ αἷμα φάντες εἶναι τὸν ἄνθρωπον τῇ αὐτέῃ γνώμῃ χρέονται· ὁρέοντες ἀποσφαζομένους τοὺς ἀνθρώπους καὶ τὸ αἷμα ῥέον ἐκ τοῦ σώματος τοῦτο νομίζουσιν εἶναι τὴν ψυχὴν ἐν τῷ ἀνθρώπῳ. καὶ μαρτυρίοισι τουτέοισι πάντες χρέονται ἐν τοῖσι λόγοισιν.

---

[117] *Οἱ δὲ λέγοντες, φησὶν, ὡς ἕν ἐστιν ὁ ἄνθρωπος, ὡς πολλῶν ὄντων τῶν λεγόντων, οὐχ ἑνός. ἐξ ὧν δ' οὖν ἑαυτοὺς ἐπεπείκεισαν οἱ τῶν τεττάρων χυμῶν ἕνα τινὰ νομίσαντες ἱκανὸν εἶναι γεννῆσαι τὸν ἄνθρωπον, αὐτὸς ὁ Ἱπποκράτης ἐδήλωσεν, ἀπιθάνων μὲν ἡμῖν, ὡς ἔφην, ἐκεί-*

XXVII.

Qui vero unum esse hominem asserunt, hanc mihi sententiam tulisse videntur, quod, quum intuerentur eos epotis medicamentis in superpurgationibus interiisse, alios quidem bilem, nonnullos vero pituitam evomentes, horum unumquodque hominem esse existimarunt, quo purgante ipsum intereuntem viderunt. Et qui sanguinem esse hominem asserunt, eadem utuntur ratione. Quum enim homines jugulari et e corpore sanguinem fluere conspiciunt, eum in homine animam esse existimant. Hisque argumentis omnes inter differendum utuntur.

Qui dicunt, inquit, hominem unum esse, tanquam multi sint id dicentes, non unus. Ex quibus igitur persuasionem hanc sibi induerunt, qui ex quatuor humoribus unum aliquem homini generando sufficere arbitrantur, Hippocrates ipse indicavit: quae nobis quidem absurda, ut dixi,

νοις δὲ δηλονότι πιθανοῖν φαινομένων. ἐν γὰρ ταῖς ὑπερκαθάρσεσιν ἄλλος ἄλλον ὑπ' ἄλλου καὶ ἄλλου χυμοῦ τελέως ἐκκενωθέντος ὁρῶντες ἀπολλύμενον ἐκεῖνον μόνον ἐνόμισαν εἶναι τὸν χυμὸν τὴν φύσιν ἀνθρώπου.

κη'.

Καίτοι πρῶτον μὲν ἐν τῇσιν ὑπερκαθάρσεσιν οὐδεὶς που ἀπέθανε χολὴν μούνην καθαρθείς· ἀλλ' ὁκόταν πίῃ τις φάρμακον, ὅ τι χολὴν ἄγει, πρῶτον τὴν χολὴν ἐμέει, ἔπειτα δὲ καὶ φλέγμα. ἔπειτα δ' ἐπὶ τῇ χολῇ ἐμέουσι καὶ χολὴν μέλαιναν ἀναγκαζόμενοι, τελευτῶντες δὲ καὶ αἷμα ἐμέουσι καθαρόν.

Κἀνταῦθα πάλιν σαφῶς ἐδήλωσε τὸ ἔθος τῶν Ἑλλήνων χολὴν μὲν ὀνομαζόντων πολλάκις ἄνευ προσθήκης τὴν ξανθὴν, τὴν μέλαιναν δὲ μετὰ προσθήκης ἀεί. τὸ δ' ἐν ὅλῃ τῇ ῥήσει δηλούμενον σαφές· οὐδένα γάρ φησιν ἀποθα-

illis autem probabilia nimirum apparent. Nam in purgationibus immoderatis quum viderent alius alium ab alio atque alio humore extreme evacuato interire, illum solum humorem hominis naturam esse censuerunt.

XXVIII.

Quanquam primum quidem in immoderatis purgationibus sola evacuata bile nullus unquam mortuus est. Verum epoto medicamento, quod bilem ducat, primum sane aliquis bilem vomet, deinde pituitam, postea quoque praeter bilem atram bilem, idque per vim, sub mortem vero sanguinem etiam purum evomit.

Atque hic rursus clare Graecorum consuetudinem innuit, qui bilem frequenter sine adjuncto flavam, atram vero semper cum adjuncto vocant. Porro quod in tota oratione significatur, manifestum est. Nullum enim mori

Ed. Chart. III. [117.] Galen. V. (13.)
νεῖν ἕνα μόνον χυμὸν ἐκκαθαρθέντα, συνεκκενοῦσθαι γὰρ ἀεὶ καὶ τοὺς ἄλλους αὐτῷ.

κθ'.

Τὰ αὐτὰ δὲ πάσχουσι καὶ ὑπὸ τῶν φαρμάκων τῶν τὸ φλέγμα ἀγόντων. πρῶτον μὲν γὰρ φλέγμα ἐμέουσιν, ἔπειτα ξανθὴν χολὴν, ἔπειτα μέλαιναν, τελευτῶντες δὲ αἷμα καθαρὸν, καὶ ἐν τῷδε ἀποθνήσκουσιν.

Μετὰ τὸ κενωθῆναι τὸν οἰκεῖον τῷ καθαρτικῷ φαρμάκῳ χυμὸν ἐφεξῆς αὐτῷ πρῶτος ὁ τῶν ἄλλων εὐαγωγότατος ἕπεται, μετ' ἐκεῖνον δὲ ὁ τὴν δευτέραν ἐν τούτῳ τάξιν ἔχων, κἄπειτα τὸ αἷμα πάντων ὕστατον, ὡς ἂν οἰκειότατος ὢν τῇ φύσει χυμός. ἀσφαλὲς γὰρ φάναι περὶ αὐτοῦ τό γε τοσοῦτο, ὡς εἰ καὶ μὴ μόνος ἐστὶν ἡ φύσις τοῦ ἀνθρώπου, ἀλλ' οἰκειότατός γε ἁπάντων τῶν ἄλλων.

inquit, cui unus ſolum humor purgatus fuerit, quum alii quoque ſemper cum ipſo evacuentur.

XXIX.

Eadem vero patiuntur et a medicamentis pituitam ducentibus. Primum etenim pituitam vomunt, deinde bilem flavam, tertio atram, intereuntes demum ſanguinem purum, in eoque moriuntur.

Quum humor medicamento purganti familiaris fuerit evacuatus, mox illum conſequitur primus qui ad evacuationem inter alios facillimus eſt: poſt illum qui ſecundum in hoc *genere* ordinem ſortitur: deinde ſanguis omnium poſtremus, ut qui humor ſit naturae familiariſſimus. Tutum namque eſt tantillum de eo dicere, quod, ſi non ſolus eſt natura hominis, certe omnium aliorum familiariſſimus eſt.

λ'.

Τὸ γὰρ φάρμακον, ὁκόταν εἰσέλθῃ ἐς τὸ σῶμα, πρῶτον μὲν ἄγει ὅ ἂν αὐτέῳ κατὰ φύσιν μάλιστα ᾖ τῶν ἐν τῷ σώματι ἐνεόντων, [118] ἔπειτα δὲ καὶ τὰ ἄλλα ἕλκει τε καὶ καθαίρει, ὥσπερ τὰ φυόμενά τε καὶ σπειρόμενα, ὁκόταν εἰς τὴν γῆν ἔλθῃ, ἕλκει ἕκαστον τὸ κατὰ φύσιν ἑωυτοῦ ἐνεὸν ἐν τῇ γῇ. ἔνι δὲ καὶ ὀξὺ καὶ γλυκὺ καὶ πικρὸν καὶ ἁλμυρὸν καὶ παντοῖον. πρῶτον μὲν οὖν πλεῖστον τουτέου εἵλκυσεν ἐς ἑωυτὸ, ὅ τι ἂν ᾖ ἑωυτέῳ κατὰ φύσιν μάλιστα, ἔπειτα δ' ἕλκει καὶ τὰ ἄλλα. τοιοῦτο δέ τι καὶ τὰ φάρμακα ποιέει ἐν τῷ σώματι. ὁκόσα γὰρ τὴν χολὴν ἄγει, πρῶτον μὲν ἀκρητεστάτην ἐκάθηρε τὴν χολὴν, ἔπειτα δὲ μεμιγμένην. καὶ πάλιν τὰ τοῦ φλέγματος φάρμακα πρῶτον μὲν ἀκρητέστατον τὸ φλέγμα ἄγει, ἔπειτα δὲ μεμιγμένον. καὶ πάλιν τοῖσιν ἀποσφαζομένοισι πρῶτον μὲν τὸ αἷμα ῥέει θερμότατόν τε καὶ ἐρυθρότατον, ἔπειτα δὲ ῥέει φλεγματωδέστερον καὶ χολωδέστερον.

XXX.

Quum enim medicamentum corpus introierit, primum quidem quodcunque sibi ex omnibus in corpore exiſtentibus ſecundum naturam familiariſſimum fuerit educit, deinde vero reliqua tum trahit, tum purgat, quemadmodum quae e terra naſcuntur et in eam conſeruntur, ubi terram ſubierint, eorum quodque trahit, quod natura ſibi familiare in terra ineſt. Ineſt autem et acidum et amarum et dulce et ſalſum et cujuscunque generis aliud. Primum itaque ejus plurimum, quod natura ſibi ipſi familiare fuerit, ad ſe allicit, atque deinceps reliqua attrahit. Tale quiddam etiam medicamenta in corpore faciunt. Quaecunque enim bilem educunt, primum meraciſſimam bilem purgant, deinde mixtam: et rurſus medicamenta pituitam cientia primum puriſſimam pituitam educunt, poſtea etiam mixtam. Iugulatis quoque primum quidem ſanguis tum calidiſſimus tum maxime ruber effluit, mox vero magis pituitoſus magisque bilioſus profluit.

Σαφὴς ἡ ῥῆσίς ἐστι, γράφοντος αὐτοῦ τὰ μαρτύρια τοῦ προκειμένου λόγου, καθ' ὃν ἔφη τὸ φάρμακον, ὅταν εἰς τὸ σῶμα ἔλθῃ, πρῶτον μὲν τὸν οἰκεῖον ἕλκειν αὐτῷ χυμὸν, ἔπειτα δὲ καὶ τοὺς ἄλλους. μεμνῆσθαι δὲ χρὴ καὶ περὶ τῶν φυτῶν αὐτοῦ λέγοντος, ἕλκειν καὶ ταῦτα εἰς ἑαυτὰ τὸ κατὰ φύσιν ἕκαστον αὐτῷ, περιέχεσθαι γὰρ ἐν τῇ γῇ καὶ ὀξὺ καὶ γλυκὺ καὶ πικρὸν καὶ ἁλμυρὸν καὶ παντοῖον, ὥσπερ δηλονότι καὶ κατὰ τὸν ἄνθρωπον ὀξὺ μὲν τὴν μέλαιναν χολὴν, πικρὸν δὲ τὴν ξανθὴν, γλυκὺ δὲ τὸ αἷμα καὶ ἁλμυρὸν τὸ φλέγμα. καὶ γάρ τοιοῦτό ἐστί τι φλέγμα, καθάπερ ἄλλο γλυκὺ καὶ ἕτερον ὀξὺ καί τι ἕτερον μηδεμίαν ἔχον ἐπίσημον ποιότητα. διὰ τοῦτό μοι δοκεῖ καὶ κατὰ τέλος τῆς ῥήσεως προσθεῖναι τὸ καὶ παντοῖον, οὐ μόνον ἐν τῷ φλέγματι διαφορὰς ὁρῶν παμπόλλας, ἀλλὰ καὶ κατὰ τοὺς ἄλλους χυμούς. ὥσπερ γὰρ ὀξὺ καὶ γλυκὺ καὶ πικρὸν καὶ ἁλμυρὸν, οὕτω καὶ στρυφνόν τι καὶ αὐστηρὸν καὶ δριμὺ καὶ λιπαρὸν εἶδός ἐστι χυμῶν ἔν τε τοῖς ζώοις καὶ τοῖς φυτοῖς καὶ δηλονότι καὶ κατὰ τὴν γῆν ἀνάλογον αὐτοῖς.

Perſpicua auctoris eſt ſententia, qui rationis propoſitae teſtimonia ſcribit, qua dicit *medicamentum, ubi in corpus venerit, primum ſane humorem ſibi familiarem attrahere, deinde etiam alios.* At meminiſſe oportet etiam de ſtirpibus ipſum verba facere, nempe quod et harum unaquaeque ſibi naturale et connatum ad ſe attrahunt: contineri enim in terra acidum, dulce, amarum, ſalſum et cujuſvis generis, veluti etiam in homine, acidum quidem atram bilem, amarum vero flavam, dulce ſanguinem, ſalſum pituitam. Etenim talis quaedam eſt pituita, quemadmodum alia dulcis, alia acida, et quaedam alia nullam inſignem obtinens qualitatem. Atque ideo mihi videtur ad orationis finem adjeciſſe *cujuscumque generis aliud*, ut qui non tantum in pituita, ſed in aliis etiam humoribus permultas viderit differentias. Sicut enim acida, dulcis, amara et ſalſa, ita etiam acerba, auſtera, acris et pinguis humorum ſpecies eſt tum in animalibus, tum in ſtirpibus, et nimirum quae in terra ipſis reſpondent.

λα'.

Αὔξεται δὲ ἐν τῷ ἀνθρώπῳ τὸ μὲν φλέγμα τοῦ χειμῶνος. τοῦτο γὰρ τῷ χειμῶνι κατὰ φύσιν μάλιστα τῶν ἐν τῷ σώματι ἐνεόντων, ψυχρότατον γάρ ἐστι. τεκμήριον δὲ τουτέου, ὅτι τὸ μὲν φλέγμα ψυχρότατον. εἰ ἐθέλεις ψαῦσαι φλέγματος καὶ χολῆς καὶ αἵματος, τὸ φλέγμα εὑρήσεις ψυχρότατον ἐόν· καίτοι γλισχρότατόν ἐστι καὶ βίῃ μάλιστα ἄγεται μετὰ χολὴν μέλαιναν. ὁκόσα δὲ βίῃ ἄγεται, θερμότερα γίνεται ἀναγκαζόμενα ὑπὸ τῆς βίης. ἀλλὰ ὅμως καὶ πρὸς ταῦτα πάντα ψυχρότατον ἐὸν τὸ φλέγμα φαίνεται ὑπὸ τῆς φύσιος (14) τῆς ἑωυτοῦ. ὅτι δὲ ὁ χειμὼν πληροῖ τὸ σῶμα φλέγματος, γνοίης ἂν τοῖσδε. οἱ ἄνθρωποι πτύουσί τε καὶ ἐκμύσσονται φλεγματωδέστατον τοῦ χειμῶνος, καὶ τὰ οἰδήματα αὐτοῖς λευκότατα γίνεται μάλιστα κατὰ ταύτην τὴν ὥρην καὶ τὰ ἄλλα νοσήματα φλεγματώδεα.

---

[119] Σαφὴς ἡ ῥῆσίς ἐστι καὶ προσέχοντος δεομένη

XXXI.

Augetur vero in homine pituita quidem hieme; haec enim hiemis naturae eorum, quae corpori insunt, maxime analoga est, frigidissima namque existit. Hujus autem rei certa sunt indicia pituitam esse frigidissimam. Quod si pituitam et bilem et sanguinem tangere volueris, pituitam frigidissimam esse reperies: quae quamvis sit lentissima, ac vi potissimum secundum atram bilem educatur, (quaecumque vero vi educuntur, ea per violentiam coacta calidiora redduntur) nihilominus tamen supra haec omnia pituita suapte natura frigidissima esse conspicitur. Quod autem hieme corpus pituita repleatur, hisce noveris. Per hiemem homines maxime pituitosa tum expuunt, tum emungunt, oedemata ipsis albissima per eam potissimum tempestatem et caeteri morbi pituitosi oboriuntur.

Clara est oratio, quae lectorem diligentem requirat,

τοῦ ἀναγινώσκοντος, οὐκ ἐξηγητοῦ σαφηνίζοντος αὐτήν. τὸ δ' ἐπὶ τῇ τελευτῇ γεγραμμένον, καὶ τὰ ἄλλα νοσήματα φλεγματώδεα· κατὰ μὲν οὖν τὴν τοῦ αὐτοῦ γραφὴν ὁ νοῦς ἔσται τῆς λέξεως τοιοῦτος. τὰ οἰδήματα λευκὰ γίγνεται κατὰ τὸν χειμῶνα· καὶ τὰ ἄλλα δὲ νοσήματα φλεγματώδη γίγνεται κατὰ τοῦτον τὸν χρόνον. ἀμέλει καὶ οἱ πυρετοὶ, καθάπερ ἐν θέρει χολωδέστεροι τοὐπίπαν, οὕτως ἐν χειμῶνι φλεγματωδέστεροι.

λβ'.

Τοῦ δὲ ἦρος τὸ φλέγμα ἔτι μένει ἰσχυρὸν ἐν τῷ σώματι καὶ τὸ αἷμα αὔξεται. τά τε γὰρ ψύχεα ἐξανίει καὶ τὰ ὕδατα ἐπιγίνεται, τὸ δὲ αἷμα κατὰ ταῦτα αὔξεται ὑπό τε τῶν ὄμβρων καὶ τῶν θερμημεριῶν. κατὰ φύσιν γὰρ αὐτέῳ ταῦτ' ἔστι μάλιστα τοῦ ἐνιαυτοῦ, ὑγρόν τε γάρ ἐστι καὶ θερμόν. γνοίης δὲ ἂν τοῖσδε. οἱ ἄνθρωποι τοῦ ἦρος καὶ τοῦ θέρεος μάλιστα ὑπό τε τῶν δυσεντεριῶν ἁλίσκονται καὶ ἐκ τῶν ῥινῶν τὸ αἷμα ῥεῖ αὐτέοισι καὶ θερμότατοί εἰσι καὶ ἐρυθρότατοι.

non interpretem, qui ipſam explicet. Quod autem in fine ſcriptum eſt, *caeterique morbi pituitoſi*, hoc modo ex ipſius ſcriptura intelligendum eſt. Oedemata alba hieme potiſſimum oriuntur: item alii pituitoſi morbi hoc tempore infeſtant: denique et febres, ſicut in aeſtate omnino bilioſiores, ſic in hieme pituitoſiores.

XXXII.

At vere adhuc quidem pituita in corpore valida manet, ſed ſanguis augeſcit. Nam et frigora remittunt et imbres ſuccedunt: tuncque ſanguis augetur tum ex imbribus tum ex diebus calidis. Nam ſecundum naturam ipſi haec ex anni tempeſtate potiſſimum inſunt; etenim humidum et calidum eſt. Ex his vero noveris, quod homines vere et aeſtate potiſſimum dyſenteriis corripiantur et ex naribus ſanguis ipſis profluat et calidiſſimi et maxime rubicundi ſint.

Ἔστι μὲν καὶ τῆσδε τῆς ῥήσεως ἡ λέξις σαφής. εἴρηται δ' ἐν τῷ πρώτῳ τῶν περὶ κράσεων ὅτι βέλτιον ἦν τὸ ἔαρ εὔκρατον, οὐχ ὑγρὸν καὶ θερμὸν λέγεσθαι. διά τινά τε τὴν αἰτίαν εἰς τὸ θερμὸν καὶ ὑγρὸν λέγειν αὐτὸ τῶν ἰατρῶν ἔνιοι καὶ τῶν φιλοσόφων ὑπήχθησαν. ὡς ἐν ὥραις μὲν γὰρ τοῦτο λέγουσιν ὑγρὸν καὶ θερμὸν ὡς ἐν γένει, τῶν δ' ἐν σώμασι τὰ ζῶα, ταῦτα μὲν ὡς πρὸς τὰ φυτὰ παραβάλλοντες, τὸ δὲ ἔαρ τῷ φθινοπώρῳ, τὸ ἄριστον ἐν ταῖς ὥραις καὶ, ὡς ἂν εἴποι τις, μόνον ἀκριβῶς κατὰ φύσιν τῷ παρὰ φύσιν ἔχοντι. τοῦ δὲ πλεονάζειν αἷμα κατὰ τὸ ἔαρ σὺν τοῖς ἄλλοις γνωρίσμασι καὶ τὸ δυσεντερίας ἔσεσθαι τότε, τὰς αἱματηρὰς δηλονότι λεγομένας, οὐχ ὅσαι διὰ χολὴν ἑλκοῦσι τὰ ἔντερα. λέλεκται δέ μοι περὶ τῆς αἱματηρᾶς ταύτης δυσεντερίας ἐν τῷ τετάρτῳ τῶν εἰς τὸ περὶ ἄρθρων ὑπομνήματι δεικνύντι τὸ πάθημα τοῦτο, πλήθους αἵματος ὄντος ἐν ταῖς φλεψὶν, εἶτα ἐκκρινούσης ἀθρόως τῆς φύσεως διὰ τῶν ἐντέρων, γίγνεσθαι πολλάκις, ὥσπερ καὶ ταῖς γυναιξὶ διὰ μήτρας. ἔνιοι δὲ διὰ ῥινῶν, ἢ δι'

Est sane et hujus sententiae contextus perspicuus. Dictum namque a me est in primo de temperamentis libro satius esse ver temperatum vocari, non humidum et calidum. Suberat vero causa aliqua, ob quam medicorum philosophorumque nonnulli ipsum calidum humidumque dicerent. Sic enim in anni temporibus hoc humidum et calidum esse dicunt, ut in genere eorum quae corpora habent animalia, haec sane cum plantis conserentes, ver autem antumno inter anni tempora optimum et ut ita dixerim solum exacte secundum naturam habens cum eo, quod praeter naturam affectum est. At sanguinem vere redundare quum alia, tum illud indicio est, quod tunc dysenteriae infestent, quae cruentae scilicet dicuntur, non quae ex bile intestina exulcerant. Verum de cruenta hac dysenteria in quarto operis de articulis commentario tractavi, affectum hunc ostendens frequenter copia sanguinis oboriri, qui in venis continetur, deinde quem natura per intestina confertim excernit, sicut et mulieribus per ute-

αἱμοῤῥοΐδων, ἢ ἐμέτων. παρενέθηκε δὲ καὶ τὸ θέρος τῷ ἦρι κατά τε τὸν τῶν δυσεντεριῶν λόγον καὶ τὴν ἐρυθρότητα τῆς χρόας. διὰ γὰρ τὴν ἑαυτοῦ θερμότητα τὸ γεννηθὲν αἷμα κατὰ τὸ ἔαρ ἐρυθράν τε τὴν χρόαν ἐργάζεται τοῦ παντὸς σώματος, ἐκκρίνεταί τε διὰ τῆς ἕδρας ἐνίοις. θερμοὶ δ᾽ ἁπτομένοις οἱ ἄνθρωποι τηνικαῦτα φαίνονται καὶ διὰ τὸ αἷμα μὲν, ἀλλὰ καὶ διὰ τὸ περιέχον.

λγ'.

[120] *Τοῦ δὲ θέρεος τό τε αἷμα ἰσχύει ἔτι καὶ ἡ χολὴ ἀείρεται ἐν τῷ σώματι καὶ παρατείνει ἐς τὸ φθινόπωρον. ἐν δὲ τῷ φθινοπώρῳ τὸ μὲν αἷμα ὀλίγον γίνεται· ἐναντίον γὰρ αὐτέῳ τὸ φθινόπωρον τῇ φύσει ἐστίν· ἡ δὲ χολὴ τὴν θερίην κατέχει τὸ σῶμα καὶ τὸ φθινόπωρον. γνοίης δὲ ἂν τοῖσδε. οἱ ἄνθρωποι αὐτόματοι ταύτην τὴν ὥρην χολὴν ἐμέουσι καὶ ἐν τῇσι φαρμακοποσίῃσι χολωδέστερα καθαίρονται. δῆλον δὲ καὶ τοῖσι πυρετοῖσι καὶ τοῖσι χρώμασι τοῖσι τῶν ἀνθρώπων. τὸ φλέγμα τῆς θε-*

rum, nonnullis per nares aut haemorrhoidas aut vomitum. Porro aeſtatem adjunxit veri tum dyſenteriae ratione tum ob cutis ruborem. Nam beneficio ſui ipſius caloris generatus vere ſanguis et rubicundam totius corporis cutem efficit et per anum quibusdam excernitur. Caeterum calidi ad tactum tunc apparent homines tum ſanguinis tum etiam ambientis aëris beneficio.

XXXIII.

Aeſtate vero ſanguis adhuc viget et bilis in corpore attollitur et in autumnum protenditur. At autumno modicus quidem ſanguis generatur (contrarius enim ipſius naturae autumnus eſt), bilis autem aeſtate et autumno corpus occupat, quod hisce indiciis noveris, quod hac tempeſtate homines ſua ſponte bilem evomant et medicamentorum potionibus bilioſiora purgentur. Id quoque ex febribus et hominum coloribus patet. At pituita aeſtate ſe ipſa longe imbecillior eſt. Contraria namque

ρίης ἀσθενέστερόν ἐστιν αὐτὸ ἑωυτοῦ· ἐναντίη γὰρ αὐτέου τῇ φύσει ἐστὶν ἡ ὥρη, ξηρή τε γάρ ἐστι καὶ θερμή.

Ἐν τῷ θέρει καὶ μάλιστα κατὰ τὴν ἀρχὴν αὐτοῦ τοῖς πλείστοις αἷμα πλεονάζει τὸ κατὰ τὸ ἔαρ αὐξηθὲν, ὡς ἂν μηδέπω διαπεφορημένον ὑπὸ τῆς τοῦ περιέχοντος θερμότητος. αὔξεται δὲ καὶ χολὴ διὰ τὸ παρὰ φύσιν ἐκθερμαίνεσθαι τὸ σῶμα κατὰ τήνδε τὴν ὥραν. ὠνόμασε δὲ πάλιν ἐνταῦθα χολὴν ἄνευ τοῦ προσθεῖναι τὸ τῆς χρόας ὄνομα τὴν ξανθὴν, οὐδέποτε τὴν μέλαιναν ἁπλῶς ὀνομάζων, ἀλλ' ἀεὶ μετὰ τοῦ προσθεῖναι τὸ τῆς χρόας ὄνομα. τὰ δὲ κατὰ μέρος ἐν τῇ ῥήσει δῆλα τοῖς γε προσέχουσι τὸν νοῦν.

λδ΄.

Τὸ δ' αἷμα τοῦ φθινοπώρου ἐλάχιστον γίγνεται ἐν τῷ ἀνθρώπῳ. ξηρόν τε γάρ ἐστι τὸ φθινόπωρον καὶ ψύχειν ἤδη ἄρχεται τὸν ἄνθρωπον. ἡ δὲ μέλαινα χολὴ τοῦ φθινοπώρου πλείστη τε καὶ ἰσχυροτάτη ἐστί.

---

ipsius naturae est haec tempestas, calida siquidem et sicca est.

Aestate et praesertim per ipsius initia plerisque sanguis abundat vere auctus, ut qui ab ambientis aëris calore nondum sit discussus. Augescit autem bilis, quod hac anni tempestate corpus praeter naturam incalescat. Caeterum nominavit hic rursus bilem citra adjectionem coloris vocabuli *flavam*, nunquam atram simpliciter nominans, verum semper cum adjectione coloris nominis. Particularia in oratione manifesta iis sunt, qui animum adhibent.

XXXIV.

At sanguis per autumnum paucissimus in homine gignitur, siccus siquidem est autumnus et hominem jam refrigerare incipit. Atra autem bilis autumno tum plurima tum vehementissima est.

Κατὰ μὲν τὴν πρὸ ταύτης ῥῆσιν εἴρηται, ἐν τῷ φθινοπώρῳ τὸ μὲν αἷμα ὀλίγον γίγνεται, ἐναντίον γὰρ αὐτοῦ τὸ φθινόπωρον τῇ φύσει ἐστίν. ἡμεῖς δὲ ὅπως ἐναντίον ἐστὶν ἐδιδάξαμεν. εἴπερ γὰρ τὸ μὲν αἷμα θερμὸν καὶ ὑγρόν ἐστιν ὁμοίως τῷ ἦρι, τὸ δὲ φθινόπωρον, ὡς αὐτὸς ἔφη, ξηρόν τέ ἐστι καὶ ψύχειν ἤδη ἄρχεται τὸν ἄνθρωπον, εἰκότως ἐναντίον τ' ἐστὶ τὸ φθινόπωρον τῷ ἦρι καὶ τὸν χυμὸν ἔχει τὸν ἐναντίον τῷ αἵματι πλεονάζοντα, τὸν ξηρὸν καὶ ψυχρόν. ἐγένετο δ' εἰκότως τοιοῦτος διὰ τὸ προκατωπτῆσθαι τοὺς χυμοὺς ἐν τῷ θέρει· τὸ δ' ὑπόλειμμα τῶν ὀπτηθέντων, ὅταν δηλονότι σβεσθῇ τὸ θερμὸν, αὐτίκα γίγνεται ψυχρόν τε καὶ ξηρόν· ψυχρὸν μὲν διὰ τὴν τοῦ θερμοῦ σβέσιν, ξηρὸν δὲ, ὅτι κατὰ τὴν ὄπτησιν ἐξεδαπανήθη πᾶν τὸ ὑγρὸν ἐξ αὐτοῦ.

λε'.

[121] *Ὁκόταν δὲ ὁ χειμὼν καταλαμβάνῃ, ἥ τε χολὴ ψυχομένη ὀλίγη γίνεται καὶ τὸ φλέγμα αὔξεται πάλιν ἀπό τε τῶν ὑετῶν τοῦ πλήθεος καὶ ἀπὸ τῶν νυκτῶν τοῦ μήκεος.*

Superiore contextu dictum erat, ſanguinem in autumno paucum generari, ut qui naturam autumno contrariam habeat. Nos autem quomodo contrariam habeat edocuimus. Si enim ſanguis calidus et humidus eſt veri ſimiliter, autumnus autem, ut ipſe dixit, ſiccus eſt et refrigerare jam hominem incipit, merito autumnus veri contrarius eſt et humorem redundantem ſanguini contrarium obtinet, ſiccum et frigidum. Generatus autem eſt talis bona ratione, quod in aeſtate humores prius aduruntur: reliquiae vero aduſtorum humorum, reſtincto ſcilicet calore, ſtatim frigidae ſiccaeque redduntur; frigidae quidem propter calorem extinctum, ſiccae, quod totus ipſius humor, quum aſſaretur, ſit conſumptus.

XXXV.

Quum vero hiems ingruit, bilis refrigescens pauca gignitur et pituita rurſus augetur tum ab imbrium copia, tum a noctium longitudine.

(15) Τὸν ἐπικρατοῦντα χυμὸν ἐν ἑκάστῃ τῶν τεττάρων ὡρῶν ὅμοιον εἶναι βούλεται κατὰ τὴν κρᾶσιν αὐτῇ τῇ ὥρᾳ· καὶ διὰ τοῦτο ψυχρὸν μὲν καὶ ὑγρὸν ὀνομάζεται τὸ φλέγμα παραπλησίως τῷ χειμῶνι, θερμὸν δὲ καὶ ὑγρὸν τὸ αἷμα, καθάπερ τὸ ἔαρ. τὴν δὲ ξανθὴν χολὴν, ὥσπερ τὸ θέρος, εἶναί φησι θερμὴν καὶ ξηρὰν, καὶ τὴν μέλαιναν, ὁμοίως τῷ φθινοπώρῳ ψυχρὰν καὶ ξηράν. ὅτι μὲν οὖν ἐν αἷς εἶπεν ὥραις ἕκαστος τῶν χυμῶν αὔξεται πρόσθεν ἐπιστώσατο· νυνὶ δὲ τὴν αἰτίαν λέγει, δι' ἣν χειμῶνι πλεονάζον ἐστὶ τὸ φλέγμα. ὑπό τε γὰρ τῶν ὑετῶν τοῦ πλήθεος, φησὶ, καὶ τῶν νυκτῶν τοῦ μήκεος, ὅπερ ἐστὶ διὰ τὸ τὴν ὥρην ταύτην ὑπάρχειν ὑγρὰν καὶ ψυχράν. ὑγρὰ μὲν οὖν εἶναι δηλοῦται διὰ τὸ πλῆθος τῶν ὑετῶν, ψυχρὰ δὲ διὰ τὸ μῆκος τῶν νυκτῶν. τῆς γὰρ τοῦ περιέχοντος ἡμᾶς ἀέρος θερμασίας, ἣν ἴσχει κατὰ τὸ θέρος, ὁ ἥλιος αἴτιος, ἐγγύς τε τῶν κατὰ κορυφὴν ἡμῖν ἀφικνούμενος καὶ μακροτέραν τὴν ἡμέραν ποιούμενος. οὕτω δὲ καὶ τῆς ἐν χειμῶνι ψυχρότητος ὁ αὐτὸς αἴτιος λοξὸς καὶ ταπεινὸς ἐν ὀλίγῳ τε χρόνῳ τὴν ὑπὲρ γῆς φορὰν ποιούμενος. ὁ δ' Ἱπποκρά-

Humorem in singulis quatuor anni tempestatibus exuperantem vult ipsi tempestati similem esse temperamento; ideoque pituita quidem frigida et humida nominatur hiemi similis, sanguis autem calidus et humidus, ut ver; flavam bilem calidam et siccam esse dicit, uti aestatem, et nigram, sicut autumnum, frigidam et siccam. Quod igitur dixit, quibus anni tempestatibus singuli humores augentur, antea probavit: nunc vero causam reddit, cur pituita hieme exuperet. *Ex crebris*, inquit, *pluviis et noctium longitudine*, eo quod haec anni tempestas humida sit et frigida. Humida quidem esse monstratur pluviarum copia, frigida vero noctium longitudine. Nam caloris, quem aestate ambiens nos aër obtinet, sol auctor est, dum prope supra verticem nostrum emergit et diem longiorem efficit. Ita etiam hieme frigoris idem auctor est, quum obliquus demissusque et brevi tempore supra terram feratur. Hippocrates autem vult animantium corpora pro

της βούλεται συνδιατίθεσθαι τὰ τῶν ζώων σώματα τῇ τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσει, ξηραινόμενα μὲν ἐν ταῖς ξηραῖς αὐτοῦ κράσεσιν, ὑγραινόμενα δ' ἐν ταῖς ὑγραῖς, οὕτως δὲ καὶ θερμαινόμενα ἐν ταῖς θερμαῖς, ψυχόμενα δ' ἐν ταῖς ψυχραῖς. εἴπερ οὖν ὁ χειμὼν ὑγρὸς καὶ ψυχρός ἐστιν, εὐλόγως ἐν αὐτῷ τὸ φλέγμα πλεονεκτεῖ ψυχρὸν καὶ ὑγρὸν ὑπάρχον. ἔδειξε γὰρ καὶ τοῦτο πρόσθεν αὐτός. ὁμολογεῖν δὲ ὁ λόγος αὐτῷ φαίνεται καὶ ταῖς ἄλλαις ὥραις, ἐν μέν γε τῷ θέρει τῆς ξανθῆς χολῆς πλεοναζούσης, ἐπειδὴ ξηρὰ καὶ θερμὴ τὴν δύναμίν ἐστιν, ἐν ἦρι δὲ τοῦ αἵματος, ὑγροῦ καὶ θερμοῦ χυμοῦ, καὶ γὰρ καὶ τὸ ἔαρ ἔφη θερμὸν εἶναι καὶ ὑγρὸν, ἐν φθινοπώρῳ δὲ τῆς μελαίνης χολῆς, ξηρᾶς ὑπαρχούσης ὁμοίως τῇ ὥρᾳ. ἔστι μὲν οὖν τις οὐ σμικρὰ ζήτησις καὶ περὶ τῆς τοῦ ἦρος κράσεως, ὅπως λέγεται θερμὸν καὶ ὑγρόν· ἣν διῆλθον ἐπιδεικνὺς ἄμεινον εἶναι λέγειν εὔκρατον αὐτό. καὶ δῆλον ὅτι καὶ τὸ αἷμα κατὰ τὸν αὐτὸν λόγον οὐ θερμὸν καὶ ὑγρὸν, ἀλλ' εὔκρατον. ἔτι δὲ μείζων ἂν ζήτησις γένοιτο παραλελειμμένη τοῖς ἐξηγησα-

ambientis nos aëris constitutione affici ita, ut ficcentur quidem in ficcis ipsius temperamentis, humectentur autem in humidis: ita vero ut incalescant in calidis, refrigerentur in frigidis. Si igitur hiems humida et frigida est, bona ratione in ipsa pituita superat, quum sit frigida et humida: id quod etiam prius ipse ostendit. Ratio autem ipsi et aliis anni temporibus consentire videtur. Nam aestate flava bilis praecellit, quoniam ficca et calida facultate est, vere sanguis, humidus calidusque humor, siquidem et ver calidum esse et humidum praedicavit: in autumno autem atra bilis, quae frigida et ficca est, tempori respondens. Proinde non exigua quaestio de veris temperamento oritur, quomodo calidum et humidum dicatur: quam cum tractarem, ostendi melius esse temperatum ipsum dicere. Qua ratione constat et sanguinem non calidum et humidum, sed temperatum appellari. Praeterea major adhuc quaestio erit ab interpretibus libri omissa, nempe de pituita, quae humida quidem et frigida

μένοις τὸ βιβλίον περὶ τοῦ φλέγματος, ὑγροῦ μὲν καὶ ψυχροῦ τὴν σύστασιν ὄντος, ἐν χειμῶσι δὲ γεννωμένου. διὰ τί δὲ ἔφην οὐ σμικρὰν ἔσεσθαι ζήτησιν, ἤδη σοι φράσω. κατὰ τοὺς ἀφορισμοὺς αὐτὸς ὁ Ἱπποκράτης εἶπεν· αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσι τῇσιν ὥρῃσι καὶ τὰ προσάρματα πλείω δοτέον, καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολύ. τροφῆς οὖν πλείονος δεῖται. σημεῖον δὲ αἱ ἡλικίαι καὶ οἱ ἀθληταί. καὶ πάλιν θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥήϊστα, ἦρος δεύτερον. εἴπερ οὖν ἀληθῆ ταῦτά ἐστι γινώσκομέν τε τὸ φλέγμα, ψυχρὸν ὄντα χυμὸν, οὐκ εὔκρατον, ὥσπερ τὸ αἷμα, πῶς ἐν χειμῶνι γενήσεται πλεῖον; [122] ἐχρῆν γὰρ ἐκ τῆς καλῶς πεφθείσης τροφῆς αἷμα γεννᾶσθαι μᾶλλον, οὐ φλέγμα. τίς οὖν ἡ λύσις τῆς ἀπορίας; ἐμοὶ μὲν δοκεῖ, θερμόταται μὲν αἱ κοιλίαι χειμῶνός εἰσι τῷ κατὰ φύσιν θερμῷ, τουτέστιν εὐκρατόταται. τὰ δὲ μόρια τοῦ σώματος ψύχεται μᾶλλον ἐν χειμῶνι· τισὶ δὲ καὶ ἡ γαστὴρ αὐτὴ δι' ὁδοιπορίαν, ἢ ἔνδειαν ἀμφιεσμά-

consistentia est, sed in hieme generatur. Cur autem dixerim non exiguam fore quaestionem, jam tibi aperiam. Hippocrates ipse in Aphorismis inquit: *ventres hieme et vere natura calidissimi sunt et somni longissimi: itaque per ea tempora cibi liberalius dari debent. Caloris enim nativi copia magna inest, ut cibus proinde plenior requiratur. Argumento aetates sunt et athletae. Et iterum aestate et autumno cibos difficillime ferunt, hieme facillime, mox vere.* Si igitur haec sunt vera et pituitam frigidum humorem, non temperatum novimus, quemadmodum sanguinem, quomodo in hieme copiosior generabitur? Conveniebat enim ex alimento probe concocto sanguinem potius generari quam pituitam. Quae igitur dubitationis solutio? Meo quidem judicio ventres hieme calidissimi sunt naturali calore, hoc est temperatissimi: partes autem corporis refrigerantur magis in hieme: quibusdam et venter ipse ex itinere aut vestium penuria aut studiorum

των, ἢ ἐπιτηδευμάτων ἰδέαν, ἢ τοιοῦτό τι. καταδύεται γοῦν ἅπασα μὲν ἡ τοῦ περιέχοντος ψύξις ἕως πλείστου· τισὶ δὲ καὶ μέχρι τῶν κατὰ τὴν γαστέρα χωρίων, ὡς εἴρηται· ὥστε, κἂν πεφθῇ καλῶς ἐν τῇ κοιλίᾳ τὰ ληφθέντα σιτία, κατά γε τὴν ἐν ἥπατι μεταβολὴν οὐκ ἀκριβῆ τὸν τῆς αἱματώσεως λαμβάνει κόσμον, ἀλλ' ἀποτυγχάνεταί τι κατ' αὐτήν. ἔτι δὲ μᾶλλον αἱ καθ' ὅλον τὸ σῶμα φλέβες οὐχ ὁμοίως αὐτὸ μεταβάλλουσιν ἐψυγμέναι. προσέρχεται δὲ τούτῳ καὶ τὸ πλῆθος τῶν ἐδεσμάτων ὧν προσφέρονται χειμῶνος ἅμα ταῖς ποιότησι φλεγματικωτέραις οὔσαις. χέδροπα γὰρ ἐσθίουσιν ἐν χειμῶνι πολλὰ ἄρτου τε πολὺ πλέον ἢ κατὰ τὰς ἄλλας ὥρας, σεμίδαλίν τε καὶ ῥυήματα καὶ λάχανα, γογγυλίδας τε καὶ κρέα πολλὰ, τινὰ μὲν ἄντικρυς φλεγματώδη, καθάπερ τὰ προβάτεια, τινὰ δὲ, εἰ μὴ καλῶς κατεργασθείη, καθάπερ τὰ τῶν ὑῶν καὶ μάλιστα τῶν χοίρων, καὶ βολβοὺς δὲ καὶ κοχλίας καὶ τυρὸν ἄλλα τέ τινα τοιαῦτα πολλὰ δι' ὅλου τοῦ χειμῶνος ἐσθίουσιν ἑτοίμως φλεγματούμενα. καὶ μέντοι καὶ πίνουσι πλεῖστοι τὸν νέον οἶνον, ἐπιτήδειον ὄντα καὶ αὐτὸν εἰς φλέγματος

genere aut hujusmodi aliquo. Penetrat igitur universum ambientis aëris frigus in corpus quam penitissime, quibusdam etiam usque ad ventris regiones, ut expositum est. Quare licet in ventriculo cibi assumpti probe concocti sint, certe in jecinore dum mutantur, non absolutum sanguinis facti ornamentum recipiunt, sed aliqua ipsius parte frustrantur. Praeterea multo minus totius corporis venae ipsum transmutant refrigeratae. Accedit huc etiam copia ciborum, qui hieme offeruntur, qualitatibus simul pituitosiores. Nam legumina hieme multa comedunt panisque multo amplius quam in aliis anni temporibus, similaginem, placentas seu liba, olera, rapas sativas carnesque multas, quasdam ex iis manifesto pituitosas, sicut ovillas, quasdam, nisi probe conficiantur, uti porcorum et praesertim aprorum. Item bulbis, cochleis, caseo aliisque hoc genus multis per totam hiemem vescuntur, quae facile in pituitam transeunt. Quin etiam bibunt complures vinum

γένεσιν, ὥστε καὶ διὰ ταῦτα φλέγμα πλεονάζει κατὰ τὸν χειμῶνα.

λϛ΄.

Ἔχει μὲν οὖν ταῦτα πάντα ἀΐδια τὸ σῶμα τοῦ ἀνθρώπου. ὑπὸ δὲ τῆς ὥρης περιϊσταμένης ποτὲ μὲν πλείω γίγνεται σφοῖν αὐτὰ ἑωυτέων, ποτὲ δὲ ἐλάσσω, ἕκαστα κατὰ μέρος τε καὶ κατὰ φύσιν.

Ἅπαντα, φησὶν, ἔχει τὰ εἰρημένα, τουτέστι τοὺς τέσσαρας χυμοὺς, τὸ σῶμα τοῦ ἀνθρώπου διὰ παντὸς τοῦ βίου· τοῦτο γὰρ αὐτῷ σημαίνει τὸ ἀΐδια· πλείω δὲ γίγνεται καὶ ἐλάττω ταῦτα κατὰ τὰς τῶν ὡρῶν μεταβολάς. τὸ γὰρ ὑπὸ τῆς ὥρης περιϊσταμένης ταὐτὸ δηλοῖ τῷ μεθισταμένης, ὅπερ ἐστὶ μεταβαλλούσης τε καὶ καθισταμένης εἰς ἑτέραν τινὰ τὴν ἐχομένην αὐτῆς. πλείω δὲ καὶ ἐλάττω ταῦτα γίγνεσθαί φησι κατὰ μέρος τε καὶ κατὰ φύσιν. ἔνιοι μὲν ἤκουσαν τὸ κατὰ μέρος ἐπὶ τῶν τοῦ σώματος εἰρῆσθαι

recens, quod et ipſum pituitae generandae idoneum eſt. Quare his de cauſis pituita hieme redundat.

XXXVI.

Haec igitur omnia perpetua hominis habet corpus, verum prout conſtituitur obſidens anni tempeſtas, interdum quidem ipſa tum ex parte tum ex natura ſe ipſis ſingula ampliora, interdum vero parciora redduntur.

Omnia, inquit, commemorata, hoc eſt, quatuor humores corpus humanum toto vitae curriculo continet: id enim ſignificat ipſi *perpetua*. Augeſcunt autem imminuunturque haec, prout anni tempora mutantur. Nam *prout conſtituitur anni tempeſtas* idem ſignificat ac transmutatur, hoc eſt, transfertur et migrat in alterum quem ipſa induit ſtatum. Porro quod augeſcere haec et imminui ſecundum partem et ſecundum naturam dicit, nonnulli quidem *ſecundum partem* intelligunt de corporis partibus eſſe

μορίων, ἔνιοι δὲ τὸ ἐναντίον τῷ κατὰ φύσιν, ἵν᾽ ὁ λόγος ᾖ τοιοῦτος· τοὺς εἰρημένους τέτταρας χυμοὺς ἔχει μὲν ἀεὶ τὸ σῶμα τοῦ ἀνθρώπου, πλείους δὲ καὶ ἐλάττους κατά τε τὰ μέρη τοῦ ἐνιαυτοῦ καὶ κατὰ τὴν φύσιν. ὅπερ, ἂν ἐξαλλάξας τις τὴν λέξιν εἴπῃ, τὴν διάνοιαν ἕξει χρησίμην τε καὶ ἀληθῆ. τὸ γὰρ πλῆθος τῶν χυμῶν ὑπαλλάττεται κατά τε τὰς ὥρας κατὰ φύσιν διοικουμένου τοῦ ἐνιαυτοῦ καὶ κατὰ τὰ μέρη τοῦ ὅλου ἐνιαυτοῦ· κἂν μὴ κατὰ φύσιν διοικῆται, διαφορὰ κατὰ τὴν ποσότητα γίγνεται τῶν χυμῶν. ἐγχωρεῖ δὲ καὶ κατὰ τῶν ὡρῶν ἀκοῦσαι τὰ μέρη.

λζ'.

[123] Ὥσπερ γὰρ ὁ ἐνιαυτὸς μετέχει μὲν πᾶς πάντων καὶ τῶν θερμῶν καὶ τῶν ψυχρῶν καὶ τῶν ξηρῶν καὶ τῶν ὑγρῶν. οὐδὲ γὰρ ἂν μείνειε τουτέων οὐδὲν οὐδένα χρόνον ἄνευ πάντων τῶν ἐνεόντων ἐν τῷδε τῷ κόσμῳ, ἀλλ᾽ εἰ ἕν τι ἐκλίποι, πάντα ἂν ἀφανισθείη. ἀπὸ γὰρ τῆς αὐτέης ἀνάγκης πάντα ξυνέστηκέ τε καὶ τρέφεται ἀπ᾽ ἀλλήλων.

dictum, nonnulli vero ei quod ſecundum naturam dixit contrarium, ut oratio ſit talis. Quatuor humores memoratos humanum corpus ſemper obtinet, copioſiores autem et pauciores pro anni partibus et pro natura. Quod ſi mutata oratione quis dicat, ſenſum habebit tum utilem tum verum. Nam humorum copia ſecundum anni tempora variat, ſi annus ſecundum naturam diſpenſetur, et ſecundum totius anni partes, etiamſi non ſecundum naturam gubernetur, humores quantitate differunt. Poſſunt etiam de anni temporibus partes intelligi.

XXXVII.

Ut enim univerſus annus omnium quidem et calidorum et frigidorum et ſiccorum et humidorum eſt particeps: neque enim eorum quicquam ne minimo quidem tempore ſine omnibus, quae hoc in mundo exiſtunt, conſiſteret, imo, ſi unum quidpiam deſit, omnia aboleantur. Nam eadem neceſſitate omnia et conſtituta ſunt et ab invicem aluntur.

(16) Τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν οὐ τὸ κατὰ τὴν ἐπικράτειαν ὀνομαζόμενόν τε καὶ νοούμενον, ἀλλὰ τὸ στοιχειῶδες λέγων καὶ κατὰ τὴν προκειμένην λέξιν ἐδήλωσε τὸν ἐνιαυτὸν εἰπὼν ἅπαντα πάντων μετέχειν. οὐ γὰρ τῶν κατ' ἐπικράτειαν ἁπάντων ἅπας ὁ ἐνιαυτὸς μετέχει, ἀλλὰ τῶν στοιχειωδῶν, ὅλος μὲν χειμὼν ὑγροῦ καὶ ψυχροῦ, τὸ δὲ θέρος τῶν ἐναντίων, ξηροῦ τε καὶ θερμοῦ, ὁ δὲ φθινόπωρος ψυχροῦ τε καὶ ξηροῦ. ἔτι δὲ σαφέστερον ἐδήλωσε τοῦτο κἀν τῷ φάναι διαφθαρήσεσθαι καὶ τὰ ἄλλα φθάσαντος ἑνὸς ἐξ αὐτῶν ἀπολέσθαι, τῶν μὲν γὰρ στοιχείων ἑνὸς ἀπολλυμένου διαφθαρήσεσθαι τὸ ἐξ αὐτῶν συγκείμενον ἀληθὲς φάναι, τῶν δὲ κατ' ἐπικράτειαν οὐκ ἀληθές. αὐτὸ γὰρ τοὐναντίον ἀληθές ἐστιν, ὅταν ἀπόληταί τι τῶν κατ' ἐπικράτειαν λεγομένων, σώζεσθαι τὸ ἀντικείμενον αὐτῷ. θέρους μὲν γὰρ οὐκ ὄντος ὁ χειμών ἐστι, χειμῶνος δὲ τὸ θέρος, καὶ τοῦ μὲν ἦρος τὸ φθινόπωρον, τοῦ δὲ φθινοπώρου τὸ ἔαρ. εἰ δὲ τελέως ἀπόλλυται τὸ θερμὸν στοιχεῖον, παγήσεται μὲν τὸ ὑγρὸν, ὅτι μηκέτι θερμὸν

Calidum, frigidum, ſiccum et humidum non quod per exuperantiam nominatur conſideraturque, ſed elementarium intelligens etiam in propoſita oratione indicavit, ubi inquit, annum univerſum omnium eſſe participem. Non enim eorum omnium, quae per excellentiam dicuntur, univerſus annus compos eſt, ſed elementarium: tota quidem hiems humidi et frigidi, aeſtas contrariorum, ſicci et calidi, autumnus frigidi et ſicci. Praeterea manifeſtius hoc innuit, quum diceret interitura etiam alia, ſi unum ex ipſis interierit. Etenim quum unum ex elementis perit, id quod ex ipſis compoſitum eſt corruptum iri vera eſt oratio: quum ex his, quae per excellentiam nominantur, falſa. Quippe contrarium ipſum verum eſt: quum aliquid ex illis perit, quae ex dominio appellationem ſortiuntur, oppoſitum ipſi conſervari. Quum enim aeſtas non eſt, hiems eſt; quum hiems non eſt, aeſtas eſt; quum ver abeſt, autumnus eſt; quum autumnus non eſt, ver eſt. At ſi omnino calidum elementum perierit, humidum qui-

ὑπάρχει, ἀπολεῖται δὲ παντάπασιν ὁ ἥλιος, οὐδὲν δὲ οὔτε φυτὸν οὔτε ζῶον ὑπολειφθήσεται. κατὰ δὲ τὸν αὐτὸν λόγον, εἰ τὸ ψυχρὸν ἀπόλοιτο στοιχεῖον, ἅπαντα πῦρ ἔσται, καὶ εἰ τὸ ξηρὸν, ὕδωρ ἔσται πάντα, καὶ οὕτω διαφθαρήσεται τὰ κατὰ τὸν κόσμον ἅπαντα γεννητὰ σώματα. διὰ τοῦτ' οὖν ἐξ ἀλλήλων ἔφη τρέφεσθαι τὰ κατ' αὐτὸν σώματα στοιχειώδη. τὸ μὲν γὰρ ἀκριβὲς στοιχεῖον ἐπινοεῖται μᾶλλον ἢ ὑπάρχει. τὸ δ' ὀλίγου δεῖν ἐκείνῳ ταὐτὸ ἕν τι τῶν ὑπαρχόντων ἐστίν. ἐὰν γοῦν ἀκριβῶς ὑγρὸν καὶ ψυχρὸν ἐπινοήσῃς γιγνόμενον τὸ ὕδωρ, οὐδὲ ὕδωρ ἔτι φυλαχθήσεται· παγήσεται γὰρ αὐτίκα καὶ στήσεται καὶ ῥέον παύσεται. κἂν τὴν γῆν ὡσαύτως νοήσῃς ἀκριβῶς ξηρὰν καὶ ψυχρὰν, σκληρότερον ἀδάμαντος ἔσται τὸ τοιοῦτο σῶμα. καὶ μὴν εἰ τοιαύτη γένοιτο, τῶν φυτῶν ἡ γένεσις παύσεται· παυσαμένης δ' αὐτῆς καὶ ἡ τῶν ζώων διαφθαρήσεται τροφὴ, καὶ εἴπερ αὐτὴ, δηλονότι καὶ αὐτὰ τὰ ζῶα. κατ' ἐπικράτειαν οὖν νοουμένου στοιχείου τοῦ ξηροῦ καὶ ψυχροῦ καὶ

dem concrefcet, quoniam non amplius calidum eft. Sin autem fol omnino interit, nulla planta neque animal relinquetur. Eadem ratione, fi frigidum elementum pereat, omnia ignis erunt, et fi ficcum, aqua erunt omnia, atque fic univerfa in mundo generata corpora corrumpentur. Idcirco dixit elementaria in ipfo corpora ex fe invicem nutriri: nam exactum elementum intelligitur magis quam fit. Quod vero cum illo propemodum idem eft, unum aliquod eft ex eorum numero, quae fubfiftunt. Si igitur abfolute humidam frigidamque aquam fieri cogites, non aqua adhuc fervabitur: quippe ftatim concrefcet, fubfiftet et fluere ceffabit. Item fi terram fimili modo ad amuffim ficcam frigidamque confideraveris, durius adamante tale corpus erit. Atque fi ejusmodi evaferit, ftirpium generatio definet. Ubi autem haec defierit, etiam animalium nutrimentum abolebitur, et fi hoc, nimirum ipfa etiam animantia. Quum igitur elementum per excellentiam intelligitur ficcum et frigidum et terra quae in mundo eft, ficcum effe et frigidum corpus dicitur et aqua humidum.

ἡ ἐν τῷ κόσμῳ γῆ λέγεται ξηρὸν εἶναι καὶ ψυχρὸν σῶμα καὶ τὸ ὕδωρ ὑγρόν. ἀλλὰ καὶ αὐτὸ τὸ πῦρ μετέχει τινὸς ἀερώδους οὐσίας, ὥσπερ καὶ καπνώδους, καὶ μέντοι καὶ προφανῶς ὑγρότητος εἰς θρέψιν δεῖται, καθάπερ αἱ κατὰ τοὺς λύχνους φλόγες δηλοῦσι. τὰ τοῦ κόσμου οὖν στοιχεῖα τὴν τροφὴν ἐξ ἀλλήλων ἔχοντά ἐστι καὶ διὰ τοῦτο καὶ ὁ Πλάτων εἶπεν· αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ καὶ φθίσιν παρέχον καὶ πάντα ἐν αὐτῷ καὶ ὑπ' αὐτοῦ καὶ πάσχον καὶ δρῶν ἐκ τέχνης γέγονεν.

λη'.

[124] *Οὕτω δὲ καὶ εἴ τι ἐκ τοῦ ἀνθρώπου ἐκλίποι τουτέων τῶν συγγεγονότων, οὐκ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος.*

Συγγεγονότα κέκληκε τὸ αἷμα καὶ τὸ φλέγμα καὶ τὰς χολὰς, ἐπειδὴ τὴν πρώτην διάπλασιν ἔσχε τὸ κυούμενον ἐκ τοῦ τῆς μητρὸς αἵματος, ἁπάντων μετέχοντος, αὔξησίν τε καὶ τροφὴν ὁμοίως. ἐὰν μὲν οὖν ἀπόλλυται παντάπασιν ἐκ τοῦ σώματος ἡμῶν ἤτοι τὸ ὑγρὸν, ἢ τὸ ξηρὸν, ἢ τὸ

Verum ignis ipſe cujusdam aëriae etiam ſubſtantiae, ſicut et ſumoſae particeps eſt, quin et humiditatis ad nutritionem manifeſto indiget, ſicuti in lucernis flammae oſtendunt. Quapropter mundi elementa alimentum ex ſe mutuo obtinent, atque ideo Plato quoque dixit: idem enim ut ſibi alimentum ſuum et corruptionem exhibeat ac omnia in ſe et a ſe tum patiatur tum agat artificioſe ſabricatum eſt.

XXXVIII.

Ita etiam ſi quid ex his quae in homine ſunt connata defecerit, is utique vivere nequeat.

Cognata vocavit ſanguinem, pituitam et utramque bilem, quandoquidem primam conformationem habuit conceptum ex materno ſanguine omnium participe, item incrementum alimentumque ſimiliter. Si igitur omnino ex corpore noſtro vel humidum vel ſiccum vel calidum vel

θερμὸν, ἢ τὸ ψυχρὸν, αὐτίκα οἱ χυμοὶ διαφθαρήσονται, κατ' ἐπικράτησιν, οὐκ εἰλικρινῶς οὐδ' ἀκριβῶς ὄντες ὑγροὶ καὶ ξηροὶ καὶ θερμοὶ καὶ ψυχροί. τὸ γοῦν φλέγμα ὑγρὸν καὶ ψυχρὸν εἶναι λέγομεν, οὐχ ὡς μὴ μετέχον τῶν ἐναντίων, ἀλλ' ὡς ἐπικρατούμενον ὑπὸ τούτων. καὶ εἴ γε ψυχρὸν ἀκριβῶς ἦν μόνον, ὡς κρύσταλλος ἂν ἐπεπήγει, καθάπερ γε καὶ εἰ ἀκριβῶς ὑγρὸν ἦν, οὐκ ἂν εἶχε πάχος οὐδὲ γλισχρότητα. κατὰ τὰ αὐτὰ δὲ κἀπὶ τῶν χολῶν· ἥ τε γὰρ ξανθὴ ξηρὰ ἥ τε μέλαινα ξηρὰ καὶ γεώδης εἶναι λέγεται, μετέχουσα δηλονότι καὶ ὑγρότητος, ἢ οὐκ ἂν ἦν χυμὸς, ἀλλὰ καὶ στερεὸν σῶμα, ὡς ὁ ἀδάμας. οὕτω δὲ καὶ ψυχρὰ λέγεται, διότι πλέον ἐν αὐτῇ ψυχρότητός ἐστιν, ἢ θερμότητος. εἰ γοῦν ἀκριβῶς ἦν ψυχρὰ, κρυστάλλου ἂν δίκην ἐπεπήγει. καὶ τί δεῖ περὶ τούτων λέγειν; αὐτὸ γὰρ τὸ αἷμα τὸ δοκοῦν εὐκρατότατον λέγεται τοιοῦτο, ὅτι μηδὲν ἐπικρατεῖ μεγάλως ἐν αὐτῷ τῶν ἐναντίων ἀλλήλοις, μήτε τὸ θερμὸν τοῦ ψυχροῦ, μήτε τὸ ψυχρὸν τοῦ θερμοῦ, μήτε τὸ ὑγρὸν τοῦ ξηροῦ, μήτε τὸ ξηρὸν τοῦ ὑγροῦ. ἐπεὶ τοίνυν

frigidum interit, ſtatim humores corrumpentur, qui per exuperantiam, non ſincere neque abſolute ſunt humidi, ſicci, calidi et frigidi. Nam pituitam humidam et frigidam eſſe dicimus, non ceu contrariorum expertem, ſed veluti ab his ſuperatam. Et ſi frigida abſolute eſſet ſolum, glaciei modo concreſceret: ſicut etiam, ſi humida ad amuſſim eſſet, non haberet craſſitiem neque lentorem. Eadem ratione dicitur et de utraque bile: nam flava ſicca, nigra ſicca et terrea eſſe dicitur, humiditatis etiam nimirum particeps: alioqui non eſſet humor, ſed ſolidum corpus, ut adamas. Sic autem et frigida dicitur, quod plus in ea frigoris ſit quam caloris: nam ſi abſolute eſſet frigida, glaciei inſtar concreſceret. Sed quid opus eſt de iis verba facere? Ipſe namque ſanguis, qui videtur temperatiſſimus, talis dicitur, quod nihil in ipſo contrariorum inter ſe admodum praepolleat, neque calidum frigido, neque frigidum calido, neque humidum ſicco, neque ſiccum humido. Quoniam igitur et ſanguis ipſe quatuor indiget

δεῖται καὶ τὸ αἷμα αὐτὸ τῶν τεττάρων ποιοτήτων, ὑγρότητος καὶ ξηρότητος καὶ θερμότητος καὶ ψυχρότητος, εὔδηλον ὅτι καὶ τῆς τῶν ἄλλων χυμῶν δεήσεται μίξεως. καὶ διὰ τοῦτο τὸ εὐκρατότατον αἷμα μεθέξει τι καὶ φλέγματος καὶ χολῆς ξανθῆς καὶ μελαίνης. ἔστι δὲ καὶ ἕτερός τις λόγος φυσικὸς, οὐ σμικρὰν ἔχων πιθανότητα, καθ' ὃν εἰς ἠθῶν ἐπιτηδείων γένεσιν οἱ τέτταρες ἀποδείκνυνται χυμοὶ χρήσιμοι. προαποδεῖξαι δὲ χρὴ πάλιν ἐν αὐτῷ ταῖς τοῦ σώματος κράσεσιν ἑπόμενα τὰ τῆς ψυχῆς ἤθη, περὶ οὗ καὶ ἡμῖν ἑτέρωθι γέγραπται. τούτου τοίνυν ὑποκειμένου τὸ μὲν ὀξὺ καὶ συνετὸν ἐν τῇ ψυχῇ διὰ τὸν χολώδη χυμὸν ἔσται, τὸ δ' ἑδραῖον καὶ βέβαιον διὰ τὸν μελαγχολικὸν, τὸ δ' ἁπλοῦν καὶ ἠλιθιώτερον διὰ τὸ αἷμα. τοῦ δὲ φλέγματος ἡ φύσις εἰς μὲν ἠθοποιΐαν ἄχρηστος, ἀναγκαίαν δὲ φαίνεται τὴν γένεσιν ἔχειν ἐν τῇ πρώτῃ μεταβολῇ τῶν σιτίων.

λθ'.

Ἰσχύει δὲ ἐν τῷ ἐνιαυτῷ ποτὲ μὲν ὁ χειμὼν μάλιστα, ποτὲ

qualitatibus, humiditate, ſiccitate, calore et frigore, conſtat aliorum quoque humorum mixtionem ipſum requirere; atque ob id temperatiſſimus ſanguis particeps erit et pituitae et bilis flavae et atrae. Jam vero eſt alia quaedam ratio naturalis non parvam habens probabilitatem, qua humores quatuor ad morum idoneorum generationem utiles demonſtrantur. Verum prius demonſtraſſe in ipſa rurſum oportet animi mores corporis temperaturam ſequi, de quo a nobis etiam alibi ſcriptum eſt. Itaque hoc ſtatuto acumen animi et ſolertia ex bilioſo humore proficiscetur; conſtantia vero et ſtabilitas ex melancholico, ſimplicitas autem et ſtoliditas, ex ſanguine: pituitae vero natura ad mores formandos inutilis. Neceſſariam vero in prima ciborum mutatione generationem habere videtur.

XXXIX.

Ut autem in anno modo hiems maxime, interdum ver, in-

δὲ τὸ ἔαρ, ποτὲ δὲ τὸ θέρος, ποτὲ δὲ τὸ φθινόπωρον. οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ ποτὲ μὲν τὸ φλέγμα ἰσχύει, ποτὲ δὲ τὸ αἷμα, ποτὲ δὲ χολὴ, πρῶτον μὲν ἡ ξανθὴ, ἔπειτα δὲ ἡ μέλαινα καλεομένη.

Σαφὴς ἡ ῥῆσίς ἐστιν ἐπιδεικνύναι πειρωμένου τἀνδρὸς, ὥσπερ ἐν τῷ ἐνιαυτῷ ποτὲ μὲν ὑγρὸν καὶ τὸ ψυ- [125] χρὸν ἐπικρατεῖ καὶ καλεῖται χειμὼν ἡ τοιαύτη τοῦ ἔτους ὥρα, ποτὲ δὲ τὸ ὑγρὸν καὶ θερμὸν, ἡνίκα τὸ ἔαρ ἐστὶ, ποτὲ δὲ τὸ ξηρὸν καὶ θερμὸν, ὅπερ ὀνομάζεται θέρος. ὕστατον δ' ἐπ' αὐτοῖς τὸ ξηρὸν καὶ τὸ ψυχρὸν ἐν τῷ φθινοπώρῳ· οὕτω καὶ κατὰ τὸν ἄνθρωπον ἐπικρατεῖ φλέγμα μὲν ἐν χειμῶνι, ψυχρὸς καὶ ὑγρὸς χυμός· αἷμα δὲ ἐν ἦρι, θερμὸς καὶ ὑγρὸς χυμός. καὶ χολὴ ξανθὴ μὲν ἐν τῷ θέρει, ξηρὰ καὶ θερμὴ τὴν δύναμιν οὖσα, μέλαινα δ' ἐν τῷ φθινοπώρῳ ξηρὰ καὶ ψυχρὰ, καθάπερ καὶ αὐτὸ τὸ φθινόπωρον.

---

terdum aestas, nonnunquam autumnus viget, sic quoque in homine modo quidem pituita invalescit, modo sanguis, interdum etiam bilis, primum quidem flava, deinde quae atra vocatur.

Clara est viri sententia, qui ostendere nititur, quemadmodum in anno alias humidum et frigidum praepollet, vocaturque tale anni tempus hiems, alias humidum et calidum, quando ver est, alias siccum et calidum, quae aestas nominatur; postremo ad haec siccum et frigidum in autumno; sic et in homine praevalet pituita quidem hieme, humor frigidus et humidus: sanguis in vere calidus et humidus; flava bilis aestate, sicca et calida facultate praedita; nigra in autumno, sicca et frigida, quemadmodum et ipse autumnus existit.

μ'.

Μαρτύριον δὲ σαφέστατον, εἰ ἐθέλεις δοῦναι τῷ αὐτέῳ ἀνθρώπῳ τὸ αὐτὸ φάρμακον τετράκις τοῦ ἐνιαυτοῦ, ἐμέεταί σοι τοῦ μὲν χειμῶνος φλεγματωδέστατα, τοῦ δὲ ἦρος ὑγρότατα, τοῦ δὲ θέρεος χολωδέστατα, τοῦ δὲ φθινοπώρου μελάντατα.

(17) *Μαρτύριον δὲ σαφέστατον εἶναί φησι τοῦ προειρημένου λόγου, καθ' ὃν ἐπικρατεῖν ἐν ἑκάστῃ τῶν ὡρῶν ἕνα τινὰ τῶν χυμῶν εἰρήκει, τὸ δοθέντος ἐμετικοῦ φαρμάκου αὐτῷ τετράκις ἐν μὲν τῷ χειμῶνι φλεγματωδέστερον εἶναι τὸν ἔμετον, ὑγρότερον δὲ ἐν ἦρι, καὶ χολωδέστερον μὲν ἐν τῷ θέρει, μελάντερον δὲ ἐν τῷ φθινοπώρῳ.*

μα'.

Ὀφείλει οὖν τουτέων οὕτως ἐχόντων, ὁκόσα μὲν τῶν νουσημάτων τοῦ χειμῶνος αὔξεται, θέρεος λήγειν, ὁκόσα δὲ θέρεος αὔξεται, χειμῶνος λήγειν, ὁκόσα μὴ αὐτέων ἐν περιόδῳ ἡμερέων ἀπαλλάσσεται. τὴν δὲ περίοδον αὖθις

XL.

Cujus rei evidentissimum est testimonium, quod si eidem homini idem medicamentum quater in anno exhibere voles, hieme quidem maxime pituitosa tibi evomet, vere autem valde humida, aestate admodum biliosa et autumno nigerrima.

Testimonium praedicti sermonis manifestissimum esse dicit, in quo singulos humores singulis anni temporibus dominari docuerat, nempe quod vomitus, si medicamentum quater in anno quod illum citet propinetur, hieme sit pituitosior, vere humidior; aestate biliosior et autumno nigrior.

XLI.

Quum igitur haec ita se habeant, quicunque morbi hieme augescunt, eos aestate desinere necesse est, et qui aestate increscunt, eos hieme cessare, nisi certo dierum circuitu solvantur; dierum autem circuitum quis sit *alias sum*

φράσω τὴν τῶν ἡμερέων. ὁκόσα δὲ ἦρος γίνεται νουσήματα, προσδέχεσθαι χρὴ φθινοπώρου τὴν ἀπάλλαξιν ἔσεσθαι αὐτέων. ὁκόσα δὲ φθινοπωρινὰ νουσήματα, τουτέων τοῦ ἦρος ἀνάγκη τὴν ἀπάλλαξιν γενέσθαι. ὅ τι δ' ἂν τὰς ὥρας ταύτας ὑπερβάλλῃ νούσημα, εἰδέναι χρὴ ἐνιαύσιον αὐτὸ ἐσόμενον.

Ἡ ἀρχὴ τῆς ῥήσεως διττὴν ἔχει γραφήν. ἐνίων μὲν ὀφείλει, ἐνίων δὲ γραφόντων φιλεῖ γοῦν τουτέων οὕτως ἐχόντων, ἐν ἴσῳ τῷ προσήκει. χρῶνται γὰρ ἐνίοτε τῇ φωνῇ ταύτῃ κἀπὶ τοῦ προσήκει. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα. βούλεται γὰρ αὐτὸς ὅσα χρονίζει νοσήματα καὶ μὴ κατὰ περιόδους ἡμερῶν, ἀλλὰ μηνῶν γίνεται, λύεσθαι ταῦτα κατὰ τὴν ἐναντίαν ὥραν ᾗ συνέστη, τουτέστιν ἑβδόμῳ μηνί. μὴ λυθέντων δ' αὐτῶν, οὕτως ἐνιαύσιον γίγνεσθαί φησι τὸ νόσημα. τὸ δ' ἐνιαύσιον ὄνομα δύναται μὲν δηλοῦν καὶ τὸν μετὰ ἐνιαυτὸν τῆς πρώτης ἑαυτοῦ γενέσεως λυόμενον. δύναται δὲ καὶ τὸ κατὰ περίοδον ἐνιαυτῶν ἑπτὰ,

explicaturus. Quicunque autem morbi vere fiunt, eorum futurum discessum autumno expectare oportet: qui vero autumnales morbi sunt, eorum discessum vere fieri necesse est. At qui morbus eas anni tempestates superarit, hunc annuum fore sciendum est.

Initium sententiae duplicem habet scripturam. Nonnulli legunt ὀφείλει (convenit); nonnulli φιλεῖ, quod idem valet ac par est, seu convenit. Utuntur enim nonnunquam voce hac pro convenit. Reliqua perspicua sunt. Vult enim auctor morbos qui diuturni redduntur et non dierum, sed mensium circuitibus fiunt, hos contrario anni tempore ei quo generati sunt, hoc est septimo mense finiri: in quo si non soluti fuerint, annuum fieri morbum pronunciat. Porro annuum nomen potest significare etiam eum, qui post annum primae suae generationis solvitur. Potest etiam eum innuere, qui septem annorum circuitu

ὡς τὰ μηνῶν. ἔλεγε γοῦν καὶ κατὰ τοὺς ἀφορισμοὺς ὧδε. τὰ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δ' ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς ἥβην προσάγουσιν.

μβ'.

[126] *Καὶ τὸν ἰητρὸν οὕτω χρὴ ἵστασθαι πρὸς τὰ νουσήματα, ὡς ἑκάστου τουτέων ἰσχύοντος ἐν τῷ σώματι κατὰ τὴν ὥρην τὴν ἑωυτοῦ κατὰ φύσιν ἐοῦσαν μάλιστα.*

Τὸ χρήσιμον ἅπαντος τοῦ προκειμένου κατὰ τὰς ὥρας λόγου νῦν ἐδίδαξεν ἐν τῇ προκειμένῃ ῥήσει, δηλῶν ὅτι καὶ τὴν αὐτὴν χρείαν ἔχει καὶ ὁ περὶ τῶν ἡλικιῶν καὶ χωρῶν ἐπιτηδευμάτων τε καὶ τῆς ἐφημέρου διαίτης λόγος. πρὸς ἅπαντα γὰρ ταῦτα τὸν ἰατρὸν ἀποβλέποντα χρὴ στοχάζεσθαι τίς ἐπικρατῶν ἐστιν ὁ χυμὸς ἤτοι κατὰ τὸ ποσὸν, ἢ κατὰ τὴν ἑαυτοῦ δύναμιν, ἔν τινι τε μορίῳ τοῦ σώματος μάλιστα πλεονάζει; τὴν γάρ τοι θεραπείαν ἄριστα

ut feptem menfium finitur. Etenim in aphorifmis ita quoque dixit: *plurimi affectus puerorum judicantur aut intra quadragefimum diem, aut intra feptimum menfem, aut intra feptimum annum, aut quum ad pubertatem itur.*

XLII.

Atque ita medicum adverfus morbos infurgere oportet, ut non ignorantem *morbum in corpore pro anni tempeftate illi maxime naturali et analoga invalefcere.*

Ad quid tota fuperior de anni temporibus disputatio valeat, nunc in praefenti oratione edocuit indicans eundem quoque ufum praebere de aetatibus, locis, vitae ftudiis et quotidiana victus ratione enarrationem. Namque medicum ad haec omnia refpicientem oportet conjicere, quis humor dominetur aut quantite, aut ipfius facultate in aliqua potiffimum corporis parte redundet? Sic enim curationem optime obierit, ficut in medendi inftitutionibus

ἂν οὕτω ποιοῖτο, καθάπερ κἀν τοῖς θεραπευτικοῖς λογισμοῖς δείκνυται. ὁ Ἱπποκράτης τοῦ σώματος ἡμῶν τὴν φύσιν ἐν τούτῳ τῷ βιβλίῳ προθέμενος εὑρεῖν, ἐχρήσατο μεθόδῳ πρὸς τὴν εὕρεσιν τῇδε. πρῶτον μὲν ἐζήτησε πότερον ἁπλοῦν, ἢ πολυειδές ἐστιν, ἔπειθ᾽ εὑρὼν ὅτι πολυειδὲς, ἐσκέψατο τῶν ἁπλῶν ἐν αὐτῷ τὴν οὐσίαν, ὁποία τίς ἐστι, τουτέστιν ἥντινα δύναμιν ἔχει πρὸς τὸ παθεῖν ὑπό τινος, ἢ δρᾶσαι, καὶ διὰ τοῦτο τῶν θ᾽ ὡρῶν τῶν θ᾽ ἡλικιῶν ἐμνημόνευσεν, ἐπισκοπούμενος ὅπως ἔχει τὰ εὑρεθέντα στοιχεῖα πρὸς αὐτάς. εὗρε δὲ καὶ ὅτι τάς τε προῤῥήσεις τῆς λύσεως τῶν νοσημάτων καὶ τὰς θεραπείας ἐπὶ τοὺς αὐτοὺς ἀναφέρειν χρὴ σκοπούς. ἐν δὲ τῷ ζητεῖν τὰ συνθετικὰ τοῦ σώματος ἡμῶν στοιχεῖα καὶ τῶν τοῦ παντὸς ἐμνημόνευσεν, ἅπερ ὄντως ἐστὶ στοιχεῖα. λέγεται γὰρ ἐνίοτε καταχρωμένων ἡμῶν καὶ τὰ καθ᾽ ἕκαστον πρᾶγμα πρὸς διάρτησιν, ἁπλᾶ καὶ πρῶτα μόρια, στοιχεῖα τοῦ πράγματος ἐκείνου, καθάπερ ἁρμονικὰ στοιχεῖα καὶ ῥυθμητικὰ καὶ γεωμετρικὰ καὶ ἀριθμητικὰ καὶ λόγου καὶ φωνῆς καὶ ἀποδείξεως εἰρη-

docetur. Hippocrates quum corporis noſtri naturam hoc in libro propoſuiſſet invenire, hac methodo ad inventionem uſus eſt. Primum ſane disquiſivit utrum ſimplex, an multiplex eſſet; deinde ubi inveniſſet eſſe multiplex, ſimplicium in eo ſubſtantiam qualis ſit inſpexit, hoc eſt quam facultatem habeat, ut ab aliquo patiatur aut agat. Et hujus rei gratia anni temporum aetatumque meminit, conſiderans quomodo elementa a ſe inventa ipſis reſpondeant. Item invenit et morborum ſolutionis praedictiones et curationes ad eosdem referendas eſſe ſcopos. At dum elementa corpus noſtrum conſtituentia inveſtigaret, etiam univerſi mundi elementorum commeminit, quae revera ſunt elementa. Dicuntur enim nonnunquam per abuſionem vocabuli, cujusque rei ad compoſitionem ſimplices et primae partes, illius rei elementa: quemadmodum muſica elementa, rhythmica, geometrica, arithmetica, orationis, vocis et demonſtrationis dixerunt.

κασιν. οὕτω δὲ καὶ ἁμάξης ἑκατὸν εἶναι στοιχεῖά φησιν ὁ Πλάτων ὑφ' Ἡσιόδου λελέχθαι γράψαντος

Ἑκατὸν δέ τε δούραθ' ἁμάξης.

ἅπαντα μὲν τὰ οὕτω λεγόμενα στοιχεῖα καθ' ἕκαστον τῶν πραγμάτων οὐκ ἀκριβῶς ἐστιν ἁπλᾶ καὶ πρῶτα. τὰ δὲ κοινὰ πάντων τῶν ὄντων ἁπλᾶ τε καὶ πρῶτα κατ' ἀλήθειάν εἰσι καὶ κυρίως ὀνομάζεται στοιχεῖα. καλεῖ δὲ ἀπὸ τῶν ποιοτήτων ὁ Ἱπποκράτης αὐτὰ θερμὸν καὶ ψυχρὸν ὑγρόν τε καὶ ξηρὸν, οὐ τὰ μεταξὺ τῶν ἄκρων, ἀλλ' αὐτὰ τὰ ἄκρα, πῦρ δηλονότι καὶ γῆν ὕδωρ τε καὶ ἀέρα. ταύτην οὖν τὴν μέθοδον ὁ Πλάτων ἀξιοῖ μιμεῖσθαι καὶ τὸν περὶ φύσεως ψυχῆς ἐπισκοπούμενον. οὐδὲν γὰρ δύνασθαι τῶν κατὰ μέρος ἄνευ τῆς τοῦ ὅλου φύσεως ἀκριβῶς γνωσθῆναι. παραγράφω δέ σοι καὶ αὐτὴν τὴν τοῦ Πλάτωνος ῥῆσιν ἔχουσαν οὕτως. ΣΩ. ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατανοῆσαι οἴει δυνατὸν εἶναι ἄνευ τῆς τοῦ ὅλου φύσεως; ΦΑΙ. εἰ μὲν οὖν Ἱπποκράτει τῷ τῶν Ἀσκληπιαδῶν δεῖ

Similiter etiam plauftri centum elementa ab Hefiodo effe dicta Plato commemorat in eo hemiftichio

Centum lignaque plaftri.

Omnia fane quae fic dicuntur fingularum rerum elementa non ad amuffim fimplicia funt et primaria, communia vero omnium rerum fimplicia et prima vere exiftunt et proprie nominantur elementa. Hippocrates autem a qualitatibus ipfa denominat, calidum, frigidum, humidum et ficcum, non quae media extremorum funt, fed ipfa fumma, ignem videlicet et terram et aquam et aërem. Hanc igitur methodum Plato cenfuit fibi imitandam, quum de natura animae confideraret. Nullum enim particulare citra totius naturam exacte poffe cognofci. Adfcribam autem tibi ipfam Platonis dictionem, quae hunc in modum habet. *SO. Animae igitur naturam fine totius natura intelligere te, ut convenit, poffe arbitraris? PHAE. Si fane Hippocrati ex Afclepiadarum genere credendum eft,*

τι πείθεσθαι, οὐδὲ περὶ σώματος ἄνευ τῆς μεθόδου ταύτης. ΣΩ. καλῶς γὰρ ὦ ἑταῖρε λέγει. χρὴ μέντοι πρὸς τῷ Ἱπποκράτει τὸν λόγον ἐξετάζοντας σκοπεῖν εἰ συμφωνεῖ. ΦΑΙ. φημί. [127] ΣΩ. καὶ τί ποτε λέγει Ἱπποκράτης τε καὶ ὁ ἀληθὴς λόγος, ἆρ' οὐχ ὧδε; διανοεῖσθαι χρὴ περὶ ὁτιοῦν φύσεως πρῶτον μὲν εἰ ἁπλοῦν, ἢ πολυειδές ἐστιν, οὗ πέρι βουλησόμεθα εἶναι αὐτοὶ τεχνικοὶ καὶ ἄλλους δυνατοὶ ποιεῖν· ἔπειτα δὲ, ἂν μὲν ἁπλοῦν ᾖ, σκοπεῖν τὴν δύναμιν αὐτοῦ, τίνα πρὸς τί πέφυκεν εἰς τὸ δρᾷν ἔχον, ἢ τίνα εἰς τὸ παθεῖν ὑπὸ τοῦ. ἐὰν δὲ πλείω εἴδη ἔχῃ, ταῦτα ἀριθμησάμενοι, ὅπερ ἐφ' ἑνὸς, τοῦτ' ἰδεῖν ἐφ' ἑκάστου, τὸ τί ποιεῖν αὐτὸ πέφυκεν, ἢ τὸ τί παθεῖν ὑπὸ τοῦ. ἀλλὰ ταῦτα Πλάτωνος οὑτωσὶ γράψαντος ἐπιδειξάτω τις ἡμῖν ἐν τίνι βιβλίῳ τοῦ Ἱπποκράτους ἑτέρῳ παρὰ τὸ περὶ φύσιος ἀνθρώπου τὴν μέθοδον ταύτην ἐστὶν εὑρεῖν, ἢ εἴπερ οὐκ ἔχει, μηδένα ζητείτω Πλάτωνος ἀξιοπιστότερον μάρτυρα τοῦ γνήσιον εἶναι τὸ βιβλίον τοῦτο. τά τε γὰρ ἄλλα καὶ τοῖς χρόνοις ἐγγυτάτω γέγονεν ὁ Πλάτων τοῖς Ἱππο-

ne corporis quidem naturam citra hanc methodum possis. SO. Recte quidem, o amice, dicit, attamen praeter Hippocratem ratio inspiciunda examinandaque est, an ipsi consentiat. PHAE. Assentior. SO. Et quid tandem Hippocrates dicit veraque ratio? an non sic? Considerandum est de cujuslibet rei natura: primum sane simplexne sit, an multiformis, cujus nos periti esse voluerimus quamque alios docere studeamus: postea vero si simplex fuerit, facultas ipsius inspiciunda est, quam videlicet ad quid agendum, item quam ad patiendum ab alio habeat. Quod si multas habeat species, his dinumeratis in singulis similiter, ut in una, naturalis et agendi et patiendi vis inquirenda. Verum quum haec Plato sic conscripserit, ostendat aliquis nobis in quo Hippocratis libro alio quam qui de natura hominis inscribitur methodum hanc sit invenire: aut si non possit, nullum quaerat fide digniorem Platone testem ejus, quod hic liber sit germanus. Nam praeter alia Plato proxime Hippocratis discipulis tempore

κράτους μαθηταῖς, ὧν εἴ τινος ἦν τὸ βιβλίον, ἐπεγέγραπτο ἂν τοῦ γράψαντος αὐτὸ τοὔνομα. πρὶν γὰρ τοὺς ἐν Ἀλεξανδρείᾳ τε καὶ Περγάμῳ γενέσθαι βασιλεῖς, ἐπὶ κτήσει παλαιῶν βιβλίων φιλοτιμηθέντας, οὐδέπω ψευδῶς ἐπεγέγραπτο σύγγραμμα. λαμβάνειν δ' ἀρξαμένων μισθῶν τῶν κομιζόντων αὐτοῖς συγγράμματα παλαιοῦ τινος ἀνδρὸς, οὕτως ἤδη πολλὰ ψευδῶς ἐπιγράφοντες ἐκόμιζον. ἀλλ' οὗτοι μὲν οἱ βασιλεῖς μετὰ τὸν Ἀλεξάνδρου γεγόνασι θάνατον. ὁ δὲ Πλάτων ἀνωτέρω τῆς Ἀλεξάνδρου βασιλείας ἐγεγράφει ταῦτα μηδέπω πεπανουργευμένων τῶν ἐπιγραφῶν, ἀλλ' ἑκάστου βιβλίου τὸν ἴδιον γραφέα διὰ τοῦ προγράμματος δηλοῦντος. Πλάτων μὲν οὖν ὁμολογεῖ κατὰ τὴν Ἱπποκράτους μέθοδον ἐπισκοπεῖσθαι περὶ ψυχῆς φύσεως, ὡς ἐκεῖνος περὶ σώματος, ἀδύνατόν τέ φησιν ἄλλως τοῦτο γενέσθαι πρὸ τοῦ γνῶναι τὴν φύσιν τοῦ παντός. ἔνιοι δὲ τοσοῦτον ἡμαρτήκα-(18) σιν, ὡς τὴν οὕτω θαυμαστὴν μέθοδον ἄλλου τινὸς εἶναι νοεῖν, τῷ μήδ' ἀποκνῆσαι γράψαι τὸν εὑρόντα πρῶ-

ſucceſſit, quorum ſi cujus liber eſſet, ipſum auctoris nomen fuiſſet inſcriptum. Nam prius quam in Alexandria et Pergamo reges eſſent creati, qui veteribus libris comparandis vincere ſe mutuo contendebant, nondum opus falso fuit inſcriptum: verum poſtquam praemium capere incoeperunt, qui vetuſti cujusdam ſcriptoris monumenta ipſis offerrent, hac tandem ratione multa falſo titulo inſcribentes attulerunt. Verum hi reges poſt Alexandri mortem extiterunt: Plato autem ante Alexandri principatum haec memoriae mandaverat, quum nullae adhuc inſcriptiones eſſent dolo effictae, ſed ſuum quisque liber ſcriptorem titulo repraeſentaret. Itaque Plato fatetur ſe ſecundum Hippocratis methodum de animae natura conſiderare, ut ille de corpore: ſierique hoc aliter poſſe negat, antequam totius naturam habeas cognitam. Nonnulli tantum aberrarunt, ut tam mirabilem methodum alterius cujusdam eſſe cenſerent, eo quod is qui primum rem adeo magnam et gravem invenit, demonſtrationem ipſius ſcribere non ſit gravatus. Quomodo enim non magnum et grave cenſeas,

τον οὕτω μέγα καὶ σεμνὸν πρᾶγμα τὴν ἀπόδειξιν αὐτοῦ. πῶς γὰρ οὐ μέγα καὶ σεμνὸν, ἁπάντων γεννητῶν καὶ φθαρτῶν σωμάτων εὑρεῖν στοιχεῖα; πῶς δὲ οὐ πολὺ μεῖζον ἀποδείξεσι πιστώσασθαι; καὶ ταῦτα μηδ' ἐν στίχοις ὅλοις τριακοσίοις, ἀλλ' ἐλάττοσι πολλῷ παραληφθῆναι δυναμένῳ; οὐ γὰρ εἰκός ἐστιν ἐν ἅπασι τοῖς θεραπευτικοῖς καὶ προγνωστικοῖς εὑρήμασιν ὡς ἀποδεδειγμένοις χρῆσθαι τοῖς στοιχείοις τὸν Ἱπποκράτην, μηδαμόθι τὴν ἀπόδειξιν αὐτῶν εἰρηκότα. ταῦτα μὲν οὖν ἐκ περιουσίας εἴρηταί μοι, δεικνύντι γνήσιον Ἱπποκράτους εἶναι τὸ βιβλίον. οὐ μὴν ὡς ἐν ἔργῳ γε τοῦτο σπουδαστέον, ἀλλὰ περὶ τῆς ἀληθείας τῶν ἐν αὐτῷ γεγραμμένων σκεπτέον ἀκριβῶς. τοῦτο δ' ἡμεῖς ἐν τῷ περὶ τῶν καθ' Ἱπποκράτους στοιχείων ἐπράξαμεν, ὃ παρὰ πᾶσι τοῖς πεπαιδευμένοις εὐδοκιμοῦν ὁρῶντες οἱ βάσκανοι ψυχρὰν αὐτοῦ ἀπολογίαν ἐποίησαν, οὐκ εἶναι φάσκοντες Ἱπποκράτους τὸ βιβλίον. ἀλλ' ὅτι γε ταῦτα ἐτίθετο καὶ πρὸς ταῦτα ἀποβλέπων ἀεὶ τὰ κατὰ μέρος ἔγραψε πάντα τῶν ὁμολογουμένων ἐστίν. ἐπεὶ δὲ ὑπὸ ἀναισχυντίας

omnium generatorum corruptibiliumque corporum elementa invenire? quomodo non multo magis demonſtrationibus fidem facere? Atque haec in verſibus ne totis quidem trecentis, ſed multo paucioribus complecti potuerit. Non enim veriſimile eſt, Hippocratem in omnibus medicandi praenoſcendique inventis elementis tanquam demonſtratis uti, nusquam vero demonſtrationem ipſorum explicaſſe. Haec igitur ex ſuperfluo mihi dicta ſunt, ut oſtenderem germanum Hippocratis eſſe librum. Non tamen in hoc ceu ſerio ponendum eſt ſtudium, ſed de veritate eorum quae in ipſo conſcripta ſunt accurate conſiderandum eſt. Id autem nos in opere de elementis ex Hippocratis ſententia factitavimus: quod quum invidi apud omnes eruditos in pretio haberi viderent, frigidam deſenſionem attulerunt, cur librum Hippocratis non eſſe dicerent. Porro quod haec ſtatuerit ad illaque ſemper reſpiciens omnia particularia opera conſcripſerit pro conſeſſo habetur. Quoniam vero aemuli, ut ſunt impudentes, etiam iis quae

καὶ τοῖς ὑπὲρ πάντων ὁμολογουμένοις τε καὶ συμφωνουμένοις ἀντιλέγουσιν οἱ βάσκανοι, διὰ τοῦτο πραγματείαν ἑτέραν ἐποίησα, τοὐπίγραμμα τοιοῦτο ἔχουσαν, ὅτι καὶ κατ' ἄλλα συγγράμματα τὴν αὐτὴν δόξαν ὁ Ἱπποκράτης ἔχων φαίνεται τῇ κατὰ τὸ περὶ φύσιος ἀνθρώπου.

apud omnes in confeſſo ſunt et omnium conſenſu probantur, contradicunt; idcirco alterum opus edidi, tali inſcriptum titulo, Quod etiam in aliis operibus Hippocrates eandem habere opinionem quam in libello de natura hominis videatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΦΥΣΙΟΣ ΑΝΘΡΩΠΟΥ ΒΙΒΛΙΟΝ ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟ ΥΠΟΜΝΗΜΑ Β.

Ed. Chart. III. [128.] Galen. V. (18.)

[128] Προοίμιον Γαλήνου. Αὐτὸ μὲν τὸ περὶ φύσιος ἀνθρώπου βιβλίον ἐν τῷ προτέρῳ τῶνδε τῶν ὑπομνημάτων ἐξήγημαι. νυνὶ δὲ τὰ προσκείμενα κακῶς αὐτῷ προχειριοῦμαι, συγκείμενα καὶ αὐτὰ μετὰ διασκευῆς. ἓν μὲν γάρ ἐστι μικρὸν βιβλίον ἐν ᾧ περὶ τῆς τῶν ὑγιαινόντων διαίτης γέγραπται καὶ δοκεῖ Πολύβου εἶναι σύγγραμμα

HIPPOCRATIS DE NATURA HOMINIS LIBER ET GALENI IN EUM COMMENTARIUS II.

Prooemium Galeni. Ipſum quidem de natura hominis librum in priori horum commentariorum opere expoſui; nunc vero quae illi prave adjecta ſunt in medium profero, eaque probo ordine compoſita. Unus etenim parvus eſt liber, in quo de victu ſanorum *a me* ſcriptum eſt, qui Polybi Hippocratis discipuli opus eſſe videtur.

τοῦ Ἱπποκράτους μαθητοῦ. τὸ δὲ μεταξὺ τούτου τε καὶ τοῦ περὶ φύσιος ἀνθρώπου, διεσκεύασται παρεγγεγραμμένον ὑπὸ τοῦ πρῶτον συνθέντος ἐς ταὐτὸ τὰ δύο ταῦτα βιβλίδια, τὸ περὶ φύσιος ἀνθρώπου τοῦ Ἱπποκράτους αὐτὸ σύγγραμμα καὶ τὸ Πολύβου περὶ διαίτης ὑγιεινῆς. ἐν γὰρ τῷ κατὰ τοὺς Ἀτταλικούς τε καὶ Πτολεμαϊκοὺς βασιλέας χρόνῳ πρὸς ἀλλήλους ἀντιφιλοτιμουμένους περὶ κτήσεως βιβλίων ἡ περὶ τὰς ἐπιγραφάς τε καὶ διασκευὰς αὐτῶν ἤρξατο γίγνεσθαι ῥᾳδιουργία τοῖς ἕνεκα τοῦ λαβεῖν ἀργύριον ἀναφέρουσιν ὡς τοὺς βασιλεῖς ἀνδρῶν ἐνδόξων συγγράμματα. μικρῶν οὖν ὄντων ἀμφοτέρων τῶν βιβλίων τοῦ περὶ φύσιος ἀνθρώπου καὶ τοῦ περὶ διαίτης ὑγιεινῆς, εὐκαταφρόνητον ἑκάτερον τοῦτο εἶναί τις δόξας διὰ τὴν σμικρότητα συνέθηκεν ἐς ταὐτὸ ἄμφω. καί τις ἴσως ἄλλος, ἢ καὶ αὐτὸς ὁ πρῶτος αὐτὰ συνθεὶς, παρενέθηκέ τινα μεταξὺ τῶν δύο ταυτὶ τὰ νῦν προχειρίζεσθαι μέλλοντα.

Quod autem inter hunc et illum de natura hominis eſt interpoſitum, ab eo qui primum hosce duos libros de natura hominis Hippocratis et Polybi de ſalubri victus ratione in *unum* et eundem collegit, conſcriptum et collocatum eſt. Quo enim tempore Attalus et Ptolemaeus reges certatim inter ſe de comparandis ſibi libris contendebant: ab his qui ex oblatis celebriorum virorum ſcriptis pecuniam a regibus reportabant, coepere inſcriptiones et digeſtiones librorum vitiari. Quum itaque uterque liber tum de natura hominis tum de ſalubri victus ratione parvus extiterit, arbitratus aliquis ob parvitatem neutrum ipſorum multi ducendum ambos in *unum* et eundem ſimul contulit. Pari vero ratione alius quidam vel ille idem etiam qui hos primum in unum redegit, haec ipſa illis interpoſuit, quae nunc exponenda ſuscepturi ſumus.

α'.

[129] *Εἰδέναι χρὴ καὶ τάδε πρὸς ἐκείνοισιν, ὅτι ὁκόσα πλησμονὴ τίκτει νουσήματα, κένωσις ἰῆται· ὁκόσα δὲ ἀπὸ κενώσιος γίνεται νουσήματα, πλησμονὴ ἰῆται· ὁκόσα δὲ ἀπὸ ταλαιπωρίης γίνεται, ἀνάπαυσις ἰῆται· ὁκόσα δὲ ὑπερτέρη ἀργίη νουσήματα τίκτει, ταλαιπωρίη ἰῆται. τὸ δὲ ξύμπαν γνῶναι δεῖ τὸν ἰητρὸν ἐναντίον ἵστασθαι τοῖσι καθεστηκόσι καὶ νουσήμασι καὶ εἴδεσι καὶ ὥρῃσι καὶ ἡλικίῃσι καὶ τὰ ξυντείνοντα λύειν καὶ τὰ λελυμένα ξυντείνειν. οὕτω γὰρ ἂν μάλιστα τὸ κάμνον ἀναπαύοιτο, ἥ τε ἴησις τοῦτό μοι δοκέει εἶναι.*

Ταύτης ὅλης τῆς ῥήσεως ἑκάστου στίχου Διοσκουρίδης προέγραψε σημεῖον ὃ καλοῦσιν ὀβελὸν, οἵῳ σημείῳ καὶ Ἀρίσταρχος ἐχρήσατο παρὰ τῷ ποιητῇ πρὸς τοὺς ὑποπτευομένους ὑπ' αὐτοῦ στίχους. ταῦτα μὲν ὁ Διοσκουρίδης ἔγραψεν, εἰκάζων εἶναι τὴν προκειμένην ῥῆσιν Ἱπποκράτους τοῦ Θεσσαλοῦ υἱέος. δύο γὰρ υἱοὶ οὗτοι γεγόνασι τοῦ με-

I.

Nosse vero praeterea oportet, quod quoscunque repletio parit morbos, sanat evacuatio: qui vero ab evacuatione oboriuntur, eos curat repletio. Atque qui ex labore fiunt, eos quies sanat: quique ex otio gignuntur, labore tolluntur. Omninoque nosse medicum oportet et morbis et speciebus et tempestatibus et aetatibus contrarium statuere contentaque solvere et soluta contendere. Sic enim maxime morbum sedaverit; atque curandi ratio hoc ipsum mihi esse videtur.

Singulis hujusce contextus versibus Dioscorides signum praefixit quod obeliscum vocant, quo signo et Aristarchus notabat versus quos apud poetam suspectos habebat. Haec quidem scripsit Dioscorides, quod suspicaretur hunc propositum contextum esse Hippocratis Thessali filii. Nam duo hi magni Hippocratis filii extiterunt, Thessalus et

γάλου Ἱπποκράτους, Θεσσαλὸς καὶ Δράκων, ὧν ἑκάτεροι πάλιν Ἱπποκράτεις ἐγέννησαν. ταῦτα μὲν τὰ κατὰ τὴν ῥῆσιν εἰρημένα. προσήκει δέ πού καὶ ἡμῖν ἐπισκέψασθαι περὶ αὐτῶν, ἑκάστην τῶν λέξεων ἰδίᾳ προειρησαμένοις, ὁκόσα πλησμονὴ τίκτει νουσήματα, κένωσις ἰῆται. οὐ ταὐτόν ἐστι φάναι συνεκτικὸν αἴτιον νόσων εἶναι πλησμονήν τε καὶ κένωσιν, ἕκαστόν τε καὶ τῶν ἐφεξῆς εἰρημένων, τῷ γίγνεσθαί τι διὰ πλησμονὴν, ἤ τι τῶν ἄλλων. ἀληθὲς μὲν γὰρ τὸ γίγνεσθαί τινα νοσήματα διὰ πλησμονὴν, ἢ ὑπὸ πλησμονῆς. οὐδὲν γὰρ διήνεγκεν οὕτως ἢ ἐκείνως εἰπεῖν, οὐκ ἀληθὲς δὲ συνεκτικὸν αἴτιον εἶναι νοσήματος πλησμονήν. ἡ μὲν γὰρ νόσος αὐτὴ διάθεσίς τίς ἐστιν ἐν ζώου σώματι, πρώτως βλάπτουσα τὴν ἐνέργειαν, ὡς ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς γράμματι δέδεικται. πλησμονὴ δὲ πρώτως μὲν ἐνέργειαν οὐ βλάπτει, καθότι δέδεικται καὶ τοῦτο πάλιν ἐν τῷ περὶ πλήθους λόγῳ· διὰ μέσης δέ τινος ἑτέρας διαθέσεως, ἥντινα διάθεσιν Ἐρασίστρατος μὲν ἑτέρως, Ἀσκληπιάδης δ' ἑτέρως, οἱ πνευματικοὶ δ' ὀνομασθέντες

Draco, qui ambo deinceps *alios* Hippocrates procrearunt. Haec ſane hoc in textu divulgata ſunt. At conſentaneum eſt nobis et de ipſis obſervationem inſtituere et unamquamque dictionem peculiariter examinare. *Quoscunque repletio parit morbos, ſanat evacuatio.* Idem non eſt ac dicere continentem morborum cauſam eſſe et repletionem et evacuationem et unumquodque eorum deinceps commemorata ſunt, aut quod a repletione, aut ab aliorum quodam quippiam fiat. Etenim quod quidam morbi per repletionem vel a repletione oboriantur (nihil enim differt hoc vel illo modo dicere) verum eſt; ſed continentem morbi cauſam eſſe repletionem, non verum eſt. Morbus ſiquidem ipſe affectus quidam eſt in animalis corpore primum functionem laedens, ut in libro de morborum differentiis demonſtratum eſt. Repletio vero ipſa, ut et id in libro de plenitudine oſtendimus, primum minime laedit actionem, ſed intermedio quodam alio affectu, quem affectum quidem aliter Eraſiſtratus, aliter Aſclepiades, etiam pneuma-

ἰατροὶ κατ' ἄλλον τρόπον προτίθενται γίγνεσθαι. λέλεκται δὲ καὶ ἡμῖν ἐπὶ πλέον, ὅπως ὑφ' ἑκατέρου πλήθους νοσήματα γίγνεται. διττὸν γὰρ ἐδείχθη τὸ πλῆθος, ὡς μὲν πρὸς τὴν δύναμιν ἕτερον, ὡς δὲ πρὸς τὴν κοιλότητα τῶν ἀγγείων ἕτερον. τὸ μὲν οὖν ὡς πρὸς τὴν δύναμιν εἰς διαφθοράς τε τοὺς χυμοὺς ἄγει καὶ ῥεῦμα τοῖς ἀσθενεστέροις ἐν τῷ σώματι μορίοις ἐπιπέμπει. τὸ δ' ὡς πρὸς τὸ ἔγχυμα τάς τ' ἀναστομώσεις τε καὶ τὰς ῥήξεις τῶν ἀγγείων ἐργάζεται καί ποτε θανάτους ἐξαιφνιδίους, ὅταν ἀποφράξῃ τὰς διαπνοὰς τοῦ σώματος. ἴασις οὖν λέγεται καὶ τῶν ποιούντων τὰς νόσους, οὐ μόνον αὐτῶν τῶν ἤδη γεγενημένων νόσων. εἰ δὲ τῷ κυρίῳ κατ' αὐτῶν ὀνόματι χρῶτό τις, προηγούμενα τῶν νόσων ἐρεῖ τὰ τοιαῦτα τῶν αἰτιῶν, ὥσπερ Ἀθήναιος. ὑφ' οὗ δὲ πάλιν αὐτὰ ταῦτα τὰ προηγούμε- (19) να γίγνεται, προκαταρκτικά τε καὶ προκατάρχοντα κα- [130] λέσεις. πλῆθος γὰρ ἐδεσμάτων, ἀπεψίαι τε καὶ λουτρὰ καὶ γυμνάσια μὴ κατὰ καιρὸν γιγνόμενα καὶ πανθ' ὅσα διῆλθον ἐν τῷ περὶ τῶν προκαταρκτικῶν αἰτιῶν ὑπο-

tici medici appellati alio modo procreari constituerunt. Dictum autem est a nobis pluribus, quomodo ab utraque plenitudine morbi exoriantur. Duplex enim prodita est plenitudo, altera quidem quoad vires, altera vero quoad vasorum cavitatem. Quae igitur quoad vires, ea quidem et humores ad corruptionem ducit et fluxionem ad imbecilliores corporis partes immittit. Quae vero quoad affusionem, ea et vasorum ora aperit et eorum rupturas molitur, interdum etiam repentinam mortem infert, quum corporis perspirationes obstruat. Itaque curatio dicitur non solum eorum qui jam procreati sunt morborum, *verum* etiam eorum quae morbos procreant. At si quis proprio causarum ipsarum nomine uti voluerit, antecedentes morborum causas ejusmodi appellabit, quemadmodum Athenaeus. Eas vero unde rursum hae ipsae antecedentes ordinem ducunt, primitivas seu evidentes vocabis. Ciborum enim copia, cruditates, balnea et exercitationes quae intempestive fiunt et quaeque omnia in commentario

μνήματι, τῶν προηγουμένων αἰτιῶν ἑκάστης νόσου γίνεται ποιητικά. ὁκόσα δὲ ὑπὸ κενώσιος γίγνεται νουσήματα, πλησμονὴ ἰῆται. οὐ κυρίως δοκεῖ κεχρῆσθαι τῷ τῆς πλησμονῆς ὀνόματι νῦν ὁ γράψας τὴν ῥῆσιν ταύτην, πάντων εἰωθότων οὐ μόνον ἰατρῶν, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων τὸ τῆς πλησμονῆς ὄνομα μᾶλλόν πως ἐπιφέρειν ταῖς ὑπερβολαῖς τῆς συμμέτρου ποσότητος, οὐ μήν γε τὴν κένωσιν ἐπανορθοῦσθαι διὰ τῆς ἐναντίας ἀμετρίας. ἄκουσον οὖν ἐφεξῆς τὸν συναγορεύοντα ταῖς ἀμετρίαις λόγον. ὄντων γάρ τινων συμμέτρων σιτίων, ὡς πρὸς τὴν τοῦδέ τινος ἕξιν, ὑγιαίνοντος μὲν ἔνδεια καὶ ὑπερβολὴ κατὰ τὴν πρὸς ταῦτα παραβολὴν νοηθήσεται, ὁ δὲ κενωθεὶς εἰ μέλλοι πληροῦσθαι, τὴν ποσότητα τῆς ἔμπροσθεν ὑπαρχούσης αὐτῷ συμμετρίας αὐξηθήσεται. ἐὰν γὰρ ὅσα πρὶν κενωθῆναι προσεφέρετο τὰ σιτία, τοσαῦτα καὶ νῦν προσφέρηται, τὸ κενωθὲν οὐδέποτε ἀναπληρώσει. τεχνίτου δέ ἐστι μετρίως ποιήσασθαι τὴν παραύξησιν αὐτῶν, καὶ μήτε παρὰ καιρὸν ἐμπιπλάναι μήτ' ἐξαίφνης τε καὶ ἀθρόως τὸ κενωθέν. δο-

de procatarcticis caufis recenfuimus, antecedentium caufarum cujusque morbi fiunt effectrices. *Qui vero ab evacuatione oboriuntur, eos curat repletio.* Non proprie ufus effe videtur praefenti *repletionis* vocabulo qui hanc fententiam fcripfit, quum omnes non modo medici, fed et caeteri Graeci id repletionis nomen utcunque magis adhibere exceffibus commoderatae quantitatis confueverint, non autem evacuationem per contrariam immoderationem corrigere. Audi igitur fubfequentem rationem quae immoderatis exceffibus favet. Sunt cibi quidam qui ut ad alicujus jam fani habitum moderati funt, horum collatione excellum et defectum intelliges. Qui vero vacuatus eft, fi id quod de fuae prioris mediocritatis quantitate detractum eft refarcire velit, cibum adaugebit, qui fi tantundem nunc alimenti ingerat quantum antequam vacuaretur folitus erat, nunquam id quod exinanitum eft replebit. Ad artificem fane pertinet moderate incrementum id afferre, ut neque intempeftive repleat quod demptum eft, ne-

κοῦσι δ' ἔνιοι τῶν ἰατρῶν τὰς κενώσεις μηδέποτε νόσων αἰτίας γίγνεσθαι. μόνας γὰρ ἐργάζεσθαί φασιν αὐτὰς τῆς μὲν δυνάμεως ἀῤῥωστίαν, τῆς δ' ἕξεως τοῦ σώματος ἰσχνότητα, μηδὲν δὲ τῶν νοσημάτων ὑπ' ἐνδείας γίγνεσθαι. ἀλλ' οὗτοί γε οὐχ ὁρῶσι τὰς γιγνομένας νόσους τοῖς ἀμέτρως κενωθεῖσιν. ἑτοίμως τε γὰρ καὶ ἐπὶ ταῖς τυχούσαις προφάσεσι καταψύχονται καὶ πάλιν ἐκκαίονται ταχέως καὶ κόποις ἁλίσκονται ῥᾳδίως καὶ πᾶσι τοῖς ἔξωθεν αἰτίοις, ὥσπερ γε καὶ ὑπὸ ἀγρυπνίας καὶ λύπης καὶ ἀπεψίας καὶ ὀργῆς εἰς νόσους ἄγονται μᾶλλον οὗτοι τῶν εὐεκτούντων. ὁκόσα δὲ ἀπὸ ταλαιπωρίης γίγνεται, ἀνάπαυσις ἴηται. ταλαιπωρίας δηλονότι κέκληκε τὰς κατὰ τὰς ἀμέτρους κινήσεις γινομένας. ὅτι δ' ἀναπαύεσθαι χρὴ τοὺς οὕτω διατεθέντας ἅπαντες οἱ ἄνθρωποι γινώσκουσι καὶ πράττουσι, μηδὲ πυθέσθαι τῶν ἰατρῶν δεόμενοι. δέδεικται δ' ἡμῖν ὅτι καὶ τὰ ἄλογα ζῶα, οὐ μόνον ἄνθρωποι, διὰ τῶν ἐναντίων τοῖς βλάψασι τὰς βλάβας ἐπανορθοῦνται. ὁκόσα δὲ

que confertim atque repente. Sunt nonnulli ex medicis qui nolint in caufis morborum ponendas effe vacuationes, quas dicunt tum virium imbecillitatem tum habitus gracilitatem folummodo parere et quod nullus unquam morbus ex defectu oritur. Hi profecto non animadvertunt qui morbi eos arripiant, qui immoderate vacuantur. Nam facillime ex quacunque occafione refrigerantur, itemque parvo negotio uruntur, faciles etiam ut in laffitudines incurrant omnibusque externis caufis obnoxii fint et longe praeterea magis ii ex vigilia, triftitia, cruditate et ira, quam qui bono funt habitu, in morbos decidunt. Quos labores gignunt, quies remedio eft. Labores eos appellat qui in motionibus fiunt praeter modum. At vero qui in hunc modum affecti funt, quod quiete fint reficiendi: nemo mortalium eft qui hoc nefciat, quique id etiam non agat ut neque in hac re medici confilium expectent: imo et bruta etiam, ut jam oftendimus, nedum homines, noxam per ea quae contraria funt laedentibus auferunt. Quos

ὑπερτέρῃ ἀργίῃ νουσήματα τίκτει, ταλαιπωρίῃ ἴηται. οὐδ' ἡ ἀργία πρώτως τε καὶ δι' ἑαυτῆς, ἀλλὰ διὰ μέσου τοῦ πλήθους ἐργάζεται τὰς νόσους, ἧττόν τε γὰρ διαφοροῦνται τοῖς ἀργοῦσι τὰ τοῦ σώματος μόρια, ἀῤῥωστότερά τε γίγνονται ὡς ἑκάτερον ὑπ' αὐτῆς γίγνεσθαι πλῆθος. ἡ τοίνυν ἀμετροτέρα κίνησις ἰσχυροτέραν μὲν οὐκ ἐργάζεται τὴν δύναμιν, ἐκκενοῖ δὲ τὴν περιουσίαν τῶν ἀθροισθέντων ὑγρῶν. εὔδηλον οὖν ὅτι εἰ καὶ κατ' αὐτὴν βραχὺ πλεονάσειεν ἢ προσήκει τῆς συμμέτρου κινήσεως, κοπώδη μὲν ἠρέμα διὰ ταύτης γενέσθαι τὸν ἄνθρωπον, οὐ μὴν πυρέξαι γε. τὸ δὲ ξύμπαν γνῶναι δεῖ τὸν ἰητρὸν ἐναντίον ἵστασθαι τοῖσι καθεστηκόσι νουσήμασι καὶ εἴδεσι καὶ ὥρῃσι καὶ ἡλικίῃσιν. εἴδεσιν ἔοικε λέγειν ταῖς τοῦ σώματος φύσεσιν, ὧν τὴν οὐσίαν ἐν τῇ τῶν τεττάρων στοιχείων κράσει δεδείχαμεν εἶναι. νοσήματα μὲν οὖν ἅπαντα διὰ τῶν ἐναντίων ταῖς δυνάμεσιν, οὐ ταῖς προχείροις φαντασίαις ἐδείχθη θεραπευόμενα. φύσις δὲ σώματος, ὅπερ ἐστὶν ἡ κρᾶσις, οὐ πᾶσα διὰ τῶν ἐναντίων ἐπανορθοῦται, ὥσπερ οὐδ' ὧραι καὶ ἡλικίαι.

nimium induxit otium, labor tollit. Neque primum et per ſe otium morbos excitat, ſed media plenitudine; otioſis enim minus corporis particulae digeruntur et praeterea imbecilliores redduntur, ut inde utraque gignatur plenitudo. Itaque immoderatior motus vires quidem nequaquam validiores reddit, humores tamen qui redundant evacuat. Liquet igitur quod ſi in his motus qui modum parumper excedat adhibeatur, ſenſim a latitudine capietur homo, ut tamen non illico febricitet. Summatim vero ſciendum quod oportet medicum praeſentibus morbis, formis, anni tempeſtatibus aetatibusque contrarium opponere. Formas appellare videtur corporum naturas, quarum ſubſtantiam oſtendimus in temperatura quatuor elementorum ſitam eſſe. Morbi itaque curantur ab his quae facultatibus contraria ſunt, ut jam monſtratum eſt, non autem apparentibus imaginationibus. Porro natura corporis quae temperamento idem eſt, non omnis per contraria corrigitur: quem-

γίγνονται μὲν γάρ τινες εὔκρατοι, καθάπερ καὶ δύσκρατοί τινες ἕτεραι, τῶν μὲν εὐκράτων ἡ εὐκρασία φυλάττεται διὰ τῶν ὁμοίων, τῶν δὲ δυσκράτων ἡ δυσκρασία διὰ τῶν ἐναντίων ἐπανορθοῦται. διώρισται δὲ [131] περὶ τούτων ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ. καὶ τὰ ξυντείνοντα λύειν καὶ τὰ λελυμένα ξυντείνειν. οὐ κατὰ τὸ πρέπον ἐποιήσατο τὴν τῶν νοσημάτων ἀντίθεσιν. τῷ μὲν γὰρ ξυντείνοντι τὰ λύοντα, τῷ δὲ λελυμένῳ τὰ ξυντεταμένα κατὰ ἀντίθεσιν οἰκείως ὀνομάζεται. λέγεται δὲ τὰ μὲν ξυντείνοντα καὶ λύοντα κυρίως ἐπὶ τῶν αἰτιῶν, οὐκέτ' ἐπ' αὐτῶν τῶν βλαπτομένων σωμάτων, ἔμπαλιν δὲ τὰ συντεταμένα καὶ λελυμένα, κατὰ τῶν ἤδη βεβλαμμένων, ἔπειτα τὰ συντεινόμενα καὶ λυόμενα σωμάτων ἐστὶν, οὐ νοσημάτων ὀνόματα συντεινομένων καὶ λελυμένων, ὥσπερ γε καὶ τὸ σκληρὸν καὶ τὸ μαλακὸν, ἀραιόν τε καὶ πυκνὸν, ὑπὲρ ὧν εἴρηται κάλλιον ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν ἐν τῇδε τῇ λέξει· δέρματος σκληροῦ μάλαξις, συντεταμένου χάλασις. εἴρηται δὲ ἐν τούτῳ τῷ βιβλίῳ κατὰ τὸ συνεχὲς καὶ περὶ τοῦ στεγνῶσαι,

admodum neque anni tempora aut aetates; ſunt enim in ipſis temperatae quaedam, ſicuti multae etiam intemperatae; unde temperatarum ſimilibus ſervatur temperies, contrariis vero intemperies intemperatarum emendatur. Haec quippe in libris de tuenda ſanitate definita ſunt. Atque contendentia laxare, laxata vero contendere. Nequaquam ut decebat morborum oppoſitionem conſtituit: contendenti enim laxans, laxato contentum proprie opponitur; contendentia vero et laxantia proprie de cauſis et non de laeſis dicuntur corporibus: contenta autem et laxata ad ipſa laeſa jam corpora referuntur. Praeterea etiam contenta et laxata corporum nomina ſunt, minime vero morborum contentorum aut laxatorum: quemadmodum durum et molle, rarum et denſum: de quibus a nobis probe in ſexto epidemiorum libro actum eſt eo loco. Cutis durae mollitio, contentae remiſſio; quo etiam in libro ſubinde de condenſando quod rarefactioni contrarium eſt, ſermo-

ὅπερ ἐστὶν ἐναντίον τῷ ἀραιῶσαι. τοῦτο δ' αὖ πάλιν τῷ πυκνουμένῳ τὴν αὐτὴν ἔχει δύναμιν, ὥσπερ γε καὶ τὸ πεπυκνωμένον τῷ ἐστεγνωμένῳ.

β'.

Αἱ δὲ νοῦσοι γίγνονται αἱ μὲν ἀπὸ διαιτημάτων, αἱ δ' ἀπὸ τοῦ πνεύματος, ὃ εἰσαγόμενοι ζῶμεν.

Διαιτήματα καλοῦσιν ἐνίοτε μὲν αὐτὰ μόνα τὰ σιτία καὶ τὰ ποτὰ, πολλάκις δὲ περιλαμβάνουσιν ἐν τῇ προσηγορίᾳ καὶ τὰ ἐπιτηδεύματα, καὶ νῦν οὕτως εἰρῆσθαι νομιστέον. οὐ γὰρ ἀπὸ μόνων ὧν ἐσθίομέν τε καὶ πίνομεν, ἀλλὰ καὶ ἀπὸ λουτρῶν καὶ γυμνασίων, ἀργίας τε καὶ ἀγρυπνίας καὶ λύπης καὶ θυμοῦ καὶ ψύξεώς καὶ ἐγκαύσεως αἱ νόσοι γίγνονται. πολλάκις δ' ἀπὸ τοῦ πνεύματος μόνου κατὰ τὴν εἰσπνοὴν ἡ βλάβη γίγνεται, καθάπερ ἐν τοῖς χαρωνείοις ὀνομαζομένοις χωρίοις.

nem habuimus: id autem cum incrassare idem est, sicut incrassatum et densatum.

II.

Morbi vero oriuntur partim quidem ex vivendi ratione, partim vero ex spiritu quem introducendo vivimus.

Victum nonnunquam solum cibum potumque appellant, saepe etiam hoc nomine omnia vitae instituta comprehenduntur, qua significatione hic usurpatum esse est arbitrandum. Neque enim ex his solum quae comedendo vel bibendo ingerimus, verum ex balneis quoque et exercitationibus, otio, vigiliis, moerore, ira refrigerationeque et aestu morbi ortum habent, quandoque etiam ex solo spiritu quo respiramus, laedimur, ut in locis qui charonii dicuntur.

γ.

Τὴν δὲ διάγνωσιν ἑκατέρων ὧδε χρὴ ποιέεσθαι. ὁκόταν μὲν ὑπὸ ἑνὸς νουσήματος πολλοὶ ἄνθρωποι ἁλίσκωνται κατὰ τὸν αὐτὸν χρόνον, τὴν αἰτίην χρὴ ἀνατιθέναι τουτέῳ ὅ τι ἂν κοινότατόν ἐστι καὶ μάλιστα αὐτέῳ πάντες χρεώμεθα. ἔστι δὲ τοῦτο ὃ ἀναπνέομεν. φανερὸν γὰρ δὴ ὅτι τά γε διαιτήματα ἑκάστου ἡμέων οὐκ αἴτιά ἐστιν, ὅτε ἅπτεται πάντων ἡ νοῦσος ἑξῆς καὶ τῶν νεωτέρων καὶ τῶν πρεσβυτέρων καὶ γυναικῶν καὶ ἀνδρῶν. ὁμοίως δὲ καὶ τῶν θωρησσομένων καὶ τῶν ὑδροποτεόντων καὶ τῶν μᾶζαν ἐσθιόντων καὶ τῶν ἄρτον σιτεόντων καὶ τῶν πολλὰ ταλαιπωρεόντων καὶ τῶν ὀλίγα. οὐκ ἂν οὖν τά γε διαιτή- (20) ματα αἴτια εἴη, ὁκόταν διαιτώμενοι οἱ ἄνθρωποι πάντα τρόπον, ἁλίσκωνται ὑπὸ τῆς αὐτέης νούσου.

Ὅτι μὲν τὸ κοινὸν πολλοῖς νοσήμασι κοινὴν ἔχει τὴν αἰτίαν ὀρθῶς εἶπεν, ὥσπερ γε καὶ τὰ ἄλλα πάντα τὰ

III.

At utrorumque cognitionem ita facere oportet. Quum multi homines uno morbo eodem tempore corripiuntur in id quod maxime commune est quoque omnes utimur potissimum rejicienda causa est. Id autem est quod inspirando trahimus. Quod enim vivendi cujusque nostrum ratio in causa non sit jam liquido constat, quum morbus omnes continenter attingat et juvenes et senes et mulieres et viros, perindeque temulentos et abstemios, tam eos qui maza quam qui pane victitant et eos qui multis, quam qui paucis exercitationibus utuntur. Non igitur victus rationi assignanda causa est, quum cujusvis generis victu utentes eodem modo corripiuntur, sua proculdubio cuique vivendi ratio in causa est.

Quod communem causam habeat si quid multis morbis commune sit, probe profecto ab eo dictum est, perinde

κατὰ τὴν ῥῆσιν, οὐ μὴν ὀρθῶς εἰς μόνον τὸν ἀέρα τὴν τῶν κοινῶν νοσημάτων ἀναφέρει γέ- [132] νεσιν, εἴπερ οἱ ἐν Αἴνῳ ἐν λιμῷ ὀσπριοφαγέοντες σκελέων ἀκρατέες ἐγένοντο, ἀτὰρ καὶ οἱ ὀροβοφαγέοντες, γουναλγέες. ἴσμεν δ' ὅτι καὶ πυροὺς ἡμισαπεῖς διὰ λιμὸν ἀναγκασθέντες ἐσθίειν τινὲς κοινὸν ἀπὸ τῆς κοινῆς αἰτίας ἐνόσησαν νόσημα καί που στρατόπεδον ὅλον ὕδατι μοχθηρῷ χρησάμενον ὁμοίως ἐν ἅπασι τοῖς στρατιώταις τὴν βλάβην ἔσχε. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

δ'.

Ὁκόταν δ' αἱ νοῦσοι γίνωνται παντοδαπαὶ κατὰ τὸν αὐτὸν χρόνον, δῆλον ὅτι τὰ διαιτήματά ἐστιν αἴτια ἕκαστα ἑκάστοισιν. καὶ τὴν θεραπείην χρὴ ποιέεσθαι ἐναντιούμενον τῇ προφάσει τῆς νούσου, ὥσπερ μοι πέφρασται καὶ ἑτέρωθι, καὶ τῇ τῶν διαιτημάτων μεταβολῇ. δῆλον γὰρ δὴ ὅτι οἷσί γε εἴωθε χρέεσθαι ὁ ἄνθρωπος διαιτή-

ac caetera hujus orationis: ut tamen id non omnino recte dictum fit, *quod ortus communium morborum in aërem folummodo fit referendus, quando prae fame in Aeno leguminibus vescentes crura imbecillia habuere, qui vero ervo, illis genua dolebant.* Jam etiam novimus quod comesse semiputridum triticum famis necessitate compulsi quidam, communi morbo ex communi causa arrepti sunt. Sed et exercitus quandoque dum pravis uterentur aquis, simili in omnibus militibus noxa vexatus est. Caetera hujus capitis clara sunt.

IV.

Quum vero eodem tempore cujusque modi morbi oriuntur, sua proculdubio cuique vivendi ratio in causa est; adhibendaque curatio adversus morbi causam instando, quemadmodum alias etiam a nobis dictum est, et victus rationem immutando. Quandoquidem constat victus genus quo quis utitur, aut ex toto, aut magna ex parte,

μασιν, οὐκ ἐπιτήδειά οἵ ἐστιν ἢ πάντα, ἢ τὰ πλείω, ἢ ἕν γέ τι αὐτέων. ἃ χρὴ καταμανθάνοντα μεταβάλλειν καὶ σκεψάμενον τοῦ ἀνθρώπου τὴν φύσιν τήν τε ἡλικίην καὶ τὸ εἶδος καὶ τὴν ὥρην τοῦ ἔτεος καὶ τῆς νούσου τὸν τρόπον, τὴν θεραπείην ποιέεσθαι ποτὲ μὲν ἀφαιρέοντα, ποτὲ δὲ προστιθέντα, ὥσπερ μοι καὶ πάλαι εἴρηται, πρὸς ἑκάστας τῶν ἡλικιέων καὶ τῶν ὡρέων καὶ τῶν εἰδέων καὶ τῶν νούσων, ἔν τε τῇ φαρμακείῃ προτρέπεσθαι καὶ ἐν τοῖσι διαιτήμασιν. ὁκόταν δὲ νουσήματος ἑνὸς ἐπιδημίη καταστῇ, δῆλον ὅτι οὐ τὰ διαιτήματα αἴτιά ἐστιν, ἀλλ' ὃ ἀναπνέομεν, τοῦτ' αἴτιόν ἐστι καὶ τοῦτο δῆλον ὅτι νοσερήν τινα ἀπόκρισιν ἔχον ἂν εἴη. τοῦτον οὖν χρὴ τὸν χρόνον τὰς παραινέσιας ποιέεσθαι τοῖσιν ἀνθρώποισι τοιάσδε. τὰ μὲν διαιτήματα μὴ μεταβάλλειν, ὅτι γε οὐκ αἴτιά ἐστι τῆς νούσου. τὸ δὲ σῶμα ὁρῇν ὅκως ἔσται ὡς ἀογκότατον καὶ ἀσθενέστατον. τῶν τε σιτίων ἀφαιρέοντα καὶ τῶν ποτῶν οἷς εἰώθει χρέεσθαι κατ' ὀλίγον. ἢν γὰρ μεταβάλλῃ ταχέως τὴν δίαιταν,

aut in eorum aliquo minime ei esse accommodatum. Quo cognito immutare et adhibita in considerationem cujusque natura, aetate, forma, anni tempore et morbi genere ad curationem aggredi oportet, nunc quidem detrahendo, nunc vero addendo, ita ut (quemadmodum jamdudum a me dictum est) ad singulas aetates et anni tempora et naturas et morbos contrariam tum medicamentorum tum victus rationem adhibeas. At vero ubi morbus aliquis populariter grassatus fuerit non victus rationem in causa esse, sed quod spirando ducimus, manifestum est, ipsumque morbosam quandam excretionem plane obtinere. Eo igitur tempore his exhortationibus homines sunt admonendi, ut ne victus quidem rationem immutent, quum morbi causa minime existat. Provideant etiam ut corpus quam minime intumescat, sitque attenuatissimum tum cibos tum potus quibus uti consueverint sensim demendo. Si quis enim subito victus rationem immutet, ne quid in corpore ex immutatione

κίνδυνος καὶ ἀπὸ τῆς μεταβολῆς νεώτερόν τι γενέσθαι ἐν τῷ σώματι. ἀλλὰ χρὴ τοῖσι μὲν διαιτήμασιν οὕτω χρῆσθαι, ὅτε γε φαίνεται, οὐδὲν ἀδικέοντα τὸν ἄνθρωπον. τοῦ δὲ πνεύματος, ὅκως ῥεῦσις ὡς ἐλαχίστη εἰς τὸ σῶμα εἰσίοι καὶ ὡς ξενοτάτη ἔσται προμηθέεσθαι. τῶν δ' αὖ χωρίων τοὺς τόπους μεταβάλλοντα εἰς δύναμιν, ἐν οἷσιν ἂν ἡ νοῦσος καθεστήκῃ, καὶ τὰ σώματα λεπτύνοντα. οὕτως γὰρ ἂν ἥκιστα πολλοῦ τε καὶ πυκνοῦ πνεύματος χρῄζοιεν οἱ ἄνθρωποι.

Ἐλλιπῆ τὴν ἴασιν ἔγραψε τῶν κοινῶν νοσημάτων, ὅταν ὑπὸ τοῦ περιέχοντος γίγνηται. πολλάκις μὲν γὰρ ἀναθυμιάσεις τινὲς ἐξ ἑλῶν, ἢ λιμνῶν, ἢ τελμάτων, ἢ γῆς τοιαύτης αἰτίαι γίγνονται τῶν τοιούτων νοσημάτων, ἔστι δ' ὅτε μόνη τῶν ὡρῶν ἡ κρᾶσις. ἐπὶ μὲν οὖν τῶν ἀναθυμιάσεων ἰδιότητι μᾶλλον ὅλης τῆς οὐσίας, οὐχ ἁπλῇ ποιότητι λυμαινομένων τοῖς σώμασιν, ὀρθῶς ἔγραψε τὴν θεραπείαν, εἰς διττοὺς ἀνάγων σκοπούς, ἀμοιβήν τε τοῦ χωρίου

innovetur periculum est. Sed solita victus ratio servanda est, ubi nihil quidem laedere videtur, atque insuper ut aëris quam minimum in corpus influat, isque ut maxime peregrinus sit providendum, tum regionum loca, in quibus morbus consistit, quoad ejus fieri poterit permutando, tum corpora extenuando. Ita enim minime multum ac frequentem spiritum homines ex necessitate attrahent.

Mancam communium morborum quorum causa sit circumfluus aër, curationem protulit. Nonnunquam enim halitus stagnorum, paludum et coenosorum locorum vel hujuscemodi alicujus terrae istiusmodi gignendis morbis occasionem praestat: interdum vero sola anni temporum intemperies. Recte igitur cum halitus sola potius substantiae proprietate quam simplici aliqua qualitate corporibus noxii sint, curandi rationem explicuit, rem hanc in duos

καὶ χρείαν ὀλίγης τῆς εἰσπνοῆς, ἐπὶ δὲ τῶν ἀπὸ ποιότητος βλαπτομένων οὐ μόνον [133] ἡ θεραπεία τῶν γεγονότων ἤδη νοσημάτων, ἀλλὰ καὶ ἡ προφυλακὴ τοῦ μηδ' ὅλως συστῆναι, διὰ τῶν ἐναντίων ἔσται ποιοτήτων. εἰ μὲν ἀπὸ θερμότητος ἀμέτρου βλάπτοιτό γε τὸ σῶμα, διὰ τῶν ψυχόντων. εἰ δὲ ὑπὸ ψύξεως, διὰ τῶν θερμαινόντων, ἐπί τε τῶν ἄλλων ποιοτήτων ἁπλῶν τε καὶ συνθέτων ἀνάλογον. περὶ δὲ τῆς ἀπό τε τῶν ἡλικιῶν καὶ τῶν ὡρῶν καὶ τοῦ σώματος κράσεων ἐνδείξεως εἴρηταί μοι πρόσθεν. τὸ δὲ τῇ φαρμακείῃ προτρέπεσθαι δοκεῖ μοι λελέχθαι νῦν ἀντὶ τοῦ προσφέρεσθαι τοῖς νοσήμασιν ἐξ ὑπεναντίου. λέγεται δὲ καὶ νῦν ἔτι κατὰ τὴν Ἀσίαν ὅδε τις ἄνθρωπος προσφέρεσθαι τῷδε χρηστῶς, ἢ φιλικῶς, ἢ ἀπίστως, ἢ ἀπηνῶς.

ε'.

Ὁκόσα δὲ τῶν νουσημάτων γίνεται ἀπὸ τοῦ σώματος τῶν

referens scopos, locorum mutationem ac usum modicae respirationis. At vero in his qui ex qualitate laeduntur, non morborum modo jam dum factorum curatio, verum et custodia ne illi suboriantur, per contrarias perficitur qualitates, quia si corpus ab immoderato offendatur calore, per refrigerantia; si ex frigore, per calefacientia, et pari etiam modo in aliis tam simplicibus quam compositis qualitatibus. Jam autem a nobis de his indicationibus, quae ab aetatibus, anni temporibus corporumque temperamentis sumendae sunt, actum est. Illud vero *τῇ φαρμακείῃ προτρέπεσθαι* dictum arbitror pro *προσφέρεσθαι*, id est occurrere morbis per contraria. Nam nunc etiam in Asia dicunt aliquem alicui *προσφέρεσθαι χρηστῶς*, *ἢ φιλικῶς*, *ἢ ἀπίστως*, *ἢ ἀπηνῶς*, bene cum eo agere, vel amice, vel perfide, vel crudeliter.

V.

Morbi autem a robustissima corporis parte orti gravissi-

μελέων τοῦ ἰσχυροτάτου, ταῦτα δεινότατά ἐστι. καὶ γὰρ ἢν αὐτοῦ μένῃ ἔνθα ἂν ἄρξηται, ἀνάγκη τοῦ ἰσχυροτάτου τῶν μελέων πονεομένου πᾶν τὸ σῶμα ὀχλέεσθαι. καὶ ἢν ἐπὶ τῶν ἀσθενεστέρων τι ἀφίκηται ἀπὸ τοῦ ἰσχυροτάτου, χαλεπαὶ αἱ ἀπολύσιες γίνονται. ὁκόσα δ' ἂν ἀπὸ τῶν ἀσθενεστέρων ἐπὶ τὰ ἰσχυρότερα ἔλθῃ, εὐλυτώτερά ἐστιν· ὑπὸ γὰρ τῆς ἰσχύος ἀποκλείζεται ῥηϊδίως τὰ ἐπιῤῥέοντα.

Εἴτε μόριον εἴτε σῶμα λέγειν ἐθέλοι τις ἰσχυρότατον, κυρίως μὲν ἐρεῖ τὸ πρὸς τὰς δραστικὰς ἐνεργείας κάλλιστα κατεσκευασμένον, ὥς που καὶ τὸν Ἡρακλέα λέγομεν ἰσχυρότατον γεγονέναι. καθ' ἕτερον δὲ τρόπον ὡς πρὸς (21) τήνδε μέν τινα ἐνέργειαν ἰσχυρὸν τουτὶ τὸ σῶμα καὶ τὸ μόριον, ὡς πρὸς ἑτέραν δὲ ἄλλο, καὶ κατὰ μὲν πάντα ἰσχὺς ἐν ἑκάστῃ τῶν ἐνεργειῶν ἐστι τῷ δεῖνι, ἄλλο δὴ κατ' ἄλλην αὐτῶν ἰσχυρὸν γίγνεται. μία μὲν οὖν ἐστιν ἡ ἐνέργεια τῶν καθ' ὁρμὴν τοῦ ζώου κινήσεων, ὡς ἤτοι

mi exiſtunt. Etiamſi unde originem ſumpſerunt, iſthic perſtiterint, quum pars robuſtiſſima laboret, corpus univerſum laborare neceſſe eſt. Quod ſi ad imbecilliorem aliquam ex robuſtiſſima devenerint, difficiles habent ſolutiones. Quicunque vero ab imbecillioribus ad robuſtiores veniunt, facilius ſolvuntur, quod quae influunt facile per vim liberantur.

Sive membrum, ſive corpus valentiſſimum quis dicat, id proprie dicet quod ad actiones validiores obeundas ſit optime conſtructum: quo pacto Herculem fuiſſe robuſtiſſimum dicimus. Altero etiam modo validum eſſe hoc corpus dicimus vel hoc membrum pro hac certa actione, quemadmodum aliud pro alia et in omnibus alicui quidem ſingularum actionum robur adſit, ita tamen ut aliud in eorum alio robur habeat; una itaque actio earum motionum quae in animante voluntariae ſunt, ut ſi aut currat

τρέχοντος, ἢ συμπλεκομένου ζώοις τισὶν, ἢ διασπῶντός τι τῶν σωμάτων τῶν ἐμψύχων, ἢ τῶν ἀψύχων, ἢ ἀποσπῶντος ὡσαύτως ὁτιοῦν. μία δ' ἄλλη δύναμις καὶ κατ' αὐτὴν ἐνέργειαν ζωτικὴν, καθ' ἣν αἱ ἀρτηρίαι καὶ ἡ καρδία σφύζουσιν. ἐπὶ δὲ ταῖς κατὰ γένος ἀλλήλων διαφερούσαις ἄλλαι τινές εἰσιν ἀνομογενεῖς οὐκ ἐν τοῖς ζώοις μόνον, ἀλλὰ κἀν τοῖς φυτοῖς, διὸ καὶ φυσικὰς ὀνομάζομεν αὐτὰς, ἑλκτικὴ καὶ ἀλλοιωτικὴ καὶ καθεκτικὴ καὶ ἀποκριτική. δύναται τοιγαροῦν ἄλλοτε κατ' ἄλλο καὶ ἄλλο σῶμα ἡ γαστὴρ εἰ τύχῃ δύναμιν ἰσχυροτάτην ἔχειν, ὡς πρὸς τήνδε τὴν ἐνέργειαν, οἷον ἤτοι τὴν καθεκτικὴν ἢ τὴν ἀλλοιωτικὴν, ποτὲ δὲ τὸ ἧπαρ ἢ σπλὴν ἤ τι τῶν ἄλλων. ἔμπαλιν δὲ κατὰ τὸ αὐτὸ ζῶον ἡ μὲν γαστὴρ ἀσθενεστάτην ἔχει ἤτοι τὴν ἑλκτικὴν, ἢ τὴν ἀποκριτικὴν δύναμιν, ἰσχυροτάτην δὲ τὸ ἧπαρ. παρῆκε δὲ νῦν ὁ γράψας τὴν προκειμένην ῥῆσιν. ἰσχυρὸν δ' ἐννοεῖν μοι δοκεῖ, ᾧ πρὸς τὸ μὴ ῥᾳδίως πάσχειν ὑπὸ τῶν τὰς νόσους ἐργαζομένων αἰτιῶν. ἔτι νὴ Δία καὶ

aut cum aliis animantibus congrediatur, aut corpus aliquod animatum vel inanime divellat aut quicquam avellat. Est et una alia facultas quae ad actiones vitales pertinet, unde arteriae et cor habent quod pulsent. In his praeterea quae genere inter se differunt, sunt aliae quaedam dissimiles, quae non modo in animalibus, sed etiam in plantis reperiuntur, quapropter naturales eas nominamus, attractrix, contentrix, alteratrix et expultrix. Potest itaque alias quidem in alio atque alio corpore venter verbi gratia facultatem, quantum ad unam quampiam actionem spectat, robustissimam habere, ut ad contentricem aut alteratricem: nonnunquam etiam vel jecur vel lien vel aliorum aliquod. Contra etiam in animante eodem invalida erit ventris vel expultrix facultas, quas tamen jecur robustissimas obtinebit. Sed is auctor qui haec litteris mandavit, ista praetergressus est. Mihi vero robustum videtur intelligere id, quod praeter hoc quod a causis quae morbos pariunt haud facile afficitur, habet etiam ut si in ipso aliqua humorum excrescat redundantia,

τοῦτο πρόσεστι τὸ διὰ τῆς ἀποκριτικῆς δυνάμεως, ὅταν ἐν αὐτῷ τις ἀθροισθῇ περιουσία χυμῶν, εἰς ἕτερον αὐτὴν ἀποπέμπειν μόριον. εἶναι δὲ δηλονότι χρὴ τοῦ δεξαμένου τὸ πέμπον ἰσχυρότερον. ἔσται τοιγαροῦν καθ' ἕκαστον σῶμα τὸ μέν τοι ἀσθενέστατον μόριον, τὰ δ' ἰσχυρότατα, ὥσπερ ἀμέλει καὶ πᾶσιν ὡμολόγηται τοῖς ἰατροῖς καὶ τοῖς ἰδιώταις. ἀσθενεστάτους μὲν γὰρ εἶναι λέγουσι τοὺς πόδας τοῖς ποδαγρικοῖς, ὥσπερ γε σύμπαν τὸ τῶν ἄρθρων γένος τοῖς ἀρθριτικοῖς, [134] ἀσθενεστάτην δὲ κεφαλὴν τοῖς κεφαλαλγικοῖς. οὕτως δὲ καὶ τὸν σπλῆνα τοῖς φύσει σπληνώδεσι καὶ τοὺς ὀφθαλμοὺς ὅσοι ῥᾳδίως ὀφθαλμίαις ἁλίσκονται καὶ καθ' ἕκαστον μέρος ὡσαύτως. ὄντων δὲ κατὰ γένος διττῶν τῶν τὰς νόσους ἐργαζομένων αἰτιῶν, τὰ μὲν γὰρ ἔξωθέν ἐστι, τὰ δὲ ἐξ αὐτῶν ἡμῶν ὁρμᾶται, καὶ πρὸς μὲν τὰς ἔξωθεν βλάβας ἄλλα μόρια τῶν ἐν ἡμῖν ἐστιν ἐνίοτε ἀσθενῆ, πρὸς δὲ τὰς ἔνδοθεν ἄλλα. διότι καὶ τῶν αἰτιῶν αὐτῶν αἱ δυνάμεις ἑτερογενεῖς εἰσιν. ἐξ ἡμῶν γὰρ κατὰ πλῆθος χυμῶν ἢ μοχθηρίαν αἱ νόσοι γίγνονται. τὰ

in aliud quodpiam membrum ope expultricis facultatis propellat, sed est sane manifestum quod oportet ut valentius sit id quod propellit eo quod recipit. Erit quippe in omni corpore hoc quidem membrum infirmissimum, alia vero validissima: in quo omnes tam medici quam vulgares consentiunt. Et proinde podagricis pedes ajunt esse invalidissimos, universum autem articulorum genus his qui arthritidi obnoxii sunt; infirmum etiam caput esse quibus id dolet et lien lienis vitio laboranti, oculos quoque illis qui in lippitudinem proclives sunt, eodemque in caeteris partibus modo. Praeterea vero ut duplices sunt causae morborum effectrices, aliae externae, aliae vero quae a nobis ipsis prodeunt, sic ad externas interdum offensiones nonnullae in nobis partes imbecilliores sunt, ad internas aliae: quando et causarum ipsarum non eadem genere vis est. In nobis etenim morbi vel ex humorum multitudine, vel ex eorumdem suboriuntur pravitate. Externae item causae corporibus animantium nocuae sunt,

δ' ἔξωθεν αἴτια τὰ μὲν τῷ δυσκρασίαν τινὰ ἐργάζεσθαι, τὰ δὲ τῷ θλᾶν, ἢ τέμνειν ἀδικεῖ τὰ τῶν ζώων σώματα. τὸ γὰρ τῶν ἐξαρθρημάτων πάθος ὑπ' ἀμφοτέρων ἔοικε γίγνεσθαι. καὶ γὰρ αὐτὸς εἷς μόνος ἄνευ συμπλοκῆς τῆς πρὸς ἕτερον ἐξάρθρον ἐποίησεν, ἤτοι γόνυ βαδίζων, ἢ γένυν χασμώμενος, ἤ τι τῶν ἄλλων ἄρθρων, ἢ ὁπωσοῦν ἐνεργῶν, ἢ περιστρεφόμενος, ἤδη δὲ καὶ κάταγμά τις ἔπαθεν ἄνευ τῆς ἔξωθεν αἰτίας, ἐν περιστροφαῖς ἀθρόαις, ἢ τῷ πηδῆσαι σφοδρότερον· ὥσθ' ὅσα γένη τῶν αἰτιῶν ἐστι, τοσαῦτα καὶ τῆς τῶν πασχόντων ῥᾳδίως, ἢ μὴ πασχόντων μορίων ἀσθενείας τε καὶ ἰσχύος. αἱ μὲν οὖν ἐκ τῶν χυμῶν ὁρμώμεναι νόσοι κατὰ τὴν ῥώμην τε καὶ ἀσθένειαν ἅπασι γίγνονται τῶν ἀποκριτικῶν δυνάμεων. συμπεφυκότων γὰρ ἀλλήλοις τῶν τοῦ ζώου μορίων ἐκ τῶν ἀπωθεῖσθαι δυνατωτέρων εἰς ἕτερα μεταῤῥέουσιν οἱ νοσοποιοὶ χυμοὶ καὶ πάλιν ἐξ ἐκείνων εἰς ἕτερα, μέχρις ἄν τινι τῶν ἀσθενεστέρων στηριχθῶσιν, ὃ μηκέτ' ἔχει μηδὲν ἀσθενέστερον ἑαυτοῦ μέρος, ὥστε πέμψειν τὸν λυποῦντα χυμόν. ἐὰν

tum quod intemperiem quampiam gignant, tum quod contundant vel incidant. Luxatio enim et ab utrisque videtur habere occasionem: solus enim absque alterius congressu quispiam ambulans interdum genu aut mentum oscitans luxavit, sic et alium aliquem articulum aliud quidpiam agens aut se contorquens, sed et sine ulla externa causa aliquibus infractum est membrum aliquod, dum subito contorquetur aut vi majore salit: unde totidem sunt membrorum facile aut aegre patientium, totidem etiam firmitatis vel infirmitatis genera, quot videlicet sunt causarum: morbi siquidem qui ex humoribus habent originem, ipsi etiam a robore vel imbecillitate expultricis facultatis ortum habent. Nam cum omnes animalis particulae naturali quadam connexione inter se devinctae sint, a robustioribus repulsi noxii humores ad alias confluunt et inde rursus ad alias, donec in imbecilliorem partem quampiam delati ibi figantur, quod nullam se praeterea invalidiorem habeat quo morbosum humorem propellat. Haec si perinde ac intestina, venter,

μὲν οὖν ἐκροὰς ἔχῃ τοῦτο τὸ μόριον, ὡς ἔντερά τε καὶ γαστὴρ καὶ κύστις καὶ μήτρα, δι' ἐκκρίσεως ἐκκενωθῇ τὸ λυποῦν αἴτιον. ἐάν γε λεπτότερον ᾖ κατὰ τὴν σύστασιν τῶν ἐκροῶν τοῦ μορίου, πολλάκις καὶ ἀναῤῥαγέντων, ἢ καὶ ἀναστομωθέντων ἀγγείων, ἐπὶ πλέον ἡ κένωσις ἐγένετο, καθάπερ ἐν ταῖς χωρὶς τραυμάτων αἱμοῤῥαγίαις. ἐὰν δὲ μὴ ἀναστομωθῇ, μήτ' ἀναῤῥαγῇ, παχὺς ἢ γλίσχρος κατασκήψας χυμὸς ὄγκον ἐργάζεται παρὰ φύσιν ἐν τῷ μορίῳ. τοιαύτη μὲν οὖν τίς ἐστιν ἰσχὺς καὶ ἀσθένεια τῶν μελῶν τοῦ σώματος ἐν τοῖς πάθεσιν, ὅσα τὴν γένεσιν ἐξ ἡμῶν αὐτῶν ἔχει· τὰ δὲ ὑπὸ τῶν ἔξωθεν αἰτιῶν πάσχοντα κατὰ τὸ θερμαίνεσθαι καὶ ψύχεσθαι καὶ ξηραίνεσθαι καὶ ὑγραίνεσθαι τοὐπίπαν ἔοικε πάσχειν. σπάνια γάρ ἐστι τὰ διὰ τοῦ θλᾷν, ἢ τέμνειν, ἤ τι τοιοῦτο ποιεῖν εἰς νόσους ἄγοντα τὰ τῶν ζώων σώματα. γενήσεται τοίνυν ἐν ταῖς τοιαύταις νόσοις ἄλλο πρὸς ἄλλην αὐτοῦ ἀσθενές τε καὶ ἰσχυρόν. ὅσα μὲν γάρ ἐστι φύσει ψυχρότερα μόρια, ταῦτα πείσεται ῥᾳδίως ὑπὸ τῶν ψυχόντων αἰτίων, ὅσα δὲ θερμό-

vesica uterusque effluxus habeat, inde excreta noxia causa vacuatur, quae tamen si consistentia tenuior sit, saepe canalibus quae in ea parte sunt disruptis aut vasorum ostiis reseratis, copiosior subsequitur evacuatio: in quem modum fiunt sanguinis, quae absque vulnere sunt, profluvia. Si vero ea neque disrumpantur neque aperiantur, sed crassus sit humor aut tenax, qui in aliquam incumbat particulam, tumorem aliquem in ea parte praeter naturam excitat. Sic ergo haec est membrorum nostri corporis imbecillitas et eorumdem robur in affectibus illis qui ex nobis ipsis prodeunt. Qui vero ex externa causa, ii dum calefiunt vel refrigerantur, exiccantur aut humectantur, plurimum affici videntur. Alioqui enim quae aut contundunt aut incidunt vel aliud quodpiam hujuscemodi agunt, raro admodum corporibus animalium morbos afferunt. Quo fit ut aliud membrum ad aliud in hujuscemodi morbis collatum sit vel imbecille vel robustum; membra siquidem natura frigidiora, faciliora etiam sunt ut a refrigerantibus

τερα, πρὸς τῶν θερμαινόντων. ἀνάλογον δὲ τούτοις ἐπὶ τῶν καθ' ὑγρότητα καὶ ξηρότητα δυσκράτων· ἐνδέχεται δὲ αὐτῶν τούτων ἔνια μὲν ὑπὸ τῶν θερμαινόντων, ἢ ψυχόντων, ἢ ξηραινόντων, ἢ ὑγραινόντων αἰτίων ἑτοίμως πάσχειν, ἰσχυροτέραν δ' ἕτερον μόριον ἔχον τὴν ἀποκριτικὴν δύναμιν, εὐθέως ἀποπέμπειν εἰς ἐκεῖνα τὸ σφέτερον κακόν. ἐπεὶ τοίνυν οὐχ ἁπλῶς γίγνεταί τε καὶ νοεῖται μόριον ἰσχυρότερον, ἢ ἀσθενέστερον, ἀλλὰ κατὰ πλείονας τρόπους ἑτερογενεῖς, οὐχ οἷόν τέ ἐστι κρῖναι τὴν προκειμένην ῥῆσιν, οὐδ' ἀποφήνασθαι πότερον ἀληθὴς ἢ ψευδής. ἐκεῖνό γε μὴν ἐστι καὶ περὶ τῆσδε καὶ περὶ τῶν ἄλλων ἁπασῶν εἰπεῖν, [135] ὅσαι περὶ τῶν πολλαχῶς λεγομένων τε καὶ νοουμένων ἀδιορίστως ἀποφαίνονται, συγκεχυμένην τε καὶ ἀδιάρθρωτον εἶναι τὴν ἀπόφασιν αὐτῶν, ὡς μηδένα τῶν ἀκουσάντων αὐτῆς ὠφελεῖσθαι. καὶ μέντοι καὶ ἀντιλογίαν ἰσχυρὰν ἔχει τὸ κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένον, ἔνθα φησίν· ὁκόσα δ' ἂν ἀπὸ τῶν ἀσθενεστέρων ἐπὶ τὰ ἰσχυρότερα ἔλθῃ, εὐλυτώτερά ἐστιν. ὑπὸ γὰρ τῆς ἰσχύος

caufis afficiantur, calidiora vero a calefacientibus. Nec fecus etiam ea fe habent quae prae ficcitate aut humiditate funt intemperata. Sunt porro in his nonnulla quae etfi non aegre a calfacientibus refrigerantibusve exiccantibusque aut humectantibus caufis afficiantur, quia tamen vim expultricem obtinent valentiorem, in aliam partem fuum impellunt malum. Quum igitur non unus nec fimplex modus fit quo membrum robuftum aut debile aut fit aut intelligatur, fed multi potius ac genere varii: nemo eft qui poffit pronuntiare praefens pars verane fit necne. Verum enim vero ut de hac, ita de aliis omnibus, quae modis pluribus dici et accipi poffunt, id fane dixerim, quod, cum ita indiftincte proferantur, confufam ac minime articulatam habent interpretationem, ut inde nequeant auditores aliquem fructum referre. Praeterea nec levem objectionem id patitur, quod praefens infinuat oratio, ubi ait: *Quae vero ab infirmioribus ad fortiora deveniunt, foluta faciliora funt;* influxus enim a robore facile ἀπο-

ἀποκλείζεται ῥᾳδίως τὰ ἐπιῤῥέοντα, διὸ καὶ διαφόρως ἔγραψαν οἱ ἐξηγηταὶ τὴν τοῦ ἀποκλείζεται ἐξήγησιν, ἔνιοι μὲν ἀποκλείζεται γράψαντες, ἔνιοι δὲ ἀποκλείεται, τινὲς δὲ ἀποπαγιώσεται, τὴν τρίτην συλλαβὴν τοῦ ἀποπαγιώσεται ῥήματος διὰ τοῦ ω προενεγκάμενοι, τινὲς δὲ διὰ τοῦ η καὶ σ, καθάπερ ὁ Διοσκουρίδης, ἀπὸ τοῦ παγήσεσθαί φασιν, ἀντὶ τοῦ ἀποκρούεσθαι εἰρῆσθαι τοῦτο τὸ ῥῆμα. ἀλλ' εἴπερ ἀπὸ τῶν ἀσθενεστέρων μορίων ἐπί τι τῶν ἰσχυροτέρων ἀφικνούμενος ὁ λυπῶν χυμὸς ἀποκρουσθείη, πάλιν ὑπ' αὐτοῦ πλέον οὐδὲν οὕτω γε τῷ κάμνοντι γένοιτο. βέλτιον οὖν γράφειν τὴν λέξιν ὧδέ πως. ἀπὸ γὰρ τῆς ἰσχύος ἀναλώσεται τὰ ἐπιῤῥέοντα, τουτέστιν ἀναλωθήσεται πεττόμενά τε καὶ διαφορούμενα. τινὲς δὲ τὰ κυριώτατα μόριά φασιν εἰρῆσθαι νῦν ἰσχυρότατα, ψευδῆ ποιοῦντες τὸν λόγον. ἀπὸ γὰρ τῶν κυριωτέρων μορίων εἰς ἀκυρώτερα μεθίστασθαι τοὺς λυποῦντας χυμοὺς, οὐκ ἀπὸ ἀκυρωτάτων εἰς τὰ κυριώτατα βέλτιόν ἐστι. πολλάκις δ' ἤδη τεθεάμεθα τῶν ἐπὶ τὰ κῶλα φερομένων χυμῶν ἐν ἀρθρίτισί τε καὶ

κλείζεται et proinde expoſitores varii in exponendò illud ἀποκλείζεται fuere; nam quidam ἀποκλείζεται ſcripſere, alii ἀποκλείεται, fuere et qui ἀποπαγιώσεται, tertia ſcilicet iſtius verbi ſyllaba per ω ſcripta: ſicut alii, in quibus eſt Dioſcorides, per η et σ ἀποπαγήσεται dicunt, ita ut pro repelli ſit poſitum hoc verbum. At vero ſi ab inſirmioribus particulis ad validiores propulſus noxius humor, ab illis rurſum repellatur, nihil inde aegrotus proſiciet. Quare melius ſane erit ut hoc modo ſcribatur locus iſte. A robore enim quae influunt expendentur, hoc eſt concocta ac digeſta conſumentur. Quidam autem validiſſimas partes eas appellari hic quae principes ſunt, autumant et falſam reddunt hanc ſententiam. Satius enim eſt ut humores pravi, relictis principalioribus partibus, in ignobiliores ferantur, quam quod ab ignobilioribus in principes impellantur. Aſpeximus etenim ſaepe in his qui articulari morbo aut podagrae obnoxii erant, quod repulſis

ποδάγραις ἀποκρουσθέντων ἐκεῖθεν, εἶτ' ἐπί τι κύριον ἐλθόντων, ἀποθανόντα (22) τὸν ἄνθρωπον, εἶναί τε μίαν ἐλπίδα σωτηρίας, ἐὰν δυνηθῶμεν αὖθις ἐπὶ τὸ κῶλον αὐτοὺς ἀντισπάσαι.

στ'.

Αἱ παχύταται δὲ τῶν φλεβῶν ὧδε πεφύκασιν· τέσσαρα ζεύγεά ἐστιν ἐν τῷ σώματι καὶ ἓν μὲν δὴ αὐτέων ἀπὸ τῆς κεφαλῆς ὄπισθεν διὰ τοῦ αὐχένος, ἔξωθεν ἐπὶ τὴν ῥάχιν, ἔνθεν τε καὶ ἔνθεν ἐς τὰ ἰσχία ἀφικνέεται καὶ ἐς τὰ σκέλεα, ἔπειτα διὰ τῶν κνημέων, ἕως τῶν σφυρῶν τὰ ἔξω καὶ ἐς τοὺς πόδας διήκει. δεῖ οὖν τὰς φλεβοτομίας τὰς ἐπὶ τῶν ἀλγημάτων τῶν ἐν τῷ νώτῳ καὶ τοῖσιν ἰσχίοισιν ἀπὸ τῶν ἰγνύων ποιέεσθαι καὶ ἀπὸ τῶν σφυρῶν ἔξωθεν. αἱ δὲ ἕτεραι φλέβες ἔχουσαι τὴν ἀρχὴν ἀπὸ τῆς κεφαλῆς παρὰ τὰ οὔατα διὰ τοῦ αὐχένος αἱ σφαγίτιδες καλεόμεναι, εἴσωθεν ἀπὸ τῆς κοίλης παρὰ τὴν ῥάχιν ἑκατέρωθεν φέρουσαι παρὰ τὰς ψόας καὶ ἐς τοὺς ὄρχιας

ab artubus humoribus eo delatis, illi in principem aliquam partem contendentes homini interitum attulere: cui ea sola relinquebatur spes salutis, si iterum possent ad artus revelli.

VI.

At venas crassissimas sic natura condidit. Quatuor ipsarum paria sunt in corpore; ac unum quidem a capite retro per cervicem, parte exteriore ad utraque spinae latera, in ischia et crura pervadit, deinde per tibias et exteriores malleolos ad pedes pervenit. In dorsi itaque et ischiorum doloribus ex poplitibus et malleolis exterioribus venae sectiones facere oportet. Alterum autem venae exordium ducentes a capite juxta aures per cervicem, quae jugulares vocantur, intro secundum spinam utraque ex parte ad psoas et in testes et femora

καὶ ἐς τοὺς μηροὺς καὶ διὰ τῶν ἰγνύων ἐκ τοῦ εἴσωθεν μέρους, ἔπειτα διὰ τῶν κνημέων παρὰ τὰ σφυρὰ τὰ εἴσωθεν μέρεος καὶ ἐς τοὺς πόδας. δεῖ οὖν τὰς φλεβοτομίας ποιέεσθαι πρὸς τὰς ὀδύνας, τὰς ἀπὸ τῶν ψοῶν καὶ τῶν ὄρχεων, ἀπὸ τῶν ἰγνύων καὶ ἀπὸ τῶν σφυρῶν εἴσωθεν. αἱ δὲ τρίται φλέβες ἐκ τῶν κροτάφων διὰ τοῦ αὐχένος ὑπὸ τὰς ὠμοπλάτας, ἔπειτα ξυμφέρονται ἐπὶ τὸν πνεύμονα καὶ ἀφικνέονται ἡ μὲν ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερὰ, ἡ δὲ ἐκ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιά. καὶ ἡ μὲν δεξιὰ ἀφικνέεται καὶ ἐκ τοῦ πνεύμονος ὑπὸ τὸν μαζὸν καὶ ἐς τὸν σπλῆνα καὶ ἐς τὸν νεφρὸν, ἡ δὲ ἐκ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ ἐκ τοῦ πνεύμονος ὑπὸ τὸν μαζὸν καὶ ἐς τὸ ἧπαρ καὶ ἐς τὸν νεφρόν. [136] τελευτῶσι δὲ ἐς τὸν ἀρχὸν αὗται ἀμφότεραι. αἱ δὲ τέταρται ἀπὸ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν ὑπὸ τὸν αὐχένα καὶ τὰς κληΐδας, ἔπειτα δὲ ὑπὲρ τῶν βραχιόνων ἄνωθεν ἐς τὰς ξυγκαμπτὰς, ἔπειτα δὲ διὰ τῶν πήχεων καὶ ἐπὶ τοὺς καρποὺς καὶ τοὺς δακτύλους, ἔπειτα ἀπὸ τῶν δακτύλων πάλιν διὰ τῶν πήχεων καὶ τῶν χειρῶν ἄνωθεν ἐς τὰς ξυγκαμπτὰς καὶ διὰ βραχιόνων τοῦ κάτω-

et per poplites interiori ex parte, indeque per tibias ad malleolos internos et ad pedes deferuntur. Proinde in psoarum et testium doloribus ex poplitibus et malleolis interioribus venae secandae sunt. Tertium par venarum ex temporibus per cervicem sub scapulis et inde ad pulmonem defertur: haec quidem ex dextris ad sinistra, illa vero a sinistris ad dextra pervenit. Ac dextra quidem ex pulmone mammam subiens ad lienem et renem tendit: quae vero a sinistris ad dextra procedit, ex pulmone mammam subiens et hepar et renem petit. Utraque postremo in rectum intestinum ac anum desinit. Quartum par ab anteriore capitis parte et oculis sub cervicem et claviculas desinit, deinde vero per superiora in brachiorum flexus, posteaque per cubitos et superiores manuum partes in flexuras et per inferiorem bra-

θεν μέρεος ἐς τὰς μασχάλας καὶ ἀπὸ τῶν πλευρέων ἄνωθεν ἡ μὲν ἐς τὸν σπλῆνα ἀφικνέεται, ἡ δὲ εἰς τὸ ἧπαρ, ἔπειτα ὑπὲρ τῆς γαστρὸς ἐς τὸ αἰδοῖον τελευτῶσιν ἀμφότεραι. καὶ αἱ μὲν παχύταται τῶν φλεβῶν ὧδε ἔχουσιν. εἰσὶ δὲ καὶ ἀπὸ τῆς κοίλης φλέβες ἀνὰ τὸ σῶμα πάμπολλαί τε καὶ παντοῖαι καὶ δι' ὧν τῷ σώματι τροφαὶ ἔρχονται.

Τῶν κατὰ τὰς τέχνας ἀμφισβητουμένων ἔνια μὲν αἴσθησις, ἔνια δὲ ἀπόδειξις κρίνει. τὰ μὲν οὖν αἰσθήσει κρινόμενα τῆς κρινούσης αἰσθήσεως ἐῤῥωμένης δεῖται, τὰ δ' ἀποδείξει τοῦ λογισμοῦ γεγυμνασμένου. περὶ μὲν οὖν τῆς τῶν σιτίων πέψεως τῆς ἐν γαστρὶ καὶ τῆς μετὰ ταύτην τῶν χυμῶν γενέσεως, ἀναδόσεώς τε καὶ θρέψεως, ὅσα τ' ἄλλα τοιαῦτα, λογισμοῦ δεόμεθα τοῦ κρίνοντος τὰς εἰρημένας ὑπὸ τῶν παλαιῶν δόξας. εἰ δὲ τέτταρας ἔχει κοιλίας τὰ μηρυκάζοντα ζῶα, τὰ δ' ἀμφόδοντα μίαν, αἰσθήσεως, οὐκ ἀποδείξεως χρεία. ἔμπαλιν οὖν ἔχει τὸν ἔλεγχον

chiorum partem ad axillas perque summas costas, haec quidem ad lienem, altera vero ad jecur devenit, postea supra ventrem in pudendum utraque desinit. Atque hae quidem crassissimae venae ita sese habent; sunt autem et ex ventriculo venae per corpus multae ac variae et per quas corpori accedunt alimenta.

Ea quae in artibus in controversiam veniunt, partim sensu, partim demonstratione dijudicantur. Quae ad judicium sensus pertinent, vigentem a quo judicentur sensum exposcunt: sed quae ad demonstrationes, rationem exercitatione elaboratam. Jam igitur si de ciborum concoctione, tum ea quae in ventriculo fit, tum vero quae hanc excipit, humorum generatione, distributione nutricationeque et id genus reliquis sermo habeatur: ratione qua veterum opiniones judicentur, egemus. At vero an quae ruminant animalia quatuor ventres habeant, quae

τῶν ψευδομένων τά τε αἰσθήσει κρινόμενα καὶ τὰ τῷ λογισμῷ. τὰ μὲν γὰρ αἰσθήσει κρινόμενα τοῖς διαλεγομένοις πρὸς ἀλλήλους ἑτοιμοτάτην φέρει τὴν κρίσιν, ἐπὶ τὸ φαινόμενον ἐν ταῖς ἀνατομαῖς ἀφικνουμένοις. τὰ δ' ἀποδείξει καὶ χωρὶς ἀνατομῆς κρίνασθαι δύναται, γραφομένης τῆς ἀποδείξεως. ἐὰν οὖν τις ἀναγκάζηται διὰ γραμμάτων ἀντιλέγειν τοῖς ἀναισχυντότατά τε καὶ ἀμαθέστατα τολμήσασιν ἀποφήνασθαι περί τινος ἀνατομικοῦ θεωρήματος, αἰσθήσει τὴν κρίσιν ἔχοντος, οἱ μὴ γινώσκοντες τὸ φαινόμενον ἐν ταῖς ἀνατομαῖς, ἀδυνατοῦσι διακρίνειν ἀπὸ τῶν ἀληθευόντων τοὺς ψευδομένους. ὥσπερ γὰρ ἐάν τις λέγῃ Κρήτην οὐκ εἶναι νῆσον, ὑπὸ πάντων τῶν ἀκουόντων καταγινώσκεται, διότι γινώσκουσιν αὐτὴν εἶναι νῆσον, οὕτως ἐάν τις λέγῃ τέτταρας μὲν ἔχειν τὰς κοιλίας τοὺς κύνας, μίαν δὲ τὰ μηρυκάζοντα, καταγελᾶται πρὸς τῶν ἑωρακότων ἐν μὲν τοῖς μηρυκάζουσι τέτταρας, ἐν δὲ τοῖς κυσὶ μίαν. ταὐτὸ δὴ τοῦτο καὶ περὶ τῆς τῶν φλεβῶν ἀνατομῆς ἐστιν.

autem utrinque ſunt dentata unum, a ſenſu hoc, non ex demonſtratione petendum. Unde diverſus modus eſt, quo convincendi falſitatis ſint qui aberrant in his quorum ſenſus et in illis quorum ratio judex eſt. Eorum enim quae ad ſenſum attinent, quum inter ſe aliqui diſputant: ad id quod in corporum diſſectionibus conſpicitur ſi ſe contulerint, facile erit judicium. Sed qui demonſtrationem requirunt, poſſunt ſine ulla etiam diſſectione, ſola aſcripta demonſtratione judicari. Igitur cum ſcriptis cogimur cum his contendere, qui de aliquo diſſectorio theoremate, quod ſenſum in primis judicem habet, impudentiſſime pariter ac imperitiſſime pronuntiarunt, fieri nequit ut ignari eorum quae in diſſectionibus videri ſolita ſunt, poſſint mendaces a veridicis diſcernere. Ut enim ſi quis Cretam eſſe inſulam negaverit, ſtatim ab omnibus qui id audierint deſpicietur: quippe qui probe noverint eam eſſe inſulam. Sic ſi quis canibus quatuor eſſe ventres affirmaverit, unicum vero ruminantibus: hunc illi qui in rumi-

οὐ γὰρ ἀποδείξεως ἡ κρίσις, ἀλλ' αἰσθήσεως δεῖται. μέχρι δ' ἂν οἱ διαφωνοῦντες ἐν τοῖς ἰδίοις χαρτίοις γράφωσιν ἅπερ ἂν ἐθέλωσιν, ἄδηλός ἐστιν ἡ ἀλήθεια τοῖς ἀπείροις ἀνατομῆς. εἰς τοιαύτην γοῦν ἀφιγμένοι διαφωνίαν ἡμεῖς ἐν τῷ παρόντι λόγῳ πρὸς τοὺς τολμήσαντας εἰπεῖν ἀπὸ τῆς κεφαλῆς εἰς τὸ σῶμα τέτταρα ζεύγη φλεβῶν κατιέναι, τοῖς ἀγνοοῦσι τὰ κατὰ τὰς ἀνατομὰς οὐδεμίαν δυνάμεθα διὰ τῆς γραφῆς ἰσχυρὰν εἰπεῖν ἀπόδειξιν, ὅτι μηδὲ λογικῆς ὅλως ἀποδείξεως, ἀλλ' αἰσθήσεως μόνης ἐπιστημονικῆς ἡ κρίσις δεῖται. εἰ δὲ μή τις ἄρα τὰ περὶ κρίσεως ἱστορίας γεγραμμένα καὶ ἄλλοις μέν τισιν ἰατροῖς τε καὶ φιλοσόφοις, οὐχ ἥκιστα δὲ τοῖς ἐμπειρικοῖς, ἐθέλοι προχειριζόμενος κατὰ ταῦτα ποιεῖσθαι τὴν κρίσιν. ἐγὼ μὲν γὰρ οὐ φεύγω τὰ παλαιὰ κριτήρια καὶ τὴν συμφωνίαν τῶν ἱστορησάντων, [137] καὶ μάλιστα ἂν ἔμπειρος τῆς ἱστορουμένης ὕλης εἶεν, ὥσπερ Εὔδημος μὲν καὶ Ἡρόφιλος ἀνατομῆς, Κρατεύας δὲ καὶ Διοσκουρίδης τῶν μεταλλικῶν φαρμάκων. εἰ

nantibus quatuor et unum in canibus inſpexere, facile deridebunt. Id ipſum quoque de venarum ſectione dicas; nam a ſenſu, non a demonſtratione hujusce rei petendum eſt judicium. Porro quoadusque illi qui in hac re diſcordes ſunt, in ſuis chartis quicquid illis viſum ſit deſcripſerint: veritas eos qui ſectionis imperiti ſunt latebit. Sic itaque cum in hoc praeſenti ſermone in controverſiam venerimus cum his qui auſi ſunt affirmare quatuor venarum paria a capite in corpus deſcendere, diſſectionis rudibus nullam poſſumus validam ſcriptis afferre demonſtrationem, nempe quod non demonſtratione, ſed ſenſu judice egeat: niſi quis forte velit ea proponens quae de judicanda hiſtoria tum a multis tam philoſophis quam medicis tum vel maxime ab empiricis tradita ſunt, horum inſtitutis uſus judicium afferre. Et equidem antiquiorum judicia atque etiam conſenſum auctorum minime fugerim, dum illi qui ſcripſere, fuerint in re de qua ſcripſere conſummati, quemadmodum in diſſectatoria diſciplina Eudemus et Herophilus, Crateuas et Dioſcorides in metallicis me-

δέ τις ἐκφύγῃ τὴν κρίσιν ταύτην, οὐ μόνον ὀκτὼ φλέβας ἀδυνατήσει (23) δεικνύειν ἀπὸ τῆς κεφαλῆς καταφερομένας, ἀλλ' οὐδὲ τρεῖς ἢ δύο, μία γάρ ἐστι μόνη μεγίστη φλὲψ, ἣν κοίλην ὀνομάζουσιν. διὰ δὲ τῶν κυρτῶν τοῦ ἥπατος ἐκτεταμένη κατὰ τὸ τοῦ ζώου μῆκος, ὁριζουσῶν δηλονότι τῶν φρενῶν τὸ κάτω καὶ τὸ ἄνω τοῦ ζώου. φέρεται δ' ἡ κοίλη φλὲψ αὕτη διὰ τῶν φρενῶν, ἄνω μὲν ἐπὶ τὴν καρδίαν, κάτω δ' ἐπὶ τὴν ῥάχιν κατὰ τὸ κυρτὸν τοῦ ἥπατος διεξερχομένη. κἄπειθ' οὕτως ἀπὸ μὲν τῆς ἄνω φερομένης ἀποφυόμεναι φαίνονται σαφῶς ἀπὸ στελέχους αἱ ἄνω τοῦ διαφράγματος ἅπασαι φλέβες, ἀπὸ δὲ τῆς ἐπὶ τὴν ῥάχιν καμπτομένης αἱ κάτω. καὶ ταῦτα γέγραπται μὲν καὶ ὑφ' Ἱπποκράτους ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, ἡπατῖτιν ὀνομάζοντος αὐτοῦ τὴν κοίλην φλέβα. γέγραπται δὲ καὶ ὧδε καὶ πρὸς ἁπάντων τῶν ἀνατομικῶν. οὐδεὶς δ' ἄλλος ἰατρὸς εἶπεν ὀκτὼ φλέβας ἀπὸ κεφαλῆς ἐπὶ τὰ κάτω τοῦ σώματος ἥκειν οὔτε τῶν ἧττον οὔτε τῶν μᾶλλον ἀκριβῶς

dicamentis. Quod si quis hujuscemodi subterfugiat judicium, non modo non poterit octo venas a capite descendentes demonstrare, verum neque tres neque duas, quia una tantummodo vena est et ea maxima, quae cava appellatur, a gibbo jecinoris per totam animalis longitudinem protracta. Nam quum septum transversum animantis partem superiorem ab inferna separet, vena cava pertransiens transversum id septum sursum versus ad cor tendit, deorsum vero a gibbo jecinoris per spinam concedit. At ab ea quae sursum contendit parte plane perspiciuntur tanquam a caudice omnes exoriri, quae septo transverso superiores sunt venae, sicut ab ea quae ad spinam deflectit, inferiores. Horum Hippocrates in secundo epidemion libro meminit ubi venam cavam jecorariam vocat. Huic caeteri omnes quicunque in dissectionibus versati sunt consentiunt: nec quisquam alius unquam medicus repertus est sive dissectiones diligentius sive negligentius pertractaverit, qui asseveraverit octo esse venas quae a capite in corporis infernas discurrant partes, non Diocles,

ἀνατεμνόντων, οὐ Διοκλῆς, οὐ Πραξαγόρας, οὐκ Ἐρασίστρατος, οὐ Πλειστόνικος, οὐ Φιλότιμος, οὐ Μνησίθεος, οὐ Διεύχης, οὐ Χρύσιππος, οὐκ Ἀντιγένης, ἢ Μήδειος, ἢ Εὐρυφῶν, οὐκ ἄλλος τις ἰατρὸς τῶν ἀρχαίων. τί δεῖ λέγειν ἔτι περὶ τῶν μετ' αὐτοὺς ἐπὶ πλεῖστον αὐξησάντων τὴν ἀνατομικὴν θεωρίαν; ὡς Ἡρόφιλός τε καὶ Εὔδημος, οἷς εἰς τὴν μέθοδον οὐκέτι οὐδεὶς προσεξεῦρεν οὐδὲν ἄχρι Μαρίνου τε καὶ Νομισιανοῦ, οὐδ' Ἡρακλειανὸς, ᾧ συνεγενόμην ἐπὶ τῆς Ἀλεξανδρείας οὐκ ἐν παρέργῳ. μαθηταὶ δὲ τῶν ἀνδρῶν τῶνδε πολλοί τε καὶ ἄλλοι, διαπρεπέστατοι δὲ Νομισιανοῦ μὲν ὁ διδάσκαλος ἡμῶν Πέλοψ, Μαρίνου δὲ Κόϊντος. ἀλλὰ Κόϊντος μὲν οὔτ' ἄλλο τι βιβλίον οὔτ' ἀνατομικὸν ἔγραψε· τῶν δ' ἄλλων ἁπάντων ἀνατομικὰς ἔχομεν οὐκ ὀλίγας βίβλους. ἀλλὰ καὶ τῶν Κοΐντου μαθητῶν ἐστιν ἀνατομικὰ συγγράμματα, καθάπερ τὰ Σατύρου τε τοῦ ἡμετέρου διδασκάλου καὶ Λύκου. τούτων οὖν ἁπάντων καὶ πρὸς τούτοις ἄλλων πολλῶν ἀνατομὰς γεγραφότων

non Praxagoras, non Eraſiſtratus, non Pliſtonicus, non Philotimus, non Mneſitheus, non Dieuches, non Chryſippus, neque Antigenes vel Medius vel Euryphon, nec alius tandem quispiam e numero priscorum medicorum. Et quid de recentioribus dicam a quibus anatomica disciplina plurimum adaucta eſt, in quibus Eudemus et Herophilus fuere, quos nullus ad tempora usque Marini et Numeſiani ſubſequutus eſt qui illorum methodo aliquod inventum addiderit? ut neque Heraclianus, cum quo Alexandriae magna attentione verſatus ſum. Horum virorum et alii etiam plures extitere discipuli, ſed omnium praeſtantiſſimi fuere Numeſiani quidem praeceptor noſter Pelops, Marini vero Quintus. Quintus vero ut de nulla praeterea re alia quicquam ſcripſit, ſic neque de diſſectionibus. Sed aliorum non paucos habemus anatomicos libros; imo et commentaria reperiuntur anatomica a discipulis Quinti edita, qualia ſunt Satyri praeceptoris noſtri et Lyci. Igitur cum ab his omnibus et ab aliis praeterea multis de corporibus ſecandis ſcriptum ſit, nullus tamen noviſſe po-

οὐδεὶς οἶδε τέτταρα ζεύγη φλεβῶν ἀπὸ τῆς κεφαλῆς ὁρμᾶσθαι. τοῦτο γὰρ ὅμοιόν ἐστι τῷ λέγειν ὀκτὼ κατὰ τὴν τῶν Ἀθηναίων πόλιν ἀκροπόλεις εἶναι, μιᾶς οὔσης μόνης. κατὰ μέν γε τὴν Ῥωμαίων πόλιν ἐγχωρεῖ τινα φάναι τοὺς ᾠκισμένους λόφους ὑπάρχειν ὀκτὼ, καθάπερ κᾂν ἓξ τις φήσῃ. παρ' ἕνα γὰρ ἑκάτερος ἐψεύσεται. εἰ δέ τις ἀντὶ τῶν ἑπτὰ, ἕνα εἶναι φήσει τὸν ᾠκισμένον λόφον, ἢ ἔμπαλιν Ἀθήνησιν ἀντὶ μιᾶς ἀκροπόλεως ὀκτὼ, πολλῷ μᾶλλον ψεύσεται τοῦ παρ' ἕνα τἀληθῆ εἰπόντος. διαφερομένης οὖν ἀπὸ τῶν κυρτῶν τοῦ ἥπατος εἰς τὰ τοῦ σώματος ἄνω μιᾶς φλεβὸς, ἣ κᾂν ἄνωθεν ἄρξηταί τις ἀνατέμνειν, οὐκ ἀναφέρεσθαι, ἀλλὰ καταφέρεσθαι λεχθήσεται, μία δ' ὡσαύτως φανεῖται, γελοιότατος ἂν εἴη τις ὀκτὼ λέγων ἄνωθεν κάτω φέρεσθαι φλέβας. εἴτε γὰρ ἄνωθεν κάτω βουληθείης λέγειν, εἴτ' ἐκ τῶν κάτω μερῶν ἄνω φέρεσθαι τὴν ἡπατῖτιν ἢ κοίλην ὀνομαζομένην φλέβα, μία πάντως ἐστὶν αὐτὴ διὰ τῶν κυρτῶν τοῦ ἥπατος ἐκτεταμένη. εἰ μὲν οὖν ἑτέρου

tuit quatuor venarum paria a capite delabi. Neque hoc secus esse videtur quam si quis vellet contendere Athenis octo esse arces, ubi unica tantum est: Romae etiam si aliquis diceret colles octo esse qui inhabitentur, alius vero sex tantum, uno uterque mentiretur. Si tamen quispiam unum pro septem habitari collem, contra vero Athenis pro una octo dicat esse arces, hic longe majori mendacio erit obnoxius quam alter qui uno tantum a vero aberrat. Sic ergo cum una sit vena quae a jecinoris gibbo in supernas corporis partes fertur, quae etiam si quis a superioribus sectionem exordiatur, descendere potius quam ascendere dici poterit, ut tamen nihilo secius una videatur, ille profecto ab omnibus deridendus veniet, qui octo dixerit a capite venas deferri: quia sive ex superna parte deorsum, sive ex inferna sursum ferri dixeris venam jecorariam, quam cavam appellant, illa una penitus semper erit per gibbum jecinoris porrecta. Et proinde si ullus cujuspiam reperiatur liber, qui anatomen hujuscemodi lit-

τινὸς εὑρεθῇ βιβλίον ἀνατομὴν ἔχον τοιαύτην, οὐδ' ἂν ἐποιήσατό τις ὑπὲρ αὐτοῦ λόγον, οὐδ' ἀναγνῶναι τὰ κατὰ μέρος ὑπέμεινεν, ἀλλὰ τοῦτο μόνον ἀκούσας ὡς ἔστι τέσσαρα ζεύγη φλεβῶν ἐν τῷ σώματι, [138] καταγνοὺς ὡς ἐμπλήκτου τῆς ἐπαγγελίας ἀπεχώρησεν εὐθέως. ἐπεὶ δ' Ἱπποκράτους συγγράμματι παρενέθηκέ τις τὸν λόγον, ἀνάγκην ἡμῖν παρέσχεν ἀπολλύειν τὸν χρόνον, αὐτόν τε τοῦτον ὃν ἀναλίσκομεν ἐλέγχοντες αὐτὸν, ἔτι τε πρὸς τούτοις καθ' ὃν ἀναγινώσκομεν τὰ κακῶς ἐγγεγραμμένα. ἀπὸ τῶν ὄπισθεν τῆς κεφαλῆς, φησὶ, ζεῦγός τι φλεβῶν ὥρμηται φέρεσθαι διὰ τοῦ αὐχένος, εἶτ' ἐκ τῶν ἔξω μερῶν περὶ τὴν ῥάχιν ἀφικνούμενον ἐπὶ τὰ ἰσχία. τοὐντεῦθεν δὲ διὰ τῆς κνήμης ἐπὶ τὰ τῶν σφυρῶν ἔξω παραγίνεται. ἕτερον δ' ἄλλο ζεῦγος ἄρχεται μὲν, φησὶν, ἐκ τῶν περὶ τὰ ὦτα χωρίων, κατέρχεται δὲ διὰ τοῦ τραχήλου τῶν σφαγιτίδων ὀνομαζομένων φλεβῶν, εἶθ' ὥσπερ τὸ πρότερον ζεῦγος ἐκ τῶν ἔξω μερῶν περὶ τὴν ῥάχιν, οὕτως ἐκ τῶν ἔνδον, τοῦτο πρός τε τοὺς ὄρχεις καὶ τοὺς μηροὺς ἥκει. κἄπειτα διὰ τῶν ἰγνύων ἐπὶ τὰ τῶν

teris mandaverit, nullus ſane unquam eam poterit illius habere rationem, ut pati poſſit particulatim omnia capita legere, imo hoc uno audito quatuor eſſe venarum in corpore paria, ſtatim quaſi a ſtolido quodam inſtituto auſugiet. Verum poſteaquam haec a nonnullis interjecta ſunt Hippocratis operibus, coacti fuimus nos hoc temporis quod tum in his refellendis tum vero illis quae vel perperam ſcripta ſunt legendis conſumimus, diſpendium ſubire. Eſt, ait ipſe, par unum venarum quod ab occipite exoriens per cervicem deſcendens et ab exterioribus ſpinae partibus ad coxas delatum, mox inde per tibiam ad malleolos tandem exteriores pervenit. Alterum vero par a partibus juxta aures originem habere ait, quod per collum delatum conſtitutisque venis jugularibus vocatis, mox ut primum ab externis circa ſpinam partibus, ita hoc ab internis ad teſtes et femora pertingit: deinde vero per poplites ad internos concedit malleolos. Quis unquam ſi vel diem unam ſecari corpora viderit aliquando, haec audire queat?

σφυρῶν ἔνδον ἀφικνεῖται. τίς ἀνάσχοιτο ταῦτα ἀκούων ἡμέρᾳ μιᾷ τεθεαμένος ἀνατομὰς ζώου; πολλὰ μὲν γάρ ἐστι καὶ δύσδεικτα θεωρήματα κατὰ τὰς ἀνατομὰς, ὑπὲρ ὧν εἰκὸς ἀγνοεῖν τινα τῶν μὴ πάνυ τετριμμένων ἐν τῷ πράγματι, καὶ διὰ τοῦτο διαφωνία γέγονεν ἐπ᾽ αὐτῶν· τὸ δὲ τῆς μεγίστης φλεβὸς οὕτως ἐστὶ πρόδηλον, ὡς μήτε τινα λαθεῖν δύνασθαι τῶν δυνηθέντων ἐξ ἀνατομῆς τι μαθεῖν, ὡμολόγηταί τε πᾶσιν ἄχρι τοῦ καὶ τοὺς ποιητὰς αὐτοὺς γινώσκειν. Ὅμηρος γοῦν φησιν

ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,
Ἥτ᾽ ἀνὰ νῶτα θέουσα διαμπερὲς αὐχέν᾽ ἱκάνει.

μίαν οὖν αὐτὴν οἶδεν, ὥσπερ μία καὶ ἔστιν, οὐ τέσσαρας, ἔξωθεν μὲν τῆς ῥάχεως δύο, δύο δὲ κατὰ τὸν αὐτὸν τρόπον ἐκείναις παρατεταμένας ἑκατέρωθι τῇ ῥάχει ἄλλας. ἀλλὰ τὰς μὲν τέσσαρας, ὡς ὁ διαπλάσας τὴν ἐνταῦθα γεγραμμένην ἀνατομὴν ἔγραψεν, οὐδὲν ἔχει ζῶον· ἀπὸ δὲ τῆς μιᾶς φλεβὸς τῆς μεγίστης ἀποφύσεις γίνονται καθ᾽

Multa quidem in ſectionibus exiſtunt theoremata obſcura, nec facilem demonſtrationem habentia, quae merito quempiam ex his qui in ea re non admodum conſummati ſunt, latere poſſunt, et propterea de his aliqua ſuborta eſt diſſentio. At maximae illius venae negotium ita omnibus apertum eſt, ut illos qui ex anatome quicquam addiſcere potuerint, fallere nequeat. Imo adeo penes omnes in confeſſo eſt, ut etiam poëtae id cognoſcant, unde Homerus ait:

et venam praecidit inde
Quae dorſo incumbens in collum fertur utrinque.

Sic igitur unam, ut una etiam eſt, novit, non quatuor: duas extra ſpinam, duas item alias, quae eodem ſicut illae modo utrinque ſecundum ſpinam porrectae ſint, ut tamen nullum ſit animal quod, in quem modum qui hanc deſcripſit anatomen fingit, quatuor habeat. A vena hac maxima per univerſos ſpinalis medullae fines, ut in ſe-

ὅλον τὸ μεταξὺ τῶν τοῦ νωτιαίου περάτων, ὡς Ἱπποκράτης ἔγραψεν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, τό τ᾽ ἄνω πρὸς ταῖς κλεισὶ πέρας αὐτῆς καὶ τὸ κάτω πρὸς τῷ ἱερῷ ὀστέῳ. καὶ τὸ μὲν εἰς τὰς σφαγίτιδας φλέβας σχίζεται, τὸ δ᾽ εἰς τὰς ἐπὶ τὰ σκέλη φερομένας. πῶς οὖν ὁ τοῦτο τὸ δεύτερον ζεῦγος γράψας δύο διαμενούσας τὰς σφαγίτιδας φλέβας οἴεται παρὰ τὴν ῥάχιν ἐκ τῶν ἔνδον μερῶν ἐπὶ τὰ σκέλη φέρεσθαι; πῶς δ᾽ ἐπὶ τὰ τῶν σφυρῶν ἔνδον ἥκειν; μιᾶς καὶ μόνης φλεβὸς εἰς ἑκάτερον τῶν σκελῶν ἀφικνουμένης, οὐκ ἄλλης μέν τινος ἔνδον τῶν σφυρῶν, ἄλλης δ᾽ ἔξωθεν, ἀλλὰ τῆς αὐτῆς εἰσιν ἀποβλαστήματα. ἔτι δὲ τούτων ἐστὶ γελοιότερον τὸ τρίτον ζεῦγος τῶν φλεβῶν, ἃς ἐκ τῶν κροτάφων ὁρμηθείσας φέρεσθαί φησι διὰ τοῦ αὐχένος ὑπὸ τὰς ὠμοπλάτας εἰς τὸν πνεύμονα.. κἄπειτ᾽ ἐντεῦθεν ὑπαλλαττούσας τὸ κατ᾽ εὐθὺ τῆς φορᾶς ἐκτρέπεσθαι πρὸς τὰ πλάγια, τὴν μὲν ἐκ τῶν δεξιῶν μερῶν ἐπὶ τὰ ἀριστερὰ μετερχομένην, εἶθ᾽ ὑπὸ τὸν μαζὸν, ἐπί τε τὸν σπλῆνα καὶ τὸν ἀριστερὸν ἀφικνουμένην νεφρόν. τὴν δ᾽ ἐκ τῶν ἀριστερῶν μερῶν ὑπὸ τὸν δεξιὸν νεφρὸν, ἀμφοτέρας δ᾽ αὐτὰς εἰς τὸν

cundo Epidemion libro fcripfit Hippocrates, germina oriuntur: fuperior ejus terminus ad claviculas eft, inferior autem ad os facrum. Horum alter in venas jugulares fcinditur, alter in illas quae in crura deferuntur. Jam ergo quo modo is qui hoc fecundum par commentus eft, putavit jugulares venas duas permanentes juxta fpinam ex internis partibus ad crura devehi? quo etiam interius ad malleolos pervenire? quum una in utramque et fola vena feratur et non una intra, altera vero extra malleolos, fed unius et ejusdem funt rami. His autem praeterea ineptius eft tertium id venarum par, quas a temporibus deductas per cervicem fub fcapulis tranfire ad pulmonem dixit, inde vero mutato inceffu, a recto in obliquum, dextram ad finiftrum latus pervenire, ficque ad lienem et finiftrum renem concedere: finiftram vero ad dextrum renem et ambas tandem in fede finiri. Sed dicat quispiam auctori hujusce inventi, o bone vir, fedes habent fua venarum

ἀρχὸν τελευτᾷν. ἀλλὰ καὶ ὁ ἀρχὸς, ὦ βέλτιστε, φαίη ἂν τις εἰκότως πρὸς τὸν ταῦτα γράψαντα, παρὰ τῆς ἐπ' ὀσφύϊ κοίλης ἀποφύσεις λαμβάνει, κατ' ἐκεῖνον τὸν τόπον, ἔνθα καὶ τὰς εἰς ἑκάτερον μέρος ἀποφυομένας τῆς κοίλης, ὥσπερ τινὰς κλάδους μεγάλους ἐπὶ τὰ σκέλη φέρεσθαι. τῷ δὲ πνεύμονι τίς ἀγνοεῖ μὴ ὅτι τῶν ἰατρῶν, ἀλλὰ καὶ τῶν μαγείρων, ἀπὸ καρδίας χορηγούμενον αἷμα διὰ μιᾶς φλεβὸς, ἧς καρδίας οὐδαμόθι μέμνηται κατὰ τὸν λόγον ὁ τὸ τρίτον ζεῦγος αὐτὸ πλάσας; [139] ἀλλ' ἣν ἔνιοι τῶν ἀνατομικῶν ἀνδρῶν ἀρχὴν εἶναί φασιν τῶν καθ' ὅλον τὸ σῶμα φλεβῶν, ταύτην ἡ προκειμένη ῥῆσις οὐδεμίαν οἶδεν ἔχουσαν φλέβα. καὶ γὰρ οὖν καὶ τὸ τέταρτον ζεῦγος ἄρχεσθαι μὲν ἀπό τε τῶν πρόσω τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν ἔφη- (24) σεν, ὑπὸ δὲ τὸν αὐχένα καὶ τὰς κλεῖς ἐνεχθὲν αὐτὰς, ἐπιβαίνειν τῷ βραχίονι καθ' ἑτέραν δηλονότι χεῖρα μίαν, εἶτ' ἐκ τῶν ἄνω μερῶν ἐπὶ τοὺς δακτύλους ἐνεχθείσας αὖθις ἀναφέρεσθαι διὰ τῆς ὅλης χειρὸς ἐπὶ τὴν μασχάλην, ἐντεῦθέν τε διὰ τῶν πλευρῶν ἰέναι, τὴν μὲν ἑτέραν ἐπὶ τὸ ἧπαρ, τὴν δ' ἑτέραν ἐπὶ τὸν σπλῆνα, κἄπειτα φερομένας ἀπὸ τῆς

germina a cava juxta lumbos exorientia, qua fane parte duae illae quae in utramque partem deductae a cava ortae quafi rami majores in crura deveniunt. Et quis praeterea eft nedum medicus, fed nec coquus qui nefciat fanguinem a corde, cujus ille qui hoc tertium confinxit par, usquam in fuo fermone ne meminit quidem pulmoni per venam unam fubminiftrari? Imo is iftius fermo id fi ullam habeat venam ignoraffe videtur, quod tamen a nonnullis fectoriae difciplinae peritis tanquam fons et origo venarum omnium per univerfum corpus diftributarum habitum eft. Quartum enim venarum par a fincipite oculisque fuum initium habere ait, unde fub cervicem et claviculas delatum brachium ingredi, ad utramque manum unam, fubinde vero ex fuperioribus partibus in digitos ferri et mox referri per univerfam manum ad alam, indeque per coftas progredi, alteram quidem in jecur, alteram in lienem, ut tandem a ventre decurrentes

γαστρὸς εἰς τὸ αἰδοῖον ἀμφοτέρας τελευτᾷν, ὥστε οὐδ' αὗται διδόασί τι τῇ καρδίᾳ μέρος. πῶς οὖν εἰς τέλος ἐπελάθετο τηλικούτου σπλάγχνου τῆς καρδίας ὁ ταῦτα διαπλάττων ὡς καινὸς ὄντως Προμηθεύς; οὐ μὴν οὐδ' ἐγκεφάλου μνήμην ἐποιήσατο. δῆλον γὰρ ὅτι καὶ οὗτος ἀτιμότερος ἦν τῶν σφυρῶν. ὑπὲρ ἅπασαν δὲ τυφλότητα τὸ κατὰ τοὺς νεφροὺς ἐστιν, ἐφ' οὓς ἀπὸ τῆς κοίλης μέγισται φέρονται φλέβες, ἃς παραλιπὼν ἀναπλάττει τινὰς ἀπὸ τοῦ πνεύμονος ἐπ' αὐτοὺς φέρεσθαι. δῆλον οὖν ἐστιν ἐξ ἁπάντων, οὐχ ὥσπερ ἔνιοι τῶν ἀνατεμνόντων παρεῖδόν τινα καὶ αὐτὸς οὗτος παρεωρακὼς, ἀλλ' ὅλως οὐδὲν ἑωρακώς. ὁ γὰρ τὰ μέγιστα μὴ βλέπων οὐ παραβλέπειν, ἀλλ' ὅλως οὐ βλέπειν ἀληθῶς ἂν λέγοιτο. ὅτι μὲν οὖν ἐνυπνίοις μεθυόντων ἔοικεν ὁ περὶ τῶν ἀπὸ τῆς κεφαλῆς εἰς ὅλον τὸ σῶμα καταφερομένων φλεβῶν λόγος οὐδεὶς ἀγνοεῖ τῶν ὅλως ἐπιχειρησάντων τι θεάσασθαι κατὰ τὰς ἀνατομάς. ἄλλας μὲν γάρ τινας μικρὰς παρῶφθαι τοῖς ἀνατομικοῖς εἰκὸς, οὐ μὴν

ambae ad genitalia desinant: sicque nec istae ullam cordi partem attribuunt. Qui ergo potuit is horum, veluti novus quidam Prometheus, confictor tantum viscus, cor inquam, omnino oblivioni mandasse? At nec cerebri usquam meminit, vel forsitan quod malleolis esset in minori honore habendum. Sed quod de renibus tradit, omnem videtur caecitatem superare, quippe qui a vena cava maximas venas habeant, quas iste praetergrediens sibi quasdam alias eo a pulmone deferri confingit. Jam igitur satis ex his omnibus constat quod vir iste nequaquam, at alii quidam sectionibus operam dantes saepe faciunt, quaedam quasi caecutiens praeterierit, sed potius nihil prorsus viderit. Nam si quis vel maxima non videat, hunc nihil videre quam caecutire verius dicas. Atque is qui de venarum a capite in universum corpus partitione habitus est sermo, quod ebriorum somniis similis sit, eorum qui sectionibus vel parum interfuerint nemo ignorat. Porro parvas aliquas venas viros anatomicos refellisse magnum non est: nunquam tamen quisquam aliam alio modo de-

ἔγραψέ τις ἄλλην ἄλλως, οὐδὲ παρέλιπε τὰ καὶ τοῖς τυφλοῖς δυνάμενα γενέσθαι γνωρίματα τοὺς δακτύλους τῆς χειρὸς ἐπιβάλλουσι. μία γοῦν ἐστι φλὲψ δι' ἧς ἐξ ἥπατος εἰς ὅλον τὸ σῶμα φέρεται τὸ αἷμα, καθάπερ ἀπὸ στελέχους κλάδων πολλῶν, ἀποφυομένων ἀπ' αὐτῆς φλεβῶν σμικρῶν, αἳ διανέμουσιν αὐτὸ τοῖς τοῦ ζώου μορίοις ἅπασιν. εἰ μὲν οὖν ποταμῷ παρεικάσαις τὸ κατὰ τὴν κοίλην αἷμα, τὸ δ' ἀπ' αὐτῆς φερόμενον εἰς τὰ μόρια τοῦ σώματος ὀχετῷ, οὐδ' οὕτως ψευσθήσῃ τῆς εἰκόνος. ἀλλ' εἴτε ποταμῷ προσεοικέναι φαίη τις, εἴτε πρέμνῳ τὴν μεγάλην φλέβα, τό γε μίαν αὐτὴν εἶναι πᾶσι τοῖς ἰατροῖς ὡμολόγηται, πλὴν τούτου τολμηρότατα παραγράψαντος τῷ βιβλίῳ τούτῳ τὰ τέσσαρα ζεύγη. πρὸς γὰρ αὖ τοῖς ἄλλοις ὥσπερ τὴν καρδίαν ἀμνημόνευτον εἴασεν, οὕτω καὶ αὐτὴν τὴν κοίλην φλέβα. καί τοι τῶν γε σφαγιτίδων μνημονεύσας, εἰς ἃς αὕτη σχίζεται κατὰ τὸ τοῦ θώρακος ἀνωτέρω. ὅσον γάρ ἐστι μεταξὺ τούτου τε τοῦ χωρίου καὶ τοῦ τῆς ῥάχεως πέρατος, ἡ μεγάλη φλὲψ αὐτὸ κατείληφεν, ἀποφύουσα φλέ-

ſcripſit, neque eas quae a caecis etiam, modo digitos admoviſſent, comprehendi poterant, praetermiſit. Itaque una eſt vena per quam ſanguis ex jecinore in univerſum corpus influit; a qua multae aliae minores quaſi rami a trunco prodeuntes illum omnibus corporis dispertiuntur partibus. Quod ſi ſanguinem in vena cava fluvio compares, rivulis vero illum qui inde in corporis particulas defluit, minime a vera aberrabis ſimilitudine. Sed ſive fluvio, ſive trunco ſimilem eſſe venam magnam quis dicat, omnes penitus medici conſentiunt unicam eam eſſe, praeterquam ille qui audaciſſime quatuor haec paria huic libro interſeruit. Et praeter alia multa tum cor tum venam ipſam cavam ſilentio praeteriit, cum tamen jugularium meminerit, in quas illa in ſupremo thorace ſcinditur. Quicquid enim praeterea inter locum hunc et ultimam ſpinae partem clauditur, vena cava occupat, a qua venae utrinque germinant. Ex utroque vero ipſius termino et ex utrisque partibus bipertita eſt, nam a ſuperiore ejus parte duae

βας ἑκατέρωθεν. σχίζεται δὲ διχῇ, καθ' ἑκάτερον τῶν περάτων καὶ τῶν μορίων αὐτῆς. ἄνω μὲν γὰρ διὰ τοῦ τραχήλου φέρονται μέγισται φλέβες, αἳ σφαγίτιδες ὀνομάζονται. κάτω δὲ ἐφ' ἑκάτερον σκέλος, ὡς εἴρηται, μία μὲν, μεγίστη δὲ φλέψ. τῶν δὲ διὰ τοῦ τραχήλου φερομένων, αἳ καλοῦνται σφαγίτιδες, ἐν τῷ δευτέρῳ ζεύγει μνημονεύσας ὁ νέος οὗτος Προμηθεὺς ἄγνοιαν καὶ τόλμαν ἐπεδείξατο μεγίστην, οὐδαμόθι τῆς κοίλης φλεβὸς σχιζομένης, ἐξ ἧς αὗται γεννῶνται μνημονεύσας. ἐχρῆν γὰρ, εἴπερ ἑωράκει τι σμικρὸν ἐν ταῖς ἀνατομαῖς, ἐς ταὐτὸ ἀλλήλαις φάναι τὰς σφαγίτιδας ἰούσας μίαν ἀποτελεῖν φλέβα τὴν ἡπατῖτιν, ἢ κοίλην, ἢ ὅπως ἄν τις ἑτέρως ὀνομάζειν ἐθέλει νῦν. εἰ δ' ὡς δύο μενουσῶν αὐτῶν ὁ λόγος αὐτῷ γέγραπται [140] φάσκοντι διὰ τῶν ἔνδον μερῶν παρὰ τὴν ῥάχιν ἐπὶ τὰ τῶν σφυρῶν ἔσω καταφέρεσθαι. τί ἂν οὖν ἔτι μνημονεύσῃ τις τῶν μετὰ τέτταρα ζεύγη γεγραμμένων φλεβῶν; ἃς ἀπὸ τῆς κοίλης ἀναφέρειν εἰς ὅλον τὸ σῶμα τὴν τροφὴν ἡγεῖται, ὥσπερ τῶν εἰρημένων τεττάρων ζευγῶν, ἄλλου τινὸς ἕνεκεν

prodeunt venae maximae, quae per collum invectae jugulares appellantur: ab inferioribus vero in utrumque crus una, ut jam diximus, et ea quidem maxima defcendit. Eorum fane quae per collum feruntur et jugulares vocantur in fuo illo fecundo pari meminit novus hic nofter Prometheus, ubi temeritatem ac ignorantiam maximam oftendit, nulla unquam cavae venae, a qua iftae ortum habent, facta mentione. Debuiffet quippe, fi unquam vel tantillum fecandis corporibus interfuiffet, dixiffe venas has jugulares in unum coire et efficere jecorariam vel cavam venam vel quomodocunque quis illam in praefentiarum velit appellare. Quod fi de iftis tanquam femper fic duabus permanentibus ab eo fit fermo habitus, qui dicat illos per internas prope fpinam partes, ad interiores malleolos devehi; quid deinde de aliis venis poft quatuor illa paria defcriptis erit dicendum? quas ipfe putavit alimentum a cava vena in corpus univerfum afferre, ac fi quatuor illa commemorata paria alterius cujuspiam negotii gratia

ὑπὸ τῆς φύσεως γεγονότων, ἀλλ' οὐχὶ μίαν ἁπασῶν φλεβῶν ἐχουσῶν χρείαν κοινὴν, ἀναφέρειν ἐξ ἥπατος ἅπασι τοῖς τοῦ ζώου μέρεσιν αἷμα. τῶν δ' ἐκ τῆς κοιλίας καὶ τῶν ἐντέρων ἀνακομιζουσῶν εἰς ἧπάρ τε ἐκ τῶν ἐδεσμάτων χυλὸν οὐδεμία προσωτέρω τοῦ ἥπατος ἀνέρχεται. ἀλλ' οὐδὲ κατὰ πολλοὺς τοῦ ἥπατος τόπους φαίνονται, καίτοι πάμπολλαι τὸν ἀριθμὸν οὖσαι καθ' ἃ τῇ γαστρὶ καὶ τοῖς ἄλλοις ἐντέροις ὁμιλοῦσιν, ἀλλ' εἰς ἕνα τόπον, ὃν ὀνομάζουσι πύλας ἥπατος, ἀφικνοῦνται δὲ πᾶσαι, τοῦ θεμένου πρῶτον πύλας ὄνομα τῷ χωρίῳ τούτῳ πόλει μὲν ἢ οἰκίᾳ τινὶ μεγάλῃ τὸ ἧπαρ παρεικάσαντος, ἀγροῖς δὲ τά τε ἔντερα καὶ τὴν κοιλίαν, ἐξ ὧν ὥσπερ δι' ὁδῶν τινων, πολλῶν τῶν φλεβῶν, εἰς τὰς πύλας τῆς πόλεως, ἢ τῆς οἰκίας κομίζεται τὰ σιτία. ληρεῖ τοίνυν ὁ νέος Προμηθεὺς ἐν ᾧ διαπλάττει ζώῳ κατὰ τὸν ἑαυτοῦ λόγον. οὐ γὰρ δὴ τοῖς ἔργοις γε διέπλασέ τις ζῶον, ἐν ᾧ φλέβες ἐκ τῆς κοιλίας καὶ τῶν ἐντέρων εἰς ὅλον ἀναφέρουσι τὸ σῶμα τὴν τροφήν. εἰς ἕνα γὰρ ἀφικνοῦνται τόπον ἅπασαι, τὰς πύλας τοῦ ἥπατος, ἐντεῦθεν

fuerint a natura fabrefacta, neque unum idemque et commune ſit venarum omnium munus, nempe ſanguinem ex hepate in caeteras animantis partes advehere. At vero quae a ventriculo et inteſtinis ſuccum ciborum in jecur asportant, earum nulla ultra jecur progreditur, imo nec in multis ſecundum jecur locis apparent, quamvis numeroſae admodum ex ea parte ſint qua ventrem et caetera attingunt inteſtina, ſed in unum locum, quem portas jecoris vocant, omnes conveniunt: quem locum qui primus portas nominavit, jecur urbi aut aedibus amplis comparavit, inteſtina ventremque agris, ex quibus inſtar viarum per multas venas cibi in urbis aediumve portas vehuntur. Delirat itaque in hoc animali quod ſibi novus iſte Prometheus ſuo ſermone fingit. Nam nemo unquam animal aliquod effectu ipſe ſic formabit, ut in eo venae a ventriculo et inteſtinis alimenta in totum corpus deferant: omnes ſiquidem in unum concurrunt locum, portas ſcilicet jecinoris: unde quae per id viscus diſpertitae ſunt

τε πάλιν αἱ κατὰ τὸ σπλάγχνον ὑποδεχόμεναι φλέβες τὴν ἀνενεχθεῖσαν τροφὴν εἰς τὴν κοίλην φλέβα παράγουσιν, ἐξ ἧς, ὡς ἔφην ὀλίγον ἔμπροσθεν, εἰς ὅλον τὸ σῶμα διανέμεται τὸ αἷμα.

ζ.

Φέρουσι δὲ καὶ ἀπὸ τῶν παχειῶν φλεβῶν εἰς τὴν κοιλίην καὶ εἰς τὸ ἄλλο σῶμα καὶ ἀπὸ τῶν ἔξω καὶ ἀπὸ τῶν εἴσω καὶ εἰς ἀλλήλας διδόασιν αἵ τε εἴσωθεν ἔξω καὶ αἱ ἔξωθεν εἴσω.

Ἤρκει μὲν τῷ νέῳ Προμηθεῖ τὰ τέτταρα ζεύγη τῶν φλεβῶν, οὐ μὴν ἠρκέσθη γε αὐτὸς, ἀλλ' ὑπ' ἀπληστίας ἠσχημόνησε, προσθεὶς αὐτοῖς τὰς ἐκ τῆς κοίλης φερούσας τὴν τροφὴν εἰς τὸ σῶμα. νυνὶ δ' αὖθις ἐπήνεγκε τῷ λόγῳ τὸν κολοφῶνα περὶ τῆς κοινωνίας τῶν φλεβῶν εἰπὼν οὐκ ἀληθές. οὐδεμία γὰρ τῶν ἀπὸ τῆς κοίλης ἀποπεφυκυιῶν φλεβῶν, ἃς παχείας ὠνόμασεν, εἰς ἕτερα ζεύγη διανενεμη-

venae assumptum alimentum in cavam venam ferunt, a qua in totum corpus sanguis, ut paulo ante diximus, distribuitur.

VII.

Quae etiam a crassis venis, tum ab externis tum ab internis, in ventriculum et reliquum corpus deferunt sibique internae externis et externae internis mutuo distribuunt.

Poterant huic novo Prometheo quatuor ea venarum paria suffecisse, nec tamen satis isti fuere, imo prae inexplebili quadam impudentia has illis insuper addidit, quae corpori a vena cava alimentum ministrent, ut nunc coronidem sermoni impositurus, de venarum communione hoc tandem verum protulit. Ex his etenim venis quae a cava oriuntur, quas ille crassas vocat, nulla in alia partita paria

μένη, εἰς κοιλίαν, ἢ ἔντερα φαίνεται καταπεφυκυῖα. καθάπερ γοῦν ἐπὶ τῆς νῦν εἰρημένης ἀνατομῆς οὐδὲν ὅλως οὐδ' ἄχρι ῥήματος ἑνὸς ἀληθὲς εἶπεν ὁ πλάστης αὐτῶν, οὕτως ἐπὶ τῆς κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν οὐδὲν ὅλως ὁ Ἱπποκράτης ἐψεύσατο. παραφρονοῦσιν οὖν ὅσοι οὐδ' ὄναρ ἀνατομῆς ἁψάμενοι, τῶν Ἱπποκράτους βιβλίων ἐξηγήσεις ἐπιχειροῦσι ποιεῖσθαι. καὶ μάλιστ' αὐτῶν οἱ καλοῦντες ἑαυτοὺς Ἱπποκρατείους, ἑνὸς ἀνδρὸς ἡγούμενοι καὶ τοῦτον εἶναι τὸν λῆρον ἅπαντα, τῆς τῶν φλεβῶν ἀνατομῆς καὶ τὴν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἀκρίβειαν. εἰ μὲν γὰρ ἐπεξεύρηταί τι κατὰ τὸ ἕτερον αὐτῶν, ἐγχωρεῖ τὸν αὐτὸν ἄνδρα τοῦ χρόνου προϊόντος ἑαυτοῦ βελτίονα γινόμενον ἐφ' οἷς ἔμπροσθεν εἰρήκει καλῶς ἕτερα προσθεῖναι. ἐπεὶ δὲ ὁ μὲν Ἱπποκράτης αὐτὸς ἀκριβῶς φαίνεται γράψας οὐ μόνα τὰ σαφῶς ὁρώμενα πᾶσιν, ἀλλὰ καὶ τὰ δυσθεώρητα, μὴ βλέπων δὲ καὶ ὁ τὴν ἐνθάδε συνθεὶς ἀνατομὴν, ἃ καὶ ψηλαφῶν ἄν τις εὕροι, [141] πῶς ἐγχωρεῖ φάναι τὸν αὐτὸν ἀμφότερα γεγραφέναι;

inteftinis aut ventriculo inferitur. Porro ut ne verbum quidem is qui hanc venarum anatomen commentus eft, verum attulit: fic Hippocrates epidemiorum libro fecundo in nullo prorfus aberravit. Quare infaniunt profecto qui ne per fomnium quidem corporum fectiones attigere, at libros Hippocratis exponere aggrediuntur et illi quam maxime qui cum velint Hippocratici appellari, in eundem tamen auctorem et has univerfas de venarum fectione nugas et exactam ejusdem disquifitionem in fecundo epidemiorum traditam referendam arbitrantur. Si enim in alterutro eorum aliquod praeterea acceffiffet inventum, fieri fane potuiffet ut idem vir tempore peritior factus, illis quae ab eo prius probe dicta fuerant alia etiam addidiffet. At cum videamus Hippocratem non modo omnia ad amuffim in commentarios retuliffe, quae cunctis plane perfpicua funt, verum et ea quae ad videndum funt difficiliora, is vero qui hanc anatomen compofuit, ea etiam non viderit quae quisque vel palpando inveniat, quomodo poteft

κατὰ τί δ' εὔλογον, ὅλον ἀναπληρώσας τὸν περὶ τῶν στοιχείων τοῦ ἀνθρώπου λόγον, ἐφεξῆς αὐτῶν συνῆψε τὸν περὶ τῶν φλεβῶν; ἢ γὰρ πᾶσαν ἐχρῆν τὴν ἀνατομὴν γράφειν, ἢ μηδὲ τὴν περὶ τῶν (25) φλεβῶν. ὑποτυπώσεσι μὲν γὰρ, ἃς ἑαυτοῖς ἀναμνήσεως ἕνεκα γράφομεν, οἰκεῖόν ἐστιν ὅτε τοιαύτη ποικιλία θεωρημάτων γίνεται, συγγράμματι δὲ οὐδαμῶς ἐστιν οἰκεῖον ἐπιπεπληρωμένῃ τῇ προτέρᾳ διδασκαλίᾳ μόριόν τι τῆς δευτέρας προσγράφειν, κἄπειτα τοῦτο καταλιπόντα μικρὸν ὕστερον ἄλλο τι γράφειν, εἶτ' αὖθις ἄλλο, καθάπερ ἐν τούτοις τοῖς ὑποκειμένοις ἐν τῷ περὶ φύσιος ἀνθρώπου.

η'.

Τὰς οὖν φλεβοτομίας δεῖ ποιέεσθαι κατὰ τουτέους τοὺς λόγους.

Οὓς αὐτὸς προείρηκε δηλονότι, τῷ μὲν πρώτῳ ζεύγει

quispiam affirmare eundem utraque haec scripsisse? quomodo etiam probabile est, ut absoluto universo qui de hominis elementis institutus erat sermo, de venis subnexuerit? aut enim tota anatomes ratio explenda erat, aut neque de venis erat tractandum. Hoc enim magis ad commentationes, quas nobis ipsis memoriae gratia describimus, attinet ut ejuscemodi varia theoremata simul explicentur. Justo autem et legitimo volumini nequaquam convenit ut priore doctrina consummata, subinde illi alterius pars aliqua annectatur, atque iterum illa relicta, paulo post alia et postmodum etiam alia, quod in his evenisse videmus quae libro de natura humana subjecta fuere.

VIII.

Eas igitur venae sectiones hisce rationibus ductos facere oportet.

Quae ipse videlicet praemonstraverat quando ad finem

τῶν φλεβῶν ἐν τῇ τελευτῇ προσθεὶς κατὰ λέξιν ταυτί· δεῖ οὖν τὰς φλεβοτομίας ἐπὶ τῶν ἀλγημάτων τῶν ἐν τῷ νώτῳ καὶ ἐν τοῖσιν ἰσχίοισιν ἀπὸ τῶν ἰγνύων ποιέεσθαι καὶ ἀπὸ τῶν σφυρῶν ἔξωθεν. τῷ δὲ δευτέρῳ ζεύγει ταυτὶ προσγράψας· δεῖ οὖν τὰς φλεβοτομίας ποιέεσθαι πρὸς τὰς ὀδύνας τὰς ἀπὸ τῶν ψοῶν καὶ τῶν ὄρχεων ἀπὸ τῶν ἰγνύων καὶ ἀπὸ τῶν σφυρῶν ἔσωθεν. ἐπὶ δὲ τοῦ τρίτου καὶ τετάρτου ζεύγους οὐδὲν προσέθηκε περὶ φλεβοτομίας, ὥστε καὶ κατ' αὐτὰ τὸν λόγον ἐλλιπῆ πεποίηκε, πολλὰ μόρια τοῦ σώματος παραλιπὼν, ἐφ' ὧν ἐχρῆν εἰρηκέναι τὰς τμηθησομένας φλέβας. ἀλλὰ ὥσπερ τῆς ὅλης ἀνατομῆς βραχύ τι μόριον ἀποσπάσας ἔγραψεν, οὕτως καὶ τοὺς περὶ φλεβοτομίας λόγους.

θ'.

Ἐπιτηδεύειν δὲ χρὴ τὰς τομὰς ὡς προσωτάτω τέμνειν ἀπὸ τῶν χωρίων ἔνθα ἂν αἱ ὀδύναι μεμαθήκασιν γίνεσθαι καὶ τὸ αἷμα συλλέγεσθαι. οὕτως γὰρ ἂν ἥκιστα ἥ τε μεταβολὴ

primi paris fubjunxit haec verba: *Venam itaque ad coxarum et dorfi dolores in poplitibus fecabis et exterioribus malleolis.* Secundo item pari haec adfcripfit: *Unde ad lumborum dolores et teftium venas in tibiis incidere oportet et malleolis interioribus*, ut tamen in tertio et quarto pari nihil de vena fecanda meminerit. Quapropter hac etiam parte mancam tradidit hanc inftitutionem qui multas praeterierit corporis partes, quarum venae quae tundendae effent, explicandae erant; ut ergo ab universa anatomes ratione particulam quandam avulfam litteris commifit, fic et quod de fanguine mittendo referendum erat.

IX.

Studendum autem eft venarum fectiones effici quam longiffime a locis in quibus dolores fieri et fanguis colligi confuevit, fic enim tum mutatio minime magna dere-

γίγνοιτο μεγάλη ἐξαπίνης καὶ τὸ ἔθος μεταστήσαις ἂν, ὥστε μηκέτι εἰς τὸ αὐτὸ χωρίον συλλέγεσθαι.

Ὅτι μὲν τομὰς εἴρηκε τῶν φλεβῶν, ἃς ἐν συνθέτῳ προσηγορίᾳ φλεβοτομίας ὀνομάζομεν, ὀρθῶς ἤκουσαν οἱ ἐξηγηταί· καὶ γὰρ ὁμολογοῦσι πάντες τοῦτο. ὅτι δὲ οὐ διωρίσατο πότερον ὀδυνωμένων δὴ τῶν μορίων ἀξιοῖ πόῤῥω τὴν ἀντίσπασιν γίνεσθαι τῶν ἐπιῤῥεόντων χυμῶν, ἢ κατὰ τὸν τῆς ὑγιείας χρόνον, ἐν τούτῳ μέμψαιτ' ἄν τις αὐτῷ. ἐμοὶ δ' οὖν δοκεῖ μᾶλλον ἐπὶ τῶν ὑγιαινόντων εἰρῆσθαι, βουλομένου τοῦ γράψαντος ταῦτα προσεθίζειν, εἰς ἄλλα μόρια φέρεσθαι τοὺς πλεονάζοντας χυμούς.

ι'.

[142] *Ὁκόσοι πῦον πολλὸν πτύουσιν ἄτερ πυρετοῦ ἐόντες καὶ ὁκόσοισιν ὑπὸ τὸ οὖρον πῦον ὑφίσταται πολλὸν ἄτερ ὀδύνης ἐοῦσι καὶ ὁκόσοισι τὰ ὑποχωρήματα αἱματώδεα, ὥσπερ ἐν τῇσι δυσεντερίῃσι, καὶ χρόνια ἃ νέοισιν ἐοῦσι πέντε*

pente continget, tum etiam consuetudinem tollendo effeceris ut ne amplius in eundem locum colligatur.

Quod sectiones venarum hic intellexerit, quas phlebotomias composito appellamus nomine, recte ab expositoribus acceptum est, qui in hoc omnes consentiunt. Quod vero minime definierit num dolentibus jam partibus censeat procul esse revellendos humores vel potius sanitatis tempore: ea ratione forte veniet reprehendendus. Et mihi quidem videtur quod id in his qui prospera utantur valetudine dictum sit, quippe quod voluerit auctor assuefacere humores redundantes in alias ferri partes.

X.

Quicunque pus copiosum citra febrem expuunt, et quibuscunque absque dolore pus multum in urina subsidet et quibuscunque alvi dejectiones ut in dysenteriis cruentae ac diuturnae sunt, ut juvenibus quinque et triginta an-

καὶ τριάκοντα ἐτέων καὶ γεραιτέροισι, τουτέοισι πᾶσιν ἀπὸ ταυτομάτου τὰ νουσήματα γίνεται. ἀνάγκη γὰρ τουτέους ταλαιπώρους τε γίνεσθαι καὶ φιλοπόνους τῷ σώματι καὶ ἐργάτας νεανίσκους ἐόντας. ἔπειτα δ' ἐξανεθέντας τῶν πόνων σαρκωθῆναι μαλθακῇ σαρκὶ καὶ πολὺ διαφερούσῃ τῆς προτέρης καὶ πολλὸν διακεκριμένον ἔχειν τὸ σῶμα, τότε προϋπάρχον καὶ τὸ ἐπιτραφὲν, ὥστε μὴ ὁμολογεῖν. ὁκόταν οὖν νούσημά τι καταλάβῃ τοὺς οὕτω διακειμένους, τότε μὲν παραχρῆμα διαφεύγουσιν, ὕστερον δὲ μετὰ τὴν νοῦσον χρόνῳ τήκεται τὸ σῶμα καὶ ῥέει διὰ τῶν φλεβῶν, ᾗ ἂν εὐρυχωρίη μάλιστα τύχῃ, ἰχωροειδές. ἢν μὲν οὖν ὁρμήσῃ ἐς τὴν κοιλίην τὴν κάτω, σχεδόν τι οἷόνπερ ἐν τῷ σώματι ἐνέῃ, τοιοῦτο καὶ τὸ διαχώρημα γίνεται. ἅτε γὰρ τῆς ὁδοῦ κατάντεος ἐούσης, οὐχ ἵσταται πολλὸν χρόνον ἐν τῷ ἐντέρῳ. ὁκόσοισι δ' ἂν ἐς τὸ στῆθος ἐσρυῇ, ὑπόπυοι γίνονται, ἅτε τῆς καθάρσεως ἀνάντεος ἐούσης καὶ χρόνον ἐναυλιζόμενον πολλὸν, ἐν τῷ στήθει κατασήπεται καὶ γίνεται πυοειδές.

norum atque etiam senioribus; his omnibus eadem ex causa morbi oboriuntur; hos namque et labores tolerasse et exercitationibus deditos et operarios in juventute fuisse necesse est. Postea vero solutos laboribus molli carne et multum a priore differente carnosos esse redditos, multumque diffidens corpus habere, ut quod prius extitit cum eo quod nunc accrevit minime consentiat. Quum igitur morbus aliquis sic affectos corripuerit, ii quidem quamprimum evadunt, sed postea a morbo temporis successu corpus liquatur et per venas, qua parte amplissimae esse solent, sanies quaedam fluit. Si igitur sanies ad inferiorem alvum impetu feratur, quale quid fere inest in corpore, tales etiam dejectiones redduntur. Neque enim, cum via declivis sit, multo tempore in intestino subsistit. At quibus in pectus influit, ii purulenti fiunt, cum nimirum purgatio acclivis sit et multo tempore immorans in pectore putrescat et purulentum

ὁκόσοισι δ' ἂν ἐς τὴν κύστιν ἐξερεύγηται ὑπὸ τῆς θερμότητος, τουτέου τοῦ χωρίου τὸ καὶ θερμὸν καὶ λευκὸν γίνεται καὶ διακρίνεται, καὶ τὸ μὲν ἀραιότατον ὑφίσταται ἄνω, τὸ δὲ παχύτατον κάτω, ὃ δὴ πῦον καλεῖται.

Τὰ μὲν εἰρημένα κατὰ τὴν προκειμένην ῥῆσιν ἅπαντά ἐστι σαφῆ καὶ δεῖται τοῦ προσέχοντος αὐτοῖς τὸν νοῦν, οὐκ ἐξηγητοῦ σαφηνίζοντος. εἰ δ' ἀληθῆ πάντ' ἐστὶ, βασανίζειν χρὴ τὸ μὲν τῇ πείρᾳ, τὸ δὲ τῷ λόγῳ. τῇ πείρᾳ μὲν, εἰ χωρὶς τοῦ πυρέξαι τινὲς ὤφθησαν, ἢ ἀποπτύοντες πῦον, ἢ τοῖς οὔροις ἐκκρίνοντές τι, ἔτι δὲ πρὸς τούτοις, εἰ ταλαιπωροῦντες ἐν τῷ πρόσθεν βίῳ νῦν ἐπαύσαντο χρόνῳ συχνῷ καὶ εἰ νοσήσαντες μὲν οὗτοι διεσώθησαν. ὕστερον δ' αὐτοῖς αἱ εἰρημέναι πυώδεις ἐκκρίσεις ἐπιγίγνονται. ταῦτα μὲν οὖν τῇ πείρᾳ κριθῆναι χρή. τῷ λόγῳ δὲ τὴν αἰτίαν, ὑφ' ἧς γίνεσθαί φησιν ὁ γράψας αὐτὰ, πότερον ἀληθὴς, ἢ ψευδής ἐστιν. ὅτι μὲν οὖν οὐκ ἔχει τὸ ἐξ ἀνάγκης τὰ εἰρημένα πρὸς αὐτοῦ πρόδηλόν ἐστι τοῖς γεγυμνασμέ-

reddatur. Quibus vero in veſicam eſſunditur, a loci calore calida et alba ſit et ſecernitur, quodque rariſſimum exiſtit, ſupra innatat, craſſiſſimum vero, quod ſane pus appellatur, ſubſidet.

Omnia quae hac traduntur ſerie clara ſunt potiusque lectorem qui animum advertat quam expoſitorem deſiderant qui declaret: quae tamen an vera ſint partim experientia partim ratione examinanda ſunt. Experientia quidem obſervandum eſt num aliqui a febre immunes viſi unquam ſint aut ſputo pus rejeciſſe, aut urinis aliquid excreviſſe. Praeterea ſi priorem vitam duxerint laborioſam, moxque quieverint multo tempore, atque ſi ii a morbo detenti incolumes evaſere et ſubinde ſi purulentae excretiones ſupervenerint. Haec experimentis ſunt judicanda. Ratione vero, ſi quam is retulit, cauſa vera ſit vel ſecus. Jam vero quod iſta ab ipſo auctore producta nullam ſecum habeant neceſſitatem, facile omnibus con-

νοις ἐν ἀποδεικτικαῖς μεθόδοις. εἰ δὲ τὸ πιθανὸν γοῦν ἔχει καθ' ἑαυτὸν ἕκαστος σκοπείσθω. κινδυνεύει γὰρ ἐν τῷ πρός τι τὸ πιθανὸν εἶναι. περὶ μὲν οὖν τῶν διὰ πεῖρας φαινομένων ἔχοιμι ἂν σοι κἀγὼ φάναι τό γε τοσοῦτο, ὡς αἱματώδεις μὲν ἐκκρίσεις διὰ γαστρὸς εἶδον οὐκ ὀλίγας γινομένας τισὶ τῶν καταλυσάντων ἔθος γυμνασίων σφοδρῶν, οὐδεμίαν δὲ ἔκκρισιν πυώδη. μυξώδη μέντοι πολλάκις ἐκ περιόδων τινῶν ἀτάκτων τε καὶ τεταγμένων, οὐρούμενά τε καὶ διὰ γαστρὸς ἐκκρινόμενα τούτοις ἐθεασάμην, ὥσπερ γε καὶ πτύσματα πέπονα μὲν, οὐ μὴν πυώδη γε.

ια'.

[143] (26) *Γίνονται δὲ καὶ λίθοι τοῖσι παιδίοισι διὰ τὴν θερμότητα τοῦ χωρίου τε τουτέου καὶ τοῦ ὅλου σώματος, τοῖσι δὲ ἀνδράσιν οὐ γίνονται λίθοι διὰ τὴν ψυχρότητα τοῦ σώματος.*

Τοῦ χωρίου, δηλονότι τῆς κύστεως, ὑπὲρ ἧς κατὰ

ſpicunm erit qui demonſtrativis methodis operam navarunt. An autem probabile ſaltem habeat, ſecum quisque perpendat: videtur enim probabile in his eſſe quae ad aliud referuntur. Et equidem quantum ad ea ſpectat quae in experimentis apparent, tantum hoc habeo quod tibi afferam, me cruentas vidiſſe ſaepenumero dejectiones per alvum ab his qui conſuetas validasque exercitationes dimiſerint excretas: purulentas vero nequaquam. Vidi praeterea ex quibusdam periodis tum ordinatis tum inordinatis mucoſa ab his in urinis reddi et per alvum dejici: ſicut et ſputa cocta quidem, purulenta vero minime.

XI.

At vero calculi pueris ob loci hujus ac univerſi corporis calorem procreantur, ſed viris ob corporis frigus calculi non generantur.

Loci nimirum veſicae, de qua in fine prioris orationis

τὴν τελευτὴν τῆς προτέρας ῥήσεως οὕτως ἔγραψεν· ὁκόσοισι δ' ἂν ἐς τὴν κύστιν ἐξερεύγηται ἀπὸ τῆς θερμότητος, τουτέου τοῦ χωρίου λευκὸν γίνεται· τοῖς οὖν παιδίοις φησὶ τοὺς λίθους γίνεσθαι διὰ τὴν θερμότητα τῆς τε κύστεως καὶ ὅλου τοῦ σώματος, εἶτα ἐπιφέρων ἐρεῖ περὶ τῆς θερμότητος τῶν παιδίων.

ιβ'.

Εὖ γὰρ χρὴ εἰδέναι ὅτι ὁ ἄνθρωπος τῇ πρώτῃ τῶν ἡμερέων θερμότατός ἐστιν αὐτὸς ἑωϋτοῦ, τῇ δ' ὑστάτῃ ψυχρότατος.

Ἁπλῶς τῶν λεγόντων θερμότατον, ἄνευ διορισμοῦ, τῇ πρώτῃ τῶν ἡμερῶν εἶναι τὸν ἄνθρωπον, οὐκ ἀληθὴς ὁ λόγος ἐστὶ, μετὰ διορισμοῦ δ' ἀληθής. θερμότατος γὰρ ἄν γε ῥηθῇ τῷ ἐμφύτῳ. τοῦτο γάρ ἐστι πλεῖστον τοῖς παιδίοις. ὁ δὲ γράψας τὴν προκειμένην ῥῆσιν αὐτὸ τὸ κυριώτατον ἐν τῷ λόγῳ παρακήκοεν, ὡς διὰ τῆς ἑπομένης ῥήσεως ἔσται δῆλον. εὑρεθήσεται γὰρ οὐχ ὡς Ἱπποκράτης

ſic ipſe ait: *Quibus in veſicam ejicitur, a loci iſtius calore albeſcit.* Inquit ergo quod calculi pueris innaſcuntur ob calorem tam veſicae quam corporis totius. Poſtea de puerorum calore ſic ſubjungit.

XII.

Nam probe noſſe oportet hominem primo dierum decurſu ipſum ſui comparatione *calidiſſimum eſſe, poſtremo vero frigidiſſimum.*

Qui ſimpliciter absque ea limitatione, ſcilicet primis illis diebus hominem ajunt calidiſſimum eſſe, eorum ſermo non eſt verus: at cum limitatione verus; calidiſſimus ſiquidem eſt ſi de innato calore loquamur, is enim in pueris plurimus eſt. Id autem, ut ſequens indicabit oratio, ille qui haec ſcripſit obaudiviſſe videtur, quod tamen in hoc ſermone praecipuum erat. Neque enim ut Hippocra-

τὰ αὐξανόμενα πλεῖστον ἔχειν τὸ ἔμφυτον θερμὸν ἔφη καὶ αὐτὸς οὕτως γινώσκων, ἀλλ' ἄνευ τοῦ ἐμφύτου ἡγούμενος ἁπλῶς εἶναι θερμὰ τὰ αὐξανόμενα.

ιγ'.

Ἀνάγκη γὰρ αὐξανόμενον καὶ χωρέον τὸ σῶμα πρὸς βίην θερμὸν εἶναι.

Ἱπποκράτους εἰπόντος τὰ αὐξανόμενα πλεῖστον ἔχειν τὸ ἔμφυτον θερμὸν, οὕτως ἔοικεν ἁπλῶς ἀκηκοέναι θερμὸν εἶναι τοῖς αὐξανομένοις τὸ σῶμα, μὴ προσκειμένου τῷ λόγῳ τὸ ἔμφυτον. χωροῦν γὰρ αὐτό φησι πρὸς βίαν θερμὸν γίνεσθαι. τὸ δὲ πρὸς βίην χωρεῖν, τοιόνδε τι βούλεται δηλοῦν. ἔργον αὐτῷ δοκεῖ βίαιόν τι καὶ ἰσχυρὸν ἡ αὔξησις εἶναι, ὥσπερ αὖ τἄλλα τῶν ἰσχυρῶν ἔργων ἐκθερμαίνει τοὺς ἐνεργοῦντας, οὕτω καὶ ἡ αὔξησις. ἀλλ' ἔμπαλίν γε ἐχρῆν αὐτὸν εἰρηκέναι, διὰ τὸ ἔμφυτον θερμὸν αὔξεσθαι τοὺς παῖδας, οὐ διὰ τὴν αὔξησιν γίνεσθαι θερμούς. τὸ γὰρ

tes dixit, *qui augentur plurimum habent innati caloris*, ita hunc fenfiffe offendes: imo nativo praetermiffo fimpliciter putaffe calida effe quae crefcunt.

XIII.

Quod enim augefcit corpus et ad robur procedit, id calidum effe neceffe eft.

Quum Hippocrates dixerit: *qui augentur plurimum habent innati caloris*, videtur hic auctor exiftimaffe corpora his qui augentur calida fimpliciter effe: qui innati nihil in hoc meminerit fermone. Quod enim ad vim progreditur, calidum fore ait, ad vim autem progredi vult quid hujusmodi indicare; videtur ipfi incrementum effe rem violentam et validam et ut opera alia vehementiora operarios excalfaciunt, fic et incrementum. At contra debuerat dicere ex innato calore pueros augeri, non autem ob id eos incalefcere quod augeantur. Nam calor

ἔμφυτον θερμὸν οὐ μόνον εὔκρατον θερμὸν, ἀλλὰ καὶ ὑγρόν. εἰκότως οὖν αὔξεται τὰ τοιαῦτα σώματα. διατεινόμενα γὰρ εἰς τὰς τρεῖς διαστάσεις οἱονεὶ καὶ διαφυσώμενα, [144] τὴν εἰς ἁπάσας αὐτὰς ἐπίδοσιν λαμβάνει. διατείνει μὲν οὖν ἡ φύσις αὐτὰ πάντη, πρὸς τοῦτο ὀργάνῳ συμφύτῳ χρωμένη τῷ θερμῷ. διατείνεται γὰρ ἑτοίμως διὰ τὴν ὑγρότητα. τά γε μὴν πολλὰ τῶν παίδων ἀδηφαγοῦντα πλεῖστον ἀθροίζει τὸν ἰδίως ὀνομαζόμενον ὠμὸν χυμὸν, ἐξ οὗ ῥᾳδίως ὁ λίθος γεννᾶται, τούτου μὲν ὕλης ἔχοντος λόγον, ἐξ οὗ ὁ λίθος γεννᾶται, ποιητικοῦ δὲ αἰτίου τῆς θερμασίας.

ιδ'.

Ὁκόταν δ' ἄρξηται μαραίνεσθαι τὸ σῶμα, καταῤῥέον πρὸς εὐπέτειαν, ψυχρότερον γίνεται.

Κἀνταῦθα πάλιν, ὅτε δὲ μηδὲν αὔξεται τὸ σῶμα τοῖς παρακμάζουσι, διὰ τὴν ἀργίαν αὐτό φησι γίνεσθαι ψυχρότερον, ἔμπαλιν δὲ ἄμεινον αἰτιολογεῖν. ἐλάττονος γὰρ

ipſe innatus non ſolum moderate calidus, ſed praeterea etiam humidus eſt. Igitur jure merito ejuscemodi augentur corpora, quippe quae in tres diſtendantur dimenſiones et quaſi inflentur et propterea omnibus illis fit acceſſio. Itaque ea undique natura diſtendit ad hoc negotium organo uſa calore innato; ex humore enim habet ut facile protendatur. Atque plerique pueri, utpote qui plurimum voraces ſint, humorem non modicum aggregant, quem crudum proprie vocamus, qui calculo gignendo in primis opportunus eſt accedente calore veluti effectrice cauſa.

XIV.

At ubi marceſcere corpus coeperit et ad exitium delabitur, frigidius evadit.

Et hic rurſum quando non amplius augetur corpus his qui inclinata aetate ſunt, ipſum ab otio fieri ait frigidius, at ſatius erat ut contra ratio cauſae aſſignaretur:

αὐτῷ γινομένου τοῦ ἐμφύτου θερμοῦ καὶ αὔξησις ἐπαύσατο. σαφέστερον δὲ τὴν ἑαυτοῦ γνώμην ἐδήλωσεν ὁ γράψας ταῦτα διὰ τῆς ἐχομένης ῥήσεως.

ιε'.

Καὶ κατὰ τοῦτον τὸν λόγον, ὁκόσον τῇ προτέρῃ τῶν ἡμερέων πλεῖστον αὔξεται ἄνθρωπος, τοσοῦτο θερμότερος γίνεται, καὶ τῇ ὑστάτῃ τῶν ἡμερέων, ὁκόσον πλεῖστον καταμαραίνεται, τοσοῦτο ψυχρότερον ἀνάγκη εἶναι.

Ὀρθῶς οὖν ἡμεῖς ἐξηγησάμεθα τὴν προκειμένην ῥῆσιν, ἐν ᾗ φησιν· ἀνάγκη γὰρ αὐξανόμενον καὶ χωρέον τὸ σῶμα πρὸς βίην θερμὸν εἶναι. ἐχρῆν γὰρ ἔμπροσθεν αὐτὸν εἰπεῖν διὰ τὸ ἔμφυτον θερμὸν αὔξεσθαι τὸ αὐξανόμενον, ἀλλ' οὐ διὰ τὴν αὔξησιν γίνεσθαι θερμόν. ἀνάλογον δὴ τούτου κἀπὶ τοῦ παρακμάζοντος, ἐπεὶ μηκέτ' αὔξεται, ψυχρὸν αὐτὸ νομίζειν γίνεσθαι διὰ τὴν ἀργίαν τῆς πρότερον μὲν ἐνεργούσης αὐξήσεως, νυνὶ δὲ παυομένης.

ob id enim quia illis innatus calor imminuitur, et incrementum etiam ceſſat; clarius tamen horum auctor ſuam in ſequenti parte ſententiam aperuit.

XV.

Atque hac ratione quo plurimum prioribus diebus increſcit homo, eo calidior evadit; atque ultimis diebus quanto plurimum marceſcit, tanto eum frigidiorem eſſe neceſſe eſt.

Nos ergo recte partem ſuperiorem ubi ait: *neceſſe ſiquidem eſt ut augeſcens corpus et ad vim progrediens calidum ſit*, interpretati ſumus. Erat enim e contrario dicendum ob calorem innatum augeri quae augentur, non autem quia augeantur ideo eſſe calida, ut eadem ſit ratio in his quae decreſcunt. Putat namque quando non amplius creſcit, frigidum fieri propter otium, dum priſtinum incrementum, quod in corpore erat, nunc quiescit.

ιστ'.

Ὑγιέες δὲ γίνονται αὐτόματοι οἱ οὕτω διακείμενοι, πλεῖστοι μὲν ἐν τῇ ὥρῃ ἣν ἄρχονται τήκεσθαι, πέντε καὶ τεσσαράκοντα ἡμερέων. ὁκόσοι δ' ἂν τὴν ὥρην ταύτην ὑπερβάλλωσιν, ἐνιαυτῷ αὐτόματοι ὑγιέες γίνονται, ἢν μή τι ἐς ἄλλο κακουργῆται ὁ ἄνθρωπος.

Τίνας λέγει τοὺς οὕτω διακειμένους; οὓς προειρήκει δηλονότι καταλύσαντας τὰ γυμνάσια διὰ τὴν ἀργίαν ἀποπτύειν τε καὶ οὐρεῖν πῦον, ἁλίσκεσθαί τε δυσεντερίαις. ἐγὼ δὲ ἔφην ἁλισκομένους μὲν δυσεντερίαις αἱματηραῖς ἑωρακέναι πολλοὺς τῶν εἰς ἄπονον μεταστάντων ἐκ ταλαιπωρικοῦ [145] καὶ ἐργαστικοῦ τοῦ πρόσθεν βίου. πῦον δὲ οὔτ' αναβήττοντας οὔτ' οὐροῦντας ὦφθαί μοί τινας. ἀλλ' οὗτός γέ μοι δοκεῖ τὸν ὠμὸν ὀνομαζόμενον χυμὸν ὅταν πεφθῇ γε, πῦον εἶναι. καὶ τί θαυμαστὸν, ὅπου γε καὶ ὁ Ἐρασίστρατος τὰς ἐν τοῖς οὔροις ὑποστάσεις ἐπὶ τῶν πυρεσσόντων οὐ τοῦτον εἶναι τὸν χυμὸν, ἀλλὰ πῦον ἡγεῖται; μηδ' ὅτι

XVI.

Sic autem affecti ſua ſponte ſaneſcunt; plurimi quidem quo anni tempore liqueſcere coeperint, quinto et quadrageſimo die. Qui vero hoc anni tempus ſuperaverint, anno ſponte convaleſcunt, niſi quid aliud hominem male habuerit.

Quosnam eo ſe habentes modo nominat? nimirum quos prius commemoraverat, qui ab exercitatione ad otium translati pus expuunt et mingunt dyſenteriisque corripiuntur; ubi equidem dixi me plures vidiſſe cruentis arreptos dyſenteriis qui laborioſa negotiosaque vita relicta ad deſidem ſe contulerint: qui vero pus expuerint aut minxerint, nullos unquam vidiſſe. At hic, ut arbitror, crudum quem vocant humorem, ubi concoctus ſit, pus eſſe putat. Qui autem hoc mirum ſit? quando et Eraſiſtratus quoque ea quae in urinis febricitantium ſubſident

τῶν ὑγιαινόντων τοῖς ἀδηφαγοῦσιν ὑφίσταται πολὺ τὸ τοιοῦτο γινώσκων. τεθεάμεθα γοῦν παμπόλλους τῶν ἀργῶς βιούντων διὰ χρόνων τινῶν ἐκκρινομένους διὰ τῶν οὔρων τῇ καλουμένῃ μύξῃ παραπλήσια πάμπολλα, καί τισιν αὐτῶν βραδεῖαν ποιησαμένην τὴν διέξοδον πύῳ παραπλήσιον φαίνεται τὸ ἐκκρινόμενον, καθάπερ γε κἀπὶ τῶν ἀναπνευστικῶν, διὰ τὸ πλείονι χρόνῳ κατεγχρωσμένα πέττεσθαι τὰ τοιαῦτα. τούτου δ' οὖν καὶ αὐτὸς εἶπε τὴν αἰτίαν ἔμπροσθεν ἐπὶ μὲν τῆς δυσεντερίας τὸ κάταντες τῆς ὁδοῦ, ταχείας διεξόδου τῶν περιττῶν αἴτιον εἶναι φάσκων, ἐπὶ δὲ τῶν ἀναπτυομένων τὸ ἄναντες τῆς βραδείας, ἐπὶ δὲ τῶν (27) οὔρων τὴν θερμασίαν τοῦ χωρίου. εἰ δέ τις οὐ συγχωρεῖ διαφέρειν ὠμοῦ χυμοῦ πῦον ἐν οὔροις, ἢ πτύσμασιν, ἢ διαχωρήμασι, δυοῖν θάτερον οὗτος πέπονθεν, ἢ ἑκὼν πανουργεῖν διὰ ἀκολουθίαν τὴν πρὸς τὸ δόγμα, καθάπερ Ἐρασίστρατος ἐπὶ φλεγμονῇ γίνεσθαι βουλόμενος ἅπαντας τοὺς πυρετοὺς, ἢ σοφιστής ἐστιν ἀνομίλητος τοῖς ἔργοις τῆς τέχνης, οὓς ὀρθῶς ὀνομάζουσιν οἱ παλαιοὶ λογιατρούς.

pus esse, non hunc humorem censeat? neque noverit in bene valentibus etiam qui voraces sint id genus plurimum subsidere? Nos multos observavimus qui aliquandiu in otio vitam egere urinis magnam copiam rei quae muco sic appellato similis erat excrevisse, et in eorum nonnullis ubi haec tarde permeabant puri similia excernebantur, quemadmodum et in respiratoriis instrumentis, quando diutius contenta concoquuntur. Hujus autem et ipse paulo ante causam retulit: in dysenteria quidem, quum dixit viam declivem in causa esse celeris excrementorum transitus, quemadmodum tardi acclivem in iis quae tussi rejiciuntur, in urinis vero loci calorem. Quod si quis concedere nolit in urinis aut sputis aut excrementis a pure crudum humorem differre, is alterutro errori obnoxius est, quia vel ultro, ne suum dogma prodere videatur, dolose agit, Erasistratum imitatus qui voluit febres omnes habere ab inflammationibus ortum: vel sophistes est, qui in operibus artis nunquam versatus sit. Hos antiqui recte

ἕτερον γάρ ἐστι καὶ χρόᾳ καὶ συστάσει καὶ ὀσμῇ τὸ πῦον ὠμοῦ χυμοῦ. καὶ γίνεται δὲ καὶ διὰ ῥινῶν καὶ διὰ στόματος ἐν περιόδοις τισὶν ἀτάκτοις τε καὶ τεταγμέναις ἔκκρισις ὠμῶν χυμῶν ἐκκαθαίρουσα τὸν ἐγκέφαλον, ἧς οὐκ ἐμνημόνευσε νῦν ὁ ταύτην τὴν προγεγραμμένην ῥῆσιν γράψας. εἰκότως δὲ ἔφησεν αὐτομάτως ὑγιάζεσθαι τοὺς προειρημένους, ὅπερ ἐστὶν οὐδὲν ἡμῶν πραξάντων. αὐτάρκως γὰρ ἡ φύσις αὐτοὺς ἐκκαθαίρει. προθεσμίαν δὲ τῆς ἐκκαθάρσεως ἔθετο διττὴν αὐτοῖς, τὴν μὲν ἑτέραν κατὰ τὴν ὥραν τοῦ ἔτους ἐν ᾗ τὴν εἰρημένην ἔκκρισιν αὐτοῖς ἄρξασθαι συνέβη, τὴν δὲ ἑτέραν εἰς ἐνιαυτὸν ἐκτεινομένην, ἀλλὰ καὶ τὴν ὀλιγοχρόνιον εἰς πέντε καὶ τεσσαράκοντα προήκειν ἡμέρας. τινὲς δὲ οὐ πέντε καὶ τεσσαράκοντα γράφουσι, ἀλλὰ τεσσεράκοντα. πολλοὺς δὲ ἐγὼ θεασάμενος οὕτω καθαιρομένους ὑπὸ τῆς φύσεως, οὐ δύο μόνον ὡρῶν τῆς κενώσεως εἶδον, ὡς οὗτος ἔγραψεν, ἀλλὰ καὶ πάνυ πολλάς. ἄλλος γὰρ ἐν ἄλλῃ προθεσμίᾳ τελέως ἐξεκαθάρθη, τινὲς μὲν τετταράκοντα ἡμέρας, τινὲς δὲ καὶ μέχρι μηνῶν προῦ-

λογιατροὺς appellant. Porro a crudo humore pus colore, ſubſtantia ac odore diſtat. Jam et per nares et per os certis quibusdam vel incertis circuitibus fit hujusce crudi humoris excretio, unde expurgatur cerebrum, cujus nulla nunc ab illo qui haec ſcripſit mentio habita eſt. Merito tamen dixit praedictos ſponte ſua fuiſſe ſanatos, id eſt nullo noſtro negotio: nam ipſa quantum ſatis ſit natura expurgat. At expurgationis duplicem ipſe praeſcripſit terminum: alterum eo anni tempore quo dicta jam excretio ipſis coepiſſe contigit, alterum qui in annum protenditur, ut tamen qui brevior eſt ad quinque et quadraginta dies producatur. Nonnulli vero non quadraginta quinque, ſed quadraginta ſcribunt. Ego ſane multos in hunc modum a natura fuiſſe expurgatos cum obſervaverim, non eos duos ſolummodo terminos evacuationis quos iſte deſcripſit animadverti, ſed quam plures. Alius etenim alio praefixo termino plene purgatus eſt, alii quidem diebus quadraginta, alii in menſes et eos non numero pares,

βησαν, οὐκ ἴσων τῶν ἀριθμῶν. ἔστι δὲ οἳ καὶ δι' ὅλου τοῦ ἔτους παραμένον ἔχοντες τὸ σύμπτωμα.

ιζ'.

Ὁκόσα δὲ τῶν νουσημάτων γίγνονται ἐξ ὀλίγου καὶ ὁκόσων αἱ προφάσιες εὔγνωστοι, ταῦτα δὲ ἀσφαλέστατά ἐστι προσαγορεύεσθαι. τὴν δὲ ἴησιν χρὴ ποιέεσθαι αὐτέων ἐναγκούμενον τῇ προφάσει τῆς νούσου, οὕτω γὰρ ἂν λύοιτο τὸ τὴν νοῦσον παρασχὸν ἐν τῷ σώματι.

Τούτῳ μάχεσθαι δοκεῖ τὸ κατὰ τοὺς ἀφορισμοὺς εἰρημένον· τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ προσα- [146] γορεύσιες οὔτε τῆς ὑγιείης οὔτε τοῦ θανάτου. καὶ Σαβῖνος αὐτὸ πειραθεὶς λῦσαι περιελάλησε μὲν, οὐδὲν δὲ εἶπε πιθανόν. οὕτω δὲ καὶ ἄλλοι πολλοὶ τῶν ἐξηγησαμένων τὸ βιβλίον. δοκοῦσι δή μοι μὴ συνηκέναι τί σημαίνει τὸ ἐξ ὀλίγου. νομίζουσι γοῦν ἐπὶ τῶν ὀλιγοχρονίων καὶ ὀξέων γίνεσθαι τὸν λόγον. ἔοικε δὲ οὐ περὶ τού-

progreſſi ſunt, nec deſuere qui per annum integrum ab eo ſymptomate detenti ſunt.

XVII.

Qui morbi levi momento oriuntur et quorum cauſae cognitu ſunt faciles, ii ſecuriſſimi eſſe praedicantur; eorum autem curatio oppoſitis cauſae morbi remediis molienda eſt, ſic enim quod morbum in corpore concitavit ſolvitur.

Cum his illud pugnare videtur quod in Aphorismis traditum eſt. *Acutorum morborum non omnino certae ſunt pronuntiationes neque ſalutis neque mortis.* Sabinus dum nodum ſolvere conatur, nugatur plurimum, nihil tamen quod conſentaneum eſſet attulit et aliorum plerique qui librum hunc exponendum ſuſcepere. Mihi vero non videntur aſſequi quid *ἐξ ὀλίγου* ſibi velit, ipſi enim arbitrantur de brevibus et acutis morbis ſermonem haberi,

των λέγειν τοῦτο, ἀλλὰ περὶ τῶν ἐξ αἰτιῶν προδήλων τὴν γένεσιν ἐσχηκότων πρόσφατον, ἐξ ὀλίγου χρόνου καὶ οὐκ ἐκ πολλοῦ κατασκευασθεῖσαν. ἐπὶ τούτων γὰρ ἡ πρόῤῥησις τοῦ γενησομένου ῥάστη, ὅτι καὶ τὸ αἴτιον ὁποῖόν τε καὶ πηλίκον ἐστὶν ἔγνωσται. ὅσα δὲ ἐκ πολλοῦ χρόνου κατὰ βραχὺ γενόμενα μηδεμίαν ἔχον αἰτίαν προφανῆ τῆς γενέσεως, οὐχ ὁμοίως ἐπὶ τούτων ἡ πρόγνωσις ἀσφαλής. ὑπόγυοι δὲ αἰτίαι νοσημάτων εἰσὶν ἐγκαύσεις, ψύξεις, ἀγρυπνίαι, λῦπαι, φροντίδες, ἀπεψίαι, σκληροκοιτίαι, κάματοι, μέθαι καὶ τἄλλα τὰ τοιαῦτα. διὰ τοῦτ' οὖν καὶ τὴν ἴασιν ἔφη τῶν τοιούτων ποιεῖσθαι διὰ τῶν ἐναντίων τῇ προφάσει τοῦ νοσήματος, οἷον εἰ ἐνεκαύθη, ψύχοντα, εἰ ἐψύχθη, θερμαίνοντα, εἰ ἔκαμεν, ἀναπαύοντα, εἰ ἤργησε παρὰ τὸ ἔθος, ἐπὶ πλέον γυμνάζοντα, εἰ ἐπληρώθη, κενοῦντα, εἰ ἐκενώθη, πληροῦντα, καθάπερ καὶ πρόσθεν εἶπε κατὰ τὴν ῥῆσιν, ἧς ἡ ἀρχή· ὁκόσα πλησμονὴ τίκτει νουσήματα, κένωσις ἰῆται.

---

cum tamen ipſe non videatur id voluiſſe, ſed de his qui a manifeſtis cauſis recentem ortum habent, ex brevi tempore, non autem ex multo excitatum. In his ſiquidem facilis eſt ejus quod eventurum eſt praedictio, utpote quia jam et ipſa cauſa qualis et quanta ſit cognoſcatur. At qui paulatim et longo temporis ſpatio fiunt, nec ſui ortus apertam aliquam cauſam habent, in his non ita erit praeſagitio tuta. Recentes vero morborum cauſae ſunt aeſtus, refrigerationes, vigiliae, moerores, curae, cruditates, durum cubile, laſſitudines, ebrietates et id genus reliqua. Per ea ergo quae morborum occaſionibus contraria ſunt, moliendam eſſe curationem ait; ut ſi exaeſtuaverit, refrigerantia adhibeantur, ſi frixerit, calefacientia: ſi laboraverit, ut quiescat, ſi in otio praeter morem degerit, plenius exercitetur, ſi fuerit repletus, evacuetur, ſi evacuatus, repleatur: in quem modum ſuperius etiam ea parte dixit, cujus principium eſt: *quos morbos repletio gignit, evacuatio ſanat.*

ιη'.

Ὁκόσοισι δὲ ψαμμώδεα ὑφίσταται, ἢ πῶροι ἐν τοῖσιν οὔροισι, τουτέοισι τὴν ἀρχὴν φύματα ἐγένοντο πρὸς τῇ φλεβὶ τῇ παχείῃ καὶ διεπύησεν. ἔπειτα δὲ ἅτε οὐ ταχέως ἐκραγέντων τῶν φυμάτων, πῶροι συνετράφησαν ἐκ τοῦ πύου, οἵτινες ἔξω θλίβονται διὰ τῆς φλεβὸς σὺν τῷ οὔρῳ ἐς τὴν κύστιν.

Γένοιτο μὲν ἄν ποτε καὶ καθ' ἣν εἶπεν αἰτίαν οὖρα τοιαῦτα. γένοιτο δ' ἂν καὶ αὐτοῦ τοῦ νεφροῦ παθόντος ὁμοίως, ἄνευ τῆς μεγάλης φλεβός. ὡς τὸ πολὺ δὲ χωρὶς φυμάτων συμβαίνουσιν αἱ εἰρημέναι διὰ τῶν οὔρων ἐκκρίσεις, ὅταν παχὺς, ἢ γλίσχρος ἱκανῶς χυμὸς βραδεῖαν ποιούμενος τὴν διέξοδον ὑπὸ τῆς ἐν τῷ τόπῳ θερμασίας ξηραινόμενος παγῇ.

ιθ'.

Ὁκόσοισι δὲ αἱματώδεα μόνον τὰ οὐρήματα, τουτέοισιν αἱ φλέβες πεπονήκασιν.

XVIII.

Quibus autem in urinis arenulae vel lapilli ſubſident, iis per initia tubercula ad craſſam venam enata ſunt ac ſuppurata; poſtea vero quum ea tubercula haud ita cito erupta ſunt, lapilli ex pare coaleſcunt qui per venam cum urina in veſicam foras extruduntur.

Poteſt quidem eſſe ut ea de cauſa quam ipſe attulit, ejuscemodi urinae fiant: poteſt et pariter eſſe ut fiant absque vena ex affectu ſcilicet renis frequenter; tamen hujusmodi excretiones in urinis proveniunt etiam ſine tuberculis, nempe quando craſſus et ſatis viſcoſus humor tarde egrediens ab illius loci calore exiccatus cogitur.

XIX.

At quibuscunque urinae quidem ſolum cruentae ſunt, his venae laborarunt.

Τὸ πεπονήκασιν ἄδηλόν ἐστιν ἐπὶ τίνος εἴρηται. δύναται γὰρ καὶ τὸ κεκμήκασι δηλοῦν, ὡς ἐκλύτους γεγονυίας αὐτὰς, ἡμίπεπτόν τε γεννᾷν αἷμα καὶ μεθιέναι τοῦτο ῥᾳδίως δι' ἀτονίαν. ἢ ὡς ἀλλότριον ἀποκρίνειν. δύναται δὲ κοινῶς τὸ πεπόνθασιν ἐκ τοῦ πεπονήκασι δηλοῦσθαι, μηδὲν αὐτῶν τῶν νεφρῶν πεπονθότων, ἀλλ' ἐν μόναις ταῖς φλεψὶν οὔσης τῆς διαθέσεως, οὐ μὴν ὁποία τίς ἐστιν ἐκ τῆς τοιαύτης ἐξηγήσεως δηλοῦται. πρόδηλον δέ ἐστιν ὡς οὔθ' Ἱπποκράτης οὔτε Πόλυβος εἶπεν ἂν οὐρήματα, δυνάμενοί γε εἰπεῖν, ὁκόσοισι δὲ αἱματώδεα τὰ οὖρα. καὶ πολλάκις γε πάνυ τι γράφων ὁ Ἱπποκράτης οὖρα, [147] κατ' οὐδεμίαν λέξιν εἶπεν οὔρημα. καὶ ἄλλα δὲ πολλὰ τῶν παρεγγεγραμμένων ἐνδείκνυται σαφῶς αὐτὰ μήθ' Ἱπποκράτους εἶναι μήτε Πολύβου.

κ'.

Ὀκόσοισι δὲ ἐν τῷ οὐρήματι παχεῖ ἐόντι σαρκία σμικρὰ

Obſcurum eſt qua de re, laborarunt, dixerit. Nam ſignificare poteſt eas imbecilles factas ut ſolutis viribus ſemicoctum ſanguinem generent, qui vel earum imbecillitate facile profluat vel quaſi res aliena ab illis excernatur. Poteſt praeterea communiter laborarunt ſignificare affectae ſunt, quod ſcilicet tota affectio citra renum incommodum ad ſolas venas pertineat: quae tamen illa ſit, haud ex hac expoſitione indicatur. At vero perquam manifeſtum eſt quod neque Hippocrates neque Polybus unquam *οὐρήματα* dixiſſent, cum ita dicere potuerint, quibus ſanguinolenta ſunt *τὰ οὖρα*. Alioquin enim Hippocrates frequentiſſime *οὖρα* ſcripſit, *οὔρημα* vero nullibi in ejus ſcriptis invenias. Sunt et alia multa adſcripta in hoc libro, quae manifeſte indicant, ea neque Polybi neque Hippocratis fuiſſe.

XX.

Quibuscunque autem in urina craſſa exiſtente carunculae

τριχοειδέα συνεξέρχεται, ταῦτα δὲ ἀπὸ τῶν νεφρῶν εἰδέναι χρὴ ἐόντα καὶ ἀπὸ τῶν ἀρθριτικῶν.

Τὸν ἀφορισμὸν ἐνταῦθα μετέφρασε τόνδε· ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία σμικρὰ, ἢ ὥσπερ τρίχες συνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

κά.

Ὁκόσοισι δὲ καθαρὸν τὸ οὖρον ἄλλοτε καὶ ἄλλοτε οἷόν γε πίτυρα ἐκφέρεται ἐν τῷ οὐρήματι, τουτέοισιν ἡ κύστις ψωριᾷ.

Πάλιν κἀνταῦθα τὸν ἀφορισμὸν ἐκεῖνον παρέφρασεν· ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρῶδές τι συνεξεύρεται, τουτέοισιν ἡ κύστις ψωριᾷ.

κβ.

(28) Οἱ πλεῖστοι τῶν πυρετῶν γίνονται ἀπὸ χολῆς. εἴδεα

parvae piliformes ſimul prodeunt, eas a renibus et ab arthriticis prodire noſſe oportet.

Aphorismum illum in hoc loco interpretatus eſt. *Quibus cum urina craſſa carunculae parvae aut capillis ſimiles egrediuntur, his a renibus fit excretio.*

XXI.

Quibus vero urina pura eſt et alias atque alias veluti furfures in urina innatant, iis veſica ſcabioſa exiſtit.

Hoc item loco eum aphorismum deſcripſit. *Quibus in urina craſſa furfuraceum quid excernitur, his veſica ſcabie laborat.*

XXII.

Plurimae febres a bile procreantur: earum autem ſpecies

δὲ αὐτέων εἰσὶ τέσσαρα, χωρὶς τῶν ἐν τῇσιν ὀδύνῃσι γινομένων τῇσιν ἀποκεκριμένῃσιν. οὐνόματα δ' αὐτέων ἐστὶ σύνοχος καὶ ἀμφημερινὸς καὶ τριταῖος καὶ τεταρταῖος. ὁ μὲν οὖν σύνοχος καλεόμενος ἀπὸ πλείστης χολῆς καὶ ἀκρητεστάτης καὶ τὰς κρίσιας ἐν ἐλαχίστῳ χρόνῳ ποιέεται. τὸ γὰρ σῶμα οὐ διαψυχόμενον οὐδένα χρόνον συντήκεται ταχέως, ἅτε ὑπὸ πολλοῦ τοῦ θερμοῦ θερμαινόμενον. ὁ δὲ ἀμφημερινὸς μετὰ τὸν σύνοχον, ἀπὸ πλείστης χολῆς γίνεται καὶ ἀπαλλάσσεται τάχιστα τῶν ἄλλων. μακρότερος δέ ἐστι τοῦ συνόχου, ὅτι ἀπ' ἐλάσσονός τε γίνεται χολῆς καὶ ὅτι ἀνάπαυσιν ἔχει τὸ σῶμα, ἐν δὲ τῷ συνόχῳ οὐκ ἀναπαύεται οὐδένα χρόνον. ὁ δὲ τριταῖος μακρότερός ἐστι τοῦ ἀμφημερινοῦ καὶ ἀπὸ χολῆς ἐλάσσονος γίνεται. ὁκόσῳ δὲ πλείονα χρόνον ἐν τῷ τριταίῳ ἢ ἐν τῷ ἀμφημερινῷ τὸ σῶμα ἀναπαύεται, τοσούτῳ χρονιώτερος οὗτος ὁ πυρετὸς τοῦ ἀμφημερινοῦ ἐστιν. οἱ δὲ τεταρταῖοι τὰ μὲν ἄλλα κατὰ τὸν αὐτὸν λόγον, χρονιώτεροι δέ εἰσι μάλα τῶν τριταίων, ὁκόσον ἔλασσον μετέ-

ſunt quatuor praeter eas quae doloribus ſeparatis ſuccedunt. Earum autem nomina ſunt continens, quotidiana, tertiana et quartana. Quae itaque continens vocatur, ex plurima et meraciſſima bile provenit, criſesque breviſſimo tempore efficit: quum namque corpus nullo tempore perfrigeratur et a multo calore incaleſcit, celeriter colliqueſcit. Quotidiana poſt continentem a plurima bile generatur et prae caeteris celerrime diſcedit, at continente diuturnior eſt, tum quod a pauciore bile procreetur, tum quod in ea intermiſſionis quietem habeat corpus; at in continente nullo unquam tempore quieſcit. Tertiana vero quotidiana longior eſt et a pauciore bile fit; et quo longiori in ea tempore quam in quotidiana corpus quieſcit, eo diuturnior haec febris quam quotidiana. At quartanae in reliquis eandem rationem obtinent, ſed tertianis tanto longiores ſunt, quanto pauciorem bilis, qua calor concitatur, partem

χουσι μέρος τῆς χολῆς τῆς τὴν θέρμην παρεχούσης, τοῦ δὲ διαψύχεσθαι τὸ σῶμα πλέον μετέχουσι. προσγίνεται δὲ αὐτέοισιν ἀπὸ μελαίνης χολῆς τὸ περισσὸν τοῦτο καὶ δυσαπάλλακτον. μέλαινα γὰρ χολὴ τῶν ἐν τῷ σώματι ἐνεόντων χυμῶν γλισχρότατον καὶ τὰς ἕδρας χρονιωτάτας ποιέει. *[148] γνώσῃ δὲ ἐν τῷδε ὅτι οἱ τεταρταῖοι πυρετοὶ μετέχουσι τοῦ μελαγχολικοῦ. φθινοπώρῳ γὰρ μάλιστα ἁλίσκονται οἱ ἄνθρωποι ὑπὸ τῶν τεταρταίων καὶ ἐν τῇ ἡλικίῃ τῇ ἀπὸ πέντε τε καὶ εἴκοσιν ἐτέων ἐς τὰ πέντε καὶ τεσσεράκοντα. ἡ δὲ ἡλικίη αὕτη ὑπὸ μελαίνης χολῆς κατέχεται μάλιστα πασέων τῶν ἡλικιῶν, ἥ τε φθινοπωρινὴ ὥρη μάλιστα πασέων τῶν ὡρέων. ὁκόσοι δ' ἂν ἁλῶσιν ἔξω τῆς ὥρης ταύτης καὶ τῆς ἡλικίης ὑπὸ τοῦ τεταρταίου, εὖ χρὴ εἰδέναι μὴ χρόνιον ἐσόμενον τὸν πυρετὸν, ἢν μή τι ἄλλο κακουργῆται ὁ ἄνθρωπος.

Ὅμοιόν τί μοι δοκοῦσι πεπονθέναι οἱ πολλοὶ τῶν ἐξηγητῶν, ἐν οἷς ἐστι καὶ Σαβῖνος, τῷ νοσοῦντι μὲν ὑδερι-

obtinent, tum quia in his corpus liberalius refrigeratur, iisque ab atra bile is cumulus accedit ut non nisi aegre depelli possint. Atra namque bilis omnium qui corpori insunt humorum glutinosissima est ac diuturnissimas stationes facit. Quod autem quartanae febres humoris melancholici participes ex eo quisque noverit: autumno enim maxime homines corripiuntur et ea aetate quae est ab anno vigesimo quinto ad quadragesimum quintum: tum etiam quod haec aetas inter alias omnes atrae bili potissimum est obnoxia et autumnale tempus omnium anni temporum ad eandem aptissimum est. Si qui vero extra hoc anni tempus et eam aetatem quartana correpti fuerint, pro comperto habeas, hanc febrem, nisi quid aliud hominem male habeat, minime diuturnam fore.

Plerique expositores, in quibus posuerim Sabinum, illum mihi imitari videntur, qui cum aqua inter cutem

κῶς ἀνθρώπῳ, παρωνυχίαν δὲ αὐτοῦ θεραπεῦσαι φιλότιμον τὸν ἰατρὸν ἀξιοῦντι. δυοῖν γὰρ θάτερον, ἢ οὐκ ἔβλεπεν οὗτος ὅπως εἶχεν ὅλως κακῶς, ἢ οὐκ ᾤετο δεῖσθαι θεραπείας. οὕτως οὖν καὶ τοὺς ἐξηγητὰς ἢ τυφλώττειν τὸν τῆς ψυχῆς ὀφθαλμὸν νομιστέον, ἢ τὰ μὲν σμικρὰ τῶν ἐγκλημάτων ἡγεῖσθαι θεραπείας τινὸς δεῖσθαι, τὰ μεγάλα δὲ οὐδεμιᾶς χρήζειν βοηθείας. ὥσπερ γὰρ ἐξ ὕπνου βαθέος ἐγερθέντες ᾔσθοντο τῆς πρὸς Ἱπποκράτους μάχης, τοῦ κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένου, τὸν ἀμφημερινὸν ὀλιγοχρονιώτερον ἀποφαινούσης αὐτῆς τοῦ τριταίου, σαφῶς εἰρηκότος Ἱπποκράτους ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν. κἀν τοῖς ἀφορισμοῖς τάχιστα κρίνεσθαι τὸν τριταῖον. οὔκουν φασὶν Ἱπποκράτειον εἶναι τὸ βιβλίον, ὡς καὶ φανερῶς ψευδοῦς ὄντος τοῦ λεγομένου καὶ διαφερομένου τοῖς ἑτέρωθι γεγραμμένοις ὑφ' Ἱπποκράτους. εἰ γὰρ ἐν τούτῳ μόνον ψευδόμενόν τε ἅμα καὶ μαχόμενον Ἱπποκράτει τὸν περιγράψαντα τὰ μεταξὺ κατενόησαν, ἐοίκασι τῷ τὴν παρωνυχίαν ὁρῶντι, τὸ δ' ὅλον σῶμα μὴ βλέποντι κάκιστα διακεί-

laboraret, medicum exposcebat ut suam diligenter reduviam curaret: alterutrum sane erat, aut is se universo corpore laborare non animadvertebat, aut putabat curationem non requirere. Pari modo et expositores aut oculis animi caecutiunt, aut arbitrantur levioribus quidem erroribus esse consulendum, majoribus vero nullum esse remedium adhibendum. Hi quasi ex profundo excitati somno sentiunt tandem quam ea quae in hac parte tradita sunt, nempe quotidianam esse tertiana breviorem, cum Hippocratis sententia pugnent, qui in primo Epidemiorum libro necnon in Aphorismis aperte protulerit tertianam celerrime judicari, et proinde ajunt librum hunc non esse Hippocraticum, cum et falsa contineat et quae ab his quae alibi scripta ab Hippocrate sunt discrepent. Quippe si in hac tantummodo re putant hunc qui ista quae libro huic inserta sunt adscripsit, tum mentitum fuisse tum etiam Hippocrati refragari, similes illi sunt qui reduviae attendit, corpus vero universum esse pessime affectum non ad-

μενον. ὁ μὲν γὰρ ἀγνοήσας τὸν ἀμφημερινὸν τοῦ τριταίου χρονιώτερον εἶναι ἐνδείκνυται μὲν ἑαυτὸν οὐκ εἶναι τρίβωνα τῶν ἔργων τῆς ἰατρικῆς, οὐ μὴν ἐξ ἀτονίας γέ τινος ἀναισχύντου τὸ ψεῦσμα διέπλασεν, ἀλλ' ἐκ πιθανοῦ λόγου κινηθεὶς, καὶ μάλιστα ἐπειδή τισι τῶν παλαιῶν, ὧν καὶ Πλάτων ἐστὶν, ἐδόκει τοὺς μὲν συνεχεῖς πυρετοὺς, ἐξ ὑπερβολῆς τοῦ πυρὸς γίνεσθαι, τοὺς δὲ ἀμφημερινοὺς ἀέρος, καὶ τριταίους μὲν ὕδατος, τεταρταίους δὲ γῆς. ἡ γάρ τοι τοῦ Πλάτωνος ῥῆσις αὐτοῖς ὀνόμασιν οὕτως ἔχει· τὸ μὲν οὖν ἐκ πυρὸς ὑπερβολῆς μάλιστα νοσῆσαν σῶμα συνεχῆ καύματα καὶ πυρετοὺς ἀπεργάζεται, τὸ δὲ ἐξ ἀέρος ἀμφημερινοὺς, τριταίους δ' ὕδατος, διὰ τὸ νωθέστερον ἀέρος, καὶ πυρὸς εἶναι· τὸ δὲ γῆς τέταρτον ὂν, νωθέστατον τούτων, ἐν τετραπλασίαις χρόνου περιόδοις καθαιρόμενον, τεταρταῖον πυρετὸν ποιῆσαν, ἀπαλλάττεται μόγις. εἴπερ οὖν ὁ Πλάτων τὸ νωθέστατον στοιχεῖον, ὅπερ ἐστὶν ἑδραιότατόν τε καὶ δυσκινητότατον, ἐν τετραπλασίαις χρόνου περιόδοις ἐκκαθαίρεσθαί φησι, πιθανὸν ἔδοξεν εἶναι

vertit. Quem enim latet quotidianam esse tertiana longiorem, is se in operibus medicinae parum esse exercitatum prodit. Porro ille non tam ex impudenti stupiditate mendacium id effinxit, quam probabili ratione motus, eo magis quod inter antiquos nonnulli fuere, in quibus est Plato, qui sensere continuas febres ex ignis excessu gigni, quotidianas aëris, tertianas aquae, quartanas terrae. Platonis vero haec sunt verba: *Itaque corpus quod ex ignis abundantia laboravit, continuos fervores et febres efficit; quod vero ex aëris, quotidianas: at ex aquae, tertianas, ut quae igne et aëre sit tardior: quartum autem cum ex terra sit, omnium lentissimum est et quadruplicibus temporis circuitibus purgatur, quartanam efficiens aegre removetur.* Igitur cum Plato elementum pigerrimum, quod et firmissimum est et ad motum difficillimum, quadruplicibus purgari dicat circuitibus, verisimile ipsis visum est alia quoque eadem inter se proportione differre, qua ge-

καὶ τἄλλα διαφέρειν ἀλλήλων κατὰ τὴν αὐτὴν ἀναλογίαν, ὡς γέγονεν ἐφεξῆς τε τῷ γεώδει στοιχείῳ, τοῦτο δ' ἂν ὕδωρ εἴη, τὴν ἐφεξῆς τῇ τετάρτῃ περιόδῳ γεννᾷν. τὸ δὲ τούτου πάλιν ἐφεξῆς, ὅπερ ἐστὶν ἀὴρ, τὴν ἀμφημερινήν. τὸ δὲ ὀξυκινητότατον, ὅπερ εὔδηλον ὅτι τὸ πῦρ ἐστιν, ἐργάζεσθαι τὸν συνεχῆ πυρετόν. ἀλλὰ τούτου πιθανώτερός ἐστιν ὁ λόγος ὁ τῷ φύσει θερμῷ στοιχείῳ, τουτέστι τῷ πυρὶ, τὴν αἰτίαν ἀνατιθεὶς τῆς γενέσεως αὐτῶν. οὐ γὰρ εὔλογον ὑπὸ τοῦ ψυχροῦ στοιχείου πλεονάσαντος ἐν τῷ σώματι τὸ θερμότατον πάθος γίνεσθαι. [149] τοίνυν εὔλογον μέν ἐστι τοῦ θερμοῦ στοιχείου τῇ πλεονεξίᾳ θερμὸν γίνεσθαι πάθος. ἀλλήλων δὲ διαφέρουσιν οἱ πυρετοὶ ταῖς αὐτῶν διαφοραῖς, ἃς τῷ ποσῷ τῆς αἰτίας ἀνατίθεσθαι προσήκει. τοῦτο δ' εἰ συγχωρήσομεν, ὁ μὲν συνεχέστατος καὶ θερμότατος πυρετὸς ὑπὸ πλείστου γενήσεται πυρός. ὁ δὲ ἐφεξῆς αὐτῷ δευτέραν ἔχει χώραν ἐν ποσότητι, καὶ τρίτην μὲν ὁ τριταῖος, τέταρτην δὲ ὁ τεταρταῖος, αἵ τε λύσεις αὐτῶν ἀκολούθως ταῖς αἰτίαις ἔσονται, τάχισται μὲν αἱ τοῦ θερ-

nita sunt, ut quod subinde sequitur terrestre elementum, utpote aqua, circuitum etiam quaterno proximum producat. Item quod huic consequens est, qui aër est, quotidianam, quod vero citissime movetur, id autem plane ignis est, febrem parit continuam. Probabilior tamen ea ratio est quae caussam ortus ipsarum in calidum natura refert elementum, id est ignem. Neque enim consentaneum est affectum calidissimum a frigido dominante elemento in corpore gigni, congruum sane est calidum affectum ex redundantia elementi calidioris excitari. Discrepant autem mutuo febres suis ipsis differentiis, quas in quantitate causae ponas. Quod si concesserimus, febris quae continentissima juxtaque et calidissima est, a plurimo igne proficiscetur. Quod huic continens est secundum sibi vindicabit in quantitate locum, tertium tertiana, quartum quartana. Solutiones quoque earum erunt causis consequentes, calidissimae quidem febris citissimae; ab his vero tem-

μοτάτου πυρετοῦ, δεύτεραι δὲ κατὰ τὸν χρόνον αἱ τῶν ἀμφημερινῶν, καὶ τρίται αἱ τῶν τριταίων καὶ τέταρται αἱ τῶν τεταρταίων. ὥσθ' ὅσον μὲν (29) ἐπὶ τῷ πιθανῷ καλῶς εἴρηται ταῦτα· τὸ δὲ ἐκ τῆς τῶν πραγμάτων ἱστορίας ἐλέγχει τὸν λόγον. ἐπὶ δὲ τῆς προγεγραμμένης τῶν φλεβῶν ἀνατομῆς οὐδὲν ἔχων εἰπεῖν πιθανὸν ὁ συνθεὶς αὐτὴν οὐχ ἓν, ἢ δύο, ἢ τρία φαίνεται ψευσάμενος, ἀλλὰ πάνυ πολλά, πρὸς τὸ μηδὲ κατὰ τύχην ἕν τι τῶν ἐν αὐτοῖς ἀληθῶς εἰρῆσθαι. θαυμαστὸν οὖν ὅπως ἐπ' ἐκείνων μὲν οὐδὲν ἐμέμψατο τῷ γράψαντι, τὰ μετὰ τὸ περὶ φύσιος ἀνθρώπου μέχρι δεῦρο πάντα, νυνὶ δὲ μέμφεται καὶ διὰ τοῦτο αὐτῷ οὐκέτι δοκεῖ τὸ βιβλίον Ἱπποκράτους εἶναι. Σαβίνου δὲ καὶ τῶν πλείστων ἐξηγητῶν ἔτι καὶ τοῦτ' ἄν τις θαυμάσειεν, ὅτι τὰ προγεγραμμένα πάντα ἐπαινοῦντες ἀεὶ θαυμασίως εἰρῆσθαι, τὸ δέ τι τἀνδρὶ καὶ δαιμονίως, τὸ δέ τι καὶ θείως, τὸ δέ τι νῦν ἐξαίφνης μὲν ἐκείνων ἁπάντων ἐπελάθοντο. διὰ μίαν δ' ἀντιλογίαν οὐκέτ' αὐτοῖς Ἱπποκράτους εἶναι τὸ βιβλίον δοκεῖ, ἀλλὰ μετακινοῦσιν ἐπὶ

poris ſpatio ſecundum ordinem habent quotidianae, tertium tertianae, quartum quartanae: ita ut ſi ad probabilitatem reſpicias, haec ſane erunt recte pronuntiata: hanc vero rationem rerum ipſarum explanatio convicit. At in ſuperiori venarum anatome ejus auctor nulli innixus probabili argumento non ſemel, aut bis, aut ter, ementitus eſt, ſed ſaepiſſime: ut neque unum quidpiam in illis invenias, quod vel caſu recte ſit expoſitum; unde mirabile profecto eſt quod in nullo eorum auctorum qui omnia haec a libro de natura humana usque huc conſcripſit, accuſaverit unquam, in praeſentiarum accuſet ita ut ob hoc non amplius illi videatur liber hic fuiſſe Hippocratis. Porro et id mirandum eſt quod Sabinus et alii plerique expoſitores ſuperioribus omnibus ſemper applauſerint, aſſerentes hoc quidem mirifice fuiſſe ab homine dictum, illud vero ſumma cum felicitate, aliud divine, nunc autem eorum omnium obliti ex una tantum contradicendi occaſione ſtatim] coeperit illis videri hic liber non eſſe am-

Πόλυβον, ὡς αὐτοὶ μὲν ἀνεγνωκότες τοὺς ἀφορισμοὺς καὶ τὸ πρῶτον τῶν ἐπιδημιῶν, οὐκ ἀνεγνωκότος δὲ ταῦτα Πολύβου, ὃν ἀδύνατον ἦν μαθητὴν Ἱπποκράτους ὄντα μὴ οὐ πολλάκις μὲν ἀκηκοέναι παρ' αὐτοῦ περὶ τῆς διαφορᾶς τῶν πυρετῶν, ἀνεγνωκέναι δὲ οὐκ ὀλιγάκις αὐτοῦ τὰ συγγράμματα, σὺν τῷ καὶ αὐτὸν ἐπὶ τῶν ἀῤῥώστων τεθεᾶσθαι ταχυκρίσιμον μὲν τὸν τριταῖον, χρονίζοντα δὲ τὸν ἀμφημερινόν. οἱ γὰρ δὴ τῶν ἐπὶ τῆς Ἀλεξανδρείας προφητευσάντων εἷς τις ἦν ὁ Πόλυβος, οἳ μηδένα πώποτε θεασάμενοι νοσοῦντα σχολαστικοῖς ἐπέτριβον, οὐδὲν ὑγιὲς λέγοντες, οὐδ' ὧν οἱ τρίβωνες ὁρῶσι, φαινομένων ἐναργῶς ἐπὶ ἀῤῥώστων. ὥσθ' ὁ ταῦτα γράψας ἤτοι οὗτος ἦν σοφιστὴς, ἢ πανοῦργος ἄνθρωπος, ὡς ἔοικε, παραγράψας τὸ ψεῦδος, ἕνεκα τοῦ προστρίψασθαι ψόγον τῷ παλαιῷ. τοῦ δὲ νεώτερον εἶναι τὸν παραγράψαντα ταῦτα καὶ ἡ τοῦ συνόχου προσηγορία τεκμήριόν ἐστιν. οὐδαμόθεν γὰρ οὔθ' Ἱπποκράτης οὔτε τις τῶν παλαιῶν τὸν συνεχῆ πυρετὸν ὠνόμασε σύνοχον, ὥσπερ οὐδὲ οὐρήματα τὰ οὖρα, ἀλλὰ ταῦτα ὀνόματα νεω-

plius Hippocratis ipſumque in Polybum transferunt, quaſi ipſi Aphorismos legerint atque etiam primum Epidemiorum librum, non legerit autem Polybus, quem fieri nequit, cum Hippocratis diſcipulus fuerit, non ſaepiſſime ab eo de ſebrium differentiis audiviſſe et non raro etiam ejus libros relegiſſe. His accedit quod viderat et ipſe in aegris tertianam cito judicari, quotidianam vero longiori tempore perdurare. Nam neque in eis ponendus eſt Polybus qui Alexandriae divinabant, ii nullo unquam vel viſo aegrotante in ſcholis verſabantur, nihil unquam quod ſanum eſſet dicentes, neque ea etiam quae in aegrotis clariſſime apparere animadvertunt, qui in arte exercitati ſunt. Unde is horum auctor aut ſophiſtes fuit, aut veterator, ut videtur: quippe qui ut notam aliquam ſeni inureret, falſa libro annexuit: nam juniorem illum fuiſſe qui haec tradidit litteris, nomen *σύνοχος* argumento eſt. Neque enim unquam Hippocrates vel ex antiquis alius continuam febrem *σύνοχον* appellavit, ſicuti neque urinas

τέρων ἐστιν ἰατρῶν, ὅσοι τὴν παλαιὰν λέξιν ἠγνόησαν. ἀπολιπόντες οὖν ἤδη τὰ παραγεγραμμένα ταυτὶ μεταβῶμεν ἐπὶ τὸ περὶ διαίτης ὑγιεινῆς, ὃ Πολύβου φασὶν εἶναι σύγγραμμα.

οὐρήματα. Sunt ſane vocabula iſta medicorum recentiorum, qui linguam antiquorum ignorarunt. Quare haec miſſa faciamus quae ſuppoſititia ſunt et ad librum de victu ſalubri, quem Polybi fuiſſe ajunt, accedamus.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΥΓΙΕΙΝΗΣ ΤΩΝ ΙΔΙΩΤΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ Η ΠΟΛΥΒΟΥ ΥΠΟΜΝΗΜΑ.

[220] *Προοίμιον Γαλήνου.* Ἓν τοῦτό ἐστι βιβλίον ἰδίαν ἐπαγγελίαν ἔχον, ὥσπερ τὸ πρῶτον μέρος ὅλου τοῦ προκειμένου βιβλίου, καθ' ὃ περὶ φύσιος ἀνθρώπου διαλέγεται. συντετέλεσται γὰρ ἐν ἐκείνῳ τὸ ἐπαγγελθὲν, οὐδεμιᾶς ἔτι προφάσεως δεόμενον. ἐν τούτῳ δὲ πάλιν ἃ προὔθετο διδάσκει δι' ὅλου τοῦ βιβλίου καὶ διὰ τοῦτο τῶν

GALENI IN HIPPOCRATIS VEL POLYBI OPUS DE SALUBRI VICTUS RATIONE PRIVATORUM COMMENTARIUS.

Praefatio Galeni. Unus hic liber est peculiari inscriptus titulo, quemadmodum prima totius superioris libri pars, qua de hominis natura disserit. Nam absolutum in illo est quod titulus enunciavit, nullam adhuc orationem desiderans. In hoc autem rursus quae proposuerat toto commentario perdocet. Quamobrem iis quae

μεταξὺ τῶν δύο βιβλίων τούτων ἐξαιρεθέντων, προσηκούσης ἐπιγραφῆς ἰδίας ἔτυχε τὸ σύμπαν, ἣν ἐπέγραψάν τινες αὐτῷ περὶ φύσιος ἀνθρώπου καὶ διαίτης. ὥσπερ δὲ ἄμεμπτον μέν ἐστι πάντη τὸ περὶ φύσιος ἀνθρώπου, μεμπτὰ δὲ πάντη τὰ παρεγγεγραμμένα μεταξὺ τῶν δύο βιβλίων, οὕτω τὸ περὶ διαίτης ὑγιεινῆς ἐν τοῖς πλείστοις μὲν ἄμεμπτόν ἐστιν, ἐχόμενον ἀεὶ τῆς Ἱπποκράτους στοιχειώσεως. ἐν τισι δ' ἄν τις αὐτῷ μέμψαιτο παντελῶς ὀλίγοις· ὑποκείσθω δ' εἶναι Πολύβου, καθότι πολλοῖς ἔδοξε.

α'.

[221] Τοὺς ἰδιώτας ὧδε χρὴ διαιτᾶσθαι.

Τίνας δὲ ἰδιώτας λέγει παραλελοίπασιν οἱ ἐξηγησάμενοι τὸ βιβλίον, οἷς γε δὴ παρέτυχον ὑπομνήμασιν. οὐ μὴν οὐδὲ ἐπεζήτησά ποτε κατὰ τὴν παρὰ τοῖς διδασκάλοις ἀνάγνωσιν τοῦ βιβλίου. νυνὶ δὲ γράφειν ἐξήγησιν αὐτοῦ προὐ-

duobus his libris interiacent sublatis commodam inscriptionem peculiarem totum opus sortitur; quam nonnulli de natura humana et victus ratione indiderunt. At ut nullum plane vitium habet libellus de natura humana, vitiosa autem omnia quae duobus libris interposita sunt; ita *commentarius* hic de victus ratione salubri in plurimis culpa ac vitio caret, Hippocratis institutionem de elementis semper repraesentans. In quibusdam vero iisque paucissimis criminari aliquis possit librum. Porro statuamus esse Polybi, sicut plerisque visum est.

I.

Idiotas hac vivendi ratione uti oportet.

Quosnam idiotas nominet commentarii interpretes omiserunt iis quae mihi videre contigit exemplariis; imo neque ego quum opus praeceptores mihi praelegerent, inquirere unquam cogitavi. Nunc vero quod hujus expli-

θέμενος ἐπενόησα κακῶς παραλελεῖφθαι τοῖς τε διδασκάλοις ἡμῶν καὶ τοῖς ἐξηγηταῖς ἐπισκέψασθαι τίνας ἰδιώτας λέγει. δῆλον γὰρ δὴ ὅτι τὴν ἐφεξῆς γεγραμμένην δίαιταν οὐ πᾶσι τοῖς ἀνθρώποις, ἀλλὰ μόνοις τοῖς ἰδιώταις συνεβούλευσεν ὁ Πόλυβος. καὶ μὴν εἰ μόνοις τοῖς ἰδιώταις ὑποθήκας ἔγραψεν, οὐκ ὀρθῶς οἱ ἐξηγησάμενοι τὸ βιβλίον ἀδιορίστως ἤκουσαν, ὡς κοινῇ πᾶσι τοῖς ἀνθρώποις εἰρημένων αὐτῶν. εὑρίσκομεν γὰρ δὴ παρὰ τοῖς Ἕλλησιν ἰδιώτας ὀνομαζομένους οὐχ ἁπλῶς, ἀλλ' ἐν τῷ πρός τι. τὸν μὲν γάρ τινα λέγουσιν ἰδιώτην εἶναι τῆσδε τῆς τέχνης, τὸν δέ τινα τοῦδε τοῦ ἐπιτηδεύματος. ἐνίοτε δὲ πρὸς τοὺς ἔθνος, ἢ πόλιν διοικοῦντας, ἢ ὅλως πράττοντάς τι δημόσιον, ἀντιδιαιρούμενοι τοὺς οἷον ἰδιοπραγοῦντας, ὠνόμασαν ἰδιώτας. ἐπισκεπτομένῳ δή μοι τίνας τούτων νῦν ὁ Πόλυβος ἰδιώτας εἴρηκε, τοὺς μὲν ἀθλητὰς ἄντικρυς ἐδόκει τῶν ἄλλων ἀνθρώπων ἀποκρίνειν, ἐπειδὴ μίαν ἔχουσιν ἐκεῖνοι δίαιταν ὡρισμένην ἐν ἄρτῳ καὶ κρεῶν ἐδωδῇ. τούτων δ' ἑξῆς ὅσοι

cationem scribere mihi proposuerim, male praeceptores nostros et expositores existimavi praetermisisse conjiciendum considerandumque quos idiotas vocitet. Liquet enim deinceps conscriptam victus rationem non universis hominibus, verum solis privatis Polybum consuluisse. Atqui si privatis duntaxat praecepta conscripsit, minus recte interpretes citra distinctionem inaudierunt, quasi omnibus communiter illa tradiderit. Nam invenimus apud Graecos non simpliciter, sed relatione ad aliquid, idiotas sive privatos appellari. Nam alium hujus artis idiotam, alium illius vitae studii nominant; interdum a populi aut civitatis gubernatoribus aut certe publico aliquo munere fungentibus, distinguentes illos qui velut propria curant, idiotas nuncuparunt. Consideranti jam mihi quos ex his Polybus nunc idiotas vocet, athletas palam ab aliis hominibus sejungere videbatur; quoniam illi nullam victus rationem in pane et carnium esu praefinitam habent; quemadmodum nec iis qui militiam sequuntur vel iter faciunt vel etiam pugnant cibariorum delectus praescribi

πολεμοῦσιν ἢ ὁδοιποροῦσιν ἢ καὶ μάχονται. καὶ γὰρ τούτοις οὐκ ἐγχωρεῖ διακρίνειν ἃ χρὴ προσφέρεσθαι καὶ μὴ προσφέρεσθαι σιτία. χρῆσθαι γὰρ ἀναγκαῖον αὐτοῖς, οἷς ἂν εὐπορήσωσιν ἕκαστος· τάχα δὲ καὶ τοὺς ὁπωσοῦν ἐσπευσμέναις ὁδοιπορίαις χρωμένους ἀδύνατόν ἐστιν, ὡς ὁ Πόλυβος κελεύει διαιτᾶσθαι καὶ ὅλως τοὺς ἐν ἀσχολίαις πολιτικαῖς ὄντας, ἢ τῷ καλουμένῳ περιστατικῷ βίῳ. μόνοις οὖν τοῖς τὰ ἴδια πράττουσιν, οὓς ὀνομάζουσιν ἰδιοπραγοῦντας, ἡ ῥηθησομένη δίαιτα γίνεται.

β.

Τοῦ μὲν χειμῶνος ἐσθίειν ὡς πλεῖστα, πίνειν δὲ ὡς ἐλάχιστα. εἶναι δὲ χρὴ τὸ πόμα οἶνον ὡς ἀκρητέστατον· τὰ δὲ σιτία ἄρτον καὶ τὰ ὄψα ὀπτὰ πάντα. λαχάνοισι δὲ ὡς ἐλαχίστοισι χρέεσθαι ταύτην τὴν ὥρην. οὕτω γὰρ ἂν μάλιστα τὸ σῶμα θερμόν τε εἴη καὶ ξηρόν.

Τὸ κεφάλαιον εἰπὼν τῆς ὅλης διαίτης ὀρθῶς ἐποίησε

poteſt quae offerenda aut non offerenda ſunt, quippe neceſſitas cogit aſſumere quorum quisque copiam habuerit. Forſan etiam quomodocunque feſtinam profectionem ſubeuntibus, aut omnino in civilibus negotiis aut circumforanea vita, aut calamitoſa, periſtaticam appellant, verſantibus, certus vivendi modus, ut Polybus jubet, nullus poteſt inſtitui. Solis igitur privata adminiſtrantibus, res ſuas agentibus dictis, ratio victus quam explicabo convenit.

II.

Hieme quidem edere quam plurimum, quam minimum vero bibere, ſed potum eſſe decet vinum quam meraciſſimum, cibos vero panem, obſonia, aſſa omnia. Oleribus autem quam pauciſſimis hac tempeſtate utendum. Sic enim potiſſimum corpus tum calidum tum ſiccum fuerit.

Totius victus ſummam praefatus recte nimirum fecit,

προσγράψας ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως, διὰ τί τῶν εἰρημένων ἕκαστον αἱρεῖται. θερμαίνειν μὲν γὰρ ἀξιοῖ τὸ σῶμα καὶ ξηραίνειν διὰ τὴν ἀμετρίαν τῆς κατὰ τὴν ὥραν κράσεως. ὡς εἴ γε ἦν σύμμετρον, ὡς κατὰ τὸ ἔαρ ἐστὶ, σύμμετρον ἂν ἐκέλευσε καὶ τὴν δίαιταν ποιεῖσθαι. φυλάττειν μὲν (30) γὰρ προσήκει τὰ συμμέτρως διακείμενα, μεταβάλλειν δὲ τὰ ἀμέτρως. [222] μεταβολὴ δὲ οὐκ ἄλλως ἂν ἢ ἐκ τῶν ἐναντίων ἀμετριῶν γίνοιτο. τὸ μὲν γὰρ ἀμετρότερον, ἢ τεθερμασμένον, ἢ θερμαινόμενον σῶμα ψύχειν προσήκει, τὸ δὲ ἐψυγμένον, ἢ ψυχόμενον θερμαίνειν. ὡσαύτως δὲ κἀπὶ καὶ κατὰ τὸ ὑγρόν τε καὶ ξηρὸν ἀμετρίας διὰ τῆς τῶν ἐναντίων προσφορᾶς τὰς νοσαζούσας ὑπερβολὰς καθαιρεῖν χρὴ, τὴν ἐναντίαν ἀμετρίαν προσφέροντας, τοσοῦτον ἀπέχουσαν τοῦ μέσου τε καὶ συμμέτρου, ὅσον ἀφέστηκεν ἡ νοσάζουσα. κατὰ τοῦτο γοῦν ἐν τῷ χειμῶνι ψυχρῷ καὶ ὑγρῷ τὴν κρᾶσιν ὄντι συμφέρει ἐσθίειν μὲν ὡς πλεῖστα, πίνειν δὲ ὡς ἐλάχιστα. πλεῖστα δ᾽ ἀκουστέον οὐχ ὡς πρὸς τὴν δύναμιν, ἀλλ᾽ ὡς πρὸς τὰς ἄλλας ὥρας. ὡσαύ-

qui in ſermonis fine aſcripſerit quamobrem unumquodque dictorum inſtituat. Etenim calefaciendum corpus ſiccandumque propter immoderatum tempeſtatis hujus temperamentum autumat. Quod ſi commoderatum ſicut veris eſſet, victus modum quoque commoderatum fieri juſſiſſet. Commoderate namque diſpoſita conſervare convenit; quae immoderate, commutare. Sed mutatio haud aliter quam ex contrariis ametriis fieri poteſt. Nam quod corpus immoderatius vel calefactum eſt vel incaleſcit, refrigerari deſiderat; quod vero refrigeratum eſt aut refrigeratur, calefieri. Eadem ratione in humidi ſiccique ametria contrariis adhibitis morboſas exuperantias evertere oportet; contrariam immoderationem offerendo, a medio temperatoque tantum recedentem, quantum morboſa inde receſſit. Quocirca per hiemem frigidam humidamque temperamento quamplurimum quidem edere, quam pauciſſimum vero bibere conducit. Verum hoc quamplurimum non ceu ad facultatem, ſed tanquam ad alias anni tempeſtates refe-

τως δὲ καὶ πίνειν ὡς ἐλάχιστα πρὸς τὰς ἄλλας ὥρας ἀναφέροντα τὴν παραβολήν. ὁμοίως δὲ εἴρηται καὶ τὸ τὸν οἶνον ἀκρατέστατον εἶναι δεῖν ὡς πρὸς τὴν ἐν ταῖς ἄλλαις ὥραις κρᾶσιν αὐτοῦ. τῷ μέντοι πρὸς τὴν δύναμιν μέτρῳ καὶ τῷ πρὸς τὴν ἐνεστῶσαν ὠφέλειαν προσέχων τὸν νοῦν ἀεὶ τὸ σύμμετρον οἴνου τε καὶ σιτίου δώσεις, ὥσπερ γε καὶ ὕπνου καὶ γυμνασίων καὶ πάντων ἁπλῶς τῶν καλουμένων ὑπὸ τῶν ἰατρῶν ἐπιτηδευμάτων. ὅτι δ' οἶνος ὁ ἀκρατέστερος καὶ ὅτι τὰ ὀπτὰ κρέα θερμαίνει καὶ ξηραίνει, παραβαλλόμενα μάζῃ τε καὶ λαχάνοις, οὐδεὶς ἀγνοεῖ. παραπλησίως δὲ καὶ ὁ ἄρτος, εἰ παραβάλλοιτο μάζῃ, θερμαίνειν τε καὶ ξηραίνειν λεχθήσεται. ταῦτα οὖν ὡς παραδείγματα νομιστέον εἰρῆσθαι τἀνδρί. σὺ δὲ καὶ τῶν ὀσπρίων ἐπιλέξῃ τὰ θερμαίνοντα καὶ ξηραίνοντα, καθάπερ τὴν φακήν. ἀλλὰ καὶ τῶν λαχάνων, ὅσα ταύτην ἔχει τὴν δύναμιν, ὥσπερ ἡ κράμβη. καὶ τῶν κρεῶν ὡσαύτως, οἷα τὰ τῶν ἀγρίων ζώων ἐστὶ καὶ τὰ ταριχευθέντα. ταῦτα δὲ λέλεκται κἀμοὶ

rendum. Sic quam parcissime bibere relata ad alia tempora comparatione protulit. Similiter vero dictum est vinum meracissimum esse oportere, puta ipsius temperamenti collatione ad alias anni partes facta. Attamen si huic modo ad facultatem praesensque commodum relato animum adhibueris, vinum semper ac cibum commoderatum dabis; quemadmodum somnum, gymnasia, absolute omnia quae a medicis exercitia vocantur, moderata concedes. At quod vinum meracius ac carnes assae calefaciant siccentque, si cum maza et oleribus conferas, nemo est qui ignoret. Pari modo panem, si mazae comparetur, calefacere dices et exiccare. Haec itaque omnia tanquam exempla ab auctore dicta putandum est. Tu vero legumina deliges quae calefaciunt et exiccant, ut lenticulam. Quin et olerum quaedam hac virtute praedita, uti brassicam. Ad haec carnes cujusmodi sunt animantium agrestium et sale conditae. Sed haec omnia ego etiam exempli gratia produxi. Caeterum universa alimentorum materia

πάντα παραδείγματος ἕνεκεν. ἡ δὲ σύμπασα κατὰ μέρος ὕλη τῶν τροφῶν ἐν τρισὶν ὑπομνήμασι σύγκειται, τήνδε ἐπιγραφὴν ἔχουσα, περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων. ὥσπερ οὖν ταῦτα καλῶς εἴρηται περὶ τῆς κατὰ τὰς ποιότητας αἱρέσεώς τε καὶ φυγῆς σιτίων, οὕτω καὶ τὰ περὶ τῆς τῶν σιτίων ποσότητος. ἐσθίειν γὰρ ὡς πρὸς τὰς ἄλλας ὥρας πλεῖστα συγχωρητέον ἐν χειμῶνι, μεμαθηκότας ἐν ἀφορισμοῖς ὀρθῶς εἰρῆσθαι. θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥήϊστα, ἦρος δεύτερον. εἰ δὲ καὶ διὰ τί γίνεται ταῦτα μαθεῖν ἐθέλοι τις, ἐδίδαξε καὶ τοῦτο κατὰ τοὺς ἀφορισμοὺς εἰπών. αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει, διότι τὸ περιέχον ψυχρὸν ὄν, ἐναποστέγει στεγανοῦν καὶ κατακλείει τὸ ἔμφυτον θερμὸν ἐν τῷ βάθει τοῦ σώματος. ἐν δὲ τῷ θέρει διαφορεῖται μὲν τοῦτο διὰ τῆς διαπνοῆς. διὰ τῆς ἀναπνοῆς δὲ ἕλκεται τὸ περιέχον θερμόν. ὀνομάζω δὲ ἀναπνοὴν μὲν τὴν διὰ τοῦ στόματος ἔξω τε καὶ εἴσω φορὰν τοῦ πνεύματος, διαπνοὴν δὲ τὴν δι' ὅλου τοῦ σώματος ὁμοίως γιγνομένην.

---

tribus noftris commentariis figillatim tractata eft, hunc titulum continentibus: de alimentorum facultatibus. Quae ut pulchre de cibis deligendis ac vitandis fecundum qualitates prodita, fic de ciborum quantitate nihil hic praetermiffum eft. Edere namque plurimum, ut ad alias anni partes, per hiemem concedendum; haud ignaris probe in aphorismis effe dictum: *aeftate et autumno cibos difficillime ferunt, per hiemem facillime, mox vere.* Quod fi quis jam condifcere cupiat quare haec fiant, docuit et hoc Hippocrates in aphorismis quum dicit: *ventres hieme et vere natura calidiffimi*, quoniam aër nos ambiens frigidus conftringendo cutem infitum calorem exire prohibet et in alto corpore concludit; qui aeftate perfpiratu evaporat; refpiratione vero circumftans calidus aër attrahitur. Nominamus autem refpirationem foras ac intro fpiritus per os tralationem; perfpirationem vero, quae per totum ex aequo corpus accidit.

γ.

Ὁκόταν δὲ τὸ ἔαρ ἐπιλαμβάνῃ, τό τε πόμα χρὴ πλέον πίνειν οἶνον καὶ ὑδαρέστερον καὶ κατ᾽ ὀλίγον καὶ τοῖσι σιτίοισι μαλθακωτέροισι χρέεσθαι καὶ ἐλάσσοσι· καὶ τὸν ἄρτον ἀφαιρέοντα μᾶζαν προστιθέναι· καὶ τὰ ὄψα κατὰ τὸν αὐτὸν λόγον ἀφαιρέειν, ἔκ τε τῶν ὀπτῶν πάντα ἑφθὰ ποιέεσθαι καὶ λαχάνοισιν ἤδη χρέεσθαι τοῦ ἦρος ὀλίγοισιν, ἕως ἐς τὴν θερίην καταστήσεται ὁ ἄνθρωπος. τοῖσί τε σιτίοισι πᾶσι μαλακωτέροισι χρεόμενος καὶ [223] *τοῖσιν ὄψοισιν ἑφθοῖσι καὶ λαχάνοισιν ὠμοῖσι καὶ ἑφθοῖσι, ὡσαύτως καὶ τοῖσι πόμασιν ὡς ὑδαρεστάτοισι καὶ πλείστοισι, καὶ ὅκως μὴ μεγάλη ἡ μεταβολὴ ἔσται κατὰ μικρὸν, μὴ ἐξαπίνης χρεομένῳ.*

Πλεῖον εἶπε καὶ ὑδαρέστερον, οὐ πλεῖστον οὐδὲ ὑδαρέστατον ἐν τῷ ἦρι τὸ πόμα προσφέρεσθαι. τὸ γὰρ πλεῖστον καὶ ὑδαρέστατον ἐν τῷ θέρει κελεύει πίνειν, ὡς ἐναντίαν ἔχοντι τὴν κρᾶσιν ἧς ὁ χειμὼν ἔχει. τὸ δὲ ἔαρ, ὥσπερ ἐν τῷ μεταξὺ τῶν ἄκρων ἔχει τὴν κρᾶσιν, οὕτω καὶ

III.

At quum ver accedit, tunc copiosius et dilutius paulatimque vinum bibendum est, cibisque mollioribus et paucioribus utendum, panis subtrahendus et maza offerenda; eademque ratione obsonia detrahenda et pro assis elixa omnia paranda. Oleribus etiam paucis vere utendum, donec ad aestatem homo deveniat; tum molliores omnes cibos tum obsonia cocta sumendo et olera cocta et cruda; similiterque potus plurimos et quam dilutissimos, idque sensim, ut ne magna mutatio derepente utenti contingat.

Vere, inquit, copiosius et dilutius bibendum est; non plurimum, neque dilutissimum. Nam plurimum ac dilutissimum aestate bibere praecipit, ut quae contrarium hiemi temperamentum obtinet. Ver autem ut in summorum medio temperamentum habet, ita quoque mediam

τῆς διαίτης μέσης δεῖται, ψυχροτέρας μὲν καὶ ὑγροτέρας, ὡς πρὸς τὸν χειμῶνα, θερμοτέρας δὲ καὶ ξηροτέρας, ὡς πρὸς τὸ θέρος. ἐκ τούτων οὖν δῆλόν ἐστιν ὅπως ἀκούειν χρὴ τῆς κατὰ τὸ θέρος καὶ φθινόπωρον εἰρημένης ὑπ' αὐτοῦ διαίτης· ὥστ' ἐμοὶ μὲν ὑπερβαίνειν αὐτὸ προσήκει, τοῖς δ' ἀναγινώσκουσι πολλάκις ἐπιμελῶς τε προσέχουσι τὸν νοῦν εἴρηται πάντα σαφῶς, ὡς μηδεμιᾶς ἐξηγήσεως δεῖσθαι περὶ τὰς ἄχρι δεῦρο λελεγμένας.

δ.

Τοῦ δὲ θέρεος τῇ τε μάζῃ μαλακῇ τρέφεσθαι καὶ τῷ ποτῷ ὑδαρεῖ καὶ πολλῷ καὶ τοῖσιν ὄψοισι πᾶσιν ἑφθοῖσι, καὶ οὕτω δεῖ χρέεσθαι τουτέοισιν ὁκόταν τὸ θέρος ᾖ, ὅκως ψυχρὸν εἴη τὸ σῶμα καὶ μαλακόν. καὶ γὰρ ἡ ὥρη θερμή τε καὶ ξηρὴ καὶ ποιέει τὰ σώματα καυματώδεα καὶ αὐχμηρά. δεῖ οὖν τοῖσιν ἐπιτηδεύμασιν τουτέοισιν ἀλέξασθαι, κατὰ δὲ τὸν αὐτὸν λόγον, ὥσπερ ἐκ τοῦ χειμῶνος εἰς τὸ ἦρ, οὕτω καὶ ἐκ τοῦ ἦρος εἰς τὸ θέρος καταστῆ-

victus rationem requirit; frigidiorem ſane et humidiorem ut ad hiemem, calidiorem et ſicciorem tanquam ad aeſtatem. Ex his igitur liquet quomodo aeſtatis et autumni victus ab eo praeſcriptus inaudiri debeat. Quare id mihi praeterire viſum eſt. Illis qui ſaepius commentarium relegunt mentemque diligenter adhibent, omnia manifeſto dicta comperio, ut nullam hactenus deducta ſeries interpretationem deſideret.

IV.

Aeſtate autem tum molli maza, tum potu copioſo et diluto obſoniisque omnibus elixis nutriri oportet, iisque ita utendum dum aeſtas fuerit, quo corpus molle ſit et frigidum. Siquidem haec tempeſtas calida eſt et ſicca, et corpora aeſtuoſa et ſqualida reddit. Hac igitur inſtituta victus ratione iis ſuccurrendum eſt. Eadem vero ratione quemadmodum ex hieme ad ver, ſic etiam ex vere ad aeſtatem deveniendum, cibos quidem demendo,

σαι, τῶν μὲν σιτίων ἀφαιρέων, τῷ δὲ ποτῷ προστιθεὶς καὶ οὕτως τὰ ἐνιαύσια ποιέοντα καταστῆσαι ἐκ τοῦ θέρεος εἰς τὸν χειμῶνα. ἐν δὲ τῷ φθινοπώρῳ πάλιν τὰ μὲν σιτία πλείω ποιεόμενον καὶ ξηρότερα καὶ τὰ ὄψα κατὰ τὸν αὐτὸν λόγον, τὰ δὲ ποτὰ ἐλάσσω τε καὶ ἀκρητέστερα, ὅκως ὅ τε χειμὼν ἀγαθὸς ἔσται καὶ ὁ ἄνθρωπος διαχρήσεται τοῖσί τε πόμασιν ἀκρητεστέροισι καὶ ὀλίγοισι καὶ τοῖσι σιτίοισιν ὡς πλείστοισί τε καὶ ξηροτάτοισιν, οὕτω γὰρ ἂν καὶ ὑγιαίνοι μάλιστα καὶ ῥιγῴη ἥκιστα. ἡ γὰρ ὥρη λίαν ψυχρή τε καὶ ὑγρή.

Τὰ παρόντα διὰ ταῦτα τεμάχια οὔτε τινὸς ἐξηγητοῦ δέονται, πᾶσι δῆλα τοῦ Πολύβου ποιήσαντος, οὔτε τινὰ μέθοδον ἀκραιφνῆ ζητοῦντος, ἀλλὰ καθὰ κεῖται, αὐτὰ καὶ μόνα δῆλα καθεστήκασι.

ε'.

(31) Τοῖσι δὲ εἴδεσι τοῖσι σαρκώδεσι καὶ πλείω μαλακοῖσι καὶ ἐρυθροῖσι ξυμφέρει δὴ τὸν πλείονα χρόνον τοῦ ἐνιαυ-

potum vero augendo, ad eumque modum contraria adhibendo, ex aestate ad hiemem perveniendum. In autumno contra cibi quidem majore copia et ficciores exhibendi et obsonia ad eundem modum; potus etiam pauciores et meraciores, ut homo commodum degat hiemem et potibus utatur meracioribus et paucis cibisque quamplurimis et siccissimis. Ita enim cum vel maxime valebit, tum minime frigus sentiet, quum haec anni tempestas admodum sit frigida et humida.

Praesens institutio clara est, nec interprete opus habet, quum Polybus manifesta omnibus reddiderit, neque obscurae cujusdam methodi investigatore. Verum ut verba jacent, ita quoque per se satis innotescunt.

V.

Corporibus vero carnosis, mollioribus, rubris confert sane

τοῦ ξηροτέροισι διαιτήμασι χρέεσθαι, ὑγρὴ γὰρ ἡ φύσις τῶν εἰδέων τουτέων.

---

[224] Ὥσπερ αἱ διαφοραὶ τῶν ὡρῶν ἐνδείκνυνται διάφορον δίαιταν, οὕτω καὶ τοῦ σώματος αἱ ἕξεις, ἐφ' ἃς νῦν ἧκε συντελέσας τὸν περὶ τῶν ὡρῶν λόγον. ὥσπερ δὲ ἐν ταῖς ὥραις ἐνεδείκνυτο τὴν προσήκουσαν δίαιταν, οὕτω κἀν ταῖς τοῦ σώματος ἰδέαις. οἱ μὲν γὰρ σαρκώδεις καὶ μαλακοὶ καὶ ἐρυθροὶ διὰ τὴν τῆς κράσεως ὑγρότητα τοιοῦτοι γεγόνασιν. οἱ δὲ ἐναντίως αὐτοῖς διακείμενοι, περὶ ὧν ἐφεξῆς ἐρεῖ, διὰ τὴν ξηρότητα. προσήκει τοιγαροῦν τοὺς μὲν ὑγροὺς ξηροτέρᾳ χρῆσθαι διαίτῃ, τοὺς δὲ ξηροὺς ὑγροτέρᾳ. καὶ εἴπερ ταῦτα ἀληθῶς εἴρηται, πρόδηλον ὅτι καὶ τοὺς εὐκράτους εὐκράτῳ χρῆσθαι προσήκει τῇ διαίτῃ. λέγω δὲ εὐκράτους οὓς οὔτε σαρκώδεις οὔτε ἀσάρκους, ἀλλ' εὐσάρκους ὀνομάζουσι.

στ'.

Τοὺς δὲ στρυφνοὺς καὶ προσεσταλμένους καὶ πυῤῥοὺς καὶ

majorem anni partem ficciore victus ratione uti, humida namque eorum corporum natura eft.

Quemadmodum tempeftatum differentiae diverfam victus rationem oftendunt, fic etiam corporum habitus, ad quorum enarrationem defcendit, fermone de anni temporibus abfoluto. Sed ut in anni tempeftatibus convenientem vivendi modum, ita in corporum fpeciebus oftendit. Etenim carnofi, molles, rubicundi ex temperamenti humiditate tales evaferunt. Oppofiti vero his affecti, de quibus mox dicturus eft, ob ficcitatem. Convenit igitur humidos ficciore diaeta uti; ficcos, humidiore. Atque fi haec vera pronunciata funt, nimirum temperati, victu temperato utentur. Voco autem temperatos neque obefos neque graciles, fed quadratos, bene carnofos appellant.

VI.

Duros vero, graciles, fulvos et nigros humidiore victu

μέλανας τῇ ὑγροτέρῃ διαίτῃ χρὴ τὸν πλείω διαιτᾶσθαι χρόνον, τὰ γὰρ σώματα τοιαῦτα ὑπάρχει ξηρὰ ἐόντα.

Τὰ τῶν κράσεων γνωρίσματα γέγραπταί μοι τελέως ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν, ἐν οἷς ὅτι μὲν οἱ στρυφνοί, τουτέστιν οἱ σκληροί, καὶ οἱ προσεσταλμένοι, τουτέστιν οἱ ἰσχνοί, ξηροτέρας εἰσὶ κράσεως, ὡς ἐδιδάξαμεν, ὥσπερ γε καὶ οἱ μέλανες. οὐ μὴν γε τούς γε πυῤῥοὺς εἶναι ἔφαμεν ξηροὺς τὴν κρᾶσιν, ἀλλὰ τοὺς πλησιάζοντας αὐτοῖς κατὰ τὴν χροιὰν, οὓς ξανθοὺς ὀνομάζουσιν, ἐπεί γε καὶ ξανθὴ χολὴ τὴν κρᾶσιν ξηρά ἐστι. χρώμενοι δὲ ἐνίοτε τοῖς ὀνόμασιν οὐκ ἀκριβῶς ἔνιοι τῶν βιβλία γραψάντων τὴν τῶν πραγμάτων διδασκαλίαν ταράσσουσιν. οὕτως γοῦν τινες ὀνομάζουσι τοὺς Γερμανοὺς ξανθοὺς, καίτοι γε οὐκ ὄντας ξανθοὺς, ἐὰν ἀκριβῶς τις ἐθέλῃ καλεῖν, ἀλλὰ πυῤῥούς. τὰ δ' ἄλλα τῆς προκειμένης ῥήσεως ἀληθῶς τε ἅμα καὶ σαφῶς εἴρηται.

ζ.

Καὶ τοῖσι νέοισι τῶν σωμάτων ξυμφέρει μαλακωτέροισί

diuturniori tempore uti oportet. Nam hujusmodi corpora ſicca ſunt.

Temperamentorum notas perfecte in commentariis de temperaturis ſcripſimus, ubi rigidos, hoc eſt duros, contractos, id eſt graciles, ſiccioris eſſe temperamenti, ſicut nigros quoque docuimus. At rufos non temperamento ſiccos, ſed his colore vicinos, quos flavos nominant, eſſe diximus; quoniam et flava bilis temperamento ſicca eſt. Verum librorum ſcriptores nonnulli interdum vocabulis haud accurate utentes rerum diſciplinam confundunt. Sic enim nonnulli Germanos vocant flavos, etſi tales non ſint, ſi velit aliquis accurate nuncupare, ſed rufi. Reliqua in ſermone praecedenti vere ſimulque manifeſte dicta ſunt.

VII.

Junioribus corporibus confert tum molliori tum humidiori

τε καὶ ὑγροτέροισι χρέεσθαι τοῖσι διαιτήμασιν· ἡ γὰρ ἡλικίη ξηρὴ καὶ τὰ σώματα πέπηγε. τοὺς δὲ πρεσβυτέρους τῷ ξηροτέρῳ χρὴ τρόπῳ τὸ πλεῖον τοῦ χρόνου διάγειν. τὰ γὰρ σώματα ἐν ταύτῃ τῇ ἡλικίῃ ὑγρὰ καὶ μαλθακὰ καὶ ψυχρά.

Ἐπὶ τὰς ἡλικίας μεταβὰς ἐλλιπῆ τὸν διορισμὸν ἐποιήσατο, μὴ τεμὼν εἰς τέσσαρας διαφορὰς αὐτὰς, ἀλλ' εἰς δύο μόνας. ἐχρῆν δ' εἴπερ ἀπὸ τῶν κατὰ τὰς ἡλικίας κράσεων ἔνδειξιν ἔμελλε λήψεσθαι τοῦ τρόπου τῆς διαίτης, ὥσπερ αἱ κράσεις τέτταρές εἰσιν, οὕτω καὶ τὰς ἡλικίας εἰς τέτταρα τεμεῖν, ὑγρὰν μὲν καὶ θερμὴν τὴν τῶν παίδων εἰπόντα, ξηρὰν δὲ καὶ θερμὴν τὴν τῶν ἀκμαζόντων, καὶ ξηρὰν μὲν καὶ ψυχρὰν τὴν τῶν παρακμαζόντων, ὑγρὰν δὲ καὶ ψυχρὰν τὴν τῶν γερόντων. [225] ἀλλὰ τὴν μὲν τῶν παίδων ὑγρὰν εἶναι προσήκει, μὴ δυναμένης γε τῆς αὐξήσεως ἐν ἑτέρᾳ κράσει γενέσθαι. τὴν δὲ τῶν ἀκμαζόντων, ἐπειδὴ παρὰ τὸ προσῆκόν τέ ἐστι θερμοτέρα καὶ ξηροτέρα, συμφέρει χρῆσθαι τοῖς ἐναντίοις διαιτήμασι, καθάπερ γε καὶ τὴν τῶν

victu uti; haec enim aestas sicca est et eorum corpora induruerunt. Senes vero ficciore victus modo plurimam temporis partem degere oportet; nam ea aetate humida, mollia et frigida sunt corpora.

Ad aetates digressus imperfectam divisionem fecit, qui eas in quatuor, sed duas tantum differentias non secuerit. Nam si victus modi indicationem ab aetatum temperamentis accepturus erat, certe conveniebat, ut quatuor sunt temperamenta, sic aetates quoque in quatuor partes secare, ac humidam et calidam statuere puerorum, siccam et calidam florentium, siccam et frigidam declinantium, humidam et frigidam senum. At puerorum quidem humidam esse aetatem convenit, quod in alio temperamento corporum incrementum fieri nequeat. Florenti vero, quoniam praeter modum calidior et siccior est, contrario confert uti victu, quemadmodum et vigore decrescentibus.

παρακμαζόντων. ἐπὶ δὲ τῆς τῶν γερόντων ἡλικίας οὐ σμικρόν ἐστι ζήτημα σχεδὸν ἅπασιν ἠμελημένον, ὑπὲρ οὗ μικρὸν ὕστερον ἐρῶ, τὸν περὶ τῶν ἔμπροσθεν ἡλικιῶν συντελέσας λόγον. εἰ γὰρ ὡμολόγηται τὰ παιδία πλέον μὲν ἔχειν ὑγρότητος ἢ συμφέρει τοῖς ἀβλαβῶς ὑγιαίνουσι, πλέον δὲ θερμότητος (οὐ γὰρ ἁπλῶς ἐστι θερμὰ καθάπερ οἱ ἀκμάζοντες, ἀλλὰ κατὰ τὴν ἔμφυτον θερμασίαν, ἥτις εὔκρατός ἐστιν, ἐν αἵματι χρηστῷ τὴν ὕπαρξιν ἔχουσα) τὸ μεταξὺ τῶν παίδων τε καὶ τῶν ἀκμαζόντων, ὅπερ ἐστὶν ἐφήβων τε καὶ μειρακίων, εἴη ἂν ἐν τῇ ἀρίστῃ κράσει. τῆς δ' ἀρίστης μέσης οὔσης καὶ τὰ διαιτήματα μέσα τῇ κράσει προσήκει ποιεῖσθαι, μήθ' ὑγρότερον ἐργαζομένους μήτε ξηρότερον, ἢ θερμότερον, ἢ ψυχρότερον αὐτῶν τὸ σῶμα. τὸ μέντοι τῶν παιδίων, εἰ καὶ πλεῖον, ὡς πρὸς ὑγιεινὴν ἕξιν ἔχοι τὸ ὑγρὸν, ὅμως οὐ χρὴ ξηραίνειν· ἀναυξῆ γὰρ αὐτὰ ποιήσομεν. ἐπὶ δὲ τῶν γερόντων, ἐπειδή τινες μὲν αὐτοὺς ὑγροὺς εἶναι λέγουσι, τινὲς δὲ ξηροὺς, ἀδιορίστως ἑκάτεροι, διοριστέον ἡμῖν ἐστι κατὰ τί μὲν αὐτοὺς ὄντας ξηροὺς, κατὰ τί δὲ ὑγρούς.

At de ſenum aetate non mediocris quaeſtio eſt, ab omnibus propemodum neglecta, de qua poſt paululum dicturi ſumus, ubi ſermonem de prioribus aetatibus abſolverimus. Nam ſi in confeſſo eſt pueros plus humiditatis habere quam integre ſanis conferat; plus item caloris, haud enim ſimpliciter calidi sunt ut juvenes, ſed innato calore, qui temperatus eſt, in probo ſanguine conſiſtens, media inter pueros et juvenes, quae eſt puberum et adoleſcentium *aetas*, in optimo nimirum temperamento conſiſtet. Quum autem optimum medium eſt, etiam victum temperamento medium adhibere convenit, qui nec humidius, nec ſiccius, vel calidius, vel frigidius ipſorum corpus efficiat. Puerorum ſane *corpus* etſi humidius quam ſalubris habitus poſtulat, non tamen exiccandum. Hoc enim modo ne ipſa creſcerent prohiberemus. Verum de senibus, quoniam nonnulli ipſos humidos, aliqui ſiccos, utrique indefinite dixerunt, diſtinguendum nobis venit quatenus ſint ſicci, quatenus humidi. Oſtenſum id eſt in opere de

ἐδείχθη δὲ τοῦτο ἐν τοῖς περὶ κράσεων. αὐτοῖς μὲν γὰρ τοῖς στερεοῖς τοῦ σώματος μορίοις ἐδείχθησαν ὄντες ξηροί. περιττώματα δ' ἔχοντες διὰ τὴν ψυχρότητα τῆς κράσεως πολλὰ καὶ δι' αὐτὰ ὑγροὶ λεγόμενοι. κατὰ λόγον οὖν ἔνδειξις ἐναντία τε καὶ διττὴ γίνεται τοῖς ἰατροῖς ἀπὸ τῆς ἡλικίας ταύτης, διὰ μὲν τὴν ξηρότητα τῆς τῶν στερεῶν κράσεως ὑγραίνεσθαι δεομένων αὐτῶν, διὰ δὲ τὴν περιουσίαν τῶν ὑγρῶν ξηραίνεσθαι. πῶς μὲν οὖν ἀμφοτέρων ἄν τις στοχάζοιτο τελέως εἴρηται κατὰ τὴν ὑγιεινὴν πραγματείαν. ἐν δὲ τῷ παρόντι λόγῳ τὸ κεφάλαιον ὧν ἐν ἐκείνῃ γεγράφαμεν εἰπεῖν ἀρκέσει. τὰ μὲν σιτία καὶ ποτὰ καὶ τἄλλα πάντα σκοπὸν ἐθέτω τό θ' ὑγρὸν καὶ τὸ θερμὸν, ὡς δέον ὑγραίνειν τε καὶ θερμαίνειν τῶν γερόντων τὰ στερεὰ μόρια τοῦ σώματος, ἅπερ καὶ μόνα κυρίως ὀνομαζόντων ἐστὶ μόρια. προνοητέον δὲ πάλιν ἐπὶ τῆς τῶν φλεγματωδῶν περιττωμάτων κενώσεως. εἴπερ οὖν ἐκ μὲν τῆς περὶ κράσεων πραγματείας ἀναλέξαις τε καὶ μάθοις ἐπιστημονικῶς ψυχρὰν καὶ ξηρὰν εἶναι τὴν οἰκείαν τῶν γερόντων κρᾶσιν, ἐπίκτη-

temperamentis. Ipsis enim solidis corporis partibus siccos esse declaravimus. Quia vero multis ob temperamenti frigiditatem excrementis abundant, humidi nominantur. Ratio igitur est contrariam ac duplicem ab hac aetate indicationem medicis fieri, tum propter temperamenti partium solidarum, quae humectari cupiunt, siccitatem; tum ob humidorum superfluitatem, quae exiccari postulant. Proinde quae utraque quonam modo observes, absolute traditum est in opere de tuenda valetudine. In praesenti vero oratione satis fuerit summam eorum quae isthic descripsimus, paucis indicare. Cibi quidem et potus aliaque universa scopum habeant humectandi et calefaciendi, quantum scilicet humectare et calefacere senum corporis solidas partes decet, quae solae etiam proprie nominantibus partes existunt. Rursus autem de pituitosiorum excrementorum evacuatione prius considerandum est. Proinde si ex opere de temperamentis repetas, discasque artificio ac sci-

τον δὲ ἴσχειν αὐτοὺς ὑγρότητα, διὰ τὴν τῶν φλεγματωδῶν περιττωμάτων γένεσιν, ἐλθὼν δὲ ἀπ' ἐκείνων ἐπὶ τὰ τῶν ὑγιεινῶν ὑπομνήματα προσεπιμάθοις ὅπως χρὴ διαιτᾶν τοὺς γέροντας, εὔδηλον ἔσται σοι τὸ τῆς νῦν προκειμένης ῥήσεως ἀδιόριστον. οὔτε γὰρ εἰς δύο ἐχρῆν διαιρεῖσθαι τὸν ἀνθρώπινον βίον οὔτε ἐπὶ τῶν γερόντων ὑγρὰ καὶ μαλακὰ σώματα εἰρῆσθαι, οὔθ' ὅτι ξηροῖς τὴν κρᾶσιν ἐδέσμασι διαιτητέον αὐτούς. τοὺς μέντοι νέους πεπηγότα φήσας ἔχειν τὰ σώματα καὶ τὴν κρᾶσιν εἶναι ξηροὺς εὔδηλός ἐστιν ἐπὶ τῶν ἀκμαζόντων μόνων τὸν λόγον πεποιημένος καὶ τούτους ὀνομάσας νέους. παρέλιπεν οὖν τήν τε τῶν παίδων ἡλικίαν καὶ τὴν τῶν παρακμαζόντων, ὡς δὲ ἐγώ φημι καὶ τὴν εὐκρατοτάτην γε, ἥτις ἐστὶν ἐν τῷ μεταξὺ τῶν παιδίων τε καὶ τῶν ἀκμαζόντων. εὔδηλος δ' ἐστὶ καὶ αὐτὸς ὑποπτεύων τὸν ἑαυτοῦ λόγον. οὐ γὰρ ἁπλῶς εἶπε τοὺς πρεσβυτέρους τῷ ξηροτέρῳ χρὴ τρόπῳ διαιτᾶν, ἀλλὰ προσέθηκε, τὸ πλέον (32) τοῦ χρόνου. τοῦτο δὲ ταὐτόν ἐστι τῷ φά-

entia peculiare ſenum temperamentum frigidum eſſe et ſiccum, humiditatem vero aſcititiam propter pituitae recrementorum generationem ipſos habere: digreſſus etiam inde ad ſanitatis tuendae libros una condiſcas quis diaetae modus ſenibus ſit praeſcribendus; luculenter intelliges quod nihil in praeſcripta serie deſinitum diſtinctumque ſit. Neque enim biſariam hominum vita dividenda erat; neque ſenum corpora mollia et humida dicere oportebat; neque quod ſiccis ipſos temperamento alimentis uti conveniret. Quum enim juvenes dixit compacta corpora habere et temperamento eſſe ſiccos, ſatis conſtat de florentibus ſolum verba feciſſe et hos nominaſſe juvenes. Omiſit ergo et puerorum aetatem et declinantium, utque ego arbitror et temperatiſſimam, quae inter pueros et florentes media conſiſtit. Atqui obſcurum non eſt, vel ipſummet orationem ſuam ſuſpectam habere. Non enim ſimpliciter ait ſeniores victu ſicciore alendos, sed adjecit, magna ex parte. Idem namque id erat ac ſi dixiſſet, non

ναι μὴ διὰ παντὸς, ὅπερ οὔτε τῇ ἕξει τοῦ σώματος οὔτε τῇ ἡλικίᾳ προσέθηκεν ἑτέρᾳ, διὰ παντὸς γὰρ χρὴ τὴν οἰκείαν ἑκάστῳ σώματι δίαιταν αἱρεῖσθαι.

η'.

[226] Δεῖ οὖν πρὸς τὴν ἡλικίην καὶ τὴν ὥρην καὶ τὸ ἔθος καὶ τὴν χώρην καὶ τὰ εἴδεα τὰ διαιτήματα ποιέεσθαι ἐναντιεύμενον τοῖσι καθισταμένοισι καὶ θάλπεσι καὶ χειμῶσιν. οὕτως γὰρ ἂν μάλιστα ὑγιαίνοιεν.

Καθόλου ὁ λόγος οὗτος εἴρηται πρὸς αὐτοῦ καὶ σαφῶς καὶ ἀληθῶς ἤδη πολλάκις ἐν πολλοῖς ἡμῖν διηνυσμένος.

θ'.

Καὶ ὁδοιπορέειν τοῦ μὲν χειμῶνος ταχέως χρὴ, τοῦ δὲ θέρεος ἡσυχῇ ἔχειν, ἢν μὴ διὰ καύματος ὁδοιπορέῃ.

perpetuo; quod certe neque habitui corporis, neque aetati alteri appofuit; quoniam fuam cuique corpori diaetam femper oportet inftituere.

VIII.

Quare pro aetate, tempeftate, confuetudine, regione, loco, corporum habitu victus ratio inftituenda eft, reluctandumque conftitutionibus, aeftatibus et brumis; ita namque optima valetudo confequetur.

Totus hic fermo et vere et clare ab eo dictus eft, jam faepe in pluribus commentariis nobis abfolutus.

IX.

Ac hieme quidem celeriter incedendum aeftate vero conquiefcendum eft, nifi per folis ardorem iter fit faciendum.

Πῶς ὁδοιπορεῖν χρὴ διδάσκει καθ' ἑκάστην τῶν ὡρῶν. τοῦ μὲν χειμῶνος αἱρούμενον τὸν ξηραίνοντά τε καὶ θερμαίνοντα περίπατον, τοῦ θέρους δὲ τὸν ἐναντίον σκοπὸν ποιεῖν, ἢ μὴ δι' ἡλίου, φησὶν, ὁδοιπορεῖν. τηνικαῦτα γὰρ ἐπείγεσθαι χρὴ θᾶττον ἀπαλλαγῆναι τῆς γιγνομένης κατὰ τὴν τοιαύτην ὁδοιπορίαν ξηρότητός τε καὶ θερμότητος ἐν τῷ σώματι.

ι'.

Δεῖ δὲ καὶ τοὺς μὲν σαρκώδεας θᾶττον ὁδοιπορέειν, τοὺς δὲ ἰσχνοὺς ἡσυχέστερον. λουτροῖσι δὲ χρὴ πολλοῖσι χρέεσθαι τοῦ θέρεος, τοῦ δὲ χειμῶνος ἐλάσσοσι. χρὴ δὲ τοὺς στρυφνοὺς μᾶλλον λούεσθαι τῶν σαρκωδέων.

Ἡ ταχεῖα κίνησις τὴν θερμασίαν ἐπὶ πλεῖον αὐξάνουσα τήκει τὸ σῶμα. κατὰ δὲ τὰς βραχείας κινήσεις ἡ σύμμετρος θερμασία καὶ τὴν αἱμάτωσιν καὶ τὴν θρέψιν ἐργάζεται βελτίονα καὶ διὰ τοῦτο συναίρεται τοῖς ζώοις εἰς εὐτροφίαν.

Quomodo incedendum ſit in quaque anni parte docet. Hieme quidem exiccans calefaciensque ambulatio deligenda; aeſtate contrarius ſcopus convenit, niſi per ſolem, ait, iter faciendum. Tunc enim iter maturandum, ociusque eam quae per hunc inceſſum oboritur. Siccitatem et calorem vitare oportet.

X.

Corpulentos autem celerius, graciles vero lenius iter facere convenit. Balneis etiam multis per aeſtatem, at per hiemem paucis utendum. Duris vero magis quam carnoſis.

Celer motus calorem plus ſatis inaugens corpus colliquat. Ex lento calor mediocris tum ſanguinem felicius generat, tum nutrit plenius; eoque animantibus in probam alimoniam ſimul vertitur.

ια'.

Ἠμφιέσθαι δὲ χρὴ τοῦ μὲν χειμῶνος καθαρὰ ἱμάτια, τοῦ δὲ θέρεος ἐλαιοπινέα.

Τί μὲν συνετώτερον ἐπενόησεν ὁ γράψας τοῦ τοῖς ἐξηγηταῖς εἰρημένου πᾶσιν αὐτὸς ἂν εἰδείη. εἰ δὲ τὰ μὲν καθαρὰ διὰ τὸ μᾶλλον θερμαίνειν ἢ καὶ τὸ τὰς διαπνοὰς μὴ κωλύειν ἀξιοῖ τοῦ χειμῶνος ἀμφιέννυσθαι, τὰ δὲ ἐλαιοπινῆ τοῦ θέρους ἢ διὰ τὸ ψύχειν ἢ τὰς διαπνοὰς ἀποφράττειν, οὐκ ἐπαινῶ τὸν λόγον. καὶ γὰρ τῶν καθαρῶν ἱματίων ὅσα πυκνὴν ἔχει τὴν ὑφὴν, καὶ μάλιστα δὲ ἂν ᾖ τριβακὰ, ψύχει, τούτων οὖν ἄμεινον χρῆσθαι. τὰ γὰρ ἐλαιοπινῆ ῥυπαρὰ πάντως ἐστίν. οὐδεὶς δὲ τῶν καθαρείων ἀνθρώπων ἀνέχεται ῥυπαρῶν ἱματίων καὶ μάλιστα θέρους. καὶ μέντοι θερμαίνει χρονίσαντα τὰ ἐλαιοπινῆ μᾶλλον τῶν καθαρῶν, εἰ καὶ κατὰ τὴν πρώτην πρόπτωσιν εἴη ψυχρότατα.

XI.

Et hieme quidem veſtes puras inducere convenit, aeſtate vero oleo imbutas.

Quid ſane ſcriptor doctius conſideravit eo quod ab omnibus dictum eſt interpretibus ipſe noverit. Nam ſi puras veſtes hieme cenſet geſtandas, quod magis calefaciant vel etiam perſpiratum non impediant, oleo autem inſectas per aeſtatem, aut quod refrigerent, aut quod perſpiratum obturent, ſermonem non probo. Etenim ex puris veſtimentis quae denſam ac frequentem filorum texturam habent, maxime vero ſi fuerint detrita velamina, refrigerant. His igitur uti commodius eſt. Quippe oleo infecta ſordida plane ſunt; nemo autem elegantiorum hominum ſordidas veſtes ſuſtinet, praeſertim aeſtate. Quin etiam infecta puris temporis ſpatio magis calefaciunt, licet primo occurſu fuerint frigidiſſima.

ιβ'.

Τοὺς δὲ παχέας χρὴ καὶ ὅσοι βούλονται λεπτοὶ γενέσθαι τὰς ταλαιπωρίας ἁπάσας νήστιας ἐόντας ποιέεσθαι καὶ τοῖσι σιτίοισιν ἐπιχειρέειν ἔτι ἀσθμαίνοντας καὶ μὴ ἀνεψυγμένους καὶ προπεπωκότας οἶνον κεκραμένον καὶ μὴ σφόδρα ψυχρόν. καὶ τὰ ὄψα σκευάζειν σησάμοισιν ἢ ἡδύσμασι καὶ τοῖσιν ἄλλοισι τοιουτοτρόποισι. καὶ πίονα δὲ ἔστω τὰ προσαγόμενα ὄψα, οὕτω γὰρ ἂν ἀπό γε ἐλαχίστων πεμμάτων ἐνεμπίπλανται.

Τὸ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως εἰρημένον, τὸ οὕτω γὰρ ἀπὸ ἐλαχίστων ἐνεμπίπλανται, τινὲς μὲν ἐπὶ πάντων τῶν προειρημένων εἰρῆσθαί φασι, τινὲς δὲ ἐπὶ τῶν ὄψων μόνον, ἃ διὰ σησάμων τε καὶ τῶν ὁμοίων σκευάζεσθαι κελεύει, καὶ ἄλλων τινῶν πολλῶν. τὰ προειρημένα δ' ἐστὶ τό τε νῆστιν γυμνάζεσθαι, κενοῖ γὰρ φανερῶς τοῦτο, καθάπερ πληροῖ τὸ μετὰ τροφήν. ἔτι τε πρὸς τούτοις τὸ ἀσθμαίνοντας ἀπὸ τῶν γυμνασίων ἐσθίειν, οὐδέπω τῆς ἐπ' αὐ-

XII.

Crassos autem oportet quique tenues fieri volunt eos labores omnes jejunos subire, et adhuc ex labore anhelantes necdum refrigeratos cibum assumere, unumque prius bibere dilutum ac non perfrigidum. Obsonia quoque ex sesamis aut condimentis aliisque id genus apparata assumere. Atque sint pinguia quae obsonia offeruntur: sic enim a paucissimis bellariis impleantur.

Quod in textus fine dictum est, puta, *sic enim paucissimis saturantur,* nonnulli de omnibus commemoratis dictum esse confirmant; quidam de solis obsoniis, quae ex sesamis et similibus aliisque multis quibusdam praeparari jubet. Praedicta sunt: *jejunum exerceri;* hoc enim manifesto vacuat, sicut a cibo *labor* implet. Huc accedit illud, adhuc ab exercitiis anhelantes cibum assumere, calore nondum in eis discusso, neque corpore refrigerato;

τοῖς θερμασίας διαπεφορημένης, οὐδὲ ἀνεψυγμένου τοῦ σώματος. ὅπερ ὅτι μὲν αἴτιον γίγνεται τοῦ ταχέως ἐμπιπλάσθαι σαφῶς φαίνεται· εἰ δὲ κατ' ἄλλον τινὰ λόγον ὁ τοῦ βιβλίου συγγραφεὺς βούλεται λεπτύνειν αὐτὸ, τοῦθ' ἡμῖν ἄδηλόν ἐστιν. ὅτι μέντοι πολλοῖς τοῦτο τῶν ἐν τοῖς σπλάγχνοις ἐμφράξεων αἴτιον ἐγένετο, καὶ μάλιστα τῶν κατὰ τὸ ἧπαρ, ἀκριβῶς οἶδα, καθάπερ γε καὶ τὰ μετὰ τροφὴν ὀξέα γυμνάσια. καὶ μέντοι καὶ τὰ λουτρὰ τοῖς στενὰς ἔχουσι, κατὰ τὸ ἧπαρ διεξόδους τῆς τροφῆς, ἐμφράξεις ἐργάζεται. λέλεκται δέ μοι περὶ τούτων ἅμα τοῖς οἰκείοις διορισμοῖς ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ. λοιπὸν δ' ἂν εἴη περὶ αὐτῆς τῆς λέξεως διασκέψασθαι, καθ' ἣν φησι καὶ προπεπωκότας οἶνον μὴ πάνυ ψυχρόν. ὡς γὰρ ψυχρὸν μὲν εἶναι κελεύων αὐτὸν, οὐ πάνυ δὲ ψυχρὸν, οὕτως ἐποιήσατο τὸν λόγον· οὐ πάνυ δὲ ὅλως ἀξιοῖ μετὰ τὰ γυμνάσια πίνειν οἶνον εὐθέως, ἀλλ' ὕδωρ πρότερον, ὥσπερ καὶ οἱ ἀθληταὶ ποιοῦσι ταυτὶ τῇ πείρᾳ δεδιδαγμένοι. κεφαλῆς τε γὰρ ἅπτεται οἶνος καὶ εἰ μετὰ τὸ βαλανεῖον εὐθέως πίνοιτο, πρότερος τῶν ἄλλων

quam caufam effe, quo quis celeriter impleatur manifefte apparet. Si vero alia quadam ratione hujus libri auctor corpus attenuare conatur, id nobis obfcurum eft. Quod tamen plerisque hoc obftructiones in visceribus ac maxime in hepate produxit, accurate novimus: quemadmodum et celeres a cibo exercitationes. Adde etiam quod balnea arctos in jecinore tranfitus alimenti habentibus obftructiones efficiunt. Dictum eft mihi de his omnibus fimul cum peculiaribus diftinctionibus in opere de fanitate tuenda. Reftat ut de ipfa verborum ferie difceptemus, ubi ait: *et vinum non perfrigidum prius bibere.* Ut enim frigidum effe jubet, non autem infigniter frigidum, ita fermonem deduxit. Atqui non prorfus copiofum vinum ab exercitiis ftatim bibendum cenfet, fed aquam prius; quemadmodum athletae faciunt, id experientia edocti. Caput enim vinum confcendit et fi poft balneum ftatim ante alios omnes cibos et potus bibatur. Non tamen frigidae potio ab exercitiis, nifi calidum praebibas, tuta eft.

ἁπάντων ἐδεσμάτων τε καὶ πομάτων. οὐ μὴν οὐδ' ἡ τοῦ ψυχροῦ πόσις ἐπὶ τοῖς γυμνασίοις ἄνευ τοῦ προπιεῖν θερμὸν ἀβλαβές ἐστι. βλάπτει γὰρ καὶ αὐτὴ σαφῶς τὴν γαστέρα τε καὶ τὸ ἧπαρ, τινῶν δὲ καὶ τὰ νεῦρα. καὶ μέντοι καὶ τὰς ἕξεις ὁ ψυχρὸς οἶνος ἐπιτονοῖ. βούλεται δὲ ὁ ταῦτα γράψας ἐκλύειν αὐτάς. μή τι οὖν ἑτέρως μὲν ἦν γεγραμμένον, ἥμαρτε δὲ ὁ μεταγραψάμενος αὐτό. πολλὰ γὰρ ὁρᾶται τοιαῦτα καὶ νῦν γινόμενα καὶ δέον ἀντὶ τοῦ μήθ' ὅλως θερμὸν αὐτὸν γράψαι, μὴ λίαν ψυχρόν. ὁ γὰρ ἀσθμαίνουσιν ἔτι διδόναι τὴν τροφὴν ἀξιῶν, ἀτμῶν πολλῶν ὄντος μεστοῦ τοῦ σώματος, βουλήσεται δὲ καὶ δι' οἴνου πόσεως θερμοῦ πληρῶσαι μᾶλλον αὐτούς. πεφυκότος δὲ τοῦ πάνυ θερμοῦ παραπλησίως τῷ ψυχρῷ συνάγειν καὶ τονοῦν τὴν γαστέρα, φυλάττεται πρᾶξαι τοῦτο.

ιγ'.

[228] *Ἀλλὰ καὶ μονοσιτέειν καὶ ἀλουτέειν καὶ σκληροκοιτέειν καὶ γυμνὸν περιπατέειν, ὅσον οἷόν τε μάλιστα εἴη.*

Nam et ipsa ventrem, tum jecur manifesto laedit, quorumdam quoque nervos. Attamen habitus frigidum vinum corroborat. Vult autem horum scriptor ipsos solvere. Forsitan alio modo quid scriptum erat; verum peccavit qui idem postea apposuerit. Multa siquidem ejusmodi etiamnum accidere videntur; cum pro eo quod est, neque ex toto calidum, non persrigidum scribere ipsum conveniat. Nam qui cibum adhuc anhelantibus offerendum judicat, corpori videlicet multis vaporibus pleno, volet etiam vini calidi potione magis ipsos implere. Quum autem percalidum frigido similiter contrahat ventrem et corroboret, idem efficere observatur.

XIII.

Sed et semel tantum die cibum assumere, supersedere balneis, duriter cubare nudumque obambulare, quoad ejus fieri queat, oportet.

Κάλλιον ἂν ἦν εἰρῆσθαι πρὸς αὐτῷ μὴ μονοσιτέειν, ἀλλ' ὀλιγοσιτεῖν. ἔνιοι γὰρ τῶν μονοσιτούντων πολὺ πλείω προσφέρονται τῶν δὶς σιτουμένων. ὥσπερ δὲ τὸ λουτρὸν ἐκθερμαῖνον τὸ σῶμα καὶ μάλιστα τοὐκτὸς, εἰς ἀνάδοσίν τε τροφῆς καὶ πρόσθεσιν τῶν ἀναδοθέντων συντελεῖ, κατὰ τὸν αὐτὸν λόγον ἡ ἀλουσία τοῖς ἐναντίοις συναίρεται. καὶ ἡ σκληρο- (33) κοιτία δὲ λυπεῖ καὶ συνέχει καὶ σφίγγει τὸ σῶμα καὶ διὰ τοῦτο τὴν εἰς πᾶν μέρος ἐπίδοσιν αὐτοῦ κωλύει. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὸ γυμνὸν περιπατεῖν ψύχει μὲν ἅπαντα τὰ μετὰ τὸ δέρμα μόρια. συνελαύνει δὲ εἰς τὸ βάθος καὶ τὰ σπλάγχνα τὴν θερμασίαν, ὡς πέττεσθαι μὲν καλῶς τὰ σιτία, τὴν δὲ πάντη φορὰν αὐτῶν κωλύειν.

ιδ'.

Ὁκόσοι δὲ βούλονται λεπτοὶ ἐόντες παχύτεροι γενέσθαι, τά τε ἄλλα ποιέειν τἀναντία ἐκείνοισι οἷσιν ἔφην καὶ νῆστιν μηδεμίην ταλαιπωρίην ποιέεσθαι.

Melius dixiſſet cibi modicum ſumere quam ſemel tantum cibum ſumere. Quidam enim ſemel die cibo utentium multo plura aſſumunt, quam qui bis eo utuntur. Quemadmodum lavacrum corpus excalſaciens, praeſertim extrinſecus, ad alimenti diſtributionem et diſtributorum appoſitionem conducit; eadem ratione lotionis penuria contraria perficit. Durum cubile corpus moleſtat, contrahit et adſtringit, ideoque in omnem partem incrementum ipſius impedit. Eadem ratione nudum obambulare omnes ſummas ad cutem partes refrigerat; calorem etiam in altum et viſcera cogit, ut cibi probe quidem concoquantur; verum in omne corpus ferri prohibet.

XIV.

Qui vero tenues quum ſint craſſiores effici volunt, tum alia his contraria facere, tum jejunos nullam exercitationem ipſos ſubire oportet.

Τἀναντία τῶν εἰρημένων τοῖς παχέσιν ἐστὶ τὸ μήτε ἀσθμαίνοντας ἐπιχειρεῖν τοῖς σιτίοις, ἀλλ' ὅταν ἤδη κατὰ φύσιν ἀναπνέωσι, μήτε μονοσιτεῖν, ἀλλ' ἤτοι δὶς ἐσθίειν ἢ καὶ τρίς. οὕτω δὲ καὶ ταῖς ἀλουσίαις τἀναντία ποιῶν λούσεται δὶς, ἐξ ἅπαντος μὲν ἐπὶ τροφῇ χρόνου τὸ δεύτερον λουτρὸν περιλαμβάνων, ἔσθ' ὅτε δὲ καὶ τὸ πρῶτον. οὕτω δὲ καὶ τὰ γυμνάσια βραχέα τε γυμνάσεται καὶ βραδέα καὶ μετὰ τροφήν. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὸ μαλακῶς κοιμᾶσθαι καὶ μὴ γυμνὸν ὁμιλεῖν τῷ περιέχοντι, τούτοις ἐστὶ χρήσιμον. διὰ τοῦτο γοῦν καὶ αἱ γυμνασταὶ τὰ μὲν μετὰ τοῦ προσάπτεσθαι καὶ σωματομαχεῖν, οὕτω γὰρ ὀνομάζουσιν αὐτοί τινα γινόμενα γυμνάσια, περιλαμβάνουσιν, ἐφ' ὧν σαρκῶσαι θέλουσι, φυλαττόμενοι γυμνοὺς γυμνάζειν αὐτοὺς τὸ σῶμα καὶ μὴ μετὰ συμπλοκῆς. ἔμπαλιν δὲ ὅσους λεπτῦναι βούλονται, μετὰ τοῦ ταχέος γυμνασίου καὶ χωρὶς τῆς πρώτης συμπλοκῆς γυμνάζουσιν.

ιε'.

Τοῖσι δὲ ἐμέτοισι χρὴ καὶ τοῖσι κατακλύσμασι τοῖσι τῆς

Contraria ſuperioribus craſſis ſunt; neque anhelantes ex labore epulas aſſumere, ſed ubi jam ſecundum naturam reſpiraverint; neque ſemel tantum cibum ſumere, verum aut bis aut etiam ter comedere. Sic abſtinentiae balneorum contraria qui facit, bis lavabit, ſemper autem ab epulis alterum lavacrum ingrediens, nonnunquam et primum. Pari modo ad exercitia modica, lenta, eaque poſt cibum accedet. Eadem vero ratione molliter cubare, non ſine veſtibus ambulare in aëre his conducit. Propterea gymnaſtae nonnulla exercitia, quae manuum conſertione et corporum pugna, ſic enim vocant ipſi, contingunt, adhibent in iis quos carne implere conantur, vitantes ne corpore nudo exercendi incedant, neque cum complexu. E contrario, quos extenuare volunt, celeri exercitio et citra primum complexum movent.

XV.

Vomitionibus autem et infuſis alvum eluentibus ſic uten-

κοιλίης, ὧδε χρέεσθαι ἓξ μῆνας τοὺς χειμερινοὺς ἐμέειν· οὗτος γὰρ ὁ χρόνος φλεγματωδέστερος τοῦ θερινοῦ καὶ τὰ νουσήματα γίνεται περὶ τὴν κεφαλὴν καὶ περὶ τὸ χωρίον τοῦτο τὸ ὑπὲρ τῶν φρενῶν. ὅταν δὲ ᾖ τὸ θάλπος, τοῖσι κατακλύσμασι χρέεσθαι. ἡ γὰρ ὥρη καυματώδης καὶ χολωδέστερόν ἐστι τὸ σῶμα καὶ αἱ βαρύτητες ἐν τῇ ὀσφύϊ καὶ ἐν τοῖσι γούνασι καὶ θερμὰ γίνονται καὶ ἐν τῇ γαστρὶ στρόφοι [229] γίνονται. δεῖ οὖν τὸ σῶμα ψύχειν καὶ τὰ μετεωριζόμενα κάτω ὑπάγειν ἀπὸ τῶν χωρίων τουτέων.

Τίνα καλεῖ κατακλύσματα διὰ τῶν ἐφεξῆς ἐδήλωσεν αὐτός. τά τε ἀπὸ τῶν γαλάκτων εἰπὼν καὶ τὸ ἀπὸ τῶν ἐρεβίνθων ἑψημένον ὕδωρ ἅλμην τε καὶ θάλασσαν. ἕτερα γάρ ἐστι τούτων τὰ καθαίροντα φάρμακα κενωτικὰ τοῦ παντὸς σώματος ὄντα. ὥσπερ οὖν τὰ βαλανεῖα κατακλύζειν οἱ βαλανεῖς λέγουσι, τῶν ἐν αὐτοῖς λίθων ἀποπλύνοντες τὸν πηλὸν καὶ τὸν ῥύπον, οὕτω καὶ τὰ τῆς γαστρός τε καὶ τῶν

dum. Sex hibernis mensibus vomitus ciendus, id enim tempus aestivo pituitae plus accumulat et capite morbi et regionem quae supra septum transversum est, obsident. At quum aestatis fervor adsit, cataclysmatis utendum. Haec enim tempestas aestuosa est et corpus biliosum magis redditur, gravitates etiam lumbos et genua infestant, calores oboriuntur, ventris tormina concitantur. Corpus igitur refrigerandum et qua sursum attolluntur, deorsum ex istis locis deducenda.

Quae cataclysmata, id est *ablutiones*, vocet, sequentibus ipse declaravit; nempe quae ex lacte conficiuntur et cicerum decoctionis aquam; ad haec muriam et marinam. Diversa namque ab his medicamenta sunt purgantia, quae universum corpus evacuant. Quemadmodum igitur balneatores balnea dicunt abluere, quum lapidum in eis lutum et sordes abstergent, ita ventris intestinorumque

ἐντέρων κατακλύσματα, περιπλύνει τὸ φλέγμα καὶ τὴν χολὴν αὐτῶν. ἐπεὶ τοίνυν ἐν τῷ χειμῶνι φλέγμα γεννᾶται κατὰ τὴν κοιλίαν, ἐκκενοῦν αὐτὸ διὰ τῶν ἐμέτων συμβουλεύει. τοῦ θέρους δὲ τὴν ἐπιπολάζουσαν ἄνω χολὴν ἀντισπᾷν κάτω. καθαίρειν μέντοι τὸ σύμπαν σῶμα βουληθέντι σοι θέρους μὲν διὰ τῆς ἄνω, χειμῶνος δὲ διὰ τῆς κάτω κοιλίας φαρμακευτέον, ὡς ἐν ἀφορισμοῖς εἴρηται. τὰ μὲν γὰρ ἤδη πλεονάζοντα ἡ κάθαρσις ἰᾶται διὰ τῶν χωρίων ᾗ ῥέπει τὴν κάθαρσιν ποιούμενος. ἀκτέα γὰρ ᾗ ῥέπει διὰ τῶν συμφερόντων χωρίων. ὅσα δὲ κωλῦσαι θέλεις αὐξηθῆναι, διὰ τῶν ἀντικειμένων χωρίων ἀντισπᾷν προσήκει.

ιστ'.

Ἔστω δὲ τὰ κατακλύσματα τοῖσιν μὲν παχυτέροισι καὶ ὑγροτέροισιν ἁλμυρώτερα καὶ λεπτότερα, τοῖσι δὲ ξηροτέροισι καὶ προσεσταλμένοισι καὶ ἀσθενεστέροισι λιπαρώτερα καὶ παχύτερα. ἔστι δὲ τῶν κατακλυσμάτων λιπαρὰ καὶ παχέα τὰ ἀπὸ τῶν γαλάκτων καὶ ἀπὸ ἐρεβίνθων ὕδωρ ἑφθὲν καὶ

infusa pituitam et bilem ipsorum detergent. Quoniam itaque pituita per hiemem in ventriculo generatur, evacuari ipsam vomitu consulit. Aestate bilem sursum conscendentem deorsum revelli. Attamen ubi totum corpus purgare volueris, *aestate per superiorem, hieme per inferiorem ventrem purgandum est;* sicut in aphorismis dictum invenimus. Etenim jam abundantibus purgatio per loca quo vergunt adhibita medetur. Quippe ducenda quo vergunt per loca idonea. Quae vero ab incremento prohibere velis, per opposita revellere conducit.

XVI.

Sint autem cataclysmata crassioribus quidem et humidioribus magis salsa et tenuiora, siccioribus vero et gracilioribus et imbecillis pinguiora et crassiora. At infusa sunt pinguia et crassa quae ex lacte parantur, et aqua

τῶν ἄλλων τῶν τοιουτέων, τὰ δὲ λεπτὰ καὶ ἁλμυρὰ ἅλμη καὶ θάλασσα καὶ τὰ τοιαῦτα.

Τὰ τμητικώτερα μὲν ἐπὶ τῶν παχυτέρων ἀξιοῖ προσφέρειν, φλεγματικώτεροι γὰρ οὗτοι· τὰ λειότερα δ' ἐπὶ τῶν ἰσχνῶν, ὡς ἂν χολωδεστέρων ὄντων. ὁποῖαι δέ εἰσιν ἑκατέρων αἱ ὕλαι, διὰ τῆς ἐχομένης ῥήσεως ἐδήλωσεν, ἐξηγήσεως οὐ δεομένης· διὸ καὶ παραλιπὼν αὐτὴν ἐπὶ τὰ συνεχῆ τρέψομαι.

ιζ.

Τοὺς δὲ ἐμέτους ὧδε χρὴ ποιέεσθαι. ὅσοι μὲν τῶν ἀνθρώπων παχέες εἰσὶ καὶ μὴ ἰσχνοὶ, νήστιες ἐμούντων, δραμόντες ἢ ὁδοιπορήσαντες διὰ τάχεος κατὰ μέσον τῆς ἡμέρης.

Ἐκτεθερμάνθαι βούλεται τὸ σῶμα τοῖς παχέσιν, ἐμεῖν μέλλουσιν ἕνεκα τῆς χύσεως τῶν φλεγματικῶν χυμῶν, οὓς

cicerum cocta caeteraque id genus. Tenuia vero et salsa muria, aqua marina et quae sunt ejusmodi.

Quae magis incidunt cataclysmata corpulentioribus adhibenda existimat, hi namque sunt pituitosiores. Leniora vero gracilibus, ut qui sunt biliosiores. Porro quales amborum sint materiae, ex verbis proximis constat, adeo ut interpretationem non requirat. Quamobrem iis relictis ad sequentia me convertam.

XVII.

Vomitus autem hoc modo provocandi sunt. Qui homines obesi sunt ac minime tenues, jejuni vomant a cursu aut celeri deambulatione circa meridiem.

Excalefactum esse corpus obesis, qui vomituri sunt, praecipit, ut humores pituitosi, quos crassi copiosos ha-

πλείους ἔχουσιν οἱ παχεῖς. ἀλλὰ καὶ ἡ τῶν ἀγγείων ἀναστόμωσις ἁπάντων τε τῶν κατὰ λεπτὸν πόρων ἀραίωσις οὕτως ἂν μάλιστα γένοιτο. χρήσιμα δὲ ταῦτα πάντα πρὸς τὸ ῥαδίως τε καὶ ἀλύπως γίνεσθαι τὸν ἔμετον.

ιη'.

[230] Ἔστω δὲ ἡμικοτύλιον ὑσσώπου τετριμμένου ἐν ὕδατος χοεῖ καὶ τοῦτο ἐκπιέτω, ὄξος παραχέων καὶ ἅλας παραβάλλων, ὅκως ἂν μέλλῃ ἥδιστον ἔσεσθαι.

Ὅτι τμητικὸν εἶναι βούλεται τὸ πόμα καὶ δι' ἥντινα αἰτίαν οὐκ ἄδηλον. ἐπεὶ γὰρ οἱ παχεῖς ἄνθρωποι καὶ τοὺς χυμοὺς ἔχουσι τοὐπίπαν παχεῖς τε καὶ ψυχροὺς καί τινας αὐτῶν καὶ γλίσχρους, διὰ τοῦτο τμητικὸν εἶναι κελεύει τὸ ποτὸν αὐτῶν. ὁπόσον δέ τι τὸ πλῆθος δίδωσιν οὗ συντίθησι πόματα, οὐκ ἀκριβῶς ἔχω φάναι, διὰ τὸ μέτρον ἐστὶν ὅτε, ὃ καλοῦσι χοέα, μὴ τὸ αὐτὸ μέγεθος ἔχειν παρὰ πᾶσιν. εἰ δὲ τὸν Ἀττικὸν κελεύει πίνειν, οὐ πάνυ συντίθεμαι

bent, diffundantur. Quin et vasorum adapertio omniumque angustorum meatuum raritas sic potissimum queat accidere. Caeterum haec omnia ad vomitum facilem citraque molestiam excitandum conducunt.

XVIII.

Hyssopi hemina dimidia in aquae congio contriti potui exhibeatur, affuso aceto et addito sale, quo fiat jucundissima.

Quod potum incidentem esse cupiat et quam ob causam haud obscurum. Quoniam enim crassi homines crassos etiam humores et frigidos et quosdam eorum viscosos plerumque habent, ideo potionem ipsorum incidentem esse jubet. Quantam vero copiam illius, unde conficit potum, exhibeat, non exacte possum dicere; quod mensura quam interdum congium nominant, non eandem apud omnes habeat magnitudinem. Si vero Atticum

τῷ ἔθει, πολὺ γάρ εἶναί μοι δοκεῖ. σύνηθες μέντοι τοῖς παλαιοῖς ἦν, εἴτε ὀῤῥῷ γάλακτος εἴτε τοιούτῳ τινὶ κατακλύσματι προείλοντο χρῆσθαι, πάμπολυ τῷ πλήθει διδόναι.

ιθ'.

(34) *Πινέτω δὲ τὸ μὲν πρῶτον ἡσυχέστερον, ἔπειτα δὲ ἐπὶ θᾶσσον.*

Ἐὰν μὲν οὖν ἐν ἀρχῇ πίῃ λάβρως, εὐθέως ἐμεῖται, πρὶν ἐκπίῃ τὸ πᾶν, ἀποῤῥύψαι τε τοὺς ἐν τῇ γαστρὶ χυμοὺς, οἷς συνεκκενοῦνται καὶ οἱ κατὰ τὰς πρώτας φλέβας. ἐὰν δὲ ἐν ἀρχῇ μὲν ἡσυχέστερον, ὕστερον δὲ πλεῖον πάντως πίῃ, οὕτω δυνήσεται χρόνῳ τε συμμέτρῳ κατασχεῖν, ὁρμήσει τε πρὸς ἔμετον ἐν καιρῷ διὰ τὸ πίνειν ἀθροώτερον ὕστερον.

κ'.

Οἱ δὲ λεπτότεροι καὶ ἀσθενέστεροι ἀπὸ σιτίων ποιείσθω-

bibere praecipiat, non admodum consuetudini consentit. Multum namque esse mihi videtur; etsi apud veteres moris erat, sive lactis sero sive hujusmodi quodam cataclysmate volebant uti, permultum id exhibere.

XIX.

Ac primum quidem sensim, deinde vero celerius ebibatur.

Si igitur initio bibat affatim, mox evomet ac prius quam totum ebiberit; projicietque humores in ventriculo contentos; cum quibus et in primis venis recepti evacuantur. Quod si primum lentius, dein copiosius bibat, et tempore mediocri continere poterit et tempestive ad vomitum incitabitur; eo quod postea confertim magis biberit.

XX.

Graciliores autem et imbecilliores a cibis hunc in modum

σαν τὸν ἔμετον τρόπῳ τοιῷδε. λουσάμενοι θερμῷ προπιέτωσαν ἀκρήτου κοτύλην, ἔπειτα σιτία παντοδαπὰ ἐσθιέτωσαν καὶ μὴ πινέτωσαν ἐπὶ τῷ σιτίῳ, μηδὲ ἀπὸ τοῦ σιτίου, ἀλλὰ ἐπισχέτωσαν ὅσον τέσσαρα στάδια διελθεῖν. ἔπειτα δὲ συμμίξας οἴνους τρεῖς πίνειν διδόναι αὐστηρὸν καὶ γλυκὺν καὶ ὀξύν. πρῶτον μὲν ἀκρητέστερον καὶ κατ' ὀλίγον καὶ διὰ πολλοῦ χρόνου. ἔπειτα δὲ ὑδαρέστερόν τε καὶ θᾶσσον καὶ κατὰ πολλόν.

Λουσάμενον θερμῷ προπίνειν ἀξιοῖ πόματος ἀκρατεστέρῳ, λογισμῷ τοιῷδε χρώμενος, ὡς ἂν εἰκάσειέ τις. ἐκ τοῦ θερμοῦ λουτροῦ θερμαίνεται πᾶν τὸ σῶμα καὶ οἱ χυμοὶ χέονται καὶ χαλαρὰ γίνονται τὰ ἀγγεῖα, τὰ αὐτὰ δὲ ταῦτα καὶ ὁ ἀκρατέστερος οἶνος ἐργάζεται, μετὰ τοῦ καὶ ῥωννύναι τὴν δύναμιν, ἧς μάλιστα φροντίζειν ἔοικεν ἐπὶ τῶν ἰσχνῶν. ἔπειτα, [231] φησὶ, σιτία παντοδαπὰ ἐσθιέτωσαν. τούτου δὲ λογισμὸν οὐ τὸν αὐτὸν πάντες ἔγραψαν οἱ ἐξηγησάμενοι τὸ βιβλίον. ἐνίοις μὲν γὰρ αὐτῶν δοκεῖ διδόναι παντοδαπὰ, διότι στασιάζοντα πρὸς ἄλληλα ῥᾷον εἰς

concitent: loti calida meri heminam praebibant, mox cibos cujusvis generis comedant, neque inter cibos, neque a cibis bibant, ſed ſe contineant quanto tempore quis quatuor ſtadia percurrat. Deinde triplex illis vinum in potum permiscebis, auſterum, dulce et acidum, primum quidem meracius, ſenſim et ex magno intervallo: deinde vero dilutius, celerius et affatim.

Jubet hic calida lotum meracius praebibere; hac, ut conjicere poſſum, ratione uſus, quod ex calida lotione totum corpus incaleſcat et humores diffundantur vaſaque laxiora fiant. Eadem vero haec et vinum meracus efficit; praeterquam quod facultatem corroborat; cujus rationem in gracilibus habere oportet. Poſtea cibum varium aſſumant, inquit, cujus cauſam omnes expoſitores non eandem tradiderunt. Quibusdam enim illorum varia exhiberi videntur, quod invicem luctantia facilius vomi-

ἔμετον ὁρμᾷ, τισὶ δὲ ὑπὲρ τοῦ πλεῖον προσενεγκέσθαι. τὰ γὰρ ἁπλᾶ καὶ μονοειδῆ ταχέως ἐμπίπλησιν, οὐκ ἐᾷ δὲ πίνειν εὐθέως αὐτοὺς, ἵνα μὴ ταχέως ἐπιπολάσῃ τὰ σιτία, ὃ οὐ βούλεται. διὰ δὲ τὸ μὴ γενέσθαι τοῦτο καὶ χρόνον τινὰ μεταξὺ πρὸς τὴν θρέψιν αὐτάρκη διατρίβειν ὁρίζει καὶ τὸν χρόνον δὲ αὐτὸν εἶπεν, ὅσον τεσσάρων σταδίων διελθεῖν. ἐπὶ δὲ τούτοις, οὕτω προαχθεῖσι, δίδωσι τὸ ποτὸν, οἴνους τρεῖς διαφέροντας ἀλλήλων κατὰ ποιότητα. κελεύει γὰρ εἶναι τὸν μέν τινα τῶν οἴνων αὐστηρὸν, τὸν δὲ γλυκὺν, τὸν δὲ ὀξύν. οὐκ εἰπὼν οὐδὲ ἐνταῦθα τὴν αἰτίαν, δι' ἣν οὕτως ἐκέλευσεν. οἱ δ' ἀπομαντευόμενοι τῆς γνώμης αὐτοῦ φασὶ τὸν μὲν αὐστηρὸν διδόναι ῥώμης ἕνεκα τῶν ὀργάνων, δι' ὧν ὁ ἔμετος ἔσται, τὸν δὲ γλυκὺν ἵνα εἰς ἔμετον ὁρμήσῃ καὶ διὰ τὸ χέειν τοὺς χυμοὺς τὸν γλυκὺν οἶνον, τὸν δ' ὀξὺν ἵνα ἀποῤῥύψῃ τὰ ἐμπεπλασμένα τῇ γαστρί. τάχα γοῦν καὶ τὰ σιτία παντοδαπὰ κατὰ τὰς ποιότητας ἐκέλευσε λαμβάνειν αὐτοὺς, ἵνα τὰ μὲν ῥώσῃ τὴν γαστέρα, τὰ δὲ εἰς ἔμετον παροξύνῃ, τὰ δὲ ἀποῤῥύψῃ τοὺς ἐμπεπλασμένους χυμούς.

tum concitent, aliis quod plus ingeratur. Nam ſimplicia ejusdemque ſpeciei celerius implent. Verum iis ſtatim bibere non permittit, ne cibi mox ſupernatent; quod fieri nequaquam velit. Atque ideo tempus aliquod interea, quod ad nutritionem ſufficiat, conſumendum praeſtitit; nempe quo ſtadia quatuor perficias. His ita praemiſſis, potum adjicit, terna vina, qualitate invicem differentia. Jubet enim aliquod ipſorum eſſe auſterum, aliud dulce, aliud acidum; non relata ne hic quidem cauſa cur ita injunxerit. Qui vero divinant ipſius ſententiam, ajunt auſterum inſtrumentis corroborandis, per quae vomitus accidet, exhiberi; dulce, ut vomitum incitet et humores diffundat; acidum demum, ut quae ventriculo ſunt infixa detergat. Forſan igitur cibos omnium qualitatum genere ipſos aſſumere juſſit, ut ventriculum alii confirment, alii ad vomitum proritent, alii ſuccos infartos abſtergant. Quod autem ſaepius dicere ſoleo in ſociorum amicorumque conſortio, id nunc quoque dicam. Non parum mihi

ὅπερ δὲ λέγω πολλάκις ἐν ταῖς πρὸς τοὺς ἑταίρους τε καὶ τοὺς ἄλλους φίλους συνουσίαις, ἐρῶ καὶ νῦν. οὐ σμικρά μοι δοκοῦσιν ἁμαρτάνειν οἱ τὴν δογματικὴν αἵρεσιν ἄνδρες πρεσβεύοντες, ἄνευ τοῦ τὸν λογισμὸν εἰπεῖν ὧν συμβουλεύουσιν, ἀποφαινόμενοι καθάπερ τινὰ προστάγματα βασιλικά. βέλτιον γὰρ ἦν ἑκάστου τῶν πραττομένων αὐτὸν τὸν γράψαντα τὸ βιβλίον εἰπεῖν τὴν δύναμιν, ὡς Ἱπποκράτης ἐποίησεν ἐν τῷ περὶ διαίτης ὀξέων, ἐπὶ τῆς πτισάνης εἰπών. τὸ γὰρ γλίσχρον αὐτῆς λεῖον καὶ προσηνὲς καὶ συνεχές ἐστι καὶ ὀλισθηρὸν καὶ πλαδαρὸν μετρίως καὶ ἄδιψον καὶ εὐέκπλυτον, εἴ τι καὶ τούτου προσδέοι καὶ οὔτε στύψιν ἔχον, οὔτε ἄραδον κακὸν, οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίῃ. οὕτως δὲ καὶ περὶ μελικράτου καὶ οἴνου καὶ ὀξυμέλιτος, ἔτι τε λουτρῶν ἔγραψεν, ὥστε ἀρχὴν ἔχειν ἡμᾶς τῆς ὁδοῦ καθ᾽ ἣν ἀκολούθως τῷ συγγραφεῖ τῶν οὐκ εἰρημένων ὑπ᾽ αὐτοῦ προσθῶμέν τινα. καὶ νῦν οὖν εἰρηκότος αὐτοῦ τἄλλα, χωρὶς τοῦ τῆς αἰτίας λογισμοῦ καὶ μέντοι ὡς ἤτοι πίνειν ἔνεστι τὸν οἶνον πρῶτον μὲν ἀκρητέστερον καὶ κατ᾽ ὀλίγον καὶ διὰ πολλοῦ, ἔπειτα δὲ ὑδαρέστερόν τε καὶ θᾶσσον καὶ κατὰ πολλόν. ἡμᾶς

videntur errare viri qui fectam dogmaticam profitentur, eo quod citra rationem prolatam, ea quae confulunt, haud aliter quam regia quaedam decreta pronunciant. Praeftiterat enim cujusque rei vim operis auctorem explicaffe, ficut Hippocrates in libro de ratione victus in morbis acutis factitavit, ubi ptifanae meminit. Nam viscofitas ejus lenis, continua, jucunda, lubrica et modice laxa eft, fitim arcet et ubi ablutione opus eft, facile defcendit; non adftringit, non vellicat graviter, neque in ventre tumefcit. Sic idem de aqua mulfa, de vino, de oxymelite, item de lavacris confcripfit. Itaque viae jam nos principium habemus, qua poft auctorem nonnulla ab ipfo praetermiffa adjiciemus. Atqui dicta funt omnia praeter caufae rationem. Siquidem quod vinum bibere meracius primum, fed modice et paulatim retulerit, poftea dilutius, celerius et copiofe, explorare nos oportet qua id fententia ille fcripferit. Verum alias exploratio tota res eft

δεῖ στοχάζεσθαι τῆς γνώμης αὐτοῦ, καθ' ἣν ἔγραψεν. ἔστι δὲ καὶ ἄλλως μὲν ἅπας στοχασμὸς ἀμφίβολον πρᾶγμα· μάλιστα δὲ ὅταν ἔτ' ἀνθρώπου γνώμη ἠγνόηται. τὸ μὲν οὖν ὑδαρέστερον πίνειν τὸν οἶνον καὶ θᾶσσον καὶ κατὰ πολλὸν εἰκότως ἂν εἰρῆσθαι δόξειεν ἐπὶ τῶν ἐμεῖν ἐθελόντων, εἴπερ γε καὶ τἀναντία τοῖς κατασχεῖν βουλομένοις καὶ πέψαι τὴν τροφὴν ἐστὶν ἐπιτήδεια, τό τε ἀκρατέστερον καὶ κατ' ὀλίγον καὶ διὰ πολλοῦ. διὰ τί δ' ὅλως τὰ πρὸς τὸ κατασχεῖν ἁρμόττοντα πρῶτα παρέλαβεν ἐπὶ τοῦ μέλλοντος ἐμεῖν ὀλίγον ὕστερον, οὐκ ἔχομεν εἰπεῖν τι πιθανόν. ἴσως δ' ἐκείνῳ τῷ γράψαντι ταῦτα πιθανὸν ἐδόκει τὸ καὶ τῶν ἐξηγητῶν ἐνίοις ἀρέσκον. ἐπειδὴ βούλεται μὴ καταλύεσθαι τὴν δύναμιν τῶν λεπτῶν ἀνθρώπων ὑπὲρ ὧν ταῦτα γράφει, διὰ τοῦτ' οὖν πρώτην ἐκείνην ῥώννυσιν, εἶθ' οὕτως ἐπὶ τὰ τὸν ἔμετον κινοῦντα παραγίνεται. ἀλλ' εἰς τὸ ῥωσθῆναι τὴν δύναμιν αὐτάρκης ἦν ὁ ἐπὶ τῇ τῶν σιτίων προσφορᾷ χρόνος. ἄλλο δὲ ἄλλῳ πιθανὸν, ὡς ἔφην, ἐστὶν, οὐκ ἀποτετμημένον, ὡς ἕν τι, καθάπερ τὸ ἀναγκαῖον, ὃ κατὰ τὰς ἐπιστημονικὰς ἀποδείξεις βεβαιοῦται.

---

ambigua, maxime vero quum hominis ſententia adhuc ſit incognita. Dilutius igitur vinum bibere et ocius, tum copioſe, merito dictum videbitur de his qui vomitum expetunt. Siquidem contraria cohibere ipſum volentibus et alimentum concoquere ſunt idonea; puta, meracius, modice et paulatim bibere. Cur autem omnino ad coërcendum accommoda primum in eo qui paulo poſt vomiturus eſt, uſurpavit, probabile nihil dicere poſſumus; forſan hinc auctori probabile videbatur, quod etiam interpretum nonnullis placet; quia virtutem tenuium hominum, de quibus haec ſcribit, diſſolvi nolit, ideo primum illam corroborat; mox ita ad vomitum cientia proficiſcitur. Sed ad vires firmandas tempus a cibis oblatis ſuffecerat. Porro ad vires firmandas tempus a cibis oblatis ſuffecerat. Porro aliud alii probabile, ut dixi, eſt, non abſectum, ceu unum quoddam, ſicut neceſſarium, quod ſcientificis demonſtrationibus confirmatur.

κα'.

[232] Ὅστις δὲ εἴωθε τοῦ μηνὸς δὶς ἐξεμέειν, ἄμεινον ἐφεξῆς ποιέεσθαι τοὺς ἐμέτους ἐν δυσὶν ἡμέρῃσι μᾶλλον ἢ διὰ πεντεκαίδεκα. οἱ δὲ πᾶν τοὐναντίον ποιέουσι.

Καὶ τούτων τὸν λογισμὸν αὐτὸν ἔδει τὸν γράψαντα προστεθεικέναι μάλιστα, ἐπειδὴ καὶ χωρὶς διορισμοῦ περὶ τῶν δὶς ἐμούντων εἶπεν ἐν τῷ μηνί. τινὰς μὲν γὰρ ὁρῶ κενώσεως ἕνεκεν ἐμοῦντας, ὥσπερ καὶ νηστεύοντας ἄλλους ἐν τῷ μηνὶ μίαν ἡμέραν. ἐνίους δὲ τοῦ τὸν ἐνιζηκότα τῇ γαστρὶ χυμὸν ἢ γλίσχρον ἢ παχὺν ἐκκαθᾶραι, κωλύει δ' οὐδὲν ἀμφότερα ἐκ διαλείμματος αὐτὰ ποιεῖν, οὐκ ἐφεξῆς ἡμέραις δύο.

κβ'.

Ὁκόσοισι μὲν ἀνεπιτήδειον ἀπεμέειν τὰ σιτία, ἢ ὁκόσοισιν αἱ κοιλίαι οὐκ εὐδιέξοδοί εἰσι, τουτέοισι πᾶσι ξυμφέρει πολλάκις τῆς ἡμέρης ἐσθίειν καὶ παντοδαποῖσι βρώμασι

XXI.

At vero qui bis in menſe vomere conſuevit, hunc praeſtat duobus ex ordine diebus vomitum ciere, quam decimo quinto die. Sed alii contrarium plane faciunt.

Et horum rationem ipſum ſcriptorem maxime adiecifſe oportebat; quoniam de iis qui bis menſe uno vomunt, nulla diſtinctione ſententiam protulit. Quosdam enim vacuandi gratia vomentes conſpicio; ſicut et uno menſis die a cibis abſtinere. Nonnullos horum ſuccum ventriculo impactum vel viscidum vel craſſum expurgare. Nihil autem prohibet utraque ex intervallo, non duobus continuis diebus facere.

XXII.

Quibus cibos evomere incommodum eſt, vel quibuscunque alvi non facile prodeunt, iis omnibus crebro die cibum ſumere et omnis generis cibariis uti confert ac obſo-

χρέεσθαι καὶ ὄψοισι πάντας τρόπους ἐσκευασμένοισι καὶ οἴνους τε πίνειν δισσοὺς ἢ τρισσούς. (35) ὁκόσοισι δὲ μὴ ἀνεμέουσι τὰ σιτία, ἢ καὶ κοιλίας ἔχουσιν ὑγρὰς, τουτέοισι πᾶσιν ἐναντίον τουτέου τοῦ τρόπου ξυμφέρει ποιέειν.

Ἐπιτήδειον μὲν ἀνεμεῖν τὰ σιτία τοῖς ἤτοι διαῤῥύψαι βουλομένοις τὴν κοιλίαν, ἢ κένωσιν μετρίαν ποιήσασθαι τοῦ παντός. ἀξιοῖ δὲ τούτους ἐσθίειν τε πολλάκις καὶ ποικίλα καὶ οἴνους πλείονας πίνειν. ἔμπαλιν δὲ τοὺς μήτε ἐμεῖν βουλομένους, ὑγροτέρας τε τοῦ προσήκοντος ἔχοντας κοιλίας, ὡς ἐπισχέσεως δεῖσθαι, μήτε πολλάκις ἐσθίειν, μήτε πολυειδῆ σιτία τε καὶ οἴνους προσφέρεσθαι. τὸ μὲν γὰρ ἅπαξ φαγεῖν ἕν τι μονοειδὲς ἕνα τε πίνειν οἶνον εἰς τὸ κατασχεῖν αὐτὰ τὴν γαστέρα τε καὶ πέψαι συντελεῖ, τὰ δὲ ἐναντία πεφθῆναί τε δυσχερέστερα καὶ μεῖναι κατὰ τὴν γαστέρα. παρὰ δὲ τὴν ποιότητα τῶν προσενηνεγμένων καὶ

niis varie apparatis, vinumque duorum aut trium generum bibere. Quibus vero cibos revomere non conducit, quique alvos habent humidas, his omnibus contrariam huic vitae rationem inire confert.

Convenit quidem iis cibos revomere, qui vel alvum dejicere vel mediocrem totius corporis evacuationem moliuntur. Confulit autem ipfis frequenter et varia comeffe et vina plura bibere. Contra illis qui neque vomitum expetunt et alvum humidiorem jufto habent, ut cohiberi defideret, neque faepius comedere, neque varii generis tum cibos tum vina affumere. Etenim femel idque fimplex aliquod edulium unumque vinum ufurpare ventriculo ipfis continendis coquendisque opitulatur, contraria faciunt ut difficilius cibi coquantur maneantque in ventriculo. Caeterum praeter affumptorum qualitatem et

τὴν τάξιν τῆς προσφορᾶς, ἤτοι γ' ἐπιπολάζειν αὐτὰ, ἢ ὑπέρχεσθαι κάτω συμβαίνει.

κγ'.

Τὰ δὲ παιδία χρὴ τὰ νήπια βρέχειν ἐν θερμῷ ὕδατι πουλὺν χρόνον καὶ πίνειν ὑδαρέστατον τὸν οἶνον διδόναι καὶ μὴ ψυχρὸν παντάπασι. τοῦτον δὲ διδόναι, ὃς ἥκιστα τὴν γαστέρα μετεωρέει καὶ φῦσαν παρέξει. ταῦτα δὲ ποιέειν, ὅκως οἵ τε σπασμοὶ ἧσσον ἐπιλαμβάνωσιν καὶ μείζονα γίνηται καὶ εὐχροώτερα.

Αὐτὸς εἶπε τοὺς σκοποὺς τῆς εἰρημένης διαίτης. ἵνα γὰρ οἵ τε σπασμοὶ ἧσσον ἐπιλαμβάνωσι καὶ μείζοα γίγνηται καὶ εὐ- [233] χροώτερα. τὰ γὰρ ἐν ὕδατι θερμῷ βρεχόμενα παιδία πλείονι χρόνῳ μαλακὰ διαμένει, τοῦτο δ' εἰς τὸ μὴ σπᾶσθαι συντελεῖ. τοὺς γὰρ σπασμοὺς αὐτὸς ὁ Ἱπποκράτης τοῖς ἐντεταμένοις σώμασι μᾶλλον γίγνεσθαί φησι τῶν ἀνειμένων καὶ χαλαρῶν, αὔξεται δὲ τὰ μαλακὰ σώματα

exhibitionis ordinem vel in ſummo natare, vel ſubſidere ipſa contingit.

XXIII.

At pueros infantes per multum tempus aqua calida lavare decet, vinumque aquoſiſſimum bibendum iis exhibere, neque prorſus frigidum, idque dandum quod minime ventrem attollat et flatum creet. Haec autem facienda ſunt, quo minus convulſionibus tententur, magisque adoleſcant et coloratiores evadant.

Ipſe ſuperioris diaetae ſcopos explicuit, nempe ut convulſionibus minus inſeſtentur majoresque fiant et coloratiores. Nam in calida loti pueri diutius molles permanent, quod ne convellantur prodeſt, quoniam Hippocrates ipſe corporibus intenſis potius quam remiſſis et laxis convulſiones accidere prodit. Porro augescunt facilius corpora mollia, quia in omnem quoque dimenſionem promptius ſequuntur.

ῥᾷον, ἐπειδὴ καὶ πάντη τὴν διάστασιν εὐκολωτέραν ἴσχῃ. ὅτι δὲ τὰ μήτε σπασμοῖς ἁλισκόμενα καὶ καλῶς αὐξανόμενα τὴν ὅλην ἕξιν ὑγιεινὴν ἴσχει πρόδηλον παντί. τοῦτ᾽ οὖν αὐτῷ δεδήλωται δι᾽ ἑνὸς γνωρίσματος οὐ μικροῦ τῆς εὐχροίας. ἀλλὰ καὶ τὸν οἶνον ὑδαρῆ κελεύει πίνειν αὐτὰ, μὴ βουλόμενος ὑπερθερμαίνεσθαι καὶ μάλιστα διὰ τὸ σπᾶσθαι πολλάκις αὐτὰ, ὃ πάλιν αὐτοῖς διὰ τὴν τῶν νεύρων ἀσθένειαν γίνεται καὶ τὴν ἀδηφαγίαν. διὰ τοῦτ᾽ οὖν αὐτὸς καὶ μὴ ψυχρὸν αὐτὰ πίνειν κελεύει. τὸ δὲ τοιοῦτον δεῖν εἶναι τὸν οἶνον, ὃς ἥκιστα φυσώδης ἐστὶν, ἅπασι κοινῇ συμφέρει τοῖς ἀνθρώποις, οὐ μόνον τοῖς νηπίοις.

κδ'.

Τὰς δὲ γυναῖκας ὧδε χρὴ διαιτᾶσθαι τῷ ξηροτέρῳ τρόπῳ. καὶ γὰρ τὰ ξηρὰ σιτία ἐπιτηδειότερα πρὸς τὴν μαλθακότητα τῶν γυναικείων σαρκῶν καὶ τὰ πόματα ἀκρητέστερα ἀμείνω πρὸς τὰς ὑστέρας καὶ τὰς κυητροφίας.

Illa vero, quae nec convulſionibus corripiuntur probeque increscunt, totum habitum ſalubrem obtinere quis ignorat? Hoc igitur nota una haud mediocri, nempe boni coloris, auctor indicavit. Sed etiam vinum ipſos dilutum bibere praecipit, ne plus aequo calefiant, maxime quia convulſionibus ſaepe exercentur. Quod rurſus ex nervorum imbecillitate et voracitate accidit. Atque ideo non frigidum pueros bibere jubet, verum tale vinum, quod minime flatulentum eſt, omnibus ex aequo hominibus, non modo puerulis conducit.

XXIV.

Mulieres autem ſicciore victus ratione ſic uti oportet. Sicca namque cibaria ad muliebrium carnium mollitiem magis ſunt idonea et meraciores potus ad uteros et foetus nutritionem meliores exiſtunt.

Τὰς γυναῖκας ἀξιώσας διαιτᾶσθαι τῷ ξηροτέρῳ τρόπῳ, ὁποῖός τέ ἐστιν οὗτος αὐτὸς ὑπέγραψεν. ἔχει δὲ ἀντιλογίαν ἡ δόξα τἀνδρός. εἰ μὲν γὰρ παρὰ φύσιν ἦν ταῖς γυναιξὶν ὑγραῖς εἶναι, καθάπερ ἐπί τε τῶν δυσκράτων φύσεων καὶ τῶν νοσούντων ὑγρὸν νόσημα, καλῶς ἂν αὐτὰς ἐξήρανεν· ἐπειδὴ δὲ τοῦτο κατὰ φύσιν αὐταῖς ἐστι, φυλάττειν αὐτὸ χρὴ, πλὴν εἰ τὴν ὑγιεινήν ποτε συμμετρίαν ὑπερβαίη. ἀλλὰ τοῦτό γε κἀπὶ τῶν ἀνδρῶν ἐσκοπούμεθα. καὶ γὰρ καὶ τούτοις ξηροτέροις μὲν εἶναι τῶν γυναικῶν κατὰ φύσιν ἐστίν. ἐπειδὰν δὲ τῆς προσηκούσης ξηρότητος ἐπὶ πλέον προέλθωσι, τότ' αὐτῶν τὴν δυσκρασίαν ἐπανορθούμεθα διὰ τῶν ἐναντίων.

κε΄.

Τοὺς γυμναζομένους χρὴ χειμῶνος καὶ τρέχειν καὶ παλαίειν, τοῦ θέρεος παλαίειν μὲν ὀλίγα, τρέχειν δὲ μὴ, περιπατέειν δὲ πολλὰ κατὰ ψῦχος.

Mulieres ſicciore vivendi modo uti jubens, qualisnam is ſit, ipſe ſubſcripſit. Habet autem viri opinio controverſiam. Si namque praeter naturam erat mulieribus humidis eſſe, ſicut in naturis intemperatis et morboſis, humidus morbus recte eas exiccaret, verum quia hoc ſecundum naturam illis adeſt, conſervare id convenit, niſi quum ſalubrem ſymmetriam exceſſerit. At hoc quoque in viris conſideramus. Etenim et his ſiccioribus quidem eſſe mulieribus, ſecundum naturam eſt; quando vero convenientem ſiccitatem latius egreſſi fuerint, tunc ipſorum intemperiem contrariis emendamus.

XXV.

Qui exercentur, per hiemem eos currere et luctari convenit et aeſtate parum quidem luctari, currere vero minime, ſed multum in frigore deambulare.

Γυμνασίων διαφορὰς οἰκείοιν ταῖς ὥραις διδάσκει, τοῦ μὲν χειμῶνος θερμαίνειν καὶ ξηραίνειν δυναμένων, τοῦ δὲ θέρους ἔμπαλιν.

κϛ'.

Ὁκόσοι κοπιῶσιν ἐκ τῶν δρόμων, τουτέους παλαίειν χρή. ὁκόσοι δ' ἂν παλαίοντες κοπιῶσι, τουτέους χρὴ τρέχειν. οὕτω γὰρ ἂν ὁ ταλαιπωρέων τῷ κοπιῶντι τοῦ σώματος διαθερμαίνοιτο καὶ συνιστοῖτο καὶ διαναπαύοιτο μάλιστα.

[234] *Εἰ οὕτως ἐγέγραπτο πάντα τοῖς δογματικοῖς ἰατροῖς, οὐκ ἂν εἶχον ἀφορμὴν πολυλογίας οἱ ἐξηγηταί. λέγω δ' οὕτως ὡς προσθεῖναι τὴν αἰτίαν, δι' ἣν ὧδέ πως ἐκέλευσε πράττειν ἡμᾶς, ὅπερ νῦν ἐποίησεν ὁ Πόλυβος.*

κζ'.

Ὁκόσους γυμναζομένους μάλιστα διάῤῥοιαι λαμβάνουσι καὶ τὰ ὑποχωρήματα σιτώδεα καὶ ἄπεπτα, τουτέοισι τῶν τε

Exercitiorum differentias anni temporibus peculiarium docet, quae hieme calefacere et ficcare poffint, per aeftatem facere contraria.

XXVI.

Qui curfibus defatigantur, eos luctari oportet, qui vero lucta defatigantur, iis currendum eft. Ita enim qui laborat, corporis parte defatigationi obnoxia calefiat, componatur et maxime quiescat.

Si ita dogmatici medici omnia fcripfiffent, nulla effet loquacitatis occafio interpretibus relicta. Dico autem ita, fi caufam adjeciffent cur fic nos agere juberent, quod nunc Polybus factitavit.

XXVII.

Quos quum exercentur diarrhoeae potiffimum afficiunt et alvi excrementa cibos referentia, ac incocta, iis tum

γυμνασίων ἀφαιρέειν, μὴ ἔλασσον τοῦ τρίτου μέρους καὶ τῶν σιτίων τοῖσιν ἡμίσεσι χρέεσθαι. δῆλον γὰρ δὴ ὅτι ἡ κοιλίη ξυνθάλπειν οὐ δύναται, ὥστε πέσσεσθαι τὸ πλῆθος τῶν εἰσιόντων σιτίων. ἔστω δὲ τουτέοισι τὰ σιτία ἄρτος ὡς ἐξοπτότατος ἐν οἴνῳ ἐντετριμμένος καὶ τὰ πόματα ὡς ἐλάχιστα καὶ ἀκρητέστατα, καὶ περιπάτοισι μὴ χρεέσθωσαν ἀπὸ τοῦ σιτίου. μονοσιτέειν δὲ χρὴ ὑπὸ τοῦτον τὸν χρόνον, οὕτω γὰρ ἂν μάλιστα ξυνθάλποιτο ἡ κοιλίη καὶ τῶν εἰσιόντων ἐπικρατέοι. γίνεται δὲ ὁ τρόπος οὗτος τῆς διαῤῥοίης τῶν σωμάτων μάλιστα τοῖσι πυκνοσάρκοισιν, ὁκόταν ἀναγκάζηται ὁ ἄνθρωπος κρεηφαγέειν, τῆς φύσιος ὑπαρχούσης τοιαύτης. αἱ γὰρ φλέβες πυκνωθεῖσαι οὐκ ἀντιλαμβάνονται τῶν σιτίων τῶν εἰσιόντων.

---

(36) *Οὐ περὶ τῶν τῆς ὑγείας ἕνεκα γυμναζομένων ἔοικε ποιεῖσθαι τὸν λόγον νῦν, ἀλλὰ περὶ τῶν γυμναστικῶν τι μετιόντων ἐπιτηδευμάτων καὶ μήτε παύεσθαι τελέως αὐτοῦ δυναμένων μήτε εἰς πάνυ βραχὺ συστεῖλαι, διὰ τοῦτο*

exercitationum tertia pars non paucior, tum ciborum dimidia subtrahenda est. Constat enim sane ventriculum ciborum copiam ut concoquat concalefacere non posse. Cibus iis esto panis quam maxime tostus in vino intritus et potus quam paucissimi et meracissimi, neque deambulationibus a cibo utantur. Sub hoc vero tempus semel duntaxat cibum sumere eos convenit. Sic enim vel maxime concalefiat ventriculus et ingestos cibos superaverit. Hoc autem alvi profluvii genus corporum habitus densiori carne praeditos potissimum exercet, quando ita natura comparatus est homo, ut ad carnium esum compellatur. Venae siquidem condensatae cibos ingestos non recipiunt.

Non de iis qui sanitatis gratia exercentur hunc sermonem instituere videtur, sed de illis qui studium aliquod gymnasticum subeunt, nec inde prorsus abstinere possunt, nec in arctum adeo contrahere. Ideo tertiam

αὐτῶν ἀφαιρεῖ τοῦ μὲν γυμνασίου τὸ τρίτον μέρος, τῶν δὲ σιτίων τὸ ἥμισυ. τοσοῦτο γὰρ ἐλπίζει κρατήσειν αὐτοῦ, ὡς μηκέτι ἀπεπτεῖν τε καὶ διαῤῥοιζεσθαι. ὀρθῶς δ' ἐποίησε κἀνταῦθα προσγράψας αὐτῶν τὸν λογισμὸν, ᾧ χρώμενος αὐτά τε ταῦτα καὶ τὰ τούτοις εἰρημένα συνεβούλευσε. γίνεται γὰρ, φησὶν, ὁ τρόπος οὗτος τῆς διαῤῥοίης τοῖσι πυκνοσάρκοισι, ὅταν κρεηφαγεῖν ἀναγκάζωνται, δηλώσας ἐνταῦθα περὶ τῶν γυμναστικῶν εἶναι τὸν λόγον αὐτοῦ. κρεηφαγεῖν γὰρ ἀναγκάζουσι τούτους· εἶτ' ἐφεξῆς φησιν, αἱ φλέβες πυκνωθεῖσαι οὐκ ἀντιλαμβάνονται τῶν σιτίων τῶν εἰσιόντων. ἀσαφῶς δὲ εἶπε τοῦτο καὶ διὰ τοῦτο ἠναγκάσθησαν ὑπολαβεῖν οἱ ἐξηγηταὶ τὸ τὰς πυκνωθείσας αὐτὸν λέγειν, ἀντὶ τοῦ σκληρὰς γινομένας καὶ δυσεπεκτάτους, ὡς μὴ παραδέχεσθαι τὴν τροφὴν καὶ σημαίνεσθαι τοῦτό φασιν, ἐκ τοῦ οὐκ ἀντιλαμβάνονται τῶν σιτίων, ἀλλὰ τοῦτό γε τὴν ἀνάδοσιν μᾶλλον, οὐ τὴν πέψιν εἴωθε βλάπτειν, ὥστε διαχωρεῖν μὲν αὐτοὺς ὑγρὰ, οὐ μὴν ἄπεπτα. προείρηται δὲ ὑπ' αὐτοῦ σιτώδη καὶ ἄπεπτα τοὺς τοιούτους διαχωρεῖν. ὁπόταν δὲ προσγράψαντος αὐτοῦ τὸν λογισμὸν, ᾧ πιστεύσας συνε-

exercitii partem eis adimit, ciborum vero dimidiam. Tantillum enim ſperat evinci poſſe, ut nec cruditate, nec ventris profluvio laborent. Recte autem fecit et hic, qui rationem ipſorum adſcripſerit, qua utens tum haec ipſa, tum his explicata conſuluit. *Siquidem hic profluvii modus*, inquit, *denſa carne praeditis accidit quum carnes edere coguntur.* Innuit hic gymnaſticos, quibus carnis eſum praecipiunt. Deinde ſubnectit, venae denſatae cibos ingredientes non excipiunt. Obſcure hoc protulit, ideoque ſuſpicari interpretes coacti ſunt, denſas pro duras minusque exporrectas, ut alimentum non recipiant, ipſum intelligere. Atque hoc ſignificari ajunt inde, quia cibos non excipiunt, quod diſtributionem magis quam concoctionem laedere conſuevit. Quare humida non tamen incocta ipſi dejiciunt, etſi auctor praedixerit cibos referentia crudaque tales per alvum reddere. Porro cum ratione addita, cui ſidens ille, viſa ſibi conſuluit, dubitatio

βούλευσεν ἃ συνεβούλευσεν, ὅμως ἀπορία τις ὑπολείπεται, τί χρὴ νομίζειν γίνεσθαι κατ' ἐκείνους τῶν λόγων, ἐν οἷς οὐ προσέγραψε τὴν αἰτίαν ὧν κελεύει ποιεῖν ἡμᾶς. ἐγὼ δὲ εἰ μὲν μὴ προσεγεγράφει περὶ τῶν πυκνοσάρκων, ὡμολόγουν ἂν ἀπορεῖν παντάπασιν ὡς ἐπὶ πολλῶν ἄλλων, ἐν οἷς οὐδὲν τοιοῦτον προστεθέντος τοῦ συγγραφέως ἀποφαίνονται τολμηρότατοι τὸ ἐπελθὸν αὐτοῖς οἱ ἐξηγηταί. ἐπεὶ δὲ αὐτὸς ἐμνημόνευσε τῶν πυκνοσάρκων, ἀφορμὴν ἔδωκε τοῦ γράψαι τι καὶ αὐτοὺς χρήσιμον ἐπὶ τῶν [235] τοιούτων φύσεων. ἀθροίζουσι γὰρ οὗτοι τάχιστα πλῆθος, ἐλλιπῶς διαπνεόμενοι καὶ διὰ τοῦτο τῆς ἀναδόσεως ἰσχομένης αὐτοῖς, ὑγρὰ μὲν πάντως γίνεται τὰ διαχωρήματα, ποτὲ δ' οὐχ ὑγρὰ μόνον, ἀλλὰ καὶ λεπτὰ καὶ μάλιστα ἐπὶ τῶν ἀδηφαγούντων. ὅταν μὲν γὰρ ἀναδίδοταί τι τῶν καταποθέντων, ἑτοιμότερον ἡ γαστὴρ πέττει τὰ κατάλοιπα. διαμένοντος δὲ ἐν αὐτῇ τοῦ πλήθους τῶν σιτίων, ὅταν ποτὲ βαρύνηται πρὸς αὐτῶν, ἀποτρίβεται πάντα πρὶν πεφθῆναι. ἴσως δὲ καὶ διὰ τὴν σκληρότητα τῶν φλεβῶν ἡ τῆς τροφῆς ἀνάδοσις ἐκωλύετο,

adhuc aliqua relinquatur, quid putandum eſt in illis fieri ſermonibus, ubi cauſam eorum, quae nobis facere injungit, omiſit? Ego ſane niſi denſorum meminiſſet, faterer me plane haeſitare, ut in multis aliis, in quibus quum nihil ejusmodi ſcriptor adjecerit, audaciſſimi interpretes quicquid ipſis in mentem venit effutiunt. At quia Polybus ipſe denſa carne praeditorum mentionem facit, occaſionem et ipſis ſcribendi praebuit, quid hujusmodi naturis conveniat. Nam tales celerrime copiam colligunt, parum perfecte perſpirantes, eoque digeſtione retenta, humidae omnino dejectiones evadunt, interdum non modo humidae, ſed etiam tenues, praeſertim in edacibus. Quum enim quippiam ex deglutitis diſtribuitur, promptius venter reliqua concoquit. Quod ſi in eo maneat ciborum copia, quum interdum ab eis gravetur, omnia ante concoctionem excutiuntur. Forſan ob venarum duritiem alimenti diſtributio impediebatur, ut quae magis extendi nequeant. Ve-

μὴ δυναμένων αὐτῶν ἐπὶ πλέον διαστέλλεσθαι, ἀλλὰ τήν γε τῶν τοιούτων φύσεων ἐπιμέλειαν ἐχρῆν αὐτὸν γεγραφέναι διὰ τῆς εἰς τοὐναντίον ἀγωγῆς. ἀραίωσίς τε γὰρ καὶ μάλαξις ὅλης τῆς ἕξεως εἰσὶν οἱ σκοποὶ, διὰ μαλακῆς τρίψεως καὶ λίπους πολλοῦ ἐν ταῖς πυέλοις γινόμεναι. ὁ δέ γε πρὸς τὸ σύμπτωμα μόνον ἵσταται, παραλιπὼν αὐτοῦ τὴν οἷον ῥίζαν ἐκκόψαι. λέλεκται δὲ κατὰ τὴν προκειμένην ῥῆσιν καὶ τοῦτο αὐτῷ. δῆλον γὰρ ὅτι ἡ κοιλία συνθάλπειν οὐ δύναται. καὶ μὴν εἴπερ ἀληθῶς ᾐτιάσατο τὴν πυκνότητα τῆς ἕξεως καὶ τὰς φλέβας οὐκ ἀντιλαμβανομένας τῆς τροφῆς, οὐκ ὀρθῶς αἰτιᾶται τὴν κοιλίαν. εἰ μέν τις αὐτῷ συγχωρήσειεν ἀληθεύειν ἐν τούτῳ, συγχωρήσειε καὶ τὴν ἐφεξῆς γεγραμμένην δίαιταν ὀρθῶς εἰρῆσθαι, τὸν ἐξοπτὸν ἄρτον καὶ τὸ ποτὸν εὔκρατον. ἔλαττον δὲ καὶ τὴν μονοσιτίαν καὶ τὸ μὴ περιπατεῖν ἐπὶ τοῖς σιτίοις.

κη'.

Ἐστὶ δὲ αὕτη μὲν ὀξείη ἡ φύσις καὶ τρέπεται ἐφ' ἑκάτερα

rum talium naturarum curationem ex contrariis appofuiffe ipfum oportebat. Raritas namque et mollities totius habitudinis fcopi exiftunt, molli frictione et pinguedine copiofa in foliis comparatae. Hic quidem adverfus fymptomata tantum pugnat, caeterum ipfius veluti radicem excindere negligit. Dictum eft hoc quoque ab eo ferie praepofita. Liquet fiquidem ventriculum fovere cibos non poffe. Et profecto, fi vere habitus denfitatem et venas non excipientes alimentum caufatus eft, falfo ventrem caufatur. Si quidem hic ei tanquam vera dicenti conceffleris, indubie etiam infra pofitam victus rationem recte inftitutam effe concedes. Affum panem, potionem meracam, minus autem femel die cibum capere, non fecundum epulas obambulare, probabis.

XXVIII.

Haec autem natura quidem eft praeceps et ad utramque

καὶ ἀκμάζει ὀλίγον χρόνον ἡ εὐεξίη ἐν τοῖσι τοιουτοτρόποισι τῶν σωμάτων.

Ὀξεῖαν εἶπε τὴν τῶν πυκνοσάρκων φύσιν, ἐν ἴσῳ τῷ ταχείας ποιουμένην τὰς μεταβολάς. ἐπιφέρων γοῦν ἐρεῖ καὶ τρέπεται ἐφ᾽ ἑκάτερα, τουτέστιν ἐπί τε τὴν εὐεξίην καὶ τοὐναντίον. ἐφεξῆς δ᾽ ἔτι φησὶ, καὶ ἀκμάζει ὀλίγον χρόνον ἡ εὐεξίη ἐν τοῖσι τοιουτοτρόποισι τῶν σωμάτων. ἐδείχθη γὰρ ἐν τοῖς εἰς τοὺς ἀφορισμοὺς ὑπομνήμασιν ὅτι ἡ τῶν γυμναστικῶν εὐεξία μετὰ πληρώσεως αἵματός τε καὶ σαρκῶν τὴν ῥώμην φυλάττουσα τῶν φυσικῶν δυνάμεων. ἀλλ᾽ ὥσπερ ἐκεῖ τὴν ἐπ᾽ ἄκρον εὐεξίαν ἐδείκνυμεν εἶναι σφαλερὰν, οὐ ταχέως γιγνομένην ἐν τοῖς ἀραιοῖς σώμασιν, οὕτω καὶ ἐπὶ τῶν πυκνοσάρκων, ἐπεὶ τάχιστα γίνεται, διὰ τὸ δυσφόρητον ἀναγκαζομένη δηλονότι μεταπίπτειν εὐθέως, ὀξεῖαν ποιεῖται τὴν γένεσιν καὶ τὴν λύσιν.

---

partem vertitur et hujusmodi corporum bonus habitus exiguo tempore viget.

Lubricam vocavit naturam eorum qui densam carnem obtinent, ut quae aequali celeritate mutetur. Nam subjungit, *utrobique vertitur*, hoc est in bonam contrariamque habitudinem. Post haec insuper adjungit *et bonus hujusmodi corporum habitus exiguo tempore viget.* Ostensum namque est commentariis in Aphorismos, quod exercitatorum habitus probus cum sanguinis et carnium repletione naturalium facultatum robur conservat. Sed quemadmodum illic habitudinem in summo bonam indicavimus esse periculosam, quae non cito raris corporibus advenit, ita quoque in densioribus quam celerrime, quod haud ex facili digerantur, accidit. Quippe quum relabi cogitur, repente tum oritur tum solvitur.

κθ'.

Τὰ δὲ ἀραιότερα τῶν εἰδέων καὶ δασύτερα καὶ τὴν κρεηφαγίην δέχεται καὶ τὰς ταλαιπωρίας μᾶλλον ὑπομένει καὶ χρονιώτεραι γίνονται αὐτέοισιν αἱ εὐεξίαι.

Ὅτι τὰ δασύτερα τῶν σωμάτων ἀραιότερον ἔχει τό τε δέρμα καὶ τὸ σαρκῶδες γένος ἐμάθομεν ἐν τοῖς περὶ κράσεων. ταῦτ' οὖν εἰκότως φησὶ καὶ τὴν κρεηφαγίαν ἀνέχεσθαι μᾶλλον, ὡς ἂν διαπνεόμενα καὶ τὰς ταλαιπωρίας· ἧσσον γὰρ ἁλισκέται κόποις. ἐμάθομεν καὶ τοῦτο ἐν τοῖς ὑγιεινοῖς. εἰ δὲ ταῦτα καὶ τὰς εὐεξίας ἕξει χρονιωτέρας, ὡς ἂν μὴ εἰς ἄκρον ἀφικνουμένας ἑτοίμως.

λ'.

[236] *Καὶ ὁκόσοι τὰ σιτία ἀνερεύγονται τῇ ὑστερέῃ καὶ τὰ ὑποχόνδρια μετεωρίζεται αὐτέοισιν, ὡς ἀπέπτων τῶν σιτίων ἐόντων, τουτέοισι καθεύδειν μὲν πλείονα χρόνον*

XXIX.

Atqui rariores habitus ac hirsuti magis carnium esum admittunt laboresque magis sustinent diutiusque in bona corporis habitudine perseverant.

Hirsuta corpora cutem magis raram et carnosum genus habere in opere de temperamentis didicimus. Haec itaque merito ait carnis esum magis ferre, ut quae perspirent, et labores, quoniam minus lassitudinem percipiunt. Hoc quoque in libro de sanitate tuenda docuimus. Si haec ita tolerant, etiam bonos habitus diuturniores habebunt, ut quae non prompte ad summum perveniant.

XXX.

Qui postridie cibos eructant et quibus hypochondria cibis non coctis attolluntur, iis longior somnus confert. Quin etiam ad alios corporis labores cogi debent, vi-

ξυμφέρει, τῇ δὲ ἄλλῃ ταλαιπωρίῃ ἀναγκάζειν χρὴ αὐτῶν τὰ σώματα καὶ τὸν οἶνον ἀκρητέστερον πινόντων καὶ πλείω καὶ τοῖσι σιτίοισιν ἐλάσσοσι χρέεσθαι ὑπὸ τοῦτον τὸν χρόνον. δῆλον γὰρ δὴ ὅτι ὑπ' ἀσθενείης καὶ ψυχρότητος ἡ κοιλίη οὐ δύναται τὸ πλῆθος τῶν σιτίων καταπέσσειν.

Καλῶς ἐποίησεν ἐνταῦθα προσθεὶς αὐτὸς ἐπὶ τῷ τέλει. δῆλον γὰρ δὴ ὅτι ὑπὸ ἀσθενείης καὶ ψυχρότητος ἡ κοιλία οὐ δύναται τὸ πλῆθος τῶν σιτίων καταπέσσειν. ὡς πρὸς τοῦτον γὰρ ἀποβλέπων τὸν σκοπὸν, ἐκθερμαίνειν αὐτὴν πειρᾶται. καὶ κατὰ τοῦτο καθεύδειν τε πλείω χρόνον αὐτοῖς συμβουλεύει καὶ γυμνάζεσθαι, καὶ τὸν οἶνον ἀκρατέστερον πίνειν καὶ πλείονα καὶ τοῖς σιτίοις ἐλάττοσι χρῆσθαι κατ' ἐκεῖνον τὸν χρόνον, καθ' ὃν ἂν ἠπεπτηκότες τυγχάνωσιν, ὡς ἄν γε τῷ λοιπῷ γυμναζόμενοί τε καὶ κινούμενοι καὶ πίνοντες τὸν οἶνον, ὡς εἰρήκαμεν, οὐδέν τι δέονται τῆς συμμέτρου ποσότητος τῶν σιτίων ἀφαιρεῖν.

---

numque meracius et copiosius bibere et sub id tempus paucioribus uti cibariis. Constat enim sane ventriculum prae imbecillitate et frigiditate ciborum multitudinem concoquere non posse.

Probe ad sermonis calcem hic adjecit: constat enim sane ventriculum ciborum copiam imbecillitatis ac frigiditatis vitio concoquere non posse. Quippe huc respiciens excalefacere ipsum conatur, ac ob id diuturniorem somnum ipsis consulit, item exercitia ac vinum meracius et copiosius, cibos pauciores tunc, quum cruditatem contraxerint. Nam si reliquo tempore exercentur, moventur vinumque bibunt, uti diximus, nihil a mediocri ciborum copia demendum erit.

λα'.

(37) Ὁκόσους δὲ δίψαι λαμβάνουσιν, τουτέοισι τῶν τε σιτίων καὶ τῶν ταλαιπωριῶν ἀφαιρέειν καὶ τὸν οἶνον πινόντων ὑδαρέα τε καὶ ὡς ὅτι ψυχρότατον.

Νῦν μὲν οὕτως εἴρηται τὸ γνώρισμα τῶν θερμῶν φύσεων, ἐν δὲ τῷ ἕκτῳ τῶν ἐπιδημιῶν κατὰ τήνδε τὴν ῥῆσιν· ἐν θερμῷ φύσει ψυχρὸν ποτὸν ὕδωρ, ἐλινύειν. αὐτὸς γὰρ ὀνομάσας τὴν κρᾶσιν τοῦ σώματος ἐφεξῆς ἔγραψε τὴν δίαιταν ἧς χρήζουσιν οἱ οὕτω διακείμενοι, κεφάλαιον μὲν ἔχουσαν τὴν ψύξιν. ἐν δὲ τῷ κεφαλαίῳ τούτῳ τῆς διαίτης τὰ δραστικώτερα, ἥ τε ὑδροποσία ἐστὶν καὶ ἡ ἀγυμνασία. κατὰ δὲ τὴν προκειμένην ῥῆσιν τὸ μὲν ἐλινύειν ἕτερον ὠνόμασεν, εἰπὼν καὶ τῶν ταλαιπωριῶν ἀφαιρέειν. ἀντὶ δὲ τοῦ πίνειν ὕδωρ γράψας καὶ τὸν οἶνον πινόντων ὑδαρέα τε καὶ ὡς ὅτι ψυχρότατον καί μοι δοκεῖ κάλλιον ἐνταῦθα παραινέσαι· τὸ γὰρ ὑδαρὲς πόμα καὶ ψυχρὸν οὐκ ἐστέρηται μὲν τοῦ ἐμψύχειν, προσείληφε δὲ καὶ τὰς ἐκ τοῦ οἴνου ὠφελείας.

XXXI.

Quos autem ſitis obſidet, iis cibi et labores ſubtrahendi et vinum tam aquoſum quam maxime frigidum propinandum.

Nunc quidem calidae naturae notas ſic prodidit. At in ſexto epidemiorum hiſce verbis ſcriptum eſt: *In calida natura frigidae potio et quies.* Ipſe namque quum corporis temperamentum nominaſſet, mox diaetam ſubjicit, qua ſic affecti utuntur, principale autem refrigerationem habet, ad quam conſequendam victus ratione efficaciora ſunt aquae potio et otium. In praepoſita ſerie quieſcere aliud appellavit, quum diceret, laboribus demendum, pro aquae potione ſcribens, vinum bibant dilutum et perfrigidum. Atque mihi videtur hic rectius laudari. Siquidem diluta potio et frigida non privata eſt refrigeratione, ſumit autem ex vino praeſidia.

λβ'.

Ὁκόσοισι δὲ ὀδύναι γίγνονται ἐκ τῶν σπλάγχνων ἢ ἐκ γυμνασίης ἢ ἐξ ἄλλης τινὸς ὁδοιπορίης, τουτέοισι ξυμφέρει ἀναπαύεσθαι ἀσίτοισι. πόματι δὲ χρέεσθαι ὅ τι ἐλάχιστον εἰς τὸ σῶμα ἐσελθὸν, πλεῖστον οὖρον διάξει, ὅπως αἱ φλέβες, αἱ διὰ τῶν σπλάγχνων πεφυκυῖαι, μὴ κατατείνωνται πληρώμεναι. ἐκ γὰρ τῶν τοιουτέων τὰ φύματα γίνονται καὶ οἱ πυρετοί.

---

[237] *Περὶ πασῶν δὲ τῶν ὑποθηκῶν ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ τελέως διελήλυθα καὶ νῦν ὅσον ὑπομνήσεως ἕνεκα καθάπερ ἐν τοῖς ἔμπροσθεν, οὕτως καὶ κατὰ τήνδε τὴν ῥῆσιν εἰρήσεται. πολλοῖς γὰρ τῶν ἀπυρέτων ὀδύναι ἐπιγίνονται κατὰ τὰ σπλάγχνα καὶ μάλιστα κατὰ τὸ ἧπαρ. ὅταν ἐπὶ σιτίοις γυμνασάμενοι τύχωσιν ἢ λουσάμενοι, καὶ γίνεται τοῦτο διὰ στενοχωρίαν μὲν τῶν ἐν τῷ σπλάγχνῳ διεξόδων πάχος τε τῶν ἀναφερομένων χυμῶν. ἐμφραττόμενοι γὰρ καὶ ἐνισχόμενοι τοῖς στενοῖς πέρασι τῶν φλεβῶν,*

XXXII.

Quibus vero viſcerum dolores aut ab exercitatione aut ex alio aliquo itinere ſuboriuntur, his quiescere et cibis abſtinere confert. Potu autem utantur qui quam pauciſſima copia plurimam urinam ducat, ut ne venae, natura visceribus inſitae, copia diſtendantur. Ex his enim cauſis tubercula et febres oriuntur.

De omnibus autem his praeceptis abunde in opere de tuenda valetudine diſſeruimus et nunc memoriae gratia ut in ſuperioribus, ita hac oratione exponemus. Multis enim liberis ab omni febre dolores ſuboriuntur in visceribus, maxime jecinore, quum a cibo nos exercitaverimus vel laverimus, idque propter viſceris meatuum anguſtiam et humorum innatantium craſſitudinem. Dum enim infarciuntur retinenturque arctis venarum terminis, per quos ſangui-

καθ' ἃ ἡ μετάληψις γίνεται τοῦ αἵματος ἐκ τῶν σιμῶν τοῦ ἥπατος εἰς τὰ κυρτὰ, κωλύουσι μὲν τὰς διεξόδους, διατείνουσι δὲ δηλονότι τὰς κατὰ τὰ σιμὰ τοῦ ἥπατος φλέβας, ἐφ' αἷς οὕτω πασχούσαις ὀδυνῶνται χωρὶς τοῦ πυρέσσειν. ἀναπαύεσθαι δὲ τούτους χρὴ καθ' ὃν ἂν ἀλγῶσι χρόνον καὶ πίνειν τι τῶν οὐρητικῶν καὶ τὸ ἧπαρ ἐκφραττόντων. ἂν γὰρ μὴ οὐρήσωσι, φύματα καὶ πυρετοὶ ταῖς τοιαύταις προφάσεσιν ἐπιγίνονται.

λγ'.

Ὁκόσοισι δὲ αἱ νοῦσοι ἀπὸ τοῦ ἐγκεφάλου γίνονται, νάρκη πρῶτον ἴσχει τὴν κεφαλὴν καὶ οὐρέει θαμινὰ καὶ τἄλλα πάσχει ὁκόσα περ ἐπὶ στραγγουρίῃ, οὗτος ἐφ' ἡμέρας ἐννέα τοῦτο πάσχει. καὶ ἢν μὲν ῥαγῇ κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα ὕδωρ ἢ βλέννα, ἀπαλλάσσεται τῆς νούσου καὶ τῆς στραγγουρίης παύεται. οὐρέει δὲ ἀπόνως καὶ πουλὺ καὶ λευκὸν, ἔστ' ἂν εἴκοσιν ἡμέρας παρέλθῃ καὶ ἐκ τῆς κεφαλῆς ἡ ὀδύνη ἐκλείπει τῷ ἀνθρώπῳ, ἐσορέοντι δὲ κλέπτεταί οἱ ἡ αὐγή. ἄνδρα δὲ χρὴ, ὅς ἐστι συνετὸς,

nis fit tranſſumptio ex jecinoris cava parte in gibbam, tranſitus impediuntur. Atqui diſtendunt in cavitate videlicet jecoris venas; quibus ita affectis dolorem ſine febre etiam perſentiscunt. Quiescere hos convenit quo tempore dolent, item bibere quod urinam moveat et jecur referet. Niſi enim urinas excernant, his phymata et febres ex hujusmodi cauſis oboriuntur.

XXXIII.

Quibus morbi ex cerebro oriuntur, narce primum caput obſidet, urinam crebro mingit aeger, eademque quae in ſtranguria perpetitur; isque ad dies novem patitur. Et ſi quidem per nares aut aures aqua vel mucus erumpat, morbo liberatur et ſedatur ſtranguria. Mingit autem multum et citra dolorem, idque album, quoad viginti praeterierint dies, et capitis dolor hominem relinquit, ſed huic intuenti ſplendor obſcuratur. Porro virum

συλλογισάμενον, ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιόν ἐστιν ἡ ὑγιείη, ἐπίστασθαι ἐκ τῆς ἑωϋτοῦ γνώμης ἐν τῇσι νούσοισιν ὠφελέεσθαι.

Εἰκότως ὑπωπτεύκασι ταύτην τὴν ῥῆσιν ἔνιοι δὲ καὶ τελείως κατεγνώκασιν, ὡς οὔτε Πολύβου γεγραφότος αὐτὴν οὔτε πολὺ μᾶλλον Ἱπποκράτους. ἥ τε γὰρ ἀρχὴ τοῦ λόγου παντάπασιν ἀδιόριστος, ἀξιοῦσα τὰς ἀπὸ τοῦ ἐγκεφάλου νάρκην τε καὶ στραγγουρίαν ἐπιφέρειν οὔτε εἴπερ ἡγήσαιτό τις αὐτὸν οὐ πάσας τὰς ἀπὸ τοῦ ἐγκεφάλου νόσους ἀποφαίνεσθαι τοιαύτας ὑπάρχειν, ἀλλὰ μόνας ἐφ' ὧν κατὰ τὰ ὦτα καὶ τὰς ῥῖνας ὕδωρ καὶ βλέννα ῥυεῖσα τὴν νόσον ἔπαυσεν, ἀληθὲς τὸ λεγόμενον, οὔτε γὰρ ἀεὶ φαίνεται τοῦτο γιγνόμενον οὔθ' ὡς ἐπὶ τὸ πολύ.

prudentem ratiocinari oportet, ſanitatem plurimi ab hominibus aeſtimandam eſſe, ac ſcire ſuo ipſius conſilio in morbis opitulari.

Non injuria multis haec oratio ſuſpecta fuit; nonnulli etiam damnaverunt in univerſum, ceu eam ne Polybus quidem, nedum Hippocrates ſcripſerit. Nam orationis exordium plane indiſtinctum eſt, ut quod a cerebro ſtuporem et urinae ſtillicidium fieri inferat. Neque verum eſſe poterit quod tradidit, ſi putes ipſum, non omnes morbos qui a cerebro ſunt, pronunciare tales exiſtere, ſed eos ſolum in quibus circa aures naresque aqua aut mucus effluens morbum ſedarit. Neque enim id fieri perpetuo neque frequenter apparet.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΡΟΦΗΣ ΥΠΟΜΝΗΜΑ Α.

Ed. Chart. VI. [238.]

α΄.

[238] Τροφὴ καὶ τροφῆς εἶδος μία καὶ πολλαί· μία μὲν, ᾗ γένος ἓν, εἶδος δὲ ὑγρότητι καὶ ξηρότητι· καὶ ἐν τουτέοισιν ἰδέαι καὶ πόσον ἐστὶ καὶ ἐς τίνα καὶ ἐς τοσαῦτα. αὔξει δὲ καὶ ῥώννυσι καὶ σαρκοῖ καὶ ὁμοιοῖ καὶ ἀνομοιοῖ τὰ ἐν ἑκάστοισι κατὰ φύσιν τὴν ἑκάστου καὶ τὴν ἐξ ἀρχῆς δύναμιν.

GALENI IN HIPPOCRATIS LIBRUM DE ALIMENTO COMMENTARIUS I.

I.

Alimentum et alimenti species unum et multa; unum quidem quatenus genus unum, species vero humiditate et siccitate circumscribitur, in hisque formae et quantitas inest et ad quaedam et ad tot referuntur. Auget autem et roborat et carnem gignit et assimilat et dissimilia facit quae singulis insunt pro cujusque natura et ea quae adest ab initio facultate.

Ed. Chart. VI. [238. 239.]

* * Καὶ γὰρ τό γε αὐξάνεσθαί τε καὶ τρέφεσθαι φύσεως ἔργα εἶναι ἀποδέδεικται. τὰ δὲ οὐχ οἷά τε ποιεῖσθαι, ἐὰν τὸ σῶμα κατὰ μηδὲν ἐξαλλάττηται τῶν προϋπαρχόντων αὐτῷ. ἀνάγκη γὰρ τὸ σῶμα πᾶν κινεῖσθαι, εἴπερ αὔξησιν, ἢ μείωσιν λαμβάνει. αὗται δὲ αἱ κινήσεις κατὰ τὸ ποσόν· ὡς ἐὰν λευκὸν ὑπάρχον μελαίνοιτο καὶ εἰ μέλαν λευκαίνοιτο, κατὰ ποιότητα, ἤγουν κατὰ τὸ χρῶμα κινεῖσθαί φαμεν. οὕτω δὲ καὶ εἰ ἐκ τοῦ θερμοτέρου ψυχρότερον γένοιτο, ἢ ἀνάπαλιν, καὶ εἰ ἐκ ξηροῦ ὑγρὸν, ἢ ἐξ ὑγροῦ ξηρὸν, ἀλλοιοῦσθαι λέγεται. ἀλλὰ καὶ εἰ τόπον μεταλλάττον τύχῃ, κινεῖσθαι λεχθήσεται. ὃ δὲ [239] αὐτὸς λέγει, ἴσμεν γενέσθαι· ὅταν ἐξ ἐλάττονός τι μεῖζον, ἢ ἐκ μείζονος ἔλαττον γένηται καὶ τὸ οἰκεῖον εἶδος αὐτοῦ σώζῃ. περὶ δὲ τῆς γενέσεως καὶ φθορᾶς καὶ ὅτι ἡ γένεσίς ἐστιν εἰς οὐσίαν ἀγωγὴ, φθορὰ δὲ ἡ ἐναντία, τί χρὴ λέγειν, μάλιστα μὲν περὶ τούτων ἤδη πάλαι εἰρηκότων καλῶς τῶν πολλῶν φιλοσόφων καὶ αὐτὰ τῆς κινήσεως εἴδη πάντα παραδεδωκότων. * * * χρῆται γὰρ ταῖς τέτταρσι καὶ ἐξ αὐτῶν τὰ στοιχεῖα γίγνε-

* * Etenim augeri atque ali naturae esse opera demonstratum est. Verum, haec effici non possunt, nisi in corpore fiat alicujus eorum quae prius in ipso inerant commutatio; omne enim corpus moveri necesse est, si incrementum aut decrementum capit; atque hi motus in quantitate fieri dicuntur, sicut si corpus album fiat nigrum, aut nigrum fiat album, in qualitate, hoc est, in colore moveri dicimus: simili quoque modo si ex calidiore frigidius aut contra reddatur, sique ex sicco humidum aut ex humido siccum, alterari. Iam vero si locum mutet, moveri dicetur. Quod autem ipse ait, scimus usu venire, quum quid ex minore majus aut ex majore minus fiat, ita tamen ut suam propriam formam servet. Caeterum de ortu et interitu, atque ortum esse productionem ad essentiam, interitum vero ejus contrarium, quid attinet dicere, praesertim quum jamdudum his de rebus multi philosophi recte disseruerint et omnia genera motus explicaverint. * * * * Qua-

Ed. Chart. VI. [239.]

σθαι βούλεται, ἐκ τούτων δὲ τοὺς χυμοὺς, τοὺς ἐν τοῖς ζώοις τε καὶ φυτοῖς συνισταμένους. καὶ ἐν ζώοις μὲν καὶ φυτοῖς μᾶλλον μὲν δρᾷν τὴν θερμότητα καὶ τὴν ψυχρότητα· ἧττον δὲ τὸ ὑγρὸν καὶ τὸ ξηρόν· ὅπερ καὶ Ἱπποκράτης φαίνεται λέγειν. τοῦτο μὲν οὖν ὡμολόγηται πᾶσι σχεδὸν τοῖς φιλοσόφοις τε καὶ ἰατροῖς, πρώτας εἶναι δ' τὰς ποιότητας, τὴν θερμότητα, τὴν ψυχρότητα, τὴν ὑγρότητα καὶ τὴν ξηρότητα. καὶ ἐκ τούτων κράσεως τὰ στοιχεῖα τὰ αἰσθητὰ γενέσθαι καὶ τὰ ὁμοιομερῆ πάντα τοῦ σώματος μόρια· εἶτα δὲ τὰ ὀργανικὰ, ἅπερ ἀνομοιομερῆ καλεῖται. γενηθέντος δὲ τοῦ ζώου, ἐπειδὰν τὸ τέλειον ὑπολάβῃ μέγεθος, αἱ φυσικαὶ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ· καὶ μὴ μόνον ἡ θρεπτικὴ καὶ ἀλλοιωτικὴ, ἀλλὰ καὶ ἡ αὐξητική. ταύτης δὲ τῆς δυνάμεως ἴδιόν ἐστιν εἰς πᾶν μέρος ἐκτεῖναι τὸ ζῶον. τὸ δὲ διατείνεσθαι πάντῃ μόνοις τοῖς ὑπὸ φύσεως αὐξανομένοις ὑπάρχει. τοῦτο δὲ ἄνευ τῆς ἐπιῤῥεούσης τε καὶ προσπλαττομένης τροφῆς οὐ δύναται γενέσθαι. οὐ γὰρ δύναται αὔξησις

tuor enim qualitatibus utitur et ex iis effici elementa cenſet, tum ex elementis eos humores, qui in animantibus ſtirpibusque conſiſtunt; eidem etiam placet in animalibus et ſtirpibus calorem ac frigus eſſe magis efficaces, humorem et ſiccitatem minus, id quod etiam ſenſiſſe videtur Hippocrates. Ac de hoc quidem inter omnes fere et philoſophos et medicos convenit, primas qualitates eſſe quatuor, calorem, frigus, humorem et ſiccitatem: atque ex ipſarum temperatione effici cum ſenſibilia elementa, tum partes omnes corporis quae conſtant e partibus ſimilaribus inter ſe, et item organicas, quae ex partibus inter ſe diſſimilibus conflatae dicuntur. Exorto autem animali, quum perfectam ſit nactum magnitudinem, naturales facultates in ipſo actionem ſuam obeunt: quo in numero verſatur non modo nutrix atque alteratrix, ſed etiam auctrix; hujus quidem facultatis eſt proprium, in omnes partes animal extendere, quum interdum in omnes partes extendi iis ſolis ſit quae a natura augen-

Ed. Chart. VI. [239.]

ποτε γίγνεσθαι ἄνευ τῆς ὑγρᾶς οὐσίας. διὸ ἐν τοῖς αὐξανομένοις φυλάττειν χρὴ, ὡς μήτε πάνυ πολλὰ, μήτε βίαια γυμνάζοιντο· μή πως αὐτῶν αὔξησιν ἐπισχῶμεν· τοῦτο γινώσκοντες, ὅτι ἀεὶ ἀπὸ τῆς πρώτης γενέσεως ἅπαν ζῶον ὁσημέραι γίνεται ξηρότερον. μὴ ἐξαπατάτω δέ σε ἡ ἀλλοίωσις, ἡγούμενον ταὐτὸν εἶναι τὴν αὔξησιν αὐτῇ. αὐξάνεται μὲν γάρ τι κατὰ τὸ ποσὸν, ἀλλοιοῦται δὲ κατὰ τὸ ποιόν. ἕτερον οὖν ἐστι προφανῶς αὔξησις οὐσίας, ἀλλοιώσεως. ἡ δὲ αὔξησις ἔστ' ἂν τὰ ὀστᾶ κρατυνθῇ. κρατύνεται δὲ ἐπὶ σμικρῷ μεγέθει δι' ὕλης ἔνδειαν, ἢ ξηρότητα. παύεται γὰρ τῆς αὐξήσεως, ἢ πρωϊαίτερον, ἢ ὀψιαίτερον ἕκαστον ἐπὶ διττῇ αἰτίᾳ. * * αὐτὸς δὲ τοῦτο ἐσημαίνετο τῇ ἐναντιότητι, εἰπὼν, ὑγρότητι καὶ ξηρότητι. οἶδα γὰρ ὡς τὸ μὲν μεῖζον τοῦ δέοντος, οὕτω καὶ τὸ σμικρότερον κατὰ διττὰς αἰτίας γίνεται· τὸ μὲν μεῖζον, ἢ διὰ πλεονεξίαν ὑγρότητος, ἢ ὕλης· τὸ δὲ ἔλαττον, ἢ διὰ ξηρότητα κρατοῦσαν, ἢ τῆς ὕλης ἔνδειαν. διὸ τὸ μὲν θερμότερον τοῦ δέοντος σῶμα, ἐὰν μὲν ἐν τῇ πρώτῃ συστάσει μέσον ὑγρότητος καὶ ξηρότητος

tur attributum, quod tamen fine alimento affluenti atque adhaerenti non poteft contingere; fiquidem incrementum fine humida fubftantia effici nullo modo poteft; quocirca in iis qui crefcunt adhibenda cautio eft, ne multum admodum neve violenter exerceantur, ne forte ipforum incrementum cohibeamus, quum hoc fcitum fit omne animal femper a primo ortu fui quotidie fieri ficcius. Ne vero te fallat alteratio, quod ipfam idem effe, quod incrementum exiftimes; quandoquidem incrementum in quantitate, alteratio in qualitate efficitur. Proinde aliud plane eft incrementum fubftantiae, aliud alteratio. Incrementum autem progreditur usque dum offa firmata fint. Firmantur autem in parva mole vel propter materiae penuriam vel propter ficcitatem. Defiftunt autem ab incremento corpora citius aut ferius duplici de caufa. * * Hoc ipfe propofita repugnantia fignificavit, quum dixit: *humiditate et ficcitate*; novimus enim ficut plus, quam oporteat, ita etiam minus duabus effici de caufis; ut quod plus eft, propter

P 2

Ed. Chart. VI. [239.]
ᾖ, πάντως τοῦτο κατὰ τὴν ἀκμαστικὴν ἡλικίαν γίνεται ξηρόν. ἔτι δὲ μᾶλλόν τε καὶ θᾶττον, εἰ δὲ καὶ φύσει ξηρότερον εἴη. καὶ δὴ γηράσκει τοῦτο θᾶττον, ὅσῳ καὶ θᾶττον εἰς ἀκμὴν ἀφίκοιτο. εὔλογον γάρ ἐστι πάντων ἐν τῇ παρακμῇ ξηραινομένων τὸ φύσει ξηρότερον εἰς τὴν ξηρότητα ἀφικνεῖσθαι θᾶττον. διὰ μὲν οὖν ταύτην τὴν αἰτίαν * * * * * χρὴ ταῖς τροφαῖς χρῆσθαι, ταῖς μὲν * * * * * * * * * * *

redundantiam humoris aut materiae; quod minus, aut propter ſiccitatem ſuperantem aut propter materiam deficientem. Quamobrem corpus quod ſit calidius quam oporteat, ſi in prima conſtitutione medium in humiditate et ſiccitate habitum obtinuit, id omnino in florenti aetate ſiccum efficitur; idque tum magis tum celerius, atque etiam ſi natura erat ſiccius, idem quoque eo citius ſeneſcet, quo celerius ad florentem aetatem pervenerit. Quum enim omnes inclinante aetate ſicci reddantur, conſentaneum eſt ut quod natura ſit ſiccius, id citius ad ſiccitatem perveniat; quare ob hanc cauſam * Utendum eſt his alimentis quae

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΡΟΦΗΣ ΥΠΟΜΝΗΜΑ Β.

Ed. Chart VI. [240.]

α'.

[240] *Ὅμοιοι δὲ ἐς δύναμιν, ὁκόταν κρατέῃ μὲν ἡ ἐπιοῦσα, ἐπικρατέῃ δὲ ἡ προϋπάρχουσα.*

* * * * Ὅτι τρία ἐστὶ τὰ τῆς φύσεως τοῦ ζώου ἔργα· καὶ τρεῖς ἐξ ἀνάγκης ἐπὶ τοῖς ἔργοις αὐτοῖς ἐνέργειαι. ὡς ἐφ' ἑκάστῳ μίαν εἶναι τὴν γένεσίν τε καὶ αὔξησιν καὶ

GALENI IN HIPPOCRATIS LIBRUM DE ALIMENTO COMMENTARIUS II.

I.

Assimilat autem pro facultate, quum quod accedit quidem superat, superat autem quod primas tenet.

* * * Tria esse naturae animantis opera, ac necessario tres actiones esse, quae his operibus respondeant; unam nimirum unicuique generationem, auctionem,

θρέψιν. ἡ μὲν οὖν γένεσις σύγκειται ἔκ τε τῆς ἀλλοιώσεως καὶ τῆς διαπλάσεως. οὐ γάρ γίνεταί τι μὴ ἀλλοιουμένης οὐσίας ἐξ ἧς τὸ ζῶον γίνεται, οὐδὲ τὸ σχῆμα κτᾶται τῆς ἀλλοιουμένης οὐσίας μὴ διαπλαττομένης. αὔξησιν δὲ εἶναι ἐπίδοσίν τινα εἰς μῆκος καὶ βάθος καὶ πλάτος τῶν μορίων τῶν στερεῶν, οὐδεὶς, οἶμαι, ἀγνοεῖ. θρέψις δέ ἐστι πρόσθεσις τοῖς μορίοις αὐτοῖς γινομένη. κατὰ δὲ τὴν θρέψιν τῷ ἤδη γεγονότι συνεξομοιοῦται τὸ ἐπιῤῥέον. καὶ αὕτη ἡ αἰτία ἐστὶν, ὅτι εὐλόγως ἐκείνην μὲν τὴν ἀλλοίωσιν γένεσιν, τοιαύτην δὲ ὁμοίωσιν ὀνομάζομεν. καὶ δὴ αἱ μὲν τρεῖς τοιαῦται τῆς φύσεως δυνάμεις πρῶταί εἰσι καὶ κυριώταται. ἀλλὰ μὴν δέονται εἰς ὑπηρεσίαν καὶ ἀλλήλων καὶ ἄλλων. καὶ γὰρ γεννητικὴ καὶ αὐξητικὴ τινῶν δέονται, ὡς ἤδη δέδεικται. ἡ δὲ θρεπτικὴ ἀπαιτεῖ καὶ αὐτὴ πολλά. αὐτῆς γὰρ ἐνέργεια, ὡς λέλεκται, ὁμοίωσίς ἐστιν. οὐ δύναται δὲ τὰ ὄντα ὁμοιοῦσθαι καὶ μεταβάλλειν εἰς ἄλληλα, εἰ μὴ ἔχοι τινὰ κοινωνίαν καὶ συγγένειαν ἐν ταῖς ποιότησι, ὡς ἐν ξηρότητι καὶ ὑγρότητι καὶ θερμότητι καὶ ψυχρότητι καὶ ταῖς

nutritionem. Eſt autem generatio ex alteratione conformationeque conflata, nihil enim efficitur, niſi ea ſubſtantia ex qua fit animal alteretur, neque figuram nanciſcitur, niſi alterata ſubſtantia conformetur. Auctionem autem eſſe partium ſolidarum in longitudinem, altitudinem et latitudinem incrementum, nemo, ut ego quidem arbitror, ignorat. Nutritio eſt appoſitio iisdem adjuncta partibus. In hac quod affluit ſimile efficitur ei, quod jam factum eſt, atque hoc in cauſa eſt cur illam alterationem jure nominemus generationem, hanc vero aſſimilationem. Caeterum hae tres naturae facultates et primae ſunt et maxime propriae; deſiderant tamen et ſui mutuum et aliorum miniſterium. Nam et procreatrix et auctrix quaedam, ut oſtenſum eſt, deſiderant. Sed et nutrix multa ipſa quoque expetit. Eſt enim ejus actio, ut diximus, aſſimilatio, non poſſunt autem res aſſimilari et mutari inter ſe, niſi ſocietatem et cognationem quandam in qualitatibus habeant, in ſiccitate inquam et humore et calore

Ed. Chart. VI. [240. 241.]

ἄλλαις ἁπάσαις, αἳ μετὰ ταύτας ἕπονται· αἵπερ γευσταὶ καὶ ὀσφρηταὶ καὶ ὁραταὶ καὶ ἁπλαῖ διαφοραὶ ὑπό τινων λέγονται. τοῦτο μὲν οὖν αἴτιόν ἐστιν, ὅτι οὐκ ἐκ πάντων πᾶν ζῶον τρέφεσθαι δοκεῖ· καὶ ὅτι οὐδὲ ἐξ ὧν πέφυκεν, οὐδὲ ἐκ τούτων παραχρῆμα. διὰ τοῦτο ἡ δημιουργικὴ τῶν σωμάτων φύσις, ὡς προνοητικὴ τῶν ἐσομένων, πάμπολλα τῆς τροφῆς ἀλλοιωτικὰ ὄργανα ἐν ἑκάστῳ τῷ ζώῳ πεποίηκεν. οὕτω μὲν γὰρ καὶ ἐκ τοῦ ἐρυθροῦ ξανθὸν καὶ ἐκ τοῦ λευκοῦ μέλαν καὶ ἐκ τοῦ μαλακοῦ σκληρὸν καὶ ἐκ δυσώδους εὐῶδες καὶ ἀνάπαλιν γίνεται, οὐ μήν γε ἐξαίφνης, ἀλλὰ κατὰ βραχὺ, ὡς καὶ ἐξ αἵματος ὀστοῦν, ἐξ ἄρτου τὸ αἷμα καὶ ἐκ τοῦ αἵματος ἡ σάρξ. ὅτι δὲ καὶ τὸ πλῆθος γίνεται τῶν περιττωμάτων ἐκ τοῦ σώματος διὰ τοῦτο ἐδέησε τῇ φύσει τῆς διακρίσεως αὐτῶν. διό τινα μόρια τοῖς περιττώμασι τῆς τροφῆς ἀνακείμενα δεδημιούργηκε. [241] ἔστι δὲ καὶ τὰ μόρια ὑπὲρ τοῦ πάντη φέρεσθαι καὶ τὴν τροφὴν καὶ τὰ ἀναγκαῖα τῷ σώματι. ἔστι γὰρ τὰ τρεφόμενα πολλὰ καὶ πολὺ διεστῶτα. τὰ μὲν τοίνυν ἐστὶν ἀλλοιοῦντα, ὡς τὰ τὴν

et frigore et aliis omnibus, quae hasce consequuntur; quas gustatus, odoratus, aspectus et tactus, differentias quidam appellant. Atque haec quidem causa est, ut non omne animal quovis cibo ali videatur, neque cibis iis, quibus ut alatur, ei a natura insitum est, protinus id faciat. Quamobrem natura corporum effectrix, ut quaedam rerum futurarum providentia, multa in unoquoque animali ad alterandum alimentum accommodata instrumenta fabricata est. Qua sane ratione ex rubris flava, ex albis nigra, ex mollibus dura, ex male olentibus beneolentia et vicissim fiunt, quanquam haec non repente, sed paulatim efficiuntur, sicut ex sanguine os, ex pane sanguis, ex sanguine caro. Quoniam autem in corpore copia excrementorum colligitur, ideo natura ipsorum secretionem desideravit. Quapropter quasdam partes alimenti excrementis destinatas machinata est. Sunt etiam partes per quas alimentum, quaeque necessaria sunt, in omnes corporis partes ferantur. Quum enim multa sunt quae

ἐπιτήδειον τροφὴν ἑκάστῳ μορίῳ προπαρασκευάζοντα, τὰ δὲ διακρίνοντα, ὡς ὅσα ἕνεκα τῶν περιττωμάτων πεποίηται, τὰ δὲ παραπέμποντα, τὰ δὲ ὑποδεχόμενα, ἃ κατὰ τὸ σῶμα φέρεται, τὰ δὲ ἐκκρίνοντα, τὰ δὲ ὡς ὁδοὶ καὶ τροφῆς καὶ τῶν ἄλλων ἁπάντων. ἔστι μὲν οὖν ἡ φύσις θαυμαστὴ καὶ προνοητικὴ τῶν σωμάτων, ὑπὲρ αὐτῶν ἕνεκα τοσαῦτά τε καὶ τοιαῦτα δεδημιούργηκε τὰ μόρια. τέλος δὲ εἶχεν αὐτὴ τὴν θρέψιν, ἥ ἐστιν, ὡς ἤδη ἐν τῷ πρώτῳ εἴρηται, ὁμοίωσις τοῦ τρέφοντος τῷ τρεφομένῳ. * * πάντως μὲν οὖν καὶ ὅσα μέλλει τροφαὶ εἶναι, ὁμιλῆσαι χρὴ τοῖς ὀργάνοις τοῖς πεπτικοῖς, γαστρί τε καὶ ἥπατι καὶ φλεψὶν, ἐν οἷς προκατεργασθέντα τρέφειν ἤδη δύναται τὸ σῶμα. πρὶν δὲ τοῦ ἐν τούτοις μεταβάλλεσθαι οὐχ οἷόν τε τροφὴν τοῦ ζώου γενέσθαι. τὰ μὲν οὖν ὁμοιούμενα πάντη τροφαί, πρὸς δὲ τὴν ὁμοίωσιν οὐδὲν μᾶλλον συντελεῖ ἢ τὸ πεφθῆναι καλῶς ἐν τῇ γαστρί. καὶ γὰρ τὴν δευτέραν καὶ τὴν τρίτην πέψιν ἐπιδέχεται μᾶλλον ταῦτα· γίνεται μὲν ἡ δευ-

aluntur, tum vero etiam valde diſtant inter ſe, quocirca quaedam alterant, cujusmodi ſunt quae idoneum unicuique parti alimentum praeparant, quaedam ſecernunt, ut ſunt ea omnia quae excrementorum cauſa facta ſunt, quaedam transmittunt, quaedam ſuscipiunt ea quae per corpus feruntur, quaedam excernunt, quaedam vero ſunt tanquam viae et alimenti et aliorum omnium. Ac natura quidem eſt admirabilis et corporum curam gerit, ſiquidem ipſorum cauſa et tot et tales partes procreavit. Finis autem ei propoſitus eſt nutritio, quae ut in primo commentario diximus, eſt ejus quod nutrit cum eo quod nutritur aſſimilatio. * * Omnino autem, quaecunque futura ſunt alimenta, oportet ut in inſtrumentis concoctioni deſervientibus, ceu in ventriculo, jecore et venis immorentur, ut in eis prius confecta alere jam corpus queant; quum non poſſit alimentum effici prius, quam in illis ſit commutatum. Quae igitur omni ex parte aſſimilata ſunt, alimenta ſunt. Sed ad aſſimilationem nihil aeque confert, ac factam eſſe recte in ventri-

Ed. Chart. VI. [241.]

τέρα πέψις ἐν ἥπατί τε καὶ φλεψὶ, τρίτη δὲ καθ' ἕκαστον τῶν τρεφομένων μορίων, ἧς ἕνεκεν τῶν προτέρων δυοῖν δεόμεθα. ἀλλήλας γὰρ αἱ πέψεις διαδέχονται· ὅθεν τὸ ἧπαρ τοῖς μὲν ἐν τῷ σώματι μορίοις ἅπασι τὴν τροφὴν προπαρασκευάζει, ἐκείνῳ δὲ ἡ γαστὴρ, ἐκείνῃ δὲ τὸ στόμα. ἡ μὲν οὖν φύσις ὁμοιοῖ, ὅταν κρατέῃ καὶ πέττῃ τὴν τροφὴν τὴν ἐπεισιοῦσαν· καὶ δύναμις ἡ προϋπάρχουσα ἐπικρατέει καὶ κατεργάζεται καὶ ἀλλοιοῖ καὶ ὁμοιοῖ καὶ τὸ τέλος τρέφει.

γ'.

Γίνεται δὲ καὶ ἐξίτηλος, ὁτὲ μὲν ἡ προτέρη γ' ἐν χρόνῳ ἀπολυθεῖσα ἢ ἐπιπροσθετηθεῖσα, ὁτὲ δὲ ἡ ὑστεραίη ἐν χρόνῳ ἀπολυθεῖσα ἢ ἐπιπροσθετηθεῖσα.

Ἔστιν ὅτε τὸ ἧπαρ ἰσχυρότερον ἕλκει, ἔστι δὲ ὅθ' ἡ γαστήρ. πολλῆς γὰρ ἐν τῇ κοιλίᾳ τροφῆς περιεχομένης καὶ

culo coctionem, quod ita ſecundam et tertiam concoctionem cibi facilius admittant. Secunda autem concoctio in jecore venisque conficitur; tertia in ſingulis partibus, quae nutriuntur, cujus cauſa duas illas priores requirimus. Ipſae enim ſe concoctiones invicem excipiunt. Itaque omnibus corporis partibus alimentum praeparat jecur, huic ventriculus, ventriculo denique os, quare natura aſſimilat quum ſuperat concoquitque alimentum quod ſupervenit et quum facultas, quae prius inerat, ſuperat, conficit, alterat, aſſimilat ac poſtremo nutrit.

III.

Evanidum autem fit, interdum quidem prius tempore diſſolutum aut ſuperappoſitum; quandoque vero poſterius tempore diſſolutum aut ſuperappoſitum.

Interdum jecur, interdum ventriculus trahit valentius. Quum enim magna alimenti copia ventriculo continetur

Ed. Chart. VI. [241. 242.]

σφοδρῶς ὀρεγομένου τε καὶ χρῄζοντος τοῦ ἥπατος, πάντως τοῦτο τὸ σπλάγχνον ἰσχυρότερον ἕλκει. ὅταν δ' αὐτὸ εἴη ἐμπεπλησμένον καὶ διατεταμένον, ἡ δὲ γαστὴρ ὀρεγομένη καὶ κενὴ ὑπάρχῃ, τότε ἡ γαστὴρ αὐτὴ ἕλκει ἰσχυρότερον, καὶ ἐκ τοῦ ἥπατος ἐπισπᾶται ῥᾳδίως, ὅταν αὐτὴ μὲν ἱκανῶς ὀρέγοιτο τροφῆς, ἐμπεπλησμένον δὲ εἴη τὸ σπλάγχνον, συμβαίνει δὲ ἐνίοτε τοῦ μὴ πεινῆν τὸ ζῶον αἰτίαν εἶναι τὴν περιουσίαν τῆς τροφῆς ἐν ἥπατι ὑπάρχουσαν. εἰ δέ γέ ποτε δέοιτο μὲν, ἀποροίη δὲ, πληροῦται περιττωμάτων. ἀλλ' ἕκαστον μόριον ἔχει τινὰ τόνον σύμφυτον, ᾧ διωθεῖται τὸ περιττόν. καὶ ἕκαστον τῶν ὀργάνων τὴν πλησιάζουσαν τροφὴν ἐπισπᾶται εἰς ἑαυτὸ καὶ ταύτην ἐναποτίθεται ἐν ἑαυτῷ, καὶ μετὰ ταῦτα, ὡς εἴπομεν, προσφύει τε καὶ ὁμοιοῖ. εἰσὶ δὲ τρεῖς μοῖραί τινες ὅλης τῆς οἰκονομίας τῆς τροφῆς· ἐν μὲν τῇ πρώτῃ μένει κατὰ τὴν κοιλίαν αὐτὴν καὶ πέττεται καὶ προστίθεται καί τι παρ' αὐτῆς τῷ ἥπατι ἀναφέρεται, ἐν δὲ τῇ δευτέρᾳ διέρχεται κατὰ τὰ ἔντερα καὶ προστιθεμένη εἰς κόρον αὐτῆς καὶ τῷ ἥπατι [242] καί τι βραχὺ μέρος

ac jecur vehementer appetit et aliquid desiderat, id valentius trahit omnino; at quum ipsum plenum distentumque sit, ventriculus vero appetat sitque vacuus, tum ipse trahit valentius et ex jecore facile attrahit, quum ipse alimentum magnopere expetat, illud vero sit plenum. Interdum autem cur animal non esuriat, causa est alimenti redundantia, quae in jecore est, quod si venter alimentum quandoque postulet, nec ejus adsit copia, excrementis impletur. Unaquaeque tamen pars robur quoddam natura sibi insitum habet, cujus usu quod supervacaneum est expellit et quodvis instrumentum in se trahit alimentum, quod juxta se est, idque in se recondit, deinde uti diximus, agglutinat et assimilat. Totius autem distributionis alimenti tres partes quaedam sunt: prima est, quum manet in ventriculo et concoquitur atque apponitur atque inde aliquid ad jecur ascendit. Secunda est, quum transit intestina iisque ipsis et jecori ad saturitatem apponitur, et particula ejus exigua in omnes corporis par-

Ed. Chart. VI. [242.]
αὐτῆς εἰς πάντα τοῦ σώματος μόρια φέρεται, κατὰ δὲ τὴν τρίτην μοῖραν νόει μοι τρέφεσθαι ἤδη τὴν κοιλίαν, ὁμοιώσασαν αὐτῇ τελέως τὰ προσφύντα, καὶ πρόσφυσιν τῷ ἥπατι καὶ τοῖς ἐντέροις γίγνεσθαι τῶν προστεθέντων καὶ τὴν ἀνάδοσιν καὶ πρόσθεσιν πάντῃ τοῦ σώματος. εἰ μὲν οὖν μετὰ ταῦτα τὸ ζῶον εὐθέως τὴν τροφὴν λαμβάνει, τὰ ἔντερα τελέως ὁμοιώσει τὸν προσφύντα χυμὸν, ὡσαύτως δὲ καὶ τὸ ἧπαρ. ἐν ὅλῳ δὲ τῷ σώματι πρόσφυσις τῶν προστεθέντων τῆς τροφῆς ἔσται μορίων. εἰ δὲ ἄσιτος ἡ γαστὴρ μένῃ, ἐν τούτῳ τῷ χρόνῳ παρὰ τῶν ἐν τῷ μεσεντερίῳ καὶ ἥπατι φλεβῶν ἕλξει τὴν τροφήν. τῶν μὲν γὰρ φυσικῶν ἐνεργειῶν ἡ πρώτη τε καὶ ἀναγκαιοτάτη σχεδὸν ἁπασῶν ἡ θρέψις ἐστίν. ἀποτυγχάνεται δὲ ἤτοι μηδ᾽ ὅλως, ἢ ἐλλιπῶς, ἢ πλημμελῶς γενομένη, καὶ τοῦτο, ἢ διὰ τὴν θρεπτικὴν δύναμιν, ἢ καὶ διὰ τὴν τῆς ὕλης ἔνδειαν, ἢ τὴν μοχθηρίαν, ἢ δι᾽ ἀκαιρίαν, ἢ δι᾽ ἀταξίαν, ἢ διὰ φαῦλόν τι περίττωμα, ἢ διὰ ὕπνον ὀλίγον. καὶ τότε γίνονται, ἢ ἀπεψίαι, ἢ βραδυπεψίαι, ἢ

tes defertur. In tertia fcito ventriculum jam ali, fibi plane affimilatis iis, quae fibi agglutinarat et agglutinari jecori et inteftinis, quae fuerant appofita et in omnes corporis partes diftributionem appofitionemque effici, quod fi postea animal ftatim alimentum fumit, inteftina agglutinatum fibi fuccum perfecte affimilant, ac fimili etiam modo jecur in toto autem corpore partes alimenti, quae appofitae fuerunt, agglutinabantur. Sin autem ventriculus fine cibo maneat, hoc tempore a venis, quae in lactibus et jecore funt, trahet alimentum. Enimvero naturalium actionum et prima et fere maxime neceffaria nutritio eft. Fruftratur autem, vel quum prorfus non fit, vel quum diminute aut vitiofe, idque aut vitio facultatis nutricis, aut etiam propter materiae defectum aut malitiam, aut quod intempeftive aut fine ordine quid fit adminiftratum; aut vitio cujusdam pravi excrementi aut somni exigui, quo fane tempore fiunt aut apepfiae aut bradupepfiae aut manca concoctio, ut in tardis concoctionibus cernitur. Sicut

Ed. Chart. VI. [242.]

πέψις ἐλλιπής, ἥπερ ἐν ταῖς βραδυπεψίαις ὁρᾶται· ὥσπερ γε καὶ μοχθηρὰ καὶ πλημμελὴς ἐν ταῖς διαφθοραῖς· καὶ ἡ στέρησις τῆς ἐνεργείας κατὰ τὴν τῆς θρέψεως ἐνέργειαν ἀτροφία καλεῖται· ἐλλιπὴς δὲ πέψις, ἡ ἰσχνότης. ἔνια μὲν τούτων τῶν αἰτίων εἰς ἀῤῥωστίαν δυνάμεως, ἔνια δὲ εἰς τὴν τῆς τροφῆς πλημμέλειαν, ἔνια δὲ εἰς τὰ ἐπιτηδεύματά τε καὶ τὰ προσπίπτοντα τοῖς ζώοις ἔξωθεν ἀνάγονται. εἰ μὲν οὖν ἡ τροφὴ διαλυθεῖσα τὸ πρῶτον καὶ ἐν χρόνῳ δοθεῖσα εἴη ἐν τῷ σώματι, γίγνεσθαι αὐτὴν ἐξίτηλόν φησιν καὶ κατὰ τὰς ποιότητας μεταβάλλειν, ὡς δῆλόν ἐστιν ἔκ τε τῶν βοτανῶν καὶ ἄρτου καὶ σαρκῶν αἷμα γενέσθαι· καὶ ταὐτὸ τοῦτο συμβαίνειν, εἴπερ ὑστέρη ἢ ἐπιπροσθετηθεῖσα ἐν τῷ σώματι τοσοῦτον χρόνον μένη ὅσονπερ αὐταρκες εἴη. τὸ γὰρ σύμφυτον ἐν τῷ σώματι θερμὸν ἀλλοιωτικόν ἐστι τῆς οὐσίας καὶ τῆς ὕλης τῆς τροφῆς, ἢ προληφθείσης, ἢ ἐπιπροστεθείσης. γίνεται γοῦν τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον ἐξίτηλος ἡ τροφὴ κατὰ τὸν τῆς λήψιος χρόνον, καὶ

etiam vitiofa et prava fit in corruptelis. Privatio vero actionis in nutritione vocatur atrophia, deficiens nutritio, gracilitas, quaedam tamen harum caufarum in virium imbecillitatem, quaedam in vitium alimenti, quaedam in vitae ftudia et ea quae extrinfecus incidunt animantibus, referuntur. Si igitur alimentum primo diffolutum et in tempore datum in corpore fit, exile ipfum effici ait et per qualitates commutari, ficut perfpicuum eft ex oleribus et pane et carnibus fanguinem effici; vultque hoc idem contingere, fi pofterius aut appofitum aut diffolutum tamdiu maneat in corpore, quamdiu fatis fit, nativus enim calor in corpore vim habet alterandi fubftantiam et materiam alimenti, quod vel praefumptum vel appofitum fit. Fit autem tum prius tum pofterius exile alimentum, habita ratione temporis, quo fumptum fit, ac magis etiam minusque nutrit, prout diffolvitur concoquiturve, aut fecus, non tamen aeque fuperatur a qualitatibus, quae animantibus infunt. Superari enim eft alterari. Ejus

Ed. Chart. VI. [242.]
μᾶλλόν τε καὶ ἧττον τρέφει, ὡς ἂν διαλυθῇ καὶ πέττηται, ἢ μή. οὐ μὴν κρατεῖταί γε ὁμοίως πρὸς τῶν ἐν τῷ ζώῳ ποιοτήτων. τὸ κρατεῖσθαι δέ ἐστιν ἀλλοιοῦσθαι. τούτου αἴτιοι, ὅτι τὰ μὲν ἰσχυρότερα ταῖς δυνάμεσι μόριά ἐστι, τὰ δὲ ἀσθενέστερα. ὅθεν συμβαίνει ὡς πάντα κρατεῖν μὲν τῆς οἰκείας τῷ ζώῳ τροφῆς, οὐχ ὁμοίως δέ. γαστὴρ μὲν γὰρ ἀλλοιοῖ πλέον, ἢ κατὰ στόμα, μεῖον δὲ, ἢ καθ' ἧπάρ τε καὶ τὰς φλέβας. αὐτὴ μὲν γὰρ εἰς αἵματος οὐσίαν ἄγει τὴν τροφήν. ἡ δὲ ἐν τῷ στόματι, μεθίστησι μὲν αὐτὴν ἐναργῶς εἰς ἕτερον εἶδος, οὐ μὴν τελέως γε μετακοσμεῖ. ταύτης δὲ εἰς τέλος μετακοσμηθείσης ἕκαστον μόριον τὴν οἰκείαν αὐτῷ ἕλκει, ὡς ἐκ μὲν τῆς κοιλίας εἰς τὸ ἧπαρ, ἐξ ἥπατος δὲ εἰς ἅπαν τὸ σῶμα ἀνάδοσιν ποιεῖσθαι. ὡμολόγηται γὰρ τρέφεσθαι δι' ὅλων αὐτῶν τὰ τρεφόμενα καὶ κεράννυσθαι δι' ὅλων τὰ κεραννύμενα καὶ ἀλλοιοῦσθαι δι' ὅλων τὰ ἀλλοιούμενα, καὶ τὴν πέψιν εἶναι ἀλλοίωσιν καὶ μεταβολὴν τοῦ τρέφοντος εἰς τὴν οἰκείαν τοῦ τρεφομένου ποιότητα, καὶ τὴν ἐξαιμάτωσιν καὶ τὴν θρέψιν καὶ τὴν

rei caufa eft, quia quarundam partium facultates valentiores funt, quarundam infirmiores. Ex quo confequitur, ut omnes fuperent, illae quidem proprium alimentum, fed non tamen fimili modo. Ventriculus enim alterat magis quam os, fed minus quam jecur et venae; fiquidem alteratio, quae in ventre fit, alimentum in fanguinis fubftantiam mutat, quae vero in ore, mutat ipfa quidem evidenter in aliam formam: fed non tamen perfecte transformat. Quum autem perfecte fit facta transformatio unaquaeque pars idoneum fibi alimentum trahit, ut ex ventriculo in jecur, ex jecore in corpus univerfum fiat diftributio. Conftat enim inter omnes, quae nutriuntur, per fe tota nutriri, quaeque miscentur, per fe tota mifceri. Denique per fe tota alterari quae alterantur, itemque concoctionem effe alterationem, ac nutrientis in propriam qualitatem ejus, quod nutritur, mutationem; et item vim efficiendi fanguinis, tum nutritionem accretionemque ex eo effici, quod corpus in

Ed. Chart. VI. [242. 243.]
αὔξησιν ἐκ τῆς πάντη διαστάσεως τοῦ σώματος καὶ θρέψεως γίνεσθαι. ἐπειδὴ δὲ ἐν ταῖς ἀτροφίαις τάχιστα ἀποψύχεται τὰ μόρια, διότι καὶ ἡ θρέψις αὐτοῖς ἐστιν ἐκ θερμοῦ χυμοῦ τοῦ αἵματος· διὰ τοῦτο [243] ἵνα τὸ θερμὸν σώζοιτο, ἡ φύσις πεποίηκε ὡς πρὶν ἰσχυρὰν ἔνδειαν αἵματος γενέσθαι καθ' ὅλον τὸ ζῶον τό τε ἧπαρ καὶ τὴν καρδίαν μὴ ἀπορεῖν συμμέτρου τροφῆς. τοῦτο δὲ διότι πᾶν τὸ αἷμα ἐκ τοῦ ἥπατος ἀρχὴν ἔχει, ἐν δὲ τῇ καρδίᾳ, διὰ τὸ τῆς ὁλκῆς ἰσχυρόν. σφοδροτάτην γὰρ ἔχει τὴν κατὰ τὸ ἕλκειν ἐνέργειαν. καὶ διὰ τοῦτο οὐκ ἄν ποτε ἀπορήσειεν τροφῆς, πρὶν εἰς ἐσχάτην ἔνδειαν ἀφικέσθαι πάντα τοῦ ζώου τὰ μόρια.

δ'.

Ἀμαυροῖ δὲ ἑκατέρας ἐν χρόνῳ καὶ μετὰ χρόνον ἡ ἔξωθεν συνεχὴς ἐπεισκριθεῖσα καὶ ἐπὶ πολλὸν χρόνον στερεμνίως πᾶσι τοῖσι μέλεσι διαπλακεῖσα.

omnem partem extendatur et alatur. Quoniam autem in iis, qui non nutriuntur, partes celerrime refrigerantur, propterea quod ipsarum nutritio ex calido succo sanguinis efficitur, ideo ut calor ille servetur, natura fecit, ne jecur et cor a moderato alimento destituta sint prius quam valida in toto animali sit sanguinis penuria, idque machinata est, quia sanguis totus ex jecore principium ducit; in corde vero propter valentem attractionem; siquidem vehementissimam trahendi actionem habet, ex quo fit, ut nunquam possit esse ab alimento destitutum prius, quam universae animantis partes ad extremam inopiam pervenerint.

IV.

Destruit autem utrumque in tempore et post tempus quod extrinsecus assidue superingestum est et per multum temporis firmiter omnibus partibus implicatum est.

Ed. Chart. VI. [243.]

Ἐκ τῶν ἀκαίρων τε καὶ πολλῶν ἐδωδῶν ἀθροίζεται πλεῖστος ὁ χυμὸς, ὁ καλούμενος ὠμός. ὅπερ ἐν τοῖς παισὶ μάλιστα συμβαίνει καὶ τῶν τελείων τοῖς ἀργῶς διαιτωμένοις ἢ ἄλλως ἐμπιπλαμένοις. πλεῖον γὰρ ἐν τούτοις ἅπασι τὸ ἀκατέργαστον, τοῖς μὲν διὰ τὴν ἀργίαν, τοῖς δὲ διὰ τὴν πλησμονήν· ἀδηφάγοι γὰρ τυγχάνουσι. καὶ πρὶν ἂν ἀκριβῶς ἐν τῇ γαστρὶ πεφθῆναι τὴν τροφὴν ἕλκει τὸ σῶμα, καὶ τοσοῦτον πλεῖον ἀθροίζεται τοῦ ὠμοῦ χυμοῦ, ὅσον συνεχῶς ἡ τροφὴ προστίθεται· ὃ αὐτὸς ἐπεισκριθῆναι καλεῖ. πρόσεστι δὲ καὶ ἐν τοῖς παιδίοις ἡ ἀσύμμετρος κίνησις κατὰ πάντας μὲν τοὺς χρόνους, μάλιστα δὲ ἐπὶ τοῖς σιτίοις. ἴσμεν γὰρ ὅτι ὥσπερ ἀγαθὸν μέγιστόν ἐστιν εἰς τὴν ὑγείαν, τὸ πρὸ τῶν σιτίων προγυμνάσιον, οὕτω βλαβερώτατον ἅπασα κίνησις μετὰ τὴν τροφήν. ἀναδίδοται γὰρ, ὡς ἔφην, ἐκ τῆς κοιλίας ἡ τροφὴ πρὶν πεφθῆναι, κἀκ τοῦδε πλῆθος ὠμῶν χυμῶν κατὰ τὰς φλέβας ἀθροίζεται· ἐξ ὧν εἴωθε νοσήματα παντοῖα γίγνεσθαι. καὶ μὴν οὐδὲ νοσήσει τις ὅλως

Intempeſtivae ac frequentes cibi ſumptiones faciunt, ut plurimum ejus ſucci, qui crudus vocatur, accumuletur, id quod pueris contingit maxime et ex adultis iis, qui in otio vitam traducunt aut alioqui ſeſe explent. Siquidem in eis omnibus plurimum eſt id, quod non conficitur, atque in illis quidem propter otium, in his vero propter ſatietatem, voraces enim ſunt ac corpus trahit alimentum prius quam in ventriculo ſit accurate concoctum, et eo major crudi ſucci coacervatur copia, quo frequentius alimentum additur, quod ipſe ſuperingeſtum dixit. Accedit etiam in pueris immoderatus motus quum in omni tempore, tum vel maxime a cibo. Scimus etiam quemadmodum maxime eſt ad bonam valetudinem accommodata ante cibos exercitatio, ita poſt cibos omnem motum maxime noxium cenſeri; nam, ut dicebam, alimentum e ventriculo antequam confectum ſit, diſtribuitur et ex eo copia crudorum humorum in venis colligitur, ex quibus omnia genera morborum gigni ſolent. Atqui nemo un-

ποτὲ, ἣν ἐπίτηδες προνοῆται τοῦ μηδέποτε ἀπεπτῆσαι μετὰ τοῦ μηδὲ κινεῖσθαί τινα ἰσχυροτέραν ἐπὶ σιτίοις κίνησιν· ταῦτα δὲ πάντα ὀλιγωροῦσιν οἱ παῖδες. διὸ θεῖος Πλάτων ἐν τῇ νομοθεσίᾳ φησὶν ὅτι παῖς μέν ἐστι πάντων θηρίων δυσμεταχειριστότατον, καὶ εἰ μὴ πλεῖστον ἔχοιεν τὸ ἔμφυτον θερμὸν, οὐκ ἄν ποτε τοσαύτην ὠμότητα φέρειν δύναιντο. ὥσπερ δὲ εἰ πλείω τις λάβῃ, ἀπεψίαι τε καὶ ὠμοὶ χυμοὶ γίνονται, οὕτω καὶ λαμβάνοντες ὀλίγα, καταψύχονται καὶ βλάπτονται. ἀνάλογον γὰρ εἶναι χρὴ τὸ ποσὸν τῆς τροφῆς τῷ ποσῷ τῆς διαπνοῆς. εἰ δὲ μηδὲν ἡμῶν ἀπέῤῥει, οὐκ ἂν ἥκομεν εἰς τὴν χρείαν τῆς τροφῆς, ὅτι διὰ παντὸς ὁ ἀρχαῖος τῆς οὐσίας ὄγκος ἐφυλάττετο. νῦν δὲ τὰ τῶν ζώων σώματα τῇ διὰ τῶν ἀδήλων αἰσθήσει πόρων διαπνεῖται διαπνοῇ. διὰ τοῦτο γοῦν τροφῆς ἐδεόμεθα· ἀναπλήρωσις γάρ ἐστι τοῦ κενωθέντος ἡ θρέψις. ὅτε δὲ ἤτοι ἐν τῷ ἐπιτηδείῳ χρόνῳ τῆς τροφῆς ἤτοι μετὰ τὸν ἐκεῖνον χρόνον τὴν τροφήν τις συνεχῶς δῷ, τότε τοῦτο συμβαίνειν

quam aegrotabit qui sedulo providebit ne unquam cruditate laboret ac ne vehementiore ullo motu post cibum cieatur; quae tamen omnia pueri flocci faciunt: quamobrem divinus Plato in libris de legibus ita scriptum reliquit: *puer*, inquit, *omnium est ferarum intractabilis maxime*, ac nisi plurimum nativi caloris in pueris inesset, tantam ferre cruditatem nunquam possent. Quemadmodum autem si quis plura sumat et cruditates et humores crudi gignuntur, sic etiam si pauciora ingerantur, corpora refrigerabuntur ac laedentur; debet enim alimenti quantitas proportione respondere perspirationis quantitati. Si autem nihil a nobis deflueret, nihil opus esset alimento, quia pristina substantiae moles ad omnem aeternitatem temporis conservaretur. Nunc vero quum animantium corpora perspiratione, quae fit per meatus, qui sensum nostrum effugiunt, difflentur, idcirco alimento indigemus, siquidem nutritio est expletio ejus, quod evacuatum est. Quum igitur aut tempore accommodato ad alimentum offerendum, aut post illud tempus quispiam assi-

Ed. Chart. VI. [243. 244.]

*ἀνάγκη καὶ ἀμαυροῦσθαι τὴν ἑκατέραν τροφὴν κατὰ τὴν ἄλλην λέξιν ἄνωθεν προλεχθεῖσαν, καὶ τὸ σύμφυτον θερμὸν σβέννυσθαι καὶ κινηθῆναι, ὡς ἐκ τοῦ παραχρῆμα συναῤῥωστήσειν αὐτῷ καὶ πέψιν σιτίων καὶ γένεσιν αἵματος χρηστοῦ καὶ θρέψιν τῶν τοῦ ζώου μορίων καὶ τὴν κένωσιν τῶν περιττωμά- [244] των. ἔμπαλιν δὲ, εἰ ὅσον κρατεῖν δύναταί τις σιτίον, ἀπολαύει τούτοιν καὶ αὕτη ἡ θερμασία αὐξηθείη καὶ πάντα ὅσα προείρηται, διαπράξεται καλῶς περὶ τὸ ζῶον. ταὐτὸ τοῦτο πείσεται τὸ ζῶον, εἰ τὸ ἔξωθεν συνεχῶς ἐντεθὲν ἐπὶ πολλὸν χρόνον στερεμνίως πᾶσι τοῖς μέλεσιν διαπλακῇ. σημαίνει γὰρ ὅτι οὐχ οἷόν τε ἕλκεσθαι πρὸς τῶν μορίων, οὐδὲ πέττεσθαι, οὐδὲ ἡντιναοῦν ἐκ τῶν φυσικῶν ἐνεργειῶν γενέσθαι. * * κἂν μὴ καλῶς ἕκαστον πράττῃ, ἐλπίς ἐστι παντοῖα κακὰ περὶ τὴν ὑγείαν ἔσεσθαι.*

ε'.

Καὶ τὴν μὲν ἰδέην ἐξεβλάστησε.

due cibum det, tunc id necessario eveniret, ut utrumque alimentum hebetetur, ut superioribus etiam verbis censuit et nativus calor extinguatur et vincatur; ut statim cum ipso concoctio ciborum, probi sanguinis origo, partium animantis nutritio et excrementorum evacuatio debilitetur. Contra vero, si quis tantum cibi sumat, quantum possit conficere, tum et calor ipse adaugebitur et caetera omnia, quae dicta sunt, probe in animantibus administrabuntur. Idem quoque patietur animal, si id quod extrinsecus continuo adhibetur, multo tempore firmiter omnibus membris implicatum sit. Significat enim id neque in partibus trahi posse, neque concoqui, neque etiam ullam ex naturalibus actionibus effici, * ac nisi utrumque recte faciat, omne genus malorum bonae valetudini adversaturum sperandum est.

V.

Et propriam quidem ideam produxit.

Ed. Chart. VI. [244.]

*Τὴν ἰδέαν λέγει νῦν τὴν μορφὴν καὶ τὸ εἶδος τῆς τροφῆς. ὅτε γὰρ πέψεως ἀρχὴν λαμβάνει τὰ σιτία, τότε τὴν ἀρχαίαν μορφὴν μεταβάλλει. τούτου δὲ σημεῖόν ἐστι τὸ καταληφθὲν ταῖς διαστάσεσι τῶν ὀδόντων δι᾽ ὅλης νυκτός· αὐτὸ γὰρ τὴν οἰκείαν ἰδέαν οὐ σώζει· ἀλλὰ ἐν μιᾷ νυκτὶ ἀλλοιούμενον πάνυ φαίνεται. οὔτε γὰρ ἄρτος ἀκριβῶς ὁ ἄρτος, οὔτε κρέας ἐστὶ τὸ κρέας· ἀλλ᾽ ὄζει μὲν τοιοῦτόν τι, οἷον καὶ τὸ τοῦ ζώου στόμα. ἐν δὲ τοῖς πέψεως ὀργάνοις τὴν ἰδέαν ἰδίαν λαμβάνει, ὡς τὸ αἷμα, ἢ φλέγμα, ἢ χολὴν ξανθὴν, ἢ μέλαιναν γενέσθαι, οὓς μὲν τέτταρας χυμοὺς καλοῦμεν, καὶ ὁ Ἱπποκράτης αἰτιᾶται τῶν πλείστων νοσημάτων. * * οἶμαι γὰρ τὸ σύγγραμμα τοὐμὸν παρὰ πᾶσιν * * τοῦτο δὲ ἔσται, ὡς κεφάλαιόν τι ὅλου τοῦ πράγματος. τέτταρες οὖν εἰσὶν ἐν ἡμῖν χυμοὶ κατὰ φύσιν. οὗτοι δὲ ὑπερβάλλοντες ποσότητι καὶ ἀλλοιούμενοι κατὰ ποιότητα νόσων αἴτιοι τυγχάνουσιν. ἐν δὲ τῷ χειμῶνι πλεονάζει τὸ φλέγμα, τοῦ δ᾽ ἦρος τὸ αἷμα καὶ τοῦ θέρους ἡ ξανθὴ χολή· καὶ τοῦ φθινοπώρου ἡ μέλαινα. ταῦτα μὲν*

Vocat ideam hoc loco formam et ſpeciem alimenti. Quum enim cibus coctionis principium ſubit, tum priſca forma mutatur. Hujus rei ſignum eſt id, quod per totam noctem in dentium intervallis relictum eſt, ſiquidem propriam formam non ſervat, ſed unius noctis curriculo valde immutatum videtur. Neque enim panis eſt panis exquiſite, neque caro eſt caro, ſed tale quidpiam olet, quale etiam os animantis, quum in coctionis inſtrumentis propriam formam nanciſcatur, ac vel in ſanguinem vel in pituitam vel bilem flavam vel atram convertatur, quos quatuor humores appellamus et Hippocrates multorum morborum cauſas eſſe docuit. .·. Meum autem librum in manibus omnium eſſe arbitror. .·. erit autem haec, ut totius rei ſumma quaedam. Quatuor igitur humores in nobis ſunt ſecundum naturam. Hi quum quantitate excedunt et in qualitate alterati ſunt, morborum cauſas afferunt. Caeterum hieme redundat pituita, vere ſanguis, aeſtate flava bilis, autumno atra.

Ed. Chart. VI. [244.]
διδάξας καὶ πρὸς τούτοις, ὅτι τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα, τῆς κατὰ τὴν τέχνην μεθόδου τὰ στοιχεῖα παρέδωκεν· οἷς ἐφεξῆς τὰ κατὰ τοὺς ἀφορισμοὺς διελθὼν περὶ τῶν πλεοναζόντων καθ' ἑκάστην ὥραν τε καὶ ἡλικίαν νοσημάτων, τὰς οἷον συλλαβὰς ἐπὶ τοῖς στοιχείοις ὑφηγήσατο. ἐγὼ δὲ μήκους φειδόμενος τὰς ῥήσεις αὐτοῦ νῦν * *

ἡ μὲν γὰρ πρώτη τῆς τροφῆς ἀρχὴ, ὡς εἴρηται ἐν ἐκείνῳ * στόμα, στόμαχος, κοιλία. ἡ δευτέρα δὲ αἱ ἐξ ἥπατος εἰς κοιλίαν καθήκουσαι φλέβες· ἐν ταῖς πρώταις αἷμα ἐδείχθη γενέσθαι· ἡ τρίτη δὲ τὸ ἧπαρ· ἡ δὲ τετάρτη μετὰ τὸ ἧπαρ ἡ κοίλη φλέψ. καὶ γὰρ ἐν ἐκείνῃ πρώτῃ καθαρὸν τῶν περιττωμάτων ἀπολείπεται τὸ αἷμα. παρὰ δὲ ταύτης φλεβὸς, ὥσπερ τἄλλα τοῦ ζώου μόρια πάντα κατὰ τὸν αὐτὸν τρόπον ἡ καρδία λαμβάνει τὴν τροφήν· ὥστε δῆλον ὅτι τὴν ἰδέαν βλαστάνει, εἴπερ τρέφειν δεῖ τὸ ζῶον.

Quae quum docuiffet et item haec, contrariorum remedia effe contraria, elementum nobis tradidit methodi, quae ad artem accommodata eft, ad quae quum collegiffet quae in Aphorismis habentur de morbis, qui quoque tempore et quaque aetate vigent, ad ipfa alimenta quafi fyllabas attexuit. Sed ego brevitatis caufa ipfius verba nunc afferam. .·. Primum enim alimenti principium, ut in illo .·. dictum eft, os, ftomachus et venter eft. Secundum, venae ex jecore in ventrem pertinentes, in quibus primis effici fanguinem, oftenfum eft. Tertium eft jecur: quartum poft jecur eft vena cava; fiquidem in ipfa prima fanguis ab excrementis liber relinquitur; ab hac autem vena, ficut aliae omnes animantis partes, ita etiam cor alimentum fumit, quare perfpicuum eft, formam efferri et produci, fi nutriri animal debeat.

στ'.

Μεταβάλλει τε τὴν ἀρχαίαν καὶ καταφέρεται.

Εἴρηται ἡμῖν ὅτι ἡ πέψις ἀλλοίωσίς ἐστι κατὰ ποιότητα καὶ γίγνεται ὑπὸ τῆς γαστρὸς ὁμοιούσης αὐτῇ τὰ σιτία. ἡ γὰρ ἐκ τῶν τεσσάρων τοιάδε τις κρᾶσις, ἡ καὶ τὴν ἰδιότητα τοῦ τῆς γαστρὸς ἐργασαμένη σώματος, αἰτία τῆς ἀλλοιώσεώς ἐστι [245] τῶν σιτίων· καὶ πλείστην εἰς τοῦτο δύναμιν εἰσφέρεται τὸ θερμὸν στοιχεῖον· ἀνάγκη γὰρ τὸ τρέφον ἀλλοιοῦσθαι εἰς τὴν τοῦ τρεφομένου μεταβαλλόμενον οὐσίαν. διὸ περιστέλλεται ἡ γαστὴρ τοῖς σιτίοις, ἕλκουσα τὸν οἰκεῖον ἑαυτῇ χυμὸν ἐξ αὐτῶν, ἔστ' ἂν ἐμπλησθεῖσα διώσηται τὸ περιττὸν ἅπαν εἰς τὴν νῆστιν. ὡς δὲ τὸ ἧπαρ διὰ τῶν φλεβῶν εἵλκυσεν ἐκ γαστρός τε καὶ τῶν ἐντέρων τὴν τροφὴν, οὕτως ὅσα μετ' ἐκεῖνο τέτακται, δι' ἄλλων ἕλκει φλεβῶν εἰς ἑαυτά· καὶ αὖθις ἕτερα· καὶ τοῦτο γίνεται ἄχρι περ ἂν εἰς ἅπαν ἀφίκηται τοῦ ζώου μόριον ἡ τροφή. δέδεικται γὰρ ἐν τοῖς περὶ τῶν φυσικῶν δυνάμεων ὑπομνήμα-

VI.

Commutat priſcam et deſcendit.

Dictum eſt concoctionem eſſe alterationem in qualitate eamque a ventriculo cibos ſibi aſſimilante effici. Talis enim quaedam ex quatuor elementis confecta temperies, quae proprietatem corporis ventriculi facit, eſt alterationis ciborum cauſa et hoc ad agendum maximam vim calidum elementum affert. Neceſſe enim eſt, ut quod alit, alteretur, dum in ejus, quod alitur, naturam mutatur; quocirca ventriculus conſtringitur ad cibos et accommodatum ſibi humorem inde elicit, donec expletus quicquid excrementi ſuperfluit, in jejunum expellat. Quemadmodum autem jecur tum ex ventriculo, tum ex inteſtinis alimentum per venas attraxit, ita quae poſt ipſum ſunt, per alias venas in ſe illud trahunt, tum deinceps ex his alia, idque fit usque dum in omnem animantis

Ed. Chart. VI. [245.]

σιν καὶ τὸ πόμα καὶ τὴν τροφὴν πανταχόσε τοῦ σώματος κατὰ τὴν τῆς ὁλκῆς μετάληψιν φέρεσθαι· πρὸς δὲ τήνδε τὴν φορὰν γέγονεν ἡ φύσις τὰς φλέβας, ὡς ὀχετούς τινας, πρῶτον μὲν τὴν μεγάλην φλέβα· ἔπειτα δὲ τῆς αὐτῆς ἐπὶ πύλας ἀποβλαστήματα καὶ ἀποφύσεις τοσαύτας τὸν ἀριθμὸν, ὅσοι περ ἂν ὦσιν οἱ λοβοὶ τοῦ ἥπατος. ἀλλὰ περὶ φλεβῶν καὶ τῆς ἀρχῆς αὐτῶν ὡς καὶ περὶ τῶν ἀρτηριῶν ἐν τῷ τετάρτῳ γράμματι ἐπὶ πλέον ἐροῦμεν, ἔνθα φησὶν αὐτὸς, ῥίζωσις φλεβῶν ἧπαρ· ῥίζωσις ἀρτηριῶν καρδίη.

ς'.

Τρέφει δὲ πεττομένη.

Τὰ προλελεγμένα πάντα σχεδὸν τὴν πέψιν ἐσημαίνετο. ὃ γὰρ εἶπε, γενέσθαι ἐξίτηλον τὴν τροφὴν καὶ τὸ βλαστάνειν καὶ τὸ τέλος τὸ μεταβάλλειν τὴν ἀρχαίαν ἰδέαν, τοῦτο ἦν ὅπερ νῦν ἑνὶ ῥήματι λέγει, τρέφειν αὐτὴν πεττομένην. οἱ μὲν γὰρ ὠμοὶ χυμοὶ τρέφειν οὐ δύνανται πρὶν πεφθῆναι.

particulam alimentum pervenerit. Eſt enim in commentariis de facultatibus naturalibus demonſtratum, cibum et potum in omnes corporis partes per tranſumptionem devehi; ad hos autem devehendos venae, veluti canales quidam, a natura factae ſunt, ac primum quidem vena magna, tum ipſius ad portas jecoris propagines et productiones tot numero, quot jecoris fibrae ſunt. Sed et de venis et de ipſarum itemque arteriarum principio in quarto commentario ad illa verba: *radix venarum jecur, radix arteriarum cor*; copioſius differemus.

VII.

Alit concoctum.

Quae ante dicta ſunt, concoctionem fere ſignificant omnia. Nam quod dixit, exile fieri alimentum, produci, priſtinamque formam commutare, idem eſt atque id quod nunc uno verbo extulit, quum ait, ipſum alere, quum concoctum eſt. Crudi enim humores alere non poſſunt

Ed. Chart. VI. [245.]
ἀναγκαιοτάτη γάρ ἐστιν ἡ πέψις τῷ τῶν ζώων σώματι· ἐπειδὴ ἀποῤῥεῖ μὲν ἁπάντων τῶν ζώων ὁσημέραι πολὺ μέρος τῆς οὐσίας διὰ τὴν ἔμφυτον θερμότητα. διὸ ὡς τὴν συμμετρίαν αὐτῆς σώζεσθαι δεόμεθα σιτίων τε καὶ πομάτων. ἐπεὶ δὲ τὸ ἀποῤῥέον ἑκάστου τῶν μορίων τοιοῦτον τὴν φύσιν ἐστὶν, οἷόν περ αὐτὸ τὸ μόριον, οὐδὲν δὲ τῶν ἐσθιομένων, ἢ πινομένων ἀκριβῶς ἐστι τοιοῦτον, διὰ τοῦτο ἀναγκαῖον εἶχεν ἡ φύσις προμεταβάλλειν τε καὶ πέττειν αὐτὰ καὶ προπαρασκευάζειν ὅμοια τῷ θρεψομένῳ σώματι. ὅσα δὲ κατὰ τὴν ἀλλοίωσιν γίνεται περιττώματα, ταῦτα διὰ τὴν δύναμιν ἐκείνην, ἣν ὀνομάζομεν ἐκκριτικὴν, ἀπωθεῖται. πᾶν γὰρ μόριον ἕλκει τὸ οἰκεῖον ἑαυτῷ καὶ ἀποκρίνει τὸ ἀλλότριον ἀλλοιοῖ τε τὸ ἑλχθέν· ἔν τε τῷ χρόνῳ, καθ' ὃν ἀλλοιοῖ κατέχει τε καὶ σφίγγει. καλεῖται δὲ ἀλλοίωσις αὕτη, μέχρι μὲν ἂν εἰς ὁμοιότητα τοῦ τρεφομένου μορίου μεταβάλληται, πέψις· ὅταν δὲ ἤδη προστίθεται τῷ μορίῳ, θρέψις. τίς μὲν οὐκ οἶδεν τὴν πέψιν ἀλλοίωσίν τινα ὑπάρχειν

prius, quam concocti fiunt. Enimvero quum quotidie magna fubftantiae pars ab omnibus animantibus defluat, propter calorem innatum, ipforum corpori maxime neceffaria eft concoctio, quocirca ut juftus caloris modus fervetur, cibis potionibusque opus eft. Quoniam autem quod a fingulis partibus defluit, tale natura eft qualis eft ipfa pars, nihil autem eorum, quae edimus aut bibimus, tale prorfus eft, ideo fuit naturae neceffarium, ea immutare, concoquere et eadem alendo corpori fimilia praeparare. Excrementa vero, quae per alterationem fiunt, extrudit illa facultas, quam expultricem vocamus; fiquidem omnis pars id trahit, quod eft ad ipfam accommodatum et rejicit alienum, quodque attraxit, alterat et quo tempore alterat, eo retinet et conftringit, haecque alteratio usque dum ad fimilitudinem partis, quae alitur, fit facta mutatio, vocatur concoctio, quum vero jam parti apponitur, nutritio. Quare quis eft, qui non norit, concoctionem effe quandam alterationem et mutationem ejus, quod

Ed. Chart. VI. [245. 246.]

καὶ μεταβολὴν τοῦ τρέφοντος εἰς τὴν οἰκείαν τοῦ τρεφομένου ποιότητα· τὴν δ' ἀλλοίωσιν ὑπὸ τοῦ θερμοῦ μάλιστα συντελεῖσθαι καὶ διὰ τοῦτο καὶ τὴν θρέψιν καὶ τὴν τῶν ἁπάντων χυμῶν γένεσιν; εἴπερ οὖν ἡ πέψις τοῦτό ἐστιν, καὶ ἡ τροφὴ ἐν τῇ γαστρὶ δέχεται ποιότητα τῷ μέλλοντι ὑπ' αὐτῆς τραφήσεσθαι ζώῳ προσήκουσαν, δῆλόν ἐστι τὴν τροφὴν κατὰ τὴν γαστέρα πέττεσθαι. τοῦτο δὲ οὐκ ἀρέσκει οὐδὲ Ἀσκληπιάδῃ οὔτ' Ἐρασιστράτῳ· ὧν ὁ μὲν οὔτε ἐν τοῖς ἐμέτοις οὔτ' ἐν ταῖς ἐρυγαῖς οὔτ' ἐν ταῖς ἀνατομαῖς βούλεται τὴν τῶν πεφθέντων σιτίων ποιότητα ἐμφαίνεσθαί ποτε· καὶ οὕτως εὐήθης ἐστὶν, ὥστε τῶν παλαιῶν καὶ δοκίμων ἀνδρῶν λεγόντων τὰ σιτία ἐπὶ τὸ χρηστὸν ἐν τῇ γαστρὶ μεταβάλλειν, ζητεῖ αὐτὸς οὐ τὸ κατὰ δύναμιν, ἀλλὰ [246] τὸ κατὰ γεῦσιν χρηστόν· ὁ δ' Ἐρασίστρατος γελοῖός τε καὶ ἀμαθής ἐστι. σαφῶς γὰρ Ἀριστοτέλους λέγοντος τὴν πέψιν ἑψήσει παραπλήσιον ὑπάρχειν, ὅπως τοῦτο λέγεται, οὐχ οἷός τε ἦν εἰδέναι. φησὶ γὰρ οὐκ εἰκὸς εἶναι τὴν πέψιν παραπλήσιον τυγχάνειν τῇ ἑψήσει τῇ ἐλα-

nutrit, in accommodatam ei quod nutritur, qualitatem? atque alterationem a calore effici, itaque etiam nutritionem, concoctionem et humorum omnium originem? Si igitur hoc est concoctio, alimentumque in ventriculo sumit qualitatem accommodatam ei, quod nutriendum est, certe planum est, alimentum in ventriculo concoqui. Hoc tamen minime placet Asclepiadi atque Erasistrato, quorum alter neque in vomitibus, neque in ructibus, neque in dissectionibus qualitatem ciborum concoctam unquam apparere censet, atque adeo stultus est, ut quum veteres ac praestantes viri dixerint, cibos in ventriculo ad bonitatem converti, quaerat non eam bonitatem, quae ad potentiam pertinet, sed eam, quae in gustu est. Erasistratus est ridiculus et imperitus; quia quum aperte dicat Aristoteles, concoctionem elixationi similem esse, quam in sententiam hoc dictum sit, intelligere non potest. Negat enim verisimile esse, concoctionem similem esse elixa-

Ed. Chart. VI. [246.]
φρὰν ἐχούσῃ θερμασίαν, ὥσπερ ἀεὶ πῦρ καὶ φλόγα ὑποθεῖναι τῇ γαστρὶ, ὥσπερ καὶ λέβητι, ἢ ἄλλως αὐτῆς ἀλλοιῶσαι τὰ σιτία μὴ δυναμένης. ἀλλὰ περὶ τούτων εὐηθείας τε καὶ ἀμαθίας εἴρηταί μοι ἐν τοῖς περὶ φυσικῶν δυνάμεων ὑπομνήμασιν. νῦν δὲ ἐπειδὴ φύσις ἀεὶ τὴν πέψιν καὶ τὴν ἀνάδοσιν καὶ τὴν ἐξαιμάτωσιν καὶ τὴν πρόσθεσιν καὶ τὴν πρόσφυσιν καὶ τὴν ἐξομοίωσιν ἐργάζεται, ἰστέον ὅτι οὐκ εἴωθεν ἂν ἐκπεμφθῆναι τῆς γαστρὸς ἡ τροφὴ, εἰ μὴ τελέως πεφθῇ. ὅταν δὲ πεφθῇ τελέως, ἀνοίγνυται μὲν τηνικαῦτα τὸ κάτω στόμα καὶ διεκπίπτει δι' αὐτοῦ τὰ σιτία ῥᾳδίως· ἐὰν δὲ ἡ γαστὴρ ὑπὸ δριμύτητος δηχθεῖσα τυγχάνῃ, πρωϊαίτερον τοῦ δέοντος ἄπεπτον ἔτι τὴν τροφὴν ἀποτρίβεται. αὖθις δ' ἄν ποτε τῷ πλήθει βαρυνθεῖσα, ἢ κατ' ἄμφω συνελθόντων κακῶς διατεθεῖσα διαῤῥοίαις ἑάλω. καὶ ἐὰν ἐν τούτῳ τῷ πάθει ἔμφυτος θερμασία ἄῤῥωστος γένοιτο, οὔτε πέττεσθαι καλῶς τὰ σιτία οὔθ' αἱματοῦσθαι, πολὺ δὲ μᾶλλον οὐδὲ ἀναδίδοσθαι δύναται. καὶ ἡ αἱματοῦσα δύναμις, ἀνάλογον τῇ πεττούσῃ κατὰ τὴν γαστέρα, ποτὲ μὲν

tioni, quae levem calorem habeat, tanquam oporteat, aut ignem adurentem aut flammam ſemper ventriculo ſubjici, ſicut lebeti, aut alioqui cibos alterari ab ipſo non poſſe. Sed de horum et ſtultitia et inſcitia dictum eſt nobis in commentariis, quos de facultatibus naturalibus edidimus. Nunc vero, quoniam natura ſemper concoquit, diſtribuit, ſanguinem efficit, apponit, agglutinat et aſſimilat, ſcire convenit non conſueviſſe alimentum ex ventriculo emitti, niſi ſit perfecte concoctum. Quum vero perfecte concoctum ſit, tum os inferius aperitur et cibi per ipſum facile excidunt. Si vero acrimonia quaedam ventriculum mordeat, tunc citius, quam oportet, alimentum adhuc incoctum abjicit. Rurſus multitudine quandoque onuſtus, aut his ambobus coëuntibus male affectus, diarrhoeis corripitur. Sique in hoc morbo nativus calor debilis reddatur, profecto neque recte cibos concoquere neque ſanguinem efficere, ac multo minus distributionis munere fungi poteſt. Facultas quoque ſanguinem efficiens ad proportionem ejus, quae in ventriculo

Ed. Chart. VI. [246.]

ὑπ᾽ ἀῤῥωστίᾳ οὐκ ἀλλοιώσει τὸν εἰς τὰς φλέβας ἀναδοθέντα χυμὸν, κἂν εἰ σύμμετρος εἶναι δοκεῖ. οὐ γάρ οἷόν τε γεννηθῆναι χρηστὸν αἷμα κατὰ τὸ ἧπάρ τε καὶ τὰς φλέβας, ἀπεπτηθέντων καὶ διαφθαρέντων ἐν τῇ γαστρὶ τῶν σιτίων. τοῖς μὲν οὖν καλῶς πέττουσι τὰ σιτία τό θ᾽ αἷμα χρηστόν ἐστι καὶ σύμμετρος ἕπεται σάρκωσις. πολλάκις δὲ αἱ πέψεις γίνονται μοχθηραὶ, φλεγματωδεστέρων ἢ χολωδεστέρων ἀποτελουμένων τῶν ληφθέντων, ἤ τινα παρὰ φύσιν ἑτέραν διαφθορὰν ἰσχόντων, ἢ ὠμῶν τε καὶ ἀμεταβλήτων ἄχρι πλείστου μενόντων καὶ πνευματουμένων. οὐκ ἂν οὖν ἡ τροφὴ θρέψει ποτὲ πρὶν καλῶς πεφθῇ· ὥσπερ ὑπ᾽ αὐτοῦ καλῶς εἴρηται.

η΄.

Τὴν δὲ προτέρην ἰδέην ἐξαλλάττει, ἔστιν ὅτε καὶ τὰς προτέρας ἐξημαύρωσε.

---

concoctionem obit, interdum prae imbecillitate humorem eum, qui ſit in venas diſtributus, quamvis eſſe moderatus videatur, non alterabit. Praeſertim quum non coctis et corruptis in ventriculo cibis probus in jecore et venis effici ſanguis non poſſit. In quibus igitur cibi recte concoquuntur, iis et ſanguis probus et moderata copia carnis efficitur. Saepenumero autem vitioſae coctiones fiunt, quod ea, quae ſumpta ſunt, aut pituitoſiora aut bilioſiora ſint reddita, aut aliam quampiam corruptelam contra naturam contraxerint, aut cruda et immutata diutiſſime permanſerint et flatu impleta ſint. Itaque alimentum nunquam nutriet prius quam recte ſit concoctum, ſicut ipſe rite cenſuit.

VIII.

Ideam priorem commutat, eſt interdum, quum priores hebetavit.

Ed. Chart. VI. [246.]

Ὅτι μὲν τὴν προτέραν ἰδέαν μεταβάλλει καὶ εἰς τὴν τοῦ τρεφομένου οὐσίαν τρέπεται ἡ τροφὴ, εἴπερ καλῶς πεφθῇ, ἤδη εἴρηται ἡμῖν καὶ δέδεικται. πολλάκις γὰρ εἴδομεν τὸν ἄρτον τὸν ἐσθιόμενον ἐν τῇ κοιλίᾳ μὲν τὸ πρῶτον πεφθέντα καὶ ὑπὸ τοῦ ἥπατος εἰς αἷμα τρεπόμενον εἰς τὴν κοιλίαν αὐτὴν ἀνακομίζεσθαι. τοῦτο δὲ ἀδύνατον ἦν, εἰ μὴ τὸ τοῦ ἥπατος κρέας, ὅπερ ἂν παρέγχυμα καλεῖται, τοσαύτην ἐξαλλάττωσιν καὶ τὴν ἐξαιμάτωσιν ποιῇ. εἰ γὰρ παχυνθείη τὸ αἷμα, σὰρξ ἥπατος ἀκριβὴς ἀπεργασθήσεται. καὶ τοῦτό γε * * οὐχ οἷόν τε γὰρ τὰς προτέρας ἀμαυροῦν, τῆς τροφῆς μὴ διαφθαρείσης. συμβαίνει δὲ τοῦτο διὰ πολλὰς αἰτίας· ἅσπερ ἔχεις δεδειγμένας ἐν τῷ περὶ συμπτωμάτων καὶ ἐν τῷ περὶ * περὶ μὲν δὴ τοῦδε καὶ αὖθις εἰρήσεται τοῦ λόγου προϊόντος. νῦν δὲ τὸ ὑπόλοιπον καταστῶμεν, ὧν πρὸ ὀλίγον διαλέξασθαι προὔ * *

Priorem alimenti formam mutari et in ejus, quod alitur, naturam converti, ſiquidem recte ſit concoctum, jam eſt a nobis et dictum et demonſtratum. Videmus enim ſaepe panem, quo veſcimur, primum in ventriculo concoctum et a jecore in ſanguinem converſum, in ventrem iterum referri. Quod ſane fieri non poſſet, niſi caro jecoris, quae parenchyma nominatur, ejusmodi commutationem efficeret et ſanguinem procrearet. Etenim ſi ſanguis concreſcet, caro jecoris prorſus erit effecta. *

Neque poteſt priores hebetare, alimento non corrupto, hoc autem propter multas cauſas uſu venit, quae expoſitae ſunt in libro de ſymptomatibus et in eo, qui eſt de .*. Sed hac de re in progreſſu orationis iterum differetur. Nunc reliqua addamus, de quibus nos paulo ante dicturos eſſe polliciti ſumus.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΡΟΦΗΣ ΥΠΟΜΝΗΜΑ Γ.

Ed. Chart. VI. [247.]

α.

[247] *Δύναμις δὲ τροφῆς ἀφικνέεται καὶ ἐς ὀστέον καὶ πάντα τὰ μέρεα αὐτοῦ καὶ ἐς νεῦρον καὶ ἐς φλέβα καὶ ἐς ἀρτηρίην καὶ ἐς μῦν καὶ ἐς ὑμένα καὶ σάρκα καὶ πιμελὴν καὶ αἷμα καὶ φλέγμα καὶ μυελὸν καὶ ἐγκέφαλον καὶ νωτιαῖον καὶ τὰ ἐντοσθίδια καὶ πάντα τὰ μέρεα αὐτῶν.*

GALENI IN HIPPOCRATIS LIBRUM DE ALIMENTO COMMENTARIUS III.

I.

Facultas autem alimenti pervenit et ad os et ad omnes ejus partes et in nervum et in venam et in arteriam et in musculum et membranam et carnem et pinguedinem et sanguinem et pituitam et medullam et cerebrum et spinalem medullam et viscera et omnes ipsorum partes.

Ed. Chart. VI. [247.]

Τὸ τοῦ ζώου σῶμα ἐκ πλείστων, ὡς δῆλόν ἐστι, σύγκειται μορίων, ἅπερ ὁμοιομερῆ, ἢ ἀνομοιομερῆ εἶναί φαμεν. τῶν μὲν σωμάτων ὁμοιομερῶν ἐν τοῖς ζώοις ἐστὶ τρία γένη, ἄναιμά τε καὶ ἀκοίλια φαινόμενα, τὰ μὲν ἐξ ὀστῶν, τὰ δὲ ἐξ ἐγκεφάλου καὶ νωτιαίου, τὰ δὲ ἐκ μυῶν φυόμενα. καλεῖται δὲ ὁμοιομερῆ τῷ ἀλλήλοις ὑπάρχειν ὅμοια καὶ τῷ παντὶ, ταῦτα δὲ καὶ ἁπλᾶ καὶ πρῶτα λέγονται. καὶ γὰρ συντίθεται ἐξ αὐτῶν τὰ σύνθετά τε καὶ ὀργανικὰ προσαγορευόμενα, ὡς δάκτυλος καὶ πῆχυς ὅλος καὶ βραχίων ὅλος καὶ τὰ κατὰ τὰ σκέλη μόρια. οὕτω δὲ καὶ ὀφθαλμὸς καὶ γλῶττα καὶ καρδία καὶ πνεύμων καὶ ἅπαντα τὰ σπλάγχνα καὶ ἡ γαστὴρ καὶ τὰ ἔντερα. ἀλλὰ καὶ ἡ κεφαλὴ καὶ τἄλλα κατὰ τὴν αὐτὴν μόρια· ἐξ ὧν πάλιν ὅλον τὸ σῶμα συγκείμενον εἶναι οἱ παῖδες τῶν ἰατρῶν ἴσασι. τὰ μὲν οὖν πρῶτα μόρια γεννᾶται ἔκ τε τοῦ αἵματος τοῦ γενομένου ἐκ τῆς λαμβανομένης τροφῆς εἴσω τοῦ σώματος καὶ ἐκ τοῦ σπέρματος. ἔστι δὲ ταῦτα χόνδρος καὶ ὀστοῦν καὶ νεῦρον καὶ ὑμὴν καὶ σύνδεσμος, ἀρτηρία, φλὲψ καὶ ὅσα τἄλλα τοιαῦτα. κἄπειτα

Corpus animantis ex plurimis, ut perſpicuum eſt, partibus conflatum eſt, quas ſimilares aut diſſimilares eſſe aſſerimus. Corporum autem ſimilarium tria ſunt genera, quae et exanguia ſunt et ſinum non habent. Eorum alia ex oſſibus, alia ex cerebro dorſique medulla, alia ex muſculis oriuntur. Vocantur autem partes ſimilares quod tum ſibi mutuo, tum toti ſimiles ſint, eaedem et ſimplices et primae nominantur, ſiquidem ex eis conſtituantur eae, quae compoſitae organicaeque appellantur, cujusmodi eſt digitus, cubitus totus, brachium totum et crurum partes, itemque oculus, lingua, cor, pulmo omniaque viſcera et venter et inteſtina, quin etiam caput et quae in ipſo partes ſunt, ex quibus partibus totum rurſus corpus conſtitutum eſſe medici norunt. Primae autem partes gignuntur ex ſanguine, qui ex alimento intra corpus ſumpto oritur et item ex ſemine. Hae partes ſunt cartilago, os, nervus, membrana, ligamentum, arteria, vena et quae

Ed. Chart. VI. [247.]

ἐκ τούτων ὀφθαλμὸς καὶ γλῶττα καὶ κεφαλὴ καὶ τὰ σπλάγχνα καὶ τὰ κῶλα· καὶ πάλιν ἐκ τούτων ὅλων τὸ σῶμα. ταῦτα δὲ πάντα ἔχει τὰς φυσικὰς ποιότητας ἐν αὐτοῖς· ὡς κατὰ μὲν τὴν ἐπικράτησιν ὑγρὸν μὲν, ἡ σάρξ, ὁ χόνδρος δὲ ψυχρόν· τὸ δ' ὀστοῦν ξηρὸν καὶ ψυχρόν. ἡ πιμελὴ δὲ ὑγρὸν καὶ θερμὸν, ἕκαστόν τε τῶν ἄλλων ὁμοιομερῶν. καὶ μὲν δὴ καὶ ὡς χῶραι πολλαὶ μεταξὺ τῶν εἰρημένων ὁμοιομερῶν τε καὶ πρώτων μορίων ὑπάρχουσι καὶ τούτων ἔτι πλείοις τε καὶ μείζους ἐν τῷ μέσῳ τῶν ὀργανικῶν τε καὶ συνθέτων, ἵνα δὲ τροφὴν τὰ μέρη πάντα τοῦ σώματος λάβῃ, ἐνίοτε ἡ φύσις καθ' ἓν ὁτιοῦν ὁμοιομερὲς μόριον τὴν χώραν δεδημιούργηκε, ὡς ἐν ὀστῷ καὶ δέρματι. καὶ τὰ μὲν μαλακὰ τῶν σωμάτων ἀλλήλοις ἐπιπίπτοντα τὰς ἐν τῷ μεταξὺ χώρας ἀδήλους πρὸς τὴν αἴσθησιν ἔχουσιν. ὅσα δὲ σκληρὰ καὶ ξηρὰ πάνυ, αἰσθητὰ ἔχει καὶ τὰ διαλείμματα, ὡς ἔστιν ἰδεῖν ἐν τοῖς ὀστοῖς τὰς σήραγγας, ἐν αἷς ἐστιν ὑγρὸν παχὺ καὶ λευκὸν, ὅπερ ἡ φύσις αὐτὴ εἰς θρέψιν τοῖς ὀστοῖς παρεσκεύασεν. ἐν δὲ τῷ δέρματι πόροι τινές εἰσι

ſunt generis ejusdem omnia, tum ex iis conficitur oculus, lingua, caput, viſcera artusque. Denique ex his totum corpus atque haec quidem omnia naturales qualitates in ſe habent, ut per exuperantiam humida ſit caro, frigida cartilago, ſiccum et frigidum os, pinguedo humida et calida et unaquaeque pars ſimilaris. Quin etiam complura ſunt ſpatia inter praedictas partes ſimilares et primas partes, atque iis plura majoraque inter organicas et compoſitas. Ut autem omnes corporis partes alimentum ſumant, interdum natura ſpatium in unaquaque parte, quae conſtet ex partibus ſimilaribus, fabricata eſt, ut in oſſe et cute. Ac mollia quidem corpora, quae ſibi mutuo incumbunt, habent interjecta ſpatia, quae ſenſum effugiunt, quae vero dura ſiccaque admodum ſunt, in eis intervalla cernuntur, ut cernere eſt cavernulas in oſſibus, in quibus eſt humor craſſus et albus, quem ad alenda oſſa natura praeparavit. In cute autem foramina quaedam ſunt, tum

Ed. Chart. VI. [247. 248.]

καὶ πρὸς τοιαύτην τὴν χρείαν καὶ πρὸς τὸ τὰ περιττὰ ἐκπεσεῖν. [248] νῦν δὲ πῶς ἡ τῆς τροφῆς δύναμις εἰς ἕκαστον μόριον φέρεται, οὐκ ἀγνοεῖν δύναιτό τις, ἀναγνοὺς τὸ ἡμέτερον τὸ περὶ φυσικῶν δυνάμεων γράμμα. ἐν ἐκείνῳ γὰρ δέδεικται, ὅτι ὀχετοὶ πολλοὶ κατὰ πάντα τὰ μόρια διεσπαρμένοι, τὸ αἷμα αὐτοῖς παράγουσι δίκην τινὸς ἐν τῷ κήπῳ ὑδρίας. οὗτοι δὲ ὀχετοὶ ἔχουσι διαστήματά τινα μεταξὺ, οὕτως παρεσκευασμένα, ὡς μήτ' ἐνδεῶς χορηγεῖσθαι τοῖς μεταξὺ μορίοις, ἅπερ τὸ αἷμα εἰς αὐτὰ ἕλκουσι, μήτε κατακλύζεσθαί ποτ' αὐτὰ πλήθει τῆς περιττῆς ὑγρότητος, τῆς ἀκαίρως ἐπιῤῥεούσης. αὕτη μὲν οὖν ἡ τῶν μορίων κατασκευὴ ὑπὸ φύσεως ἐξ ἀρχῆς ἐγένετο, ἵνα τροφὴν ῥᾳδίως πάντα λαμβάνῃ. τοῦ γὰρ συνεχοῦς σώματος τὰ ἐπιπολῆς μέρη πρῶτα τῆς ὁμιλούσης ἀπολαύει τροφῆς. ἐκ τούτων δ' αὖ μεταλαμβάνει κατὰ τὸ συνεχὲς ἕλκοντα τὰ τούτων ἑξῆς, εἶτ' ἐξ ἐκείνων αὖθις ἕτερα. καὶ τοῦτο γίνεται μέχρι τοῦ εἰς ἅπαντα τὰ τοῦ σώματος μόρια ἡ ποιότης τῆς τροφῆς διαδίδοσθαι. οὐ τρέφεται δὲ πάντα ὁμοίως, ἀλλὰ τὰ μὲν

ad hujusmodi ufum, tum vero etiam, ut quae fupervacanea funt, exeant. Caeterum quomodo alimenti facultas ad unamquamque partem feratur, nemo, qui noftrum de facultatibus naturalibus librum leget, poterit ignorare. In illo enim oftenfum eft, canales multos per omnes partes fparfos fanguinem eis, veluti in hortulo irrigationem quandam adducere. Habent autem hi canales interjecta fpatia quaedam fic praeparata, ut neque nimis parce mediis eorum partibus fanguis, quem ad fe trahunt, fuppeditetur, nec copia fupervacanei humoris, intempeftive ad ea confluentis, unquam obruantur. Haec autem fabricatio eft a natura vel in ipfo initio facta, ut omnes partes alimentum facile fumerent. Summae enim continui corporis partes primum admoto fibi alimento perfruuntur. Ab iis fumunt, quae deinceps fequuntur, per continuum trahentes. Deinde ab illis aliae, idque fit usque dum alimenti qualitas in omnes fit partes corporis diftributa. Non omnes tamen fimili ratione nutriuntur; fed aliae

Ed. Chart. VI. [248.]

πολλὴν μεταβολὴν ἀπαιτεῖ, τὰ δ' ὀλίγην, ὡς ἐκεῖ σαφῶς εἴρηται. ὅσα μὲν οὖν χρήζουσι τοῦ μέλλοντος αὐτὰ θρέψειν χυμοῦ, τούτοις εἴπομεν παρεσκευακέναι τὴν φύσιν, ὥσπερ ταμιεῖόν τι, τουτέστιν, ἢ κοιλίας, ἢ σήραγγας ἤ τι ἄλλο τούτοις ἀνάλογον. καὶ ἐξ αἵματος μὲν ὀλίγον ἀλλοιουμένου αἱ σάρκες τῶν τε σπλάγχνων ἁπάντων καὶ τῶν μυῶν· τὰ δ' ὀστᾶ οὐ δύναται τρέφεσθαι μὴ παμπόλλης τῆς μεταβολῆς μεταξὺ ὑπαρχούσης. καὶ ὡς αἷμα ταῖς σαρξὶ, οὕτω τοῖς ὀστοῖς ὁ μυελὸς τροφή ἐστιν. οὐ μὴν ὁμοίως γε ἐν πᾶσιν. εἰσὶ γὰρ μικρά τινα καὶ ἀκοίλια, ἄλλα δὲ μείζω τε καὶ κοιλίας ἔχοντα, ἐν μὲν οὖν τοῖς μικροῖς καὶ ἀκοιλίοις κατὰ τὰς σήραγγας αὐτῶν διεσπαρμένος, ἐν δὲ τοῖς μείζοσί τε καὶ κοιλίας ἔχουσιν ἐν ἐκείνοις ἠθροισμένος. ἐν δὲ τοῖς χόνδροις ἐστὶ τὸ περικεχυμένον τι μυξῶδες· καὶ τοῖς συνδέσμοις καὶ τοῖς ὑμέσι καὶ τοῖς νεύροις τὸ γλίσχρον ὑγρὸν παρεσπαρμένον. ἣν δὲ τροφὴν ἕλκει ἕκαστον, ἐξομοιοῖ κατὰ βραχὺ καὶ μεταβάλλει εἰς τὴν ἑαυτοῦ οὐσίαν. ἐξετάζομεν δὲ καθ' ἕκαστον τῶν καταριθμουμένων ὑπ' αὐτοῦ τἀληθές.

magnam mutationem expetunt, aliae exiguam; ut illic perſpicue declaravimus. Quaecunque autem humorem quo nutriuntur, deſiderant, iis a natura praeparatum veluti penum quendam diximus, exempli gratia ſinus aut cavernulas aut aliud quidpiam, quod his proportione reſpondeat. Ac ſanguine quidem parum alterato, viſcerum omnium et musculorum carnes aluntur. At oſſa, niſi permagna intercedat mutatio, ali non poſſunt. Et ſicut ſanguine aluntur carnes, ita oſſa medulla nutriuntur. Quod tamen eodem modo in omnibus non fit, propterea quod exigua quaedam ſunt et ſinus expertia, quaedam majora et quae ſinus habent. Proinde in parvis et ſinus expertibus medulla eſt cavernulis ipſorum inſperſa, in majoribus et ſinus habentibus utique in ipſis collecta eſt. In cartilagine eſt mucoſum quid ei circumfuſum, ligamentis, musculis et nervis lentus humor inſperſus. Quod autem alimentum unaquaeque pars trahit, id paulatim aſſimilat et in ſui ſubſtantiam mutat. Perveſtigemus autem in ſin-

Ed. Chart. VI. [248.]
φησὶ γὰρ, δύναμις δὲ τροφῆς ἀφικνέεται καὶ ἐς ὀστοῦν. σαφῶς μέντοι φαίνεται κατὰ πάντα τὰ ζῶα, τὸ μηδὲν τῶν μικρῶν ὀστῶν μυελὸν ἔχειν, ὅτι μηδὲ κοιλίαν ἀξιόλογόν τινα καὶ μεγάλην ἔχει, ἀλλὰ τὰς μόνον σήραγγας, ὡς εἶπον, καὶ ταύτας ὀλίγας τε καὶ στενάς. διττὸς γὰρ ἦν τῇ φύσει τῆς ὅλης κατασκευῆς αὐτῶν ὁ σκοπὸς, ὡς μὲν πρὸς τὴν ἰδίαν ἀσφάλειαν ἡ σκληρότης, ὡς δὲ πρὸς τὴν τοῦ ζώου κίνησιν ἡ κουφότης· καὶ οὐκ εὐπετὲς ἄμφω ταῦτα εἰς ταὐτὸν συνελθεῖν. εἰ γὰρ δὴ πρὸς τῷ ὀστοῦν στενὸν εἶναι καὶ κοῖλον ἐγεγένητο, παντάπασιν ἂν ἦν ἀσθενές. εἰ δὲ μέγα καὶ πλῆρες καὶ πυκνὸν, ἐσχάτως ἂν ἦν βαρύ τε καὶ δύσφορον. ἐν γὰρ κνήμῃ καὶ μηροῖς καὶ βραχίονι τί χρὴ νομίζειν, εἰ μὴ κοιλίας εἶχεν οὕτω μεγάλας, μήτ' ἀραιότερα ταῖς συστάσεσιν ἐγεγόνει; καὶ πρὸς μὲν διττὴν χρείαν τὴν εἰρημένην, ἡ μὲν ἀσφάλεια ἐκ πυκνότητος καὶ σκληρότητος· ἡ δὲ κουφότης ἐκ τῶν ἐναντίων ἐγεννᾶτο. ἐφ' ὧν μέντοι διά τε τὸ σύντονον τῶν μυῶν καὶ ὅλου τοῦ ζώου τὴν ῥώμην ἄμφω ὑπάρχειν

gulis partibus, ab ipso enumeratis, quid veri sit. Facultas, inquit, alimenti pervenit in os et tamen apparet perspicue in cunctis animantibus, nullum ex parvis ossibus medullam continere. Causa est, quia neque sinum ullum notabilem et magnum habet, sed solum cavernulas, ut dixi, et eas quidem paucas et angustas. In eorum enim constructione duo fuerunt naturae proposita, ut durities ad suam tutelam, levitas ad motiones animantis pertineret, neque facile erat haec ambo in idem convenire. Si enim os praeterquam quod angustum sit, cavum etiam esset factum, omnino imbecillum extitisset, at si magnum et plenum et densum, gravissimum fuisset et ad gestandum difficile. Etenim de tibia, femore et brachio quid esset censendum, si neque sinus adeo amplos habuissent, neque ipsorum fuisset rarior consistentia? Ad duplicem autem usum, quem indicavimus, securitas ex densitate et duritie, levitas ex contrariis extitit. In quibus tamen propter robur musculorum ac totius corporis fortitudinem utrum-

Ed. Chart. VI. [248. 249.]

ἠδύνατο, τούτοις ἅπασιν ἡ φύσις πυκνὰ καὶ σκληρὰ ἀπειργάσατο τὰ ὀστᾶ. καὶ ὁ μυελός ἐστιν οἰκεία τροφὴ αὐτῶν. τὰ δ' οὐκ ἔχοντα κοιλίας ἐν ταῖς σήραγξι τοιοῦτόν τι περιέχουσιν, ὅπερ τρέφειν αὐτὰ πέφυκεν. προστίθησι δὲ τοῖς ὀστοῖς τὰ νεῦρα, εἰπὼν καὶ ἐς νεῦρον. τῶν δὴ νεύρων ἐστὶ τριττὸν γένος, τὰ μὲν ἐκ τοῦ ἐγκεφάλου καὶ νωτιαίου γίγνονται μυελοῦ, ἃ καλοῦμεν προαιρετικά· τὰ δὲ ἐκ τῶν ὀστῶν, ἅπερ ὡς εἰπεῖν συνδετικά· [249] τὰ δὲ ἐκ τῶν μυῶν, οἷς τενόντων ὄνομα τιθέασι. ἔστι δὲ ἄλλα μὲν σκληρὰ τῶν νεύρων, ἄλλα δὲ μαλακά. τῶν δὲ σκληρῶν ἁπάντων ἀρχή ἐστιν ὁ νωτιαῖος· καὶ τό γε κάτω πέρας αὐτοῦ τῶν ἐσχάτως σκληρῶν. τῶν δὲ μαλακῶν ἁπάντων ὁ ἐγκέφαλος· καὶ τὰ μέσα γε τῶν ἔμπροσθεν αὐτοῦ μερῶν ἀνάκειται τοῖς μαλακωτάτοις· τῆς δὲ τῶν μέσων νεύρων οὐσίας, καθὰ συνάπτουσιν, ἐγκέφαλός τε καὶ νωτιαῖος ὑπάρχει ἀρχή. τοῦτο μέντοι ἠγνόησεν ὁ Ἀριστοτέλης, τἄλλα μὲν δεινὸς καὶ ἐπιστήμων· κατὰ δὲ τὴν ἀνατομὴν οὐ πάνυ. νῦν δὲ περὶ τροφῆς αὐτῶν

que comparari poterat, in iis omnibus et denſa et dura oſſa a natura facta ſunt et medulla eſt ipſorum accommodatum alimentum; quae vero ſinus non habent, ea ſuis cavernis tale quid continent, quo nutriri queant. Ad oſſa vero addidit nervos, quum ait *et in nervum.* Ac nervorum quidem ſunt tria genera, alii enim a cerebro et ſpinali medulla oriuntur, quos voluntarios nuncupamus, alii ex oſſibus, quos, ut ita dicam, ligamenta vocamus, alii ex musculis, quos tendines nominant, alii porro duri, alii molles sunt, ac durorum omnium origo eſt ſpinalis medulla. Ejus vero ora inferior duriſſimorum, mollium vero omnium fons eſt cerebrum, media vero anteriorum ejus partium molliſſimis dicata ſunt. At mediorum nervorum ſubſtantiae principium id eſt, quo cerebrum et ſpinalis medulla conjunguntur. Hoc tamen ignoravit Ariſtoteles, qui caeteris in rebus praeſtans et ſcientia ornatus, in diſſectione corporum non admodum excelluit. Nunc vero de alimento, quo nervi fruuntur, hoc tantum habeo

Ed. Chart. VI. [249.]
τοσοῦτον ἔχομεν εἰπεῖν, ὅτι γλίσχρον καὶ ὅλκιμον καὶ δυσέκκριτον εἶναι λέγομεν τὴν τροφὴν, ὑφ' ἧς τὰ νεῦρα τρέφεται. δῆλον δὲ τοῦτο ἐκ τῶν φαινομένων περὶ τὰ νεῦρα. καὶ γὰρ ἑψόμενα καὶ σηπόμενα τὴν διάλυσιν εἰς τὸν τοιοῦτον ἔχει χυμόν. ἔν τε τῷ κατὰ φύσιν ἔχειν ἄναιμα τελέως εἰσίν. ἔτι δὲ ἕκαστον τῶν μορίων οἰκείῳ τῆς ἰδίας οὐσίας τρέφεται χυμῷ· οὐδὲν δὲ τῷ νεύρῳ οἰκειότερον τῆς εἰρημένης ἤδη τροφῆς οὐχ εὑρήσεις. τρέφεται μὲν οὖν· οὐ χρήζει δὲ κενώσεως, διὰ τὸ μὴ ἔχειν μηδεμίαν κοιλότητα αἰσθητὴν, ὥσπερ καὶ φλέβες καὶ ἀρτηρίαι. καὶ αὕτη ἡ αἰτία ἐνίοτε ποιεῖ, ὡς πληρουμένων τῶν νεύρων αὐτῶν τοῦ γλίσχρου καὶ ψυχροῦ χυμοῦ, ᾧπερ καὶ τρέφεται, τὸν σπασμὸν ὑπομένειν. ὃ μὴ γένοιτο ἂν, εἰ κοιλότητας ἔχοιεν αἰσθητὰς, δι' ὧν ἂν ἔκκρισιν ἐργάζοιντο. καὶ ἐς φλέβα φησὶ καὶ ἐς ἀρτηρίαν. πολλὰς μὲν ἀρτηρίας καὶ φλέβας ἡ φύσις ἐν ὅλῳ τῷ σώματι δεδημιούργηκε. αὐτίκα μὲν ἐν τῷ προσώπῳ καὶ ὅλῃ κεφαλῇ συνάπτει παμπόλλας ἀρτηρίας μὲν ἀρ-

dicere, glutinofum, aptum ad trahendum et difficile ad excernendum efle id, quo nervi aluntur, idque perfpicuum efle ex iis, quae in nervis apparent. Nam fi elixentur aut computrefcant, in hujusmodi humorem diffolvuntur. Quum vero naturalem fuumque ftatum fervant, funt omnino exangues. Praeterea fingulae partes humore propriae fubftantiae accommodato aluntur. Nihil autem ad nervum alendum accommodatius quam quod dictum eft comperies. Ergo nervus alitur, evacuationem tamen non exigit, quia nullam habet fenfibilem cavitatem, ficut in venis arteriisque confpicitur. Atque hoc interdum in caufa eft, ut nervis glutinofo frigidoque humore repletis, quo fane humore nutriuntur, convulfio ipfos tentet, quod non contingeret, fi cavitatibus fenfibilibus, per quas fieret excretio, praediti effent. *Et in venam*, inquit, *et in arteriam*. Quamplurimas et venas et arterias in toto animantis corpore natura fabricata eft, ac ne longe abeam, in facie et toto capite natura permultas arterias arteriis

τηρίαις, φλέβας δὲ φλεψὶν ἐκ δεξιῶν εἰς ἀριστερὰ καὶ ἐξ ἀριστερῶν εἰς δεξιὰ, πρόσθεν καὶ ὀπίσω, καὶ αὖθις ὄπισθεν καὶ πρόσω, κἀκ τῶν ἔξωθεν μερῶν εἴσω κἀκ τῶν ἔσωθεν ἔξω παράγουσα. καὶ αἱ ἀρτηρίαι ἐπιμίγνυνται φλεψὶ καὶ φλέβες ἀρτηρίαις καὶ νεύροις ἀμφότερα καὶ ταύταις τὰ νεῦρα, παρ' ὅλον τοῦ ζώου τὸ σῶμα. ἐπειδὰν δὲ εἰς μῦν, ἢ εἰς σπλάγχνον, ἢ εἴς τι μόριον ἕτερον ἐμφύεται, πέμπουσί τινας ἀεὶ λεπτὰς ἀποβλαστήσεις τοῖς περικειμένοις σώμασι. σαφὴς δὲ ἡ αἰτία, ὅτι τροφῆς μὲν πάντα δεῖται τὰ μόρια καὶ τὰ θερμὰ καὶ τὰ ψυχρὰ καὶ τὰ σκληρὰ καὶ τὰ μαλακά. ἕλκουσι δὲ τὴν τροφὴν ἐκ τοῦ αἵματος πάνυ ἀλλοιουμένου. ταῦτα δὲ μόρια συνηρίθμησε νῦν ὁ συγγραφεὺς, ὅτι ἐξ αὐτῶν πάντα τοῦ σώματος πλέκονται μόρια. καὶ οὐχ οἷόν τε μηδὲν εὑρίσκεσθαι, ὃ τούτων ἀμερὲς εἴη. καὶ γὰρ εἴπερ τρέφεσθαι δεῖ, ἄνευ τούτων ἀδύνατον. ἅπας δὲ μῦς ἀρτηρίας τε καὶ φλέβας ἔχει καὶ διὰ τούτων τρέφεται. εἴπερ γὰρ ἦν μόνιμος αὐτῶν ἡ οὐσία, μηδὲν ἂν δεῖσθαι λέγοιμεν αὐτοὺς μήτ' ἀρτηριῶν μήτε φλεβῶν. ἐπεὶ

venasque venis tum a dextris ad finiftra tum a finiftris ad dextra tum ab anteriore parte ad pofteriorem et rurfus a pofteriore in anteriorem et ab externis partibus ad internas et ab internis ad externas perducens attexuit. Quum autem vena aut arteria in mufculum aut vifcus aut aliquam aliam partem inferitur, tenues quasdam propagines corporibus fibi admotis mittit. Cujus rei perfpicua caufa eft; omnes nimirum partes, tam calidas quam frigidas et tam duras quam molles alimento indigere. Easque alimentum ex fanguine accurate alterato trahere. Has autem partes nunc auctor connumeravit, quia ex ipfis omnes corporis partes componuntur, neque ulla poteft inveniri, quae fit harum expers. Etenim fi ali debent, profecto fine his effici id non poteft. Omnes autem musculi et arterias habent et venas et per has alimentum ad ipfos defertur. Si enim ipforum permanens effet fubftantia, certe neque arteriis neque venis opus ipfis effe diceremus. Sed quum alimento indigeant

Ed. Chart. VI. [249. 250.]
δὲ καὶ τρέφεσθαι δεῖται καὶ, ὡς εἶπον, τὴν συμμετρίαν φυλάττειν τῆς ἐμφύτου θερμασίας, διὰ τοῦτο αὐτοῖς ἐδέησε φλεβῶν καὶ ἀρτηριῶν. ὅτι δὲ οὐκ ἔχουσι σύμφυτον αἰσθήσεώς τε καὶ κινήσεως ἀρχὴν, διὰ τοῦτο τῶν νεύρων ἀεὶ χρήζουσι, χορηγούντων αὐτοῖς ταῦτα. * οὐ μὴν τοῖς γε φυσικοῖς ὀργάνοις * καὶ μέντοι τοῖς ψυχικοῖς ἡ φυσικὴ διοίκησις ὑπάρχει καὶ χρήζουσί γε καὶ αὐτὰ τῆς τῶν ἀρτηριῶν καὶ φλεβῶν * φυλάττειν τὴν οὐσίαν αὐτῶν * διαφέρει δὲ πάμπολυ κατὰ τοῦτο, τὰ μέχρι πλειόνων ἐκταθεῖσα μορίων, οὐ μόνους τοὺς μῦς, ἀλλὰ καὶ τὰ μέρη. * * διὸ προσέθηκε καὶ ἐς ὑμένα καὶ σάρκα καὶ πιμελήν. οἱ παλαιοὶ μὲν καὶ χιτῶνας καὶ ὑμένας καὶ μήνιγγάς γε καλοῦσιν, ἅπερ νῦν τῷ τῶν ὑμένων ὀνόματι ὁ συγγραφεὺς σημαίνει, οἷς καὶ ἡμεῖς ἑπόμενοι τῆς μὲν ἐν τοῖς ὀνόμασι τερθρείας ἀποστησόμεθα, τοῦ προκειμένου δὲ ἑξόμεθα. [250] * πρὸς τὰ τοῦ πνεύματος ὄργανα. καὶ τὰς πλευρὰς ὅλας ἔσωθεν ὑπέζωκεν. * οὐχ οἷόν τε μέντοι γεννηθῆναί τι τῶν κατὰ τὸ σῶμα

et, ut ante dixi, servandus sit justus nativi caloris modus, idcirco et venis et arteriis opus fuit. Quia vero innatum sensus et motus principium non habent, ideo nervis semper indigent, qui hoc eis suppeditent * *

Non tamen naturalibus instrumentis. * Animalibus tamen instrumentis naturalis quaedam est attributa dispensatio indigentque ipsa quoque et arteriarum et venarum ope ad suam essentiam conservandam. *

Permultum autem hac in re differunt. ad plurimas usque extenta partes, ac non solum in musculos, sed etiam * partes * Propterea addidit: *et in membranam et in carnem et in pinguedinem;* quas prisci tunicas, membranas et meningas vocabant, eas nunc uno nomine membranarum auctor significat, quos nos nunc quoque sequuti omissa nominum subtilitate, rem propositam pertractabimus. *

Ad spiritus instrumenta; et costas omnes intus subcinxit. * Quum interim nulla corporis pars sine

Ed. Chart. VI. [250.]

μορίων ἄνευ τῆς αἱματικῆς οὐσίας. οὐ μὴν οὐδὲ ὅσα λευκὰ καὶ ἄναιμα τῶν μορίων ἐστὶν, ἐξ αὐτοῦ τοῦ αἵματος δύναται γεννᾶσθαι· καθάπερ ἡ τοῦ ἥπατος οὐσία. τοῦτό γε διὰ τὴν ὁμοιότητα τοῦ τε αἵματος καὶ τῆς οὐσίας τοῦ σώματος αὐτοῦ συμβαίνει. * * ἀγγεῖα γοῦν καὶ ὑμένες οὕτω γεννᾶσθαι φαίνονται, ὡς μὴ μόνον πρώτην σύστασιν ἐκ τῆς τοῦ σπέρματος οὐσίας, ἀλλὰ καὶ τὴν ἐφεξῆς εἰς μῆκός τε καὶ εὖρος ἐπίδοσιν λαμβάνειν. ἔχουσι δὲ καὶ ὑμένες, ὥσπερ τ' ἄλλα πάντα μόρια τοῦ σώματος, τὰς φυσικὰς ἐνεργείας, ὡς καὶ ἕλκειν καὶ κατέχειν καὶ ἐκκρίνειν καὶ ἀλλοιοῦν οἵας τε εἶναι. καὶ περὶ τούτου γε οὐκ ἀμφισβητήσειεν ἄν τις, τὰ περὶ * καὶ μὲν ἡ πιμελὴ τρέφεται τὸν αὐτὸν τρόπον. αὕτη γὰρ ἐλαίου δίκην τακερῶς ἐπιβεβλημένη τοῖς ὑμενώδεσι καὶ νευρώδεσι τοῦ ζώου μορίοις ἐστίν. * * διὸ τὰ εὐτροφοῦντα πάντα πιμελὴν, ἢ στέαρ ἔχει. τὰ δ' ἰσχνὰ καὶ ἄτροφα πολλάκις μὲν οὐδ' ὅλως ἔχειν φαίνεται, πολλάκις δὲ οὕτως ὀλίγην τε καὶ ξη-

ſanguinea ſubſtantia effici queat. Nec tamen quaecunque albae et exangues ſunt ex ipſo effici ſanguine poſſunt, ſicut jecoris ſubſtantia. Id quod propter ſimilitudinem, quae inter ſanguinem et ſubſtantiam corporis ipſius intercedit, accidit. * Vaſa igitur ac membranae ita gigni videntur, ut non modo primam conſtitutionem ex ſeminis ſubſtantia, ſed etiam reliquum in longitudinem et latitudinem incrementum accipiant, ac membranae quidem, ſicut etiam aliae omnis corporis partes, naturales actiones habent, ut trahere, continere, excernere atque alterare poſſint, qua de re nemo converſabitur, qui libros de *
Pinguedo autem eodem modo alitur. Siquidem ipſa inſtar olei pinguis eſt animantis partibus membranoſis ac nervoſis affuſa. * *
Proinde quae bene aluntur, aut pinguedinem aut adipem habent omnia, quae vero gracilia ſunt et non nutriuntur, ſaepe ne habere quidem omnino, ſaepe vero ita

Ed. Chart. VI. [250.]
ρὰν, ὡς δύσχρηστον εἶναι. περὶ δὲ αἵματος τί χρὴ λέγειν; αὐτὸ γὰρ καὶ τρέφεται ἀπὸ σιτίων καὶ τἄλλα τρέφει πάντα, τὰ ἐν τῷ σώματι ὄντα. διττῶς δὲ τὸ αἷμα λέγεται, ἐνίοτε μὲν ἀντιδιαιρούμενον πρὸς τοὺς ἄλλους χυμοὺς, τουτέστι πρὸς τὸ φλέγμα καὶ ἀμφοτέραν χολὴν, ἐνίοτε δὲ κατ' ἐπικράτειαν ὅλος ὁ ἐν τοῖς ἀγγείοις χυμός. νῦν δὲ προστιθεὶς καὶ φλέγμα καὶ τὰ λοιπὰ δῆλός ἐστι σημαίνειν τὸν ἕνα χυμὸν, τοῖς ἄλλοις ἀντιδιαιρούμενον. * * ἡ μὲν οὖν κατὰ φύσιν ἑκάστῳ ζώῳ θερμασία εὔκρατός τε καὶ μετρίως ὑγρὰ αἵματός ἐστι γεννητική· καὶ διὰ αὐτό γε τοῦτο καὶ τὸ αἷμα θερμὸν καὶ ὑγρὸν φαμεν εἶναι δυνάμει· ὥσπερ καὶ τὴν ξανθὴν χολὴν θερμὴν καὶ ξηράν· μέλαιναν δὲ ξηράν τε καὶ ψυχρὰν καὶ τὸ φλέγμα αὐτὸ, ὑγρόν τε καὶ ψυχρόν. ἐναργῶς γὰρ καὶ περὶ τούτου πίστεις Ἱπποκράτει τε καὶ τοῖς ἄλλοις εἴρηται παλαιοῖς. * * ὅσον οὖν ἐμφέρεται τοῖς φλεψὶ φλέγμα, χρήσιμον ὑπάρχον τοῖς ζώοις, οὐ δεῖται κενώσεως, ὥσπερ καὶ τῶν χολῶν ἑκατέρας τὸ μὲν

parum idque ſiccum, ut vix uti poſſis videntur. De ſanguine autem quid attinet dicere? Ipſe enim et cibis alitur et caetera omnia, quae in corpore ſunt, alit. Duobus autem modis ſanguis dicitur, interdum ut altera parte caeteris humoribus reſpondeat, hoc eſt, ut a pituita et utraque bili diſtinguatur, interdum vero ex praeſtantia totus is humor, qui vaſculis continetur. Hoc autem loco quum addidit *et pituitam* et reliqua, planum eſt unum ſignificari humorem ab aliis diſtinctum. * Calor unicuique animanti nativus temperatus et modice humidus eſt auctor ſanguinis; ob eamque cauſam ſanguinem calidum et humidum poteſtate eſſe dicimus, ſicut flavam bilem, calidam et ſiccam, atram, frigidam et ſiccam; ipſam denique pituitam humidam et frigidam, qua de re et ab Hippocrate et ab aliis veteribus evidentes probationes allatae ſunt. *
Quantum igitur pituitae in venis fertur, quum utile animantibus ſit, vacuatione non eget, ſicut ex utraque bile

Ed. Chart. VI. [250.]
χρήσιμον καὶ κατὰ φύσιν ἐν τοῖς ζώοις, τὸ δ' ἄχρηστον καὶ παρὰ φύσιν. ὅσον δὲ τοῦ φλέγματος ἂν ᾖ γλυκὺ, τοῦτο χρήσιμόν ἐστι καὶ κατὰ φύσιν τῷ ζώῳ· ὅσον δὲ ὀξὺ καὶ ἁλμυρὸν, τὸ μὲν τελέως ἄπεπτον, τὸ δὲ διασαπές. περὶ δὲ τοῦ μυελοῦ * * τοῦτο δ' ἐστὶν ἴδιον αὐτοῦ, ὡς εἶναι τὴν τῶν ὀστῶν τροφὴν, ὡς εἴρηται. τοῦ δὲ νωτιαίου μυελοῦ τὰ μὲν ἔχοντος κοινὰ πρὸς τὸν ἐγκέφαλον, τὰ δ' ἴδια, ἐστὶ μὲν τὰ κοινὰ τὴν τοῦ σώματος οὐσίαν ὁμοίαν ἔχειν, καὶ νεύρων ἀρχὴν εἶναι, τὰ δ' ἴδια, κινεῖσθαι μὲν σφύζοντα τὸν ἐγκέφαλον, ἀκινήτῳ περιλαμβανόμενον, μὴ κινεῖσθαι δὲ τὸν νωτιαῖον ὑπὸ κινουμένων τῶν σπονδύλων περιεχόμενον. * * * * *
ὥσπερ δὲ τὸ ζωτικὸν πνεῦμα κατὰ τὰς ἀρτηρίας τε καὶ καρδίαν γεννᾶται, τὴν γένεσιν ἔκ τε τῆς εἰσπνοῆς ἔχον καὶ τῆς τῶν χυμῶν ἀναθυμιάσεως, οὕτω τὸ ψυχικὸν ἐκ τοῦ ζωτικοῦ κατεργασθέντος ἐπὶ πλέον ἔχει τὴν γένεσιν. καὶ ὥσπερ εἰς τὴν γαστέρα καὶ τὰ ἔντερα καθήκουσιν ἀρτηρίαι τε καὶ φλέβες πάμπολλαι, χολὴν μὲν καὶ φλέγμα καί τινας

altera utilis naturalisque animalibus eſt, altera inutilis et praeter naturam, quae autem pituitae pars dulcis eſt, ea et utilis et naturalis animanti eſt, quae vero acida ſalſaque eſt, acida omnino cruda eſt, ſalſa vero computruit. De medulla autem * Hoc ipſius eſt proprium, ut ſit, velut dictum eſt, oſſium alimentum. Quum vero ſpinalis medulla quaedam habeat cerebro communia, quaedam propria, communia ſunt, ut corporis eſſentiam ſimilem habeat et nervorum origo ſit, propria ut quum cerebrum pulſet, ac motu cieatur, quanquam oſſe immobili continetur, ipſa tamen non moveatur, tametſi a vertebris mobilibus contineatur. * * * * Quemadmodum autem ſpiritus vitalis in arteriis cordeque gignitur et ortum ex ſpiratione ducit et ex humorum habitu, ſic animalis fit ex vitali admodum elaborato. Et quemadmodum in ventriculum et inteſtina arteriae venaeque plurimae perveniunt, bilem ac pituitam et alias id genus humores in exter-

ἑτέρας τοιαύτας ὑγρότητας εἰς τὴν ἐκτὸς εὐρυχωρίαν ἀποχέουσαι, στέγουσαί τε ἐντὸς αὐτῶν τό θ' αἷμα καὶ τὸ πνεῦμα τὸ ζωτικόν. οὕτως εἰς τὰς κατὰ τὸν ἐγκέφαλον κοιλίας αἱ μὲν φλέβες ἐκκρίνουσι μὲν τὰ περιττὰ, τὸ δ' αἷμα κατέχουσιν, αἱ δὲ ἀρτηρίαι τὸ πνεῦμα ἀναπνέουσιν. [251] ὅσα μὲν τοῦ ἐγκεφάλου μέρη τῆς διαζωννυούσης μήνιγγος ψαύει, ταῦτ' ἐξ αὐτῶν τῶν κατ' ἐκείνην ἀγγείων ἀρύεται τὴν οἰκείαν τροφήν· ὅσα δὲ πο῾ῤῥωτέρω κείμενα τυγχάνει, ταῖς τῶν ὑλῶν βοηθεῖται ῥοπαῖς. εἴρηται γὰρ ὅτι ἔχει δύναμιν ἅπαντα τὰ ἐν τῷ σώματι μόρια τῆς οἰκείας ὕλης ἑλκτικήν. ἵνα οὖν ἅπαν τὸ σῶμα καὶ τὰ μόρια αὐτοῦ τὴν τροφὴν ἕλκειν δύναιτο, ἡ φύσις καθ' ὅλον αὐτὸ ἐποίησε πλῆθος φλεβῶν καὶ ἀρτηριῶν, οὕτως ἐγγὺς ἀλλήλων καὶ πλησίον οὕτω πολλάκις, ὥστε καὶ ψαύειν, ὡς ὁρῶμεν τὰς εἰς κοιλίαν καὶ νῆστιν καὶ πᾶν τὸ λεπτὸν ἔντερον καὶ κῶλον καὶ τὰς καθ' ἧπαρ καὶ πνεύμονα καὶ νεφροὺς καὶ κύστιν καὶ μήτραν καὶ σπλῆνα καὶ αὐτὴν τὴν καρδίαν καθηκούσας. ἀλλὰ καὶ κατ' ὤμο * * * ὅπερ μὲν ἐν τοῖς

nam capacitatem effundentes et sanguinem ac vitalem spiritum intra se ipsas cohibentes, sic in cerebri ventriculos venae excernunt ea, quae supervacanea sunt sanguinemque retinent; arteriae vero spiritum respirant. Quaecunque autem cerebri partes membranam ipsius succingentem contingunt, eae ex vasis, quae in ipso sunt, accommodatum sibi alimentum hauriunt; quae vero longius absunt, materiarum inclinationibus adjuvantur. Dictum enim est omnes corporis partes facultatem habere materiae sibi accommodatae attrahendae. Itaque ut universum corpus ipsiusque partes trahere alimentum queant, natura magnam arteriarum venarumque copiam in totum corpus pertinentem machinata est, quae ita vicinae inter se ac saepe etiam propinquae sunt, ut sese contingant, sicut eas esse perspicimus, quae in ventriculum, in jejunum universumque tenue intestinum et colon et jecur et pulmonem et renes et vesicam et uterum et lienem et ipsum cor pervenerint. Sed etiam in his *

ἄλλοις ἅπασι σχεδὸν τοῦ σώματος μορίοις, μάλιστα δὲ κατὰ τὸν ἐγκέφαλον ὁρᾶται.

β΄.

Καὶ δὴ ἐς θερμασίην καὶ πνεῦμα κατὰ ὑγρασίην.

Ὡς ἐν ἀτροφίᾳ ψύχεται τὸ σῶμα, οὕτως αὖ δῆλόν ἐστιν ἀναθερμαίνεσθαι αὐτὸ κατὰ τὴν τροφήν. ἀλλὰ καὶ ταῖς ξηρότησι τῶν στερεῶν σωμάτων ψύξις ἐξ ἀνάγκης ἀκολουθεῖ χρονιζούσαις. αὐτὴ γὰρ καθ᾿ ἑαυτὴν ἡ ξηρότης διαμένειν, ἀμέμπτου τῆς κατὰ τὸ θερμὸν καὶ ψυχρὸν ἀντιθέσεως ὑπαρχούσης, οὐ δύναται. τάχιστα γὰρ ἐπὶ ταῖς ἀτροφίαις ἀποψύχεται τὰ μόρια· διότι καὶ ἡ θρέψις αὐτοῖς ἐστιν ἐκ θερμοῦ χυμοῦ τοῦ αἵματος. αἱ μὲν οὖν τροφαὶ πρὸς τῆς ἐμφύτου πεττόμεναι θερμασίας τὸ σῶμα θερμαίνουσι. οὐ μὴν ἀλλὰ τοῦτό γε ἐκ τοῦ παραχρῆμα γίνεται. ὡς γὰρ αἱ τοῦ πυρὸς ἐπιτήδειοι τροφαὶ τὸ πῦρ αὔξουσιν, οὕτω καὶ τῶν φύσει θερμῶν σωμάτων, ὅτε περ ἂν οἰκεία

Quod quum in aliis fere omnibus corporis partibus, tum vel maxime in cerebro conſpicitur.

II.

Et in calorem et ſpiritum et humorem.

Quemadmodum corpus refrigeratur in nutritionis defectione, ita ipſum alimento excaleſieri perſpicuum eſt. Quum tamen refrigeratio ex diuturnis quoque ſolidorum corporum ſiccitatibus conſequatur, quippe permanere ipſa per ſe ſiccitas, ſi non mutetur oppoſitio, quae ex calido frigidoque conſtat, non poſſit, partes enim in nutritionis defectione celerrime refrigerantur, propterea quod calido ſanguinis humore nutriuntur, ex quo fit ut quum alimenta innato calore concoquantur, corpus calefaciant; tamen protinus non fit. Ut enim alimenta ad ignem accommodata ignem augent, ita corporum natura calidorum alimentum, quod ipſis accommodatum innatumque ſit, ea

Ed. Chart. VI. [251.]

τε καὶ σύμφυτος ὑπάρχει τροφὴ, ῥώσει τε διὰ παντὸς αὐτὰ καὶ τὴν ἔμφυτον αὐξήσει θερμασίαν. καὶ τοῦτό ἐστιν ἁπάσης ἴδιον τροφῆς. ἐνίοτε δὲ καὶ πλείων τροφὴ ἀμαυροῖ τὸ ἔμφυτον θερμὸν, δίκην τῶν ξύλων ὑγρῶν· ἃ τροφὴ μέν ἐστι καὶ αὐτὰ τοῦ πυρὸς, ἀλλ᾽ ὅτι ἐπιβληθέντα τῷ πυρὶ ἐστι πλείω, διὰ τοῦτο κατακρύπτεται τὴν φλόγα καὶ κίνδυνον ἐπάγει φθορᾶς. φέρεται γοῦν ἡ τῆς τροφῆς δύναμις εἰς τὸ θερμὸν καὶ ὑγρὸν, ἐπειδὴ ἐκ τῆς γαστρὸς εἰς τὰς φλέβας ἀναληφθῆναι καλῶς οὐ δύναται ὁ ἐκ τῶν σιτίων χυμὸς, οὐδὲ ῥᾳδίως διεξέρχεσθαι τὰς ἐν ἥπατι φλέβας, οὔσας πολλάς τε καὶ στενὰς, εἰ μή τις αὐτῷ λεπτοτέρα καὶ ὑδατώδης ὑγρότης ἀναμέμικτο, καθάπερ ὄχημά τι. Ἱπποκράτης δὲ τὴν κοίλην φλέβα ὄχημα τροφῆς καλεῖ, ὅτι κατ᾽ αὐτὴν πολλῆς ὑγρότητος λεπτῆς καὶ ὑδατώδους μεστόν ἐστι τὸ αἷμα. ὡμολόγηται γὰρ τὰ φυσικὰ ὄργανα εἰς ὅσον μὲν ὑγρότερα, τρέφεσθαι βελτίω. κἂν ἐσχάτως ὑγρὰ ταῖς κράσεσιν ὑπάρχῃ. πρὸς δὲ τὰς πέψεις οὔτε βελτίω σφῶν αὐτῶν οὔτε τῶν ξηροτέρων, εἰ καὶ ὁμοίως ᾖ θερμά. καὶ αἱ μὲν

perpetuo roborabit et innatum calorem adaugebit; idque eſt omnis alimenti proprium, interdum tamen copioſius alimentum hebetat innatum calorem, inſtar lignorum viridium, quae ut ſint ignis alimenta ipſa quidem, tamen quia plura in ignem conjecta ſunt, idcirco flammam occultant et ne ignis extinguatur periculum afferunt. Ergo alimenti facultas in calorem et humorem perducitur, quia is ſuccus, qui ex cibis conficitur, non poſſit recte ex ventriculo in venas tranſumi, neque facile venas, quae in jecore multae anguſtaeque ſunt, pertranſire, niſi tenuior quaedam et aquea humiditas ei tanquam vehiculum quoddam fuiſſet admixta. Hippocrates autem venam cavam alimenti vehiculum vocat; propterea quod in ipſa ſanguis multa, tenui et aquea humiditate plenus eſt. Conſtat enim naturalia inſtrumenta quo humidiora ſint, eo melius nutriri; tametſi extreme humida temperie ſint; quod vero ad concoctiones pertinet, neque ſe ipſis meliora ſunt, neque etiam ſiccioribus, etiam ſi ſimiliter ſint calida. Ca-

Ed. Chart. VI. [251. 252.]
τῆς θερμασίας αὐξήσεις ἀλλοιοῦσιν ἱκανῶς· αἱ δὲ ψυχρότητες εἰς οὐδεμίαν ἐνέργειαν χρησταί. ξηρότητες δὲ εἰς ῥώμην. ὑγρότητες δὲ εἰς μὲν τὰς θρέψεις ἐπιτηδειόταται, πρὸς δὲ τὰς ἄλλας ἐνεργείας ἐναντιώταται, πλὴν αὐξήσεως. εἰς ταύτην δὲ πλέον ἢ κατὰ τὴν θρέψιν ὑπάρχουσι χρησταί. περὶ δὲ τοῦ πνεύματος, ὅτι διττόν ἐστι, τό τε ψυχικὸν καὶ τὸ ζωτικὸν, καὶ ὅτι κουφότατόν ἐστι καὶ λεπτότατον ἁπάντων τῶν κατὰ σῶμα, οὐδὲν χρή.

γ.

[252] *Τροφῆς δὲ τὸ τρέφον, τοῦτο τροφὴ καὶ τὸ οἷον τροφὴ καὶ τὸ μέλλον τροφή.*

Εἴρηται μὲν ὅτι θρέψις ἐστὶν ὁμοίωσις τοῦ τρέφοντος τῷ τρεφομένῳ καὶ ὅτι πρὸς τὸ γενέσθαι αὐτὴν δεῖ προηγεῖσθαι πρόσφυσιν· καὶ πρὸς ταύτην πρόσθεσιν. ὁ γὰρ χυμὸς ὁ μέλλων ὁτιοῦν τῶν τοῦ ζώου μορίων θρέψειν πρῶτον μὲν εἰς ἅπαν αὐτὸ διασπείρεται, ἔπειτα προστίθε-

lor adauctus valenter alterat, frigus nulli actioni eſt utile, ſiccitates ad robur valent, humiditates ſunt ad nutritiones accommodatiſſimae, aliis actionibus praeter quam incremento maxime contrariae. Nam ad incrementum potius quam ad nutritionem valent. De ſpiritu autem et ſpiritum eſſe duplicem animalem et vitalem et ipſum eſſe omnium eorum, quae ſunt in corpore, leviſſimum et tenuiſſimum, nihil opus eſt dicere.

III.

Alimenti autem quod alit, hoc alimentum, et quod velut alimentum et quod futurum eſt alimentum.

Dictum eſt nutritionem eſſe aſſimilationem ejus quod nutrit ei quod nutritur, et ut fiat, praecedere agglutinationem, et ut haec fiat, appoſitionem oportere. Humor enim, qui quamvis corporis partem nutriturus eſt, primum in ipſam totam dispergitur, deinde apponitur, tum

Ed. Chart. VI. [252.]

ται, κᾄπειτα προσφύεται καὶ τελευταῖον ὁμοιοῦται. ἐπειδὰν δὲ κατὰ μίαν ἡντιναοῦν τῶν ἐν αὐτῷ ποιοτήτων τὸ σῶμα μεταβάλλει τὸ πλησιάζον, οὔτε καθ' ὅλην ἐνεργεῖν αὐτοῦ τηνικαῦτα τὴν οὐσίαν ὑποληπτέον οὔτε ἐξομοιωθῆναι δύνασθαι τὸ μεταβαλλόμενον. ὥστε οὐδὲ θρέψειν ἄν ποτε τὸ οὕτω μεταβληθὲν οὐδὲν τῶν μεταβαλλόντων. εἰ δ' ἐκεῖνο μεταβάλλει, τοῦτ' ἔστι καθ' ὅλην ἑαυτοῦ τὴν οὐσίαν ἐνεργήσει, ἐξομοιώσειεν ἂν οὗτος ἑαυτῷ καὶ τραφείη πρὸς τοῦ μεταβληθέντος. οὐδὲ γὰρ ἄλλο τι θρέψις ἐστὶ παρὰ τὴν τελείαν ὁμοίωσιν. κυρίως μὲν οὖν τὸ τρέφον ἤδη τροφή. τὸ δ' οἷον μὲν τροφὴ, οὔπω δὲ τρέψαν, ὁποῖόν ἐστι τὸ προσφυόμενον ἢ τὸ προστιθέμενον, θροφὴ μὲν οὐ κυρίως, ὁμωνύμως δὲ τροφὴ λέγεται. τὸ δ' ἐν ταῖς φλεψὶ περιεχόμενον καὶ τούτου ἔτι μᾶλλον τὸ κατὰ τὴν γαστέρα, ὡς μέλλον ποτὲ θρέψειν, εἰ καλῶς κατεργασθείη, κέκληται τροφή. διὸ εἰώθασιν οἱ ἰατροὶ τῶν ἐδεσμάτων ἕκαστον κατὰ τοιαῦτα τῆς τροφῆς σημαινόμενα τροφὰς ὀνομάζειν, οὔτε τῷ τρέφειν ἤδη τὸ ζῶον οὔτε τῷ τοιοῦτον ὑπάρχειν, οἷον τὸ

agglutinatur, denique affimilatur. Ubi igitur corpus una qualibet earum, quas in fe habet, qualitatum, id quod fibi admovetur commutat, non eft exiftimandum eo cafu id ipfum tota fubftantia agere, neque id quod mutatur affimilari ipfi poffe, quare quod ita mutatum eft nunquam nutriet id quod fe mutavit. Si vero illud mutabit, hoc eft tota fui fubftantia aget, utique tum fibi affimilabit id, quod mutatur, tum ab eo nutrietur, quippe quum nihil aliud fit nutritio quam perfecta affimilatio. Alimentum igitur proprie vocatur id, quod iam nutrit; quod vero eft velut alimentum, neque tamen adhuc aluit, cujusmodi eft quod agglutinatur vel quod apponitur, non proprie, fed homonyme alimentum appellatur; quod autem venis et magis etiam quod ventriculo continetur, utpote quod nutriturum aliquando fit, fi probe confectum fuerit, alimentum nuncupatur; quocirca folent medici edulia quaeque in his alimenti fignificationibus alimenta nominare, non quod jam alant animantes, nec quod talia fint,

Ed. Chart. VI. [252.]
τρέφον, ἀλλὰ τῷ δύνασθαι καὶ μέλλειν τρέφειν, εἰ κατεργασθείη καλῶς. αὐτὸς μὲν γὰρ τὸ μὲν ἤδη ὁμοιούμενον τροφὴν καλεῖ, τὸ δ' οἷον μὲν ἐκεῖνο, προστιθέμενον ἢ προσφυόμενον, οἷον τροφήν· τὸ δὲ ἄλλο πᾶν, ὅσον ἐν ταῖς φλεψὶ καὶ τῇ γαστρὶ περιέχεται, μέλλον. ἐπειδὴ δὲ οὐ πάντα καὶ πάντη δύναται ὁμοιωθῆναι, ἰστέον ἐστὶ τὰ ὁμοιούμενα πάντη τροφὰς εἶναι, τὰ δ' ἄλλα σύμπαντα φάρμακα καλεῖσθαι. δέδεικται γὰρ ἑτέρωθι διττὴν αὐτῶν εἶναι τὴν φύσιν· ἢ γὰρ ἀμετάβλητα διαμένοντα νικᾷ καὶ μεταβάλλει τὸ σῶμα· ἅπερ τὴν φύσιν τοῦ ζώου φθείρει· ἢ μεταβολῆς ἀρχὴν παρὰ τοῦ σώματος λαμβάνει μὲν, σήπεται δὲ καὶ διαφθείρεται, κἄπειτα συνδιαφθείρει τε καὶ σήπει τὸ σῶμα. καὶ ταῦτα δηλητήρια καλεῖσθαι χρή. εὑρίσκεται δὲ καὶ τὸ τρίτον εἶδος φαρμάκων, τῶν ἀντιθερμαινόντων μὲν τὸ σῶμα, κακὸν δὲ οὐδὲν ἐργαζομένων, καὶ τέταρτον ἐπ' αὐτοῖς ὃ καὶ ποιεῖ τι καὶ πάσχει, τῷ δὲ χρόνῳ νικᾶται καὶ τελέως ἐξομοιοῦται· ὥσπερ καὶ φάρμακον ἅμα καὶ τροφὴ ὑπάρχει.

qualia ſunt quae alunt: ſed quia nutrire poſſint, nutrituraque ſint, ſi probe conficiantur. Ipſe autem quod jam aſſimilatum eſt, alimentum vocat, quod vero tale eſt, quale illud, quod appoſitum agglutinatumve eſt, velut alimentum; reliquum omne, quodcunque venis et ventriculo continetur, futurum alimentum. Quoniam autem neque omnia, neque omnino aſſimilari poſſunt, ſciendum eſt quae aſſimilantur, alimenta eſſe, caetera omnia medicamenta vocari. Alio enim in loco oſtenſum eſt duplicem ipſorum naturam eſſe; nam vel immota manent corpusque vincunt et mutant, quae animantis naturam corrumpunt, vel mutationis principium ſumunt a corpore, ſed putreſcunt ac corrumpuntur, deinde corpus ſimul corrumpunt et putrefaciunt; haecque venena vocanda ſunt; quin etiam tertium genus medicamentorum invenitur, eorum nimirum, quae corpus recalefaciunt, nihil tamen mali efficiunt. Eſt et quartum genus eorum, quae agunt aliquid et patiuntur, ſed tandem vincuntur et perfecte aſſimilantur, quae ſimul et medicamenta et alimenta ſunt.

Ed. Chart. VI. [252. 253.]
λεγομένης μὲν οὖν τριχῶς τῆς τροφῆς, τὴν μὲν ἤδη τρέφουσαν καὶ προστιθειμένην καὶ μηκέτι μέλλουσαν κυρίως τροφὴν λέγει. καὶ αὕτη θερμαίνει πάντως τὸ τρεφόμενον σῶμα, τῶν δ' ἄλλων οὐδετέρα, διότι μηδὲ τροφαὶ κυρίως εἰσὶν, ἀλλὰ τὸ μὲν, ὡς αὐτὸς ἔφη, οἷον τροφὴ, τὸ δὲ ὅτι μέλλει τοιοῦτον γενήσεσθαι.

δ'.

[253] *Ἀρχὴ δὲ πάντων μία καὶ τελευτὴ πάντων μία καὶ ἡ αὐτὴ τελευτὴ καὶ ἀρχή.*

Εἰ ἀρχὴν ἐκεῖνό φαμεν εἶναι τὸ μόριον, ὃ αὐτοῖς ἀφ' ἑαυτοῦ πεφυκόσιν ἤτοι τὴν δύναμιν, ἢ πάντως γε τὴν ὕλην χορηγεῖ, οὗτος ὁ λόγος ἐστὶν ἀμφισβήτησιν οὐ μικρὰν ἔχων, ἐπειδὴ καὶ ἐγκέφαλος καὶ καρδία καὶ ἧπαρ ἔσονται ἀρχαί· καὶ οὕτω πολλαὶ μὲν ἀρχαὶ, οὐχὶ δὲ μία. εἰ δὲ ἀρχὴν τῆς γενέσεως ἅπασι τοῖς οὖσιν ὕλην ἔχουσαν ζητεῖ, ταύτην ἡμεῖς

Quum igitur alimentum tribus dicatur modis id, quod alit, appositumque est et quod non item futurum sit, alimentum proprie vocat, idque omnino calefacit corpus, quod nutritur, aliorum duorum neutrum id facit, propterea quod alimenta proprie non sunt, sed alterum, ut ipse ait, veluti alimentum, alterum vero tale sit futurum.

IV.

Principium autem omnium unum et finis omnium unus et idem finis et principium.

Si eam particulam principium esse dicimus, quae iis, quae ex se oriuntur, aut facultatem aut omnino materiam suppeditat, profecto hic sermo non parum controversus est; siquidem et cerebrum et cor et jecur erunt principia, atque ita multa principia, non unum. Si vero principium rerum omnium materiam continens quaerit,

Ed. Chart. VI. [253.]

κατὰ τὸν Ἱπποκράτη ἐν τῷ περὶ στοιχείων τέτταρα εἶναι στοιχεῖα κατεσκευάσαμεν, κεράννυσθαί τε πεφυκότα δι' ὅλων ἀλλήλων καὶ δρᾷν εἰς ἄλληλα. εἰ δὲ μηδέτερον τούτων βούλεται ὁ συγγραφεὺς, ἀλλ' ἴσως περὶ τῆς φυτικῆς ἀρχῆς λέγει, ἥπερ μία ἐστὶ, νὴ Δία τὸ ζῶον ταύτην ἁπάντων ἔχει πρώτην δημιουργοῦσαν οὐκ ἐξ αἵματος, ἀλλ' ἐκ τοῦ σπέρματος ἀρτηρίαν καὶ φλέβα καὶ νεῦρον, ὀστοῦν τε καὶ ὑμένα. εἰσὶ μέν τινες βουλόμενοι τὴν μίαν ἀρχὴν καὶ μίαν τελευτὴν λέγεσθαι πρὸς αὐτοῦ, ὅτι κατ' ἀλήθειαν οὐδὲν γίνεται χωρὶς ἀρχῆς. καὶ τὸ πρῶτον γεννῆσαν ἀπὸ τῆς ἀρχῆς τινος γεγενῆσθαί φασι, κἄπειτα δὲ τελευτὴν ἕξειν, ἥπερ ἐστὶ διάλυσις τοῦ πρόσθεν γεγονότος. πᾶν γὰρ τὸ γενόμενον τὴν τελευτὴν ἕξει καὶ οὐδὲν ἐν τοῖς οὖσιν ἐννοῆσαι δύναιο, ὃ τὴν ἀρχὴν εἶχέν ποτε, ὃ μή ποτε τελευτήσει· ὡς οὖν ἅπαντα ἀπὸ μιᾶς ἀρχῆς ἄρχονται, οὕτως εἰς μίαν λήγει τελευτήν. * κατ' ἄλλο δὲ σημαινόμενον ἴσμεν πᾶσαν τέχνην τοῦ τέλους ἐφίεσθαι. τέλος δὲ ἐν ἑκάστῳ τῶν ὄντων

nos id ex Hippocratis ſententia eſſe quatuor elementa ſtatuimus, quibus ſit a natura tributum, ut mutuo per ſeſe tota miſceantur atque invicem agant. Si vero horum neutrum hic auctor velit, ſed forte de vegetabili principio loquatur, quod ſane unum eſt, profecto animal unum primum omnium habet principium, quod non ex ſanguine, ſed ex ſemine arteriam, venam, nervum, os membranamque fabricatur. Quidam tamen ſunt, quibus unum principium unumque finem ab ipſo dici placet, quod revera nihil ſine principio fiat et quod primum factum eſt, ab aliquo ſit factum principio et finem ſit habiturum, quae eſt ejus quod ante factum eſt diſſolutio, quia quicquid factum eſt finem eſt habiturum, nec quicquam in rebus humanis poſſit excogitari, quod initium quandoque habuerit, quod finem habiturum non ſit. Ergo ut omnia ab uno principio incipiunt, ſic in unum finem deſinunt. * In alia autem ſignificatione ſcimus omnem artem appetere finem, ac finem in

Ed. Chart. VI. [253.]

ἕν· ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἢ κατὰ τὴν οὐσίαν ἐκείνην ἀγαθόν. οὕτω καὶ τῆς ἰατρικῆς ἓν ἔσται τὸ τέλος, τὸ τυχεῖν ὑγείας, καὶ εἷς ὁ σκοπὸς ἡ ὑγεία. οἱ δὲ τρόποι τῆς ἐπιτυχίας διαφέροντες. διὸ τὸ χρήσιμον ἐν ἰατρικῇ δεῖ κρίνειν, σκοποῦντας ὁτὲ μὲν, εἰ πρὸς τὸ ποιῆσαι τὴν ὑγείαν φέρει, ὁτὲ δὲ τὸ σωτηρῆσαι. * τὴν αὐτὴν δ' εἶπα τελευτήν τε καὶ ἀρχὴν, ἐπειδὴ ἅπαν εἰς ἑαυτὸ τοῦτο διαλύεται, ἐξ οὗ καὶ γέγονε. αὐτὸς γὰρ ἐν τῷ περὶ φύσεως ἀνθρώπου οὕτω πως γράφει· καὶ πάλιν γε ἀνάγκη ἀποχωρέειν εἰς τὴν ἑαυτοῦ φύσιν ἕκαστον, τελευτῶντος τοῦ σώματος ἀνθρώπου τό τε ὑγρὸν πρὸς τὸ ὑγρὸν καὶ τὸ ξηρὸν πρὸς τὸ ξηρόν· καὶ τὸ θερμὸν πρὸς τὸ θερμόν· καὶ τὸ ψυχρὸν πρὸς τὸ ψυχρόν· καὶ μετ' ὀλίγον· γίνεταί τε, φησὶν, ὁμοίως πάντα καὶ τελευτᾷ ὁμοίως πάντα. ξυνίσταται γὰρ αὐτέων ἡ φύσις ἀπὸ τουτέων τῶν εἰρημένων πάντων καὶ τελευτᾷ κατὰ τὰ εἰρημένα ἐς τὸ ἑωϋτὸ ὅθεν περ ξυνέστη ἕκαστον· ἐνταῦθα οὖν καὶ ἀπέχωσιν. σαφῶς γὰρ καὶ ἐκεῖ λέγει ὅθεν ἕκα-

quaque re unum esse, idque nihil esse aliud quam id quod convenienter illi substantiae bonum est. Sic medicinae unus erit finis, bonam valetudinem consequi et una intentio, bona valetudo. Modi vero ejus consequendi diversi. Quare utilitas in medicina aestimanda est, partim reputando utrum ad efficiendam bonam valetudinem, partim utrum ad eandem conservandam referatur .·.

Idem autem et finem et principium dixit, quia omnia in illud idem, ex quo etiam facta sunt, dissolvuntur. Ipse enim in libro de natura hominis ita scribit: *Rursus*, inquit, *hominis corpore intereunte necesse est singula in suam naturam, humidum inquam in humidum et siccum in siccum, calidum in calidum, frigidum in frigidum discedere.* Et non ita multo post: *omniaque similiter oriuntur et occidunt.* Ex his enim omnibus quae praediximus ipsorum constat natura, desinitque eodem modo, quum id in illud ipsum unde concretum est abi-

Ed. Chart. VI. [253. 254.]
στον τῶν ὄντων συνίστη, ἐνταῦθα καὶ ἀπεχώρησεν. ἀλλὰ καὶ ἐν τῷ * * * *

ε'.

Καὶ ὅσα κατὰ μέρος ἐν τροφῇ καλῶς καὶ κακῶς διοικέεται· καλῶς μὲν ὅσα προείρηται, κακῶς δὲ ὅσα τούτοισι τὴν ἐναντίαν ἔχει τάξιν.

[254] Τὰ ῥηθέντα περὶ τροφῆς ὡς ἐπὶ τὸ καθόλου περὶ πάσης εἴρηται τροφῆς. δεῖ γὰρ αὐτὴν καλῶς κατεργάζεσθαι, εἴπερ μέλλει καλῶς διοικήσεσθαι. καλῶς δὲ διοικησθήσεται, ἐὰν πρώτη γένοιτο πρόσθεσις, εἶτα πρόσφυσις, καὶ τέλος ἐξομοίωσις. τοῦτο δὲ οὐ μόνον περὶ τῆς τροφῆς ἁπλῶς νόει μοι γίγνεσθαι, ἀλλὰ καὶ περὶ τῆς κατὰ μέρος τούτου καὶ τούτου σώματος καὶ τοιοῦδε ἢ τοιοῦδε τοῦ σώματος μορίου. ὥσπερ μὲν οὖν καλῶς διοικεῖται ἡ τροφὴ, ἐὰν ὅσα προείρηται γένοιτο, οὕτω πάλιν κακῶς ἀποβήσεται,

erit. Ibi enim etiam perſpicue dicit id diſcedere eo unde quicquam concretum eſt. Sed etiam in libro

.·. .·. .·.

V.

Et quaecunque particulatim in alimento bene et male diſponuntur; ac bene quidem quae dicta ſunt, male vero quae horum contrarium habent ordinem.

Quae de alimento dicta ſunt, ea generatim de quovis alimento allata ſunt; ut enim rite diſponatur, debet probe confici, probe autem diſponetur, ſi appoſitio imprimis fiat, deinde agglutinatio, denique aſſimilatio, quod non modo de alimento ſimpliciter intelliges, ſed etiam ſigillatim de eo quod huic aut illi corpori adhibeatur et huic aut illi corporis parti conveniat. Sicut igitur alimentum probe diſtribuitur, ſi quae praedicta ſunt fiant, ſic rurſus

Ed. Chart. VI. [254.]
ἐὰν ἐναντίαν ποτὲ τάξιν κέκτοιτο. ἀδύνατον γὰρ τροφὴν γίγνεσθαι, εἰ μὴ πάντα τὰ προειρημένα ἕπηται· μᾶλλον δὲ ἀπεψίας καὶ δυσπεψίας καὶ βραδυπεψίας καὶ ἀτροφίας καὶ τἄλλα πλημμελήματα εἰκὸς γενέσθαι· ὅθεν πολλὰ εἴδη τῶν νόσων συμβαίνειν εἰώθασιν.

στ'.

Χυλοὶ ποικίλοι καὶ χρώμασι καὶ δυνάμεσι.

Ἤτε χυλὸς, ἤτε ὀπὸς ᾗ τινος, ἐν τῇ τῶν χυμῶν προσηγορίᾳ περιλαμβάνεται. διαφορὰν δὲ ἐν τοῖς εἰς τὸ περὶ χυμῶν ὑπομνήμασιν εἴπομεν. οἱ μὲν οὖν χυλοί τε καὶ χυμοὶ ποικίλοι γίνονται καὶ χρώμασι καὶ δυνάμεσιν, ὡς ἂν εἶεν αἱ ὗλαι ἐξ ὧν αὐτοὶ γένωνται, καὶ ἐκ τῶν χρωμάτων διαγνωσθήσονται· καὶ λευκότεροι μὲν ἐπὶ ταῖς τοῦ φλέγματος, ὠχρότεροι δὲ ἐπὶ ταῖς τῆς χολῆς πλεονεξίαις φαίνονται· εἰ δὲ καὶ ἀκρατεστέρα ποτ' εἴη, ξανθότεροι. ὅταν γὰρ οἱ χυμοὶ εἰς τὸ βάθος μὴ ὑποχωρήσωσι, τότε τὸ χρῶ-

male ſuccedit, ſi contrarium ordinem nanciſcatur; ſiquidem effici alimentum non poſſit, niſi quae praedicta ſunt, omnia conſequantur, ac potius apepſias, dyspepſias, bradypepſias, atrophias et alia errata, ex quibus multa genera morborum oriri conſueverunt, fore veriſimile eſt.

VI.

Succi varii et coloribus et facultatibus.

Sive ſuccus, ſive liquor alicujus ſit, humoris nomine comprehenditur. Differentiam vero in commentariis ad librum de humoribus expoſuimus. Ergo et ſucci et humores coloribus et facultatibus variantur, quales ſint materiae, ex quibus ipſi fiant, iidem ex coloribus dignoſcentur, ac candidiores quidem in pituitae, pallidiores in bilis redundantia apparebunt. Si bilis ſit meracior, flaviores videbuntur. Quum enim humores ſe in profundas partes non receperunt, color eſt humorum indicium, ſicut in

Ed. Chart. VI. [254.]
μα τοὺς χυμοὺς δηλοῖ, καθάπερ ἐν τῷ πρώτῳ περὶ τῶν χυμῶν δέδεικται· οὕτω δὲ θερμοτάτη αἴσθησις ἀήθης σημεῖόν ἐστι τῶν θερμῶν ἐπικρατούντων χυμῶν, ψυχροτάτη δὲ τῶν ψυχρῶν. ἐὰν δὴ μή τι ἔξωθεν ᾖ ψυχρὸν ἢ θερμὸν ἤ τι πάθος τῆς ψυχῆς παρείη, οἱ χυμοὶ ἐκ τῶν χρωμάτων ὄντως διαγινώσκονται. ὡς οὖν τὸ μὲν λευκότερον ἑαυτοῦ γεγονὸς σῶμα τὸν φλεγματικὸν ἐπικρατεῖν ἐνδείκνυται χυμὸν, τὸ δ' ὠχρότερον ἢ ξανθότερον τὸν χολώδη, οὕτω καὶ ἐπὶ τὸ ἐρυθρότερον ἐκτροπὴ τοῦ κατὰ φύσιν αἷμα πλεονάζον τυγχάνειν, οὕτως ἐπὶ τὸ μελάντερον τὴν μέλαιναν χολὴν, οὕτω καὶ τὰ οὖρα τῶν ἐν τοῖς ἀγγείοις χυμῶν διάθεσιν ἐνδείκνυται, οὕτως οἱ ἱδρῶτες καὶ τἆλλα τὰ παρὰ τὴν σύμπασαν ἕξιν τοῦ ζώου φαινόμενα τῶν κατ' ἐκείνην ἐστὶ δηλωτικὰ, εἰ μὴ κρύος ἢ ῥῖγος ἢ φόβος ἢ λύπη σφοδρὰ ἢ αἰδὼς πάρεστιν. τότε γὰρ γίνεται οἷον ἄμπωτίς τις τῶν χυμῶν ἀναφερομένη, καὶ μὴ προσέχειν δεῖ τῇ χρόᾳ τὸν νοῦν. ὥσπερ δὲ τὰ χρώματα τῶν χυλῶν ποικίλα φαίνεται, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰς διαφό-

primo de humoribus ostensum est. Sic calidissimus sensus insuetus calidorum humorum redundantiam significat; frigidissimus frigidorum. Si vero nihil extrinsecus adveniat, veluti frigus aut calor aut aliqua animi perturbatio, humores ex coloribus revera dignoscentur. Ergo sicut corpus, quod se ipso sit factum candidius, indicat pituitosum humorem in ipso dominari, pallidius vero aut flavius biliosum, sic si ad rubicundius quam natura ferat sit facta conversio, superare sanguinem intelligimus, sic si nigrius, atram bilem. Sic urinae affectionem humorum, qui in vasculis sunt, significant, sic sudores et alia, quae in universo animantis habitu cernuntur, quae in ipso habitu sint docent, nisi frigus aut rigor aut metus, aut vehemens tristitia aut pudor adsit. Eo enim tempore sit quaedam velut humorum reciprocatio, neque attendendus est humorum color. Quemadmodum autem succorum colores varii cernuntur, eodem etiam modo varias ipso-

ρους αὐτῶν δυνάμεις ἐστὶν ἰδεῖν. ἢ λέγει τὸν χυλὸν νῦν, τὴν ἐν τῇ γαστρὶ χόλωσιν σημαίνων σιτίων, τοῦτο γὰρ ἴσως πιθανώτερον. καὶ μὲν δὴ καὶ μαρτυρεῖται πρὸς τοῦ φαινομένου τὸ λεγόμενον, ἕκαστον γὰρ τῶν ἀλλοιούντων μορίων τὴν τροφὴν τὸν σκοπόν τινα ἔχει καὶ τέλος ἑαυτῷ συνεξομοιῶσαι τὸ ἀλλοιούμενον. εἰ μὲν οὖν ἐννοήσεις τὸν ἐκ τῆς κοιλίας ἀναλαμβανόμενον χυλὸν, ἀλλοιούμενον ὑπὸ τῆς σαρκὸς τοῦ ἥπατος, αὐτὸν κατὰ βραχὺ μεθιστάμενον εἰς τὴν ἐκείνου φύσιν εὑρήσεις. καὶ αὐτὸς παχύτερος ἑαυτοῦ καὶ ἐρυθρότερος ἐξ ἀνάγκης γενήσεται, πρὶν ὁμοιωθῆναι τελέως ἐκείνῃ. ἐὰν δὲ τὸν ἄρτον ἢ τὸ κρέας ἢ οἶνον ἢ καρποὺς καὶ τὰ ἄλλα σιτία εἰς τὴν τοῦ αἵματος φύσιν καὶ τοῦ φλέγματος καὶ τῶν ἄλλων χυμῶν τρέπεσθαι δεῖ, πόσην προηγεῖσθαι δεῖ τὴν ἐκτροπήν; τοῦτο δὲ οὐκ ἐνδέχεται ἀθρόως γενέσθαι. [255] δέδεικται γὰρ καὶ τοῦτο, ὡς οὐκ ἐνδέχεται τὰς ἐναντίας, ἢ ὅλως τὰς πολὺ διαφερούσας ποιότητας δέξασθαί τι, μὴ διὰ τῶν μεταξὺ πρότερον ὁδοιπορῆσαν. καὶ διὰ τοῦτο ἐν τοῖς περὶ χρείας τῶν ἐν ἀθρώπου σώματι

rum facultates cernere licet. An ſuccum nunc dicit, ſignificans ciborum converſionem in ſuccum, quae in ventriculo efficitur? hoc enim fortaſſe probabilius eſt. Nam et quod cernitur haec dicta confirmat. Singulae enim partes, a quibus alimentum alteratur, propoſitum quid habent et finem quendam, ut quod alteratur ſibi ipſis aſſimiletur. Si autem animo cogites, aſſumptum ex ventriculo ſuccum a carne jecoris alterari, paulatim in illius naturam transmutari comperies. Ipſeque et craſſior ſe ipſo et rubicundior fiet neceſſario prius quam illi perfecte aſſimiletur. Si vero aut panem aut carnem aut vinum aut fructus et alia edulia in ſanguinis aut pituitae aut aliorum humorum naturam verti oporteat, quantam praecedere converſionem neceſſe eſt? Hoc autem repente fieri non poteſt. Nam et hoc oſtenſum eſt, nullam rem poſſe contrarias vel omnino multum differentes qualitates recipere, niſi per media prius progreſſa ſit; ob eamque cauſam in libris de uſu partium corporis huma-

Ed. Chart. VI. [255.]

μορίων δέδειχται, τὴν φύσιν μεγάλην τῶν φλεβῶν πλοκὴν κατὰ τὸ ἧπαρ δεδημιουργηκέναι, ὑπὲρ τοῦ χρονίζουσαν ἐν τῷ σπλάγχνῳ τὴν τροφὴν αἱματοῦσθαι τελέως. εἰ γὰρ, ὡς ἐπὶ τῆς καρδίας, μίαν κοιλίαν μεγάλην εἰργάσατο, εἶτα δὲ εἰς αὐτὴν διὰ μιᾶς μὲν φλεβὸς εἰσῆγε τὸ αἷμα, δι' ἑτέρας δ' ἐξῆγεν, οὐκ ἄν τινα χρόνον, οὐδὲ πάνυ μικρὸν, κατὰ τὸ ἧπαρ ἔμενεν χυμὸς ὁ ἐκ τῆς γαστρὸς ἀναφερόμενος, ἀλλὰ τῆς ἀναδόσεως ῥύμῃ φερόμενος διεξήρχετ' ἂν ἑτοίμως δι' ὅλου τοῦ σπλάγχνου. ἡ δὲ φύσις προμηθοῦσα τῷ σώματι, ἵνα μένῃ ἐπὶ πλέον ἡ τροφὴ καὶ δύναιτο ἀλλοιοῦσθαι τελέως, τὰς τῶν διεξόδων ὁδοὺς στενὰς ἐποίησε. νῦν δὲ ἰστέον ἐστὶν ὅτι οὐ τὴν αὐτὴν ἰδέαν ἔχουσιν οἱ χυμοὶ ἐν τῷ κατὰ φύσιν διοικεῖσθαι τὸ ζῶον οἵαν καὶ τὸ παρὰ φύσιν ἔχοντες. ἥπερ γὰρ ξανθὴ χολὴ λεκυθώδης φαίνεται καὶ γίνεται διὰ τὴν τῶν λεκύθων τῶν ὠῶν ὁμοιότητα κατά τε χρόαν καὶ πάχος, ἡ δὲ μέλαινα κακοηθεστέρα ἀποτελεῖται καὶ ξυστικὴν ἢ ὀξώδη κεκλήκασιν αὐτήν. τὸ δὲ αἷμα μεταβάλλεται πολλαχῶς τοῖς ἄλλοις χυμοῖς μεμιγμένον. ὥσπερ ἐπὶ *

ni indicavimus magnum venarum plexum a natura in jecore factum esse, ut morans in viscere alimentum in sanguinem perfecte mutetur. Si enim, ut in corde, unum magnum sinum fecisset, deinde in illum sinum per unam venam sanguinem induxisset, per aliam vero eduxisset, nullo tempore, ne brevissimo quidem, humor in jecore permansisset is, qui ex ventriculo sursum fertur, sed impetu distributionis raptus totum viscus celeriter permeasset. At natura corpori consulens, ut alimentum illic diu maneat alterarique perfecte possit, transitus angustos effecit. Hoc autem loco non est ignorandum, non eandem esse formam in humoribus, quum animal naturalem suum statum servat ac quum praeter naturam affectum est; siquidem flava bilis videtur, fitque vitellina, quod vitellis ovorum tum colore tum crassitudine sit similis. Atra quoque fit deterior, eamque radentem aut acidam appellant. Sanguis commutatur, dum cum aliis humoribus multis modis commiscetur, ut in * Pi-

Ed. Chart. VI. [255.]
φλέγμα δὲ ψυχρὸν καὶ ὑγρόν ἐστι καὶ οἷον ἡμίπεπτός τις τροφή. διὸ οὐ χρὴ κενοῦσθαι τὸ τοιοῦτον, ἀλλ' ἐν τῷ σώματι μένειν τε καὶ ἀλλοιοῦσθαι. * οὐ γοῦν θαυμαστὸν, εἰ ἐκ τῶν ποικίλων τῆς φύσεως ἔργων οἱ χυλοὶ ποικίλοι γίγνονται· εἴπερ χρὴ τοὺς χυμοὺς ἐκ τῆς τροφῆς ἀλλοιουμένης γίγνεσθαι.

ζ'.

Καὶ ἐς βλάβην καὶ ἐς ὠφελείην καὶ οὔτε βλάπτειν οὔτε ὠφελέειν.

Τρία κεφάλαιά ἐστι καθ' ἃ δεῖ ἕκαστον ἐσόμενον ἰατρὸν γυμνάζεσθαι· πρῶτον μὲν τὸ περὶ διαίρεσιν καὶ σύνθεσιν, δεύτερον δὲ τὸ περὶ τὴν τῶν ἀκολούθων τε καὶ μαχομένων γνῶσιν, ἐπ' αὐτοῖς δὲ τὸ τρίτον τὸ κατὰ τὴν πρὸς ἄλληλα τῶν πραγμάτων μεταβολὴν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον, ἴσως τε καὶ ὁμοίως. προσθετέον δὲ καὶ τὴν ταὐτοῦ

tuita frigida humidaque eſt et veluti quoddam ſemicoctum alimentum, quocirca evacuanda non eſt, ſed debet in corpore manere atque alterari. * Haud igitur mirabile eſt, ſi ex variis naturae operibus ſucci varii efficiuntur, ſiquidem humores ex alimento alterato fieri oportet.

VII.

Et in noxam et utilitatem et ut neque laedant neque juvent.

Tria ſunt capita, in quibus exerceri debet quicunque medicus futurus eſt; primum eſt in diviſione compoſitioneque poſitum, alterum in conſequentium repugnantiumque cognitione verſatur, tertium pertinet ad mutuam rerum mutationem, quum quid majus, quid minus, quid ſimile quidque diſſimile ſit ſpectatur, ad quae cognitio, quae eſt de eodem et altero, adjungenda eſt; ſiquidem ita et noxa

Ed. Chart. VI. [255.]

καὶ τὴν τοῦ ἑτέρου γνῶσιν τούτοις. οὕτω γὰρ καὶ ἡ βλάβη καὶ ἡ ὠφέλεια ῥᾳδίως γνωσθήσεται. ἀλλ᾽ ἐπεὶ μὴ μόνον ὠφέλειαι καὶ βλάβαι τοῖς σώμασιν ἡμῶν γίνονται κατὰ τὰς τῶν ὁμιλούντων ἁπλᾶς ποιότητας, ἀλλὰ καὶ καθ᾽ ὅλην τὴν οὐσίαν, διὰ τοῦτο ἰστέον ἐστὶν ὅτι καθ᾽ ὅλην τὴν οὐσίαν ἰδιότητες ἤτοι οἰκεῖαι τοῖς σώμασιν ἡμῶν ἢ ἀλλότριαι κατὰ τέτταρας ὗλαί εἰσιν, ὡς κατὰ τὰ καθαρτικὰ φάρμακα καὶ τροφὰς καὶ τὰ δηλητήρια καλούμενα καὶ τὰ τούτων ἰάματα· ὅσα μὲν τοῖς δηλητηρίοις ἀνθίσταται, ἀλεξιφάρμακα καλεῖται, ὥσπερ ὅσα τὰς τῶν θηρίων ἰᾶται δήξεις, θηριακά.
* * διὸ θαυμάζειν εἴωθα τὴν φύσιν ὡς σοφώτατον δημιουργὸν, ἥπερ πρὸς τοῖς ἄλλοις ἅπασιν ὀργάνοις τὴν γλῶτταν ἐν τοῖς ζώοις ἐποίησεν, ἣ τὰς ὁμοιότητας καὶ τὰς ἀνομοιότητας τῶν οὐσιῶν διακρίνει, ἵνα τὰ μὲν οἰκεῖα αἱρῆται, τὰ δ᾽ ἀλλότρια διαφεύγῃ. αὕτη γὰρ τῇ ἀκριβείᾳ τῆς αἰσθήσεως τὰ θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρὰ διακρίνει, καὶ τὰ ὀξέα καὶ τὰ γλυκέα καὶ τὰ πικρὰ καὶ τὰ στρυφνὰ καὶ τὰ οἰκεῖά τε καὶ μὴ οἰκεῖα διαγινώσκει,

et utilitas facile cognofcetur. Verum quum noxae et utilitates noftris corporibus afferantur, non folum a fimplicibus rerum nos attingentium qualitatibus, fed a tota etiam fubftantia; propterea fciendum eft proprietates ex tota rei fubftantia prodeuntes, five fint noftris corporibus idoneae, five alienae, in quadruplici materiae genere verfari, ut fint purgantia medicamenta et alimenta et quae venena nominantur et horum remedia. Caeterum quae perniciofis occurrunt, alexipharmaca, hoc eft venenorum auxilia, quae ferarum ictibus, theriaca nuncupantur.
* Proinde admirari naturam velut artificem fapientiffimum foleo, quae praeter caetera omnia inftrumenta linguam animalibus dederit, qua fimilitudines et diffimilitudines rerum difcernentia, quae idonea funt adfcifcant, quae aliena refpuant. Haec enim exquifito fuo fenfu calida et frigida, humidaque et ficca diftinguit ac quae acria quaeque dulcia fint, quae item idonea et aliena et quae amara acerbaque fint dignofcit. Quod ad

Ed. Chart. VI. [255. 256.]
καὶ πρὸς ῥᾴδιον τὸ ἔργον τοῦτο, τῶν ἄλλων ἑκάστου ἔχοντος ἓν ἢ δύο νεῦρα, εἰς τουτὶ τὸ μόριον ἓξ ἐμφύονται. [256] * ὥσπερ οὖν τῶν μὴ τρεφόντων φύσις οὐ πάνυ οἰκεία τοῖς ἀνθρώποις ἐστὶν, οὕτω καὶ τῶν τάχιστα τρεφόντων οἰκειοτάτη ἐνίοτε φαίνεται. τὰ δ' ἄλλα πάντα μεταξὺ τούτων ἐστί. καὶ τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον δρᾷν καὶ πάσχειν ὑπὸ τοῦ σώματος ἡμῶν δύναται· αὐτίκα μὲν οὖν οἶνος, ἄρτος, μέλι καὶ πτισάνη πάσχειν μᾶλλον ἢ δρᾷν. ἀλλὰ καὶ δρᾷ τι περὶ τὸ σῶμα. ὅταν γὰρ εἰς ταὐτὸν ἀλλήλοις ἥκοντα δύο σώματα διαμάχηταί τε καὶ στασιάζῃ πρὸς ἄλληλα περὶ τῆς ἀλλοιώσεως, ἐν χρόνῳ πλείονι δρᾷν καὶ πάσχειν ἑκάτερον αὐτῶν ἐστιν ἀναγκαῖον. ἐὰν δέ τινα οὕτω σμικρὰν περὶ ἡμᾶς ἐνέργειαν ἢ πάθος ποιήσῃ διὰ παντὸς, ὡς μηδεμίαν αἴσθησιν καὶ σαφῆ ἐργάζεσθαι, ταῦτα εὐκαταφρόνητα δήπουθέν ἐστιν· ὥσπερ ἐπὶ τῶν τρεφόντων ἔχει σχεδὸν ἁπάντων· ταῦτα μὲν γὰρ περὶ τὸ ἀνθρώπινον σῶμα ἐργάζεταί τι, ἀλλ' οὐκ αἰσθητὸν οὐδὲ σαφές· αὐτῶν

facile perficiendum, quum caetera instrumenta unum aut duos sortita sint nervos, in hanc partem sex inseruntur. * Sicut igitur natura eorum, quae non alunt, non est admodum hominibus idonea, sic eorum, quae celerrime alunt, interdum videtur esse accommodatissima. Caetera omnia inter haec interjecta sunt media et partim magis, partim minus agere et pati a corporibus nostris possunt. Jam vero vinum, panis, mel, ptisana magis pati quam agere possunt, et tamen aliquid agunt in corpore. Ubi enim duo corpora in idem vicissim tendentia pugnant multo tempore certantque inter se de alteratione, utrumque ipsorum, tum agere tum pati, omnino necesse est. Si vero ita exiguam in nobis actionem aut affectionem perpetuo efficiunt, ut nullum sensum perspicue moveant, ejusmodi certe erunt dispicienda, id quod in rebus, quae alunt, ferme omnibus usu venit; agunt enim quidpiam in humano corpore, sed id neque sentitur neque manifestum est. Si tamen diu multumque

Ed. Chart. VI. [256.]

μέντοι πολυχρόνιος προσφορὰ, μεγάλως ἀλλοιοῖ καὶ μεταβάλλει σαφῶς τὰ σώματα· ὥσπερ ὁρῶμεν τὴν θριδακίνην τοὺς μὲν ἐγκαιομένους τὴν γαστέρα σαφῶς ἐμψύχειν τε καὶ ἀδίψους ποιεῖν, τοὺς δὲ κατεψυγμένους ἐναργῶς βλάπτειν. συντελεῖ μὲν οὖν καὶ βλάπτει κατὰ τὸν ποικίλον τῆς προσφορᾶς χρόνον καὶ κατὰ τὴν τοῦ σώματος χρείαν καὶ κατὰ τὴν ὑγρὰν ἢ ξηρὰν ἢ ψυχρὰν ἢ θερμὴν τῆς γαστρὸς κρᾶσιν. διὸ χρῆσθαι ταῖς τροφαῖς διττῶς ἔξεστι τοῖς ἰατροῖς, καὶ ὡς σιτίοις καὶ ὡς φαρμάκοις. * * ἔστι δὲ καὶ ἄλλα, ἃ μέσα πώς ἐστι κατὰ τὴν κρᾶσιν, ἅπερ καὶ θερμαίνειν ἂν δόξειέν ποτε καὶ ψύχειν· ἐνίοτε δὲ μήτε θερμαίνειν μήτε ψύχειν, ἀλλὰ οἷα παρέλαβε τὰ σώματα διαφυλάττειν. ταῦτα δὲ οὔ ποτε τροφαὶ γίνονται, ἀλλ' ἃς ἔστιν, οὕτω καὶ φάρμακα προσαγορεύεται· κατά γε τὸ ἀληθὲς ὅλον ἀεὶ τὸ μόριον ἐνεργεῖ κατὰ τὴν ἰδιότητα τῆς ὑπαρχούσης ἑκάστοτε κράσεως αὐτῷ· ἀλλ' ἐνίοτε μὲν τοῦ λυποῦντος ἐκράτησεν, κατεργασάμενόν τε καὶ ἀλλοιῶσαν καὶ

exhibeantur, magnopere corpora alterant evidenterque commutant. Sicut nos videmus lactucam evidenter refrigerare eos, quorum ventriculus aestuat et a siti vindicare, quorum vero refrigeratus est, evidenter laedere. Ex quo fit, ut prosit et noceat, prout vario tempore adhibetur et prout corpus postulat et prout humida aut sicca aut frigida, aut calida sit ventriculi temperatura. Quocirca licet medicis uti alimentis duobus modis et tanquam cibis et tanquam medicamentis. * Sunt vero etiam alia, quae mediae quodammodo temperaturae sunt, quae interdum calefacere refrigerareque videbuntur, interdum neque calefacere, neque refrigerare, sed talia conservare corpora, qualia nacta sunt; quae vero talia sunt, nunquam alimenta fiunt, sed prout sunt, sic etiam medicamenta nominantur. Re tamen vera tota particula semper agit convenienter ei temperaturae, quae ipsi semper inest. Interdum etiam superavit id, quod molestum erat, quum illud confecerit, alterarit atque concoxerit.

Ed. Chart. VI. [256.]
πέψαν αὐτό. ὅθεν ὠφέλειαν φέρει· καθ' ἕτερον δ' αὖ χρόνον ἤτοι τὴν ποιότητα τοῦ λυποῦντος ἢ τὸ πλῆθος οὐ φέρον ἐξορμᾷ πρὸς τὴν ἔκκρισιν αὐτοῦ. ἐνίοτε δὲ μεγάλως ἀνιώμενον ἀποῤῥῖψαι τὸ λυποῦν ὑπ' ἀσθενείας ἀδυνατεῖ. καὶ τότε βλάβης αἰσθάνεται. τἄλλα μέντοι πολλά ἐστιν, ἅπερ οὔτε βλάπτειν οὔτε ὠφελεῖν πέφυκέ τι ἐν τοῖς σώμασιν ἡμῶν· περὶ ὧν * *

η'.

Καὶ πλήθει καὶ ὑπερβολῇ καὶ ἐλλείψει καὶ διαπλοκῇ· ὧν μὲν, ὧν δὲ οὔ.

Ἐν τῷ περὶ πλήθους δύο γένη εἶναι τοῦ πλήθους εἴρηται· τὸ μὲν ὡς πρὸς τὴν ἰσχὺν καὶ τὴν τοῦ βαστάζοντος αὐτὸ δύναμιν, τὸ δὲ ὡς πρὸς τὴν ὑποδεχομένην χώραν. καὶ ἐπεσκεψάμεθα πόσα τὰ σύμπαντά ἐστιν εἴδη τῶν ὑγρῶν, τῶν βαρυνόντων τὴν δύναμιν ἢ μὴ στεγόντων ἐν τοῖς ἀγγείοις. εἴπομεν δὲ καὶ διαγνωστικὰ σημεῖα ἑκατέρου τε κα-

Unde etiam fructum tulit. Alio rursus tempore, aut ejus quod angit qualitatem aut copiam non ferens, ad illud excernendum impellitur. Interdum magnopere afflicta expellere id quod angit prae imbecillitate non potest. At tunc noxam persentit. Multa etiam alia sunt, quae sua te natura nostra corpora neque laedunt, neque juvant. De quibus * *.

VIII.

Et plenitudine et exuperantia et defectu et complicatione, nonnullorum quidem etiam, nonnullorum vero non.

In libro de plenitudine duo esse genera plenitudinis dictum est: alterum ut ad robur et vires refertur ejus, qui eam fert, alterum ut ad suscipientem capacitatem; et expendimus, quot sint genera eorum humorum, qui vires gravant aut qui contineri vasculis non possunt. Exposuimus etiam signa plenitudinis cognoscendae, quae ad

Ed. Chart. VI. [256. 257.]
τὰ τὸ πλῆθος γένους, ἑκάστου τε τῶν καθ᾽ ἑκάτερον ἰδίᾳ, τοῦ τε πρὸς δύναμιν καὶ τοῦ ὥσπερ τῇ περιεχούσῃ χώρᾳ μετρεῖται· ὡς τὸ διατείνεσθαι καὶ ῥήγνυσθαι διὰ πλῆθος αὐτῶν τῶν περιεχόντων ἀγγείων ἐστὶ πάθος, τὸ δὲ βαρύνεσθαι δυνάμεως αἰσθητικῆς. ἐκ δὲ τοῦ πλήθους τὴν γένεσιν ἔχειν φαίνεται πολλὰ τῶν νοσημάτων. [257] καὶ τοῦ μὲν πρὸς αἰσθητικὴν δύναμιν πλήθους ἐναργέστατόν ἐστι γνώρισμα τὸ βάρος. οὐ μήν γε ἀεὶ, βάρους ὄντος ἔν τινι μέρει, πλῆθος χυμῶν ἐν ἐκείνῳ ὑπάρχει. τοῦ δὲ κατὰ τὰς ἀρτηρίας πλήθους ὡς πρὸς δύναμιν αὐτῶν γνωρίσματα διὰ τῆς περὶ τῶν σφυγμῶν εἴρηται πραγματείας, καὶ τῶν ἄλλων ἁπάντων τοῦ σώματος μορίων ἐν τῷ περὶ πλήθους, μάλιστα μὲν ἔνθα ἐγράψαμεν ἔνια συμπτώματα εἶναι ἑκατέρου τοῦ πλήθους, ἔνια δὲ οὐχ ἁπλῶς εἶναι σημεῖα πλήθους, ἀλλὰ τοιοῦδε πλήθους, ἔνια δ᾽ ὅλων οὐδενὸς πλήθους, ἀλλ᾽ ἤτοι κακοχυμίας καὶ διαφθορᾶς ἢ ἀῤῥώστου δυνάμεως ἢ ὄγκου τῶν σωμάτων τῶν στερεῶν. ὃ μὲν οὖν φησιν αὐ-

utrumque plenitudinis genus pertinent, et item privatim ſigna utriusque tum ejus quod ad vires refertur, tum ejus, quod continenti capacitate metimur, ut diſtendi ac rumpi prae plenitudine eſt continentium vaſorum affectio, gravari, ſenſitricis facultatis. Ex plenitudine autem multi morbi oriuntur. Ac plenitudinis quidem, quae ſenſitrice facultate aeſtimatur, evidentiſſimum ſignum eſt gravitas. Non tamen ſemper fit, ut ſi gravitas aliqua in parte ſit, in eadem humorum plenitudo inſit. Ejus autem plenitudinis, quae in arteriis eſt, utpote quae ad ipſarum vires refertur, ſigna in libris de pulſibus oſtendimus, ut aliarum omnium corporis partium indicia in libro de plenitudine, praeſertim in illo loco, in quo ſcripſimus quaedam eſſe utriusque plenitudinis ſymptomata, quaedam non eſſe abſolute, ſed hujusmodi plenitudinis ſigna, quaedam nullius prorſus plenitudinis, ſed vel malitiae humorum vel corruptelae, vel imbecillis facultatis vel tumoris ſolidorum corporum notas eſſe. Quod igitur ipſe nunc ait,

Ed. Chart. VI. [257.]

τὸς νῦν καὶ τῷ πλήθει καὶ τῇ ὑπερβολῇ βλάπτειν τὰς τροφὰς ἀληθὲς εἶναι πάντες ὁμολογοῦσιν. σύμφωνον γάρ ἐστι τῷ ἐν τοῖς ἀφορισμοῖς εἰρημένῳ, ἔνθα φησὶν, ὅκου ἂν τροφὴ παρὰ φύσιν πλείων εἰσέλθῃ, τοῦτο νόσον ποιεῖ· ὃ γὰρ ἐνταῦθα πλῆθος ὀνομάζει, ἐκεῖ πλέον καλεῖ. ἐπειδὴ δὲ ἕκαστον μόριον ἐκ τῆς οἰκείας αὐτῷ τρέφεται τροφῆς, ἐὰν μὲν εἰς αὐτὸ εἰσέλθῃ χυμός τις ἑτέρῳ μὲν μορίῳ κατὰ φύσιν, ἀλλότριος δὲ καὶ παρὰ φύσιν ἐκείνῳ, νόσον οὐ ποιήσει, ἐὰν μὴ πολὺς εἴη· ἐὰν δὲ πλείων εἰσέλθῃ, νόσον ποιεῖ. χρὴ γὰρ τὴν μέλλουσαν νόσον ἐργάζεσθαι τροφὴν οὐ μικρῷ τινι τῆς συμμετρίας ὑπερέχειν, ἀλλὰ μεγάλως καὶ ὑπερβαλλόντως. ὃ δὲ περὶ τῆς ἐλλείψεώς φησιν, ἐνίοις τῶν ἰατρῶν οὐκ ἀρέσκει. ἔδοξε μὲν αὐτοῖς ἐπὶ μὲν τῷ πλήθει γίγνεσθαι πολλὰ νοσήματα, ἐπὶ δὲ ἐλλείψει καὶ δι' ἔνδειαν μηδέν. Ἱπποκράτης δὲ ἡγεῖται καὶ δι' ἔνδειάν ποτε νοσεῖν ἡμᾶς· εἴ γε ἐν ταῖς ἐνδείαις ἕπεται ποτὲ μὲν ψυχρότης, ποτὲ δὲ ξηρότης, ποτὲ δὲ ἄμφω· αἵπερ ὅταν εἰς τοσοῦτο μέγεθος ἥκωσιν, ὡς ἐνέργειαν ἤδη βλάπτειν, τὰ νοσήματα τίκτουσι

alimenta laedere et plenitudine et exceſſu, verum eſſe omnes confitentur. Eſtque conſonum iis, quae in aphorismis dicuntur, ubi ſcriptum eſt: *Ubi alimentum praeter naturam plus ingeſtum eſt, hoc morbum facit.* Quod enim hic dicit plenitudinem, illic plus dixit. Quoniam autem unaquaeque pars alimento ſibi idoneo alitur, ſi in ipſam ingrediatur humor aliquis, qui ſecundum naturam alteri conveniat, illi vero ſit alienus et praeter naturam, morbum ille, niſi copioſus ſit, non gignet. Si copioſior ingrediatur, morbum afferet, quippe quum id, quod morbum gignere debet alimentum, non exigua mole juſtum modum, ſed magnopere et eximie excedat, neceſſe eſt. Quod vero addidit de defectu, quibusdam medicis non probatur; eis quidem videtur ex plenitudine multos oriri morbos, at ex defectu et indigentia nullum. At Hippocrates arbitratur etiam nos ex defectu in morbos incidere. Siquidem ex defectionibus interdum refrigeratio, interdum

Ed. Chart. VI. [257.]
πολλά. ὡς καὶ τὸ πλῆθος ἐνίοτε μὲν τοὺς παρὰ φύσιν ὄγκους, ἐνίοτε δὲ τὰς ἀποπληκτικὰς διαθέσεις, ἐνίοτε δὲ τὰς τῶν φλεβῶν ῥήξεις· εἰ μή τις φθάνη κένωσιν ποιεῖν, πρὶν ἂν μέγα τι κακὸν περὶ τὸ ζῶον ἐργάζηται. ἀλλὰ καὶ Πλάτων ταὐτὸ τοῦτο περὶ πλεονεξίας τε καὶ ἐνδείας λέγει. οὐκ ἄτοπον δ' ἴσως τὴν αὐτοῦ παραγράψαι ῥῆσιν ἔχουσαν ὧδε· τεττάρων γὰρ ὄντων, ἐξ ὧν συμπέπαγε τὸ σῶμα, γῆς, πυρὸς, ὕδατος καὶ ἀέρος· τούτων ἡ παρὰ φύσιν πλεονεξία καὶ ἔνδεια καὶ τῆς χώρας μετάστασις ἐξ οἰκείας εἰς τὴν ἀλλοτρίαν γινομένη, πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ γένη πλέω ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ προσλαμβάνει καὶ πάνθ' ὅσα τοιαῦτα, στάσεις καὶ νόσους παρέχει. ὅταν μὲν οὖν κατὰ φύσιν ἔχωμεν, διὰ ταῦτα μέτρῳ ἀλλήλοις κεκραμένα, ὑγιαίνομεν· ἐλλείποντος δέ τινος ἢ πλείονος γιγνομένου ἢ μεταστάντος εἰς ἀλλοτρίαν χώραν, νοσοῦμεν. καὶ πρόδηλον ὅτι ἥ τε πλεονεξία καὶ ἡ

ficcitas, interdum utraque confequatur. Haeque ubi ita auctae fint, ut actionem jam laedant, multos morbos pariunt, ficut etiam plenitudo modo tumores praeter naturam, modo morbum attonitum, modo ruptiones venarum, nifi quis evacuando praeveniat prius quam corpus animantis aliquo magno malo afficiatur. Quin etiam Plato de redundantia ac defectione hoc idem cenfuit. Nec erit fortaffe abfurdum, ejus verba adfcribere, quae funt hujusmodi: *Quum quatuor*, inquit, *fint ex quibus corpus compactum eft, terra, ignis, aqua et aër, eorum praeter naturam redundantia atque defectio et loci ex proprio in alienum facta mutatio, itemque ignis et aliorum, quum partes plus ex uno nactae fint, nec quod fibi convenit, unaquaeque affumpferit, caeteraque hujusmodi omnia, feditiones et morbos afferunt. Quum igitur fecundum naturam affecti fumus, ex his menfura quaedam inter fe contemperatis, bene valemus. Si vero defit quidpiam aut redundet aut fit facta in alienam fedem commigratio, aegrotamus. Ac perfpicuum eft bonam temperiem redun-*

ἔνδεια διαφθείρει τὴν εὐκρασίαν. Ἡρακλείδης μέντοι ὁ Ταραντῖνός φησι τὸν παλαιὸν ταῦτα γεγραφέναι περὶ τῆς τῶν προσφερομένων ποσότητος, ἵνα γνῶμεν πότερον πολὺ ἢ ὀλίγον δοτέον. ἐπιβλέπειν δὲ χρῆναι καὶ εἰς τὰ νοσήματα καὶ τὴν δύναμιν τοῦ κάμνοντος· ἔτι τε τὴν ἡλικίαν καὶ τὴν ὥραν καὶ ἔθος καὶ τἄλλα τούτοις ἀνάλογα. εἰ μὲν οὖν, φησὶν, ἡ δύναμις τοῦ κάμνοντος εἴη ἀσθενὴς καὶ ἡ κατὰ τὸ σῶμα διάθεσις ἤτοι κατὰ διαφθορὰν ἢ κατὰ ἔνδειαν, ὀλίγην τροφὴν τούτοις δοτέον μὲν, πολλάκις δέ· ὅτι πολλῶν ἡ διάθεσις χρήζει· ὀλίγην δὲ, ὅτι ἄῤῥωστος ἡ δύναμις τυγχάνει. ἴσμεν γὰρ ὅτι ἡ ἔνδεια τῆς προσθέσεως δεῖται. [258] εἰ δὲ μήτε ἔνδεια παρείη μήτε διαφθορὰ, συμμετρία δέ τις τῶν κατὰ φύσιν εἴη χυμῶν ἢ καὶ πλῆθος, τότε ὀλιγάκις καὶ ὀλίγα προσφέρειν χρή. εἰ δὲ μετὰ ἐνδείας ἢ διαφθορᾶς ἡ δύναμις ἐῤῥωμένη τύχοι, τότε τοῖς οὕτω διακειμένοις καὶ πολλὰ καὶ πολλάκις δοτέον. ταῦτα γοῦν λελέχθαι μὲν αὐτῷ ἀληθῶς φαμεν, οὐ προσηκόντως δέ. σφαλεὶς γὰρ

dantia defectioneque corrumpi. Et tamen Heraclides Tarentinus ait, ſenem haec ſcripſiſſe omnia de quantitate eorum, quae offeruntur, ut noſcamus utrum multum an parum dandum ſit. Habendamque eſſe rationem morborum et virium aegrotantis hominis, praeterea vero etiam aetatis, anni temporis, conſuetudinis et aliorum, quae his proportione reſpondent; nam ſi, inquit, vires aegroti debiles ſint et affectio, qua corpus conflictatur, ſit aut ex corruptela aut ex indigentia, parum quidem alimenti, ſed ſaepe dandum eſt. Cauſa eſt, quia malum multa expetit. Parum vero dandum, quia imbecillae vires ſunt. Scitum enim eſt, ab indigentia poſtulari additionem. At ſi neque indigentia, neque corruptela adſit, ſit autem juſtus modus ſecundum naturam humorum vel etiam plenitudo, tum raro et pauca offeremus. At ſi vires validae ſint cum indigentia corruptelaque conjunctae, tunc hominibus ita affectis et multa et ſaepe danda erunt. Haec ab illo vere quidem dicta, ſed non accommodate, fatemur. De-

Ed. Chart. VI. [258.]
τῇ τοῦ ἀφορισμοῦ ἐννοίᾳ, οὗ ἡ ἀρχὴ καὶ οἷσιν ἅπαξ ἢ δὶς καὶ πλείω· εἰς ὃν καθάπερ καὶ εἰς τοὺς ἄλλους ἅπαντας, ἔστιν ἐξήγησις αὐτοῦ, ἤγητο περὶ τοῦ αὐτοῦ λέγειν νῦν τὸν συγγραφέα, περὶ οὗ ἐν τοῖς ἀφορισμοῖς ἔγραψεν Ἱπποκράτης. καὶ διὰ τοῦτο ἡγεῖται προστεθεῖσθαι τάδε, ὧν μὲν, ὧν δὲ οὔ. ὅπερ οὐκ ἀληθὲς, ὥσπερ οὐδὲ τὸ περὶ *

θ'.

Καὶ πάντων ἐς θερμασίην βλάπτει καὶ ὠφελέει. εἰς ψύξιν βλάπτει καὶ ὠφελέει. εἰς δύναμιν βλάπτει καὶ ὠφελέει.

Τρία ἐστὶ τὰ τῆς προσφορᾶς τῶν τροφῶν κεφάλαια, τὸ ποσὸν τῶν σιτίων καὶ τὸ ποιὸν καὶ ὁ τρόπος τῆς χρήσεως αὐτῶν. ἡμεῖς δὲ τοῦ τροφὴν προσφέρεσθαι σκοπὸν ἕνα κοινὸν ἐπὶ πάντων ἐδείξαμεν ὑγιαινόντων τε καὶ νοσούντων, τὴν φυλακὴν δηλονότι τῆς ζωτικῆς δυνάμεως. διὰ ταύτην γὰρ τὴν δύναμιν ἐσθίομέν τε ὑγιαίνοντες καὶ πίνομεν καὶ τἄλλα

ceptus enim ſententia aphoriſmi, cujus initium eſt: *et quibus ſemel aut bis et quibus plura* etc. In quem, ſicut in alios omnes, ejus extat explanatio, exiſtimavit, auctorem nunc de eadem re verba facere, de qua Hippocrates in aphorismis conſcripſit, ob eamque cauſam addita eſſe haec verba arbitratur: *ac nonnullorum quidem etiam, nonnullorum autem non*, quod verum non eſt, ſicut neque illud, quod de *

IX.

Et omnium ad calorem laedunt et juvant; ad frigus laedunt et juvant; ad facultatem laedunt et juvant.

Tria ſunt dandi alimenti capita, quantitas ciborum, qualitas et utendi modus. Nos autem unum communem alimenti offerendi et in bene valentibus et in aegrotantibus ſcopum eſſe docuimus, vitalis facultatis conſervationem. Hujus enim facultatis ope ſani edimus, bibimus caeteraque omnia vitae munia exercemus; propter hanc

πάντα πράττομεν, ὅσα πρὸς τὴν ζωήν ἐστι. καὶ διὰ τὴν αὐτὴν καὶ νοσοῦντες ἐπὶ τροφὴν παραγινόμεθα. ὥσπερ γὰρ τὸ νόσημα τὰ βοηθήματα ἐνδείκνυται τῆς διαθέσεως ἑαυτοῦ, ὡς φλεβοτομίαν ἢ κάθαρσιν ἢ ἄλλο τι τοιοῦτον, οὕτως ἡ τῆς δυνάμεως φυλακὴ τὴν τροφὴν ἐνδείκνυται μόνην. ἐπεὶ δὲ ἡ τροφὴ βλάπτει πολλάκις, ὡς μὴ κατὰ καιρὸν δοθεῖσα, ἐπισκοπούμεθα διὰ τοῦτο τῆς νόσου τὴν διάθεσιν, ὡς κωλύουσαν τὴν τροφήν. ὅταν οὖν μὴ κωλύῃ, κελεύει τε ἡ δύναμις, τηνικαῦτα τρέφομεν. καὶ μηδαμῶς ἡ τροφὴ βλάπτει, ἀλλὰ μᾶλλον ὠφελεῖ. ἵνα γὰρ τὸ ζῶον διαμένῃ, δεῖται οὐ τροφῆς μόνον, ἀλλὰ καὶ ἀέρος. καὶ ἡμεῖς ἑκατέρου χρείαν ἐπιστάμεθα. καὶ γὰρ ἡ μὲν ἀναπνοὴ τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας φυλάττει· ἡ δὲ τῶν σιτίων προσφορὰ τὸ διαῤῥέον τῆς σωματικῆς οὐσίας ἀναπληροῖ. εἰ μὲν οὖν τὸ ἔμφυτον θερμὸν, ᾧ μάλιστα ἀναφέρει τὰ σωματικὰ τῶν ἔργων Ἱπποκράτης, μὴ ἀκριβῶς βλάττοιτο, οὐ μόνον οὐκ ἔστι δυνάμενον τὰς ἔμπροσθεν ἐνεργείας ἐπιτελεῖν, οὐδὲ τρέφειν ἡμᾶς, ὅπερ ἦν αὐτῷ κυριώτατον, ἀλλὰ διαφθεί-

eandem etiam aegroti ad cibum potumque progredimur, nam ut morbus auxilia ſuae affectionis indicat, ut ſanguinis miſſionem aut purgationem aut aliquid aliud hujusmodi, ſic facultatis conſervatio alimentum ſolum indicat. Quia vero alimentum ſaepe laedit, utpote quod non ſit datum in tempore, ideo morbi affectionem, tanquam dari alimentum prohibeat, expendimus, quumque affectio non prohibeat, jubeat vero facultas, tum alimus; ac tantum abeſt, ut alimentum ullo modo noceat, ut etiam potius juvet. Ut enim animal duret, indigens eſt non modo alimenti, ſed etiam aëris, nosque utriusque uſum novimus; ſiquidem reſpiratio nativi caloris ſymmetriam conſervat, ciborum vero oblatio id, quod de corporea ſubſtantia defluit, reſarcit; quod ſi innatus calor, cui corporea opera Hippocrates praecipue accepta refert, non accurate conſervetur, non modo non poteſt priores actiones obire, neque nos alere, quod ejus erat praecipuum munus vel

ρει τε καὶ τήκει τὸ σῶμα. ὠφελεῖ γοῦν καὶ βλάπτει ἡ τροφὴ καὶ εἰς θερμασίαν καὶ εἰς ψύξιν ἄμετρον ἢ σύμμετρον τραπεῖσα. θερμασία μέν τις ἔμφυτος ἐν ἥπατι παρέχεται, καθ' ἣν αἷμα γεννᾶται· θερμασία δὲ ἑτέρα πλείων ἐστὶ κατὰ τὴν καρδίαν, εἰς γένεσιν θυμοῦ δοθεῖσα τοῖς ζώοις. δεῖται δὲ ἡ αὐτὴ θερμασία τροφῆς, ὥσπερ ἡ ἑτέρα τῆς ἀναπνοῆς. ἐν μὲν οὖν τοῖς ζώοις αὐτοῖς, ὅσα τῶν ἐδεσμάτων, ἵνα ἐξομοιωθῇ τελέως καὶ θρέψῃ τὸ σῶμα, χρόνου δεῖται, ψῦχος μᾶλλον ἢ θάλπος ἐν τῷ παραχρῆμα ἐπάγειν φαίνεται. θερμαίνει μὲν ἐν τῷ χρόνῳ καὶ ταῦτα, ὡς τἄλλα ἐδέσματα, εἰ μόνον αὐτοῖς προσγένηται τὸ θρέψαι τὰ σώματα. τροφὴ γὰρ ἅπασα κατὰ τὸν ἑαυτῆς λόγον αὔξει τὸ τοῦ ζώου θερμόν. μάλιστα οὖν χρὴ προσέχειν τὸν νοῦν ἐν ἅπασι τοῖς δυνάμει θερμοῖς ἢ ψυχροῖς εἶναι λεγομένοις, [259] εἴτε τῆς φύσεώς ἐστι τῶν τρέφειν δυναμένων εἴτε μόνον ἀφορμὴν ἀλλοιώσεως λαμβάνοντα· κἄπειτα κατὰ τὴν οἰκείαν φύσιν ἀλλοιούμενα διατίθησί πως τὸ σῶμα· καὶ εἰ μηδ' ὅλως ἀλλοιοῦται πρὸς αὐτοῦ κατὰ μηδέν. εἰ μὲν γὰρ ἐκ τοῦ

maxime, sed corpus corrumpit ac liquefacit. Juvat igitur et nocet alimentum, quum in calorem et frigus moderatum aut immoderatum convertitur. Et tamen calor innatus in jecore continetur, cujus ope sanguis gignitur. Major vero est alius calor in corde, qui ad iram excitandam est animantibus tributus. Qui non secus indiget alimento quam ille alter respiratione. In animantibus autem cibi, qui ut assimilentur et corpus alant, spatio temporis egent, hi frigus universi potius quam calorem in praesenti afferre videntur. Calefaciunt autem hi quoque progressu temporis sicut alia edulia, si solum ut corpus alant, consequantur. Omne enim alimentum suapte ratione calorem animantis auget. Quocirca adhibenda maxime mens est iis omnibus, quae potestate calida aut frigida esse dicuntur, sintne ex natura eorum, quibus ali corpus possit, an solum occasionem alterationis nanciscantur, deinde convenienter, propria natura alterata, corpus quodammodo afficiant, et an ab eodem nullo modo ulla

γένους εἴη τῶν τρεφόντων, εἰ μὲν κρατηθείη, θερμαίνει· μὴ κρατηθέντα δὲ ψύχει. εἰ δὲ τῶν ἐπ' ὀλίγον ποσὸν ἀλλοιουμένων, θερμαίνει πάντως· εἰ δὲ τῶν μηδ' ὅλως, ψύχει μάλιστα. ὥσπερ δὲ τὸ θερμὸν καὶ τὸ αἷμα διὰ τῆς τροφῆς αὔξάνεται, οὕτω ξηραίνεται ἐν ταῖς ἀσιτίαις τὸ αἷμα καὶ παχύτερον ἑαυτοῦ γίνεται. προστίθησι δὲ, ὠφέλειάν τε καὶ βλάβην εἶναι εἰς τὴν δύναμιν. προσέχειν οὖν χρὴ τὸν νοῦν ἀκριβῶς, ἵνα γνῶμεν ὅτι ἡ δύναμις ἕξει τὴν μίαν ἔνδειξιν ἀεὶ, ἥτις ἐστὶν ἑαυτῆς φυλακή. φυλάττεται δὲ κατὰ μὲν πρῶτον λόγον ἐκ τοῦ τῆς οὐσίας αὐτῆς τὸ κενούμενον ἢ ἀλλοιούμενον ἐπανορθοῦσθαι· κατὰ δεύτερον δὲ ἐκ τοῦ κωλύειν ἡμᾶς τὰ κενοῦν ἢ ἀλλοιοῦν τὴν οὐσίαν αὐτῆς δυνάμενα. τούτων μὲν οὕτως ἐχόντων ἐπὶ μὲν τῶν ὑγιαινόντων συμφωνία τῶν πραττομένων ἁπάντων ἐστὶν εἰς τὴν διαμονὴν αὐτῆς· ἐπὶ δὲ τῶν νοσούντων οὐκ ἀεί. μέγιστον γοῦν ἐστι τὸ τῶν δυνάμεων ἀξίωμα, εἴπερ τὸ ζῆν ἡμῖν ἐκ τῆς τούτων ὑπάρχει φυλακῆς. ἡ δύναμις οὖν ἁπάντων

in re alterentur. Si enim ſint ex genere nutrientium, ſiquidem vincantur, calefaciunt; ſi non vincantur, refrigerant. Sin ex iis ſint, quae parum quid alterantur, omnino calefaciunt. Si denique ex iis, quae nihil omnino alterantur, maxime refrigerant. Quemadmodum autem calor et ſanguis alimento augetur, ſic ſanguis ciborum inopia arefcit et ſe ipſo fit craſſior. Addit autem et noxam et utilitatem in facultatem. Eſt igitur hoc diligenter animadvertendum, ut noſcamus facultatis unam ſemper indicationem, ſui ipſius nimirum conſervationem. Ea autem praecipua ratione cuſtoditur, id, quod e ſua ſubſtantia vacuatur aut alteratur, corrigendo. Secundo vero loco cohibendo ea, quae ipſius evacuare aut alterare ſubſtantiam poſſunt. Quae quum ita ſint, in bene valentibus conſenſus omnium eorum, quae agenda ſunt, eo pertinet, ut ipſa perennis ſit, in aegrotantibus vero non ſemper. Maxima autem eſt virium dignitas, ſiquidem vita in nobis ex harum cuſtodia exiſtit. Facultas ergo prima omnium eſt hominibus conſervanda, ut neque ejus

Ed. Chart. VI. [259.]
πρῶτον φυλακτέα τοῖς ἀνθρώποις ἐστὶν, ἐκ τοῦ μήτε κενοῦσθαι τὴν οὐσίαν αὐτῆς μήτε ἀλλοιοῦσθαι τοσαύτην ἀλλοίωσιν, ὅση πλησιάσει φθορᾷ. μόριον δὲ ταύτης τῆς φυλακῆς εἶναί φαμεν, ὅταν τὴν εὐκρασίαν ἤτοι φυλάττωμεν οὖσαν, ἢ οὐκ οὖσαν ἐργαζώμεθα. διὸ πρὸς τὴν τῶν δυνάμεων φυλακὴν εὐλαβεῖσθαι δεῖ ὡς μήτε πλείω δῷς μήτ᾽ ἐλάττω. τὸ μὲν γὰρ πλείω τοῦ προσήκοντος διδόναι ἀπεψίας αἴτιον γίνεται, πλὴν ὅτι καὶ βαρύνει τὸ σῶμα· τὸ δ᾽ αὖ μηδ᾽ ὅλως τρέφειν ἀσῶδές ἐστι καὶ κακωτικὸν τοῦ στομάχου καὶ τῆς δυνάμεως καταβλητικὸν, καὶ πολλάκις τῆς κακοχυμίας αὐξητικόν.

ι.

Δυνάμιος δὲ ποικίλαι φύσιες.

Πᾶσαν δύναμιν ἀπὸ τοῦ δύνασθαι ποιεῖν, ὅπερ ἂν δύναται, καλεῖν εἰθίσμεθα. τινὸς γάρ δύναμίς ἐστι· καὶ τὴν νοῦσον αὐτῆς ἐν τῷ πρός τι κεκτήμεθα. καὶ διὰ τοῦτο

ſubſtantia evacuetur, neque tanta alteratione immutetur, ut corruptelae propinqua ſit. Hujus autem cuſtodiae partem eſſe dicimus, quum vel aptam temperiem praeſentem ſervamus, vel abſentem inducimus. Quocirca ad facultatem conſervandam cavendum eſt, ne plura offeras, neve pauciora. Si enim plura quam par eſt des, cruditatis cauſam afferes, praeterquam quod etiam corpus praegravabis, ſicut rurſum omnino non nutrire et ſtomachi faſtidia creat et eundem laedit et vires labefactat et malos ſuccos adauget.

X.

Facultatis autem variae naturae.

Facultatem omnem ex poteſtate efficiendi id, cujus habet poteſtatem, nominare ſolemus. Alicujus enim facultas eſt, ejusque notionem conſequimur ex eo, quod ad

Ed. Chart. VI. [259.]
οὕτως αὐτὴν ὀνομάζομεν, ὅταν τὴν οὐσίαν ἀγνοῶμεν. ὅταν δὲ ῥώμην ἢ ἀρετὴν δυνάμεως λέγωμεν, ἢ καὶ ἀῤῥωστίαν τε καὶ κακίαν, τότε ὡς πρὸς τὴν ἐνέργειαν ἀκούειν χρὴ τῶν ὀνομάτων. αἱ μὲν οὖν ἐν τῷ σώματι τῶν ζώων δυνάμεις ὀργάνων ἐπιτηδείων δέονται πρὸς τοὔργον. καὶ ὡς οἱ κατὰ τὰς πόλεις τέκτονες ὀργάνοις τισὶ χρῶνται, δι' ὧν τὸ σφέτερον ἔργον ἀποτελοῦσι, οὕτως αἱ δυνάμεις. οὐσῶν δὲ τριῶν ἐν ἡμῖν, τῆς ψυχικῆς καὶ ζωτικῆς καὶ φυσικῆς, αἵπερ διοικοῦσι τὸ ζῶον καὶ ἑτερογενεῖς ἀλλήλων εἰσὶν, ὥσπερ ἐκ πηγῆς τινος ἰδίας ἑκάστη παντὶ τῷ σώματι διανέμεται. ἔστι δ' ἡ μέν τις αὐτῶν εἰς τὸ τρέφεσθαι τὸ ζῶον ἀναγκαία καὶ κοινὴ πρὸς τὰ φυτά· καὶ οἷον πηγὴν ἔχει τὸ ἧπαρ. ὀχετοὺς δὲ ἐξ αὐτῆς εἰς ὅλον τὸ σῶμα διασπειρομένους τὰς φλέβας, ἣν ἔξεστιν ἐπιθυμητικὴν ἢ φυσικὴν ἢ καὶ θρεπτικὴν ὀνομάζειν. ἑτέρα δὲ οὐ μόνον ὡς φυτοῖς ἡμῖν ἢ ζῶσιν, ἀλλὰ καὶ ὡς ζώοις ὑπάρχουσα ψυχὴ κατὰ τὴν καρδίαν ἵδρυται, πηγή τις οὖσα καὶ ἥδε τῆς ἐμφύτου

aliquid refertur. Proinde fic ipfam appellamus, quum effentiam ignoramus. Quum vero aut robur aut virtutem facultatis dicimus, aut etiam infirmitatem et vitium, tunc nomen intelligendum eft, ut ad actionem refertur. Facultates igitur, quae in corporibus animantium funt, ad fuum opus peragendum accommodatis egent inftrumentis, et ut fabri, qui in urbibus vitam degunt, quibusdam inftrumentis utuntur, quibus fua opera abfolvunt, fic facultates. Quum autem in nobis tres facultates fint, animalis, vitalis et naturalis, quae animal gubernant, fintque diverfi inter fe generis, unaquaeque veluti ex fuo quodam fonte toti eft corpori diftributa. Earum una ad alendum animal neceffaria eft, ac communis cum ftirpibus et veluti fontem jecur habet, rivulos vero ab hoc in totum corpus difperfos, venas. Hanc vel appetitricem vel naturalem vel altricem vocare licet. Altera eft, quae non modo in nobis, ut ftirpibus aut viventibus, fed etiam ut animalibus anima ineft, quae fedem habet in corde

Ed. Chart. VI. [259. 260.]
θερμασίας. ὀχετοὶ δὲ ταύτης τῆς πηγῆς αἱ ἀρτηρίαι· καλεῖται δὲ καὶ αὐτὴ πολλοῖς ὀνόμασι· καὶ γὰρ δύναμις ζωτικὴ καὶ δύναμις θυμοειδὴς καὶ ψυχὴ θυμοειδὴς ὀνο- [260] μάζεται. τρίτη δὲ ἐν ἐγκεφάλῳ ἐστὶ ψυχὴ λογικὴ, τῶν κατὰ προαίρεσιν ἐνεργειῶν ἅμα ταῖς αἰσθήσεσιν ἐξηγουμένη. ταύτης δ᾽ ἐστὶ καὶ μόρια, οἷς χρῆται ὥσπερ ὀχετοῖς τισι, τὰ νεῦρα, αἴσθησίν τε καὶ κίνησιν ἐπιπέμπουσα δι᾽ αὐτῶν τῷ ζώῳ παντί. καὶ διὰ τοῦτο εἶπεν αὐτὸς ποικίλας εἶναι τὰς τῆς δυνάμεως φύσεις, ὡς ἐν ποικίλοις τοῦ σώματος μορίοις συνεστώσας καὶ ἐκ ποικίλων ὡς πηγῶν ὁρμωμένας. Ἡρακλείδης δέ φησιν ἐνταῦθα περὶ τῶν φυσικῶν δυνάμεων ἀκούειν ἡμᾶς χρῆν. ὅπερ οὐκ οἶμαί γε ἀπίθανον. ὑπέλαβε γὰρ κατὰ τὸν Ἱπποκράτη τὴν φύσιν τὰς δυνάμεις ἔχειν, ἑλκτικὴν μὲν τῶν οἰκείων μίαν, ἀποκριτικὴν δὲ ἑτέραν τῶν ἀλλοτρίων, τρίτην δὲ ἀλλοιωτικὴν καὶ τὴν τετάρτην τὴν καθεκτικήν. ὃ καὶ ἀληθές ἐστι καὶ ἡμεῖς ἐν ἑκάστῳ τῶν ὀργάνων οὔσας ἀπεδείξαμεν.

---

eſtque veluti innati caloris fons quidam. Hujus fontis rivuli ſunt arteriae. Caeterum multis nominibus appellatur, nam et facultas vitalis et facultas, quae iraſcitur et anima irarum aeſtu fluctuans nominatur. Tertia ſita in cerebro eſt anima particeps rationis, quae voluntariis actionibus una cum ſenſibus praeſidet. Haec utitur ipſa quoque partibus quibusdam ceu rivulis, hoc eſt nervis, per quos ſenſum et motum in totum animal transmittit. Ideo ipſe varias eſſe facultatis naturas dixit, ut quae in variis corporis partibus conſiſtant et ex variis veluti fontibus emanent. Heraclides autem cenſet nos haec de naturalibus facultatibus accipere debere. Quod non abſurdum exiſtimo. Rebatur enim ex Hippocratis ſententia naturam praeditam eſſe facultatibus, ut trahendi ea, quae apta ſunt, excernendi quae ſunt aliena, itemque alterandi et quarto loco retinendi. Quod ſane verum eſt et nos in unoquoque inſtrumento eſſe demonſtravimus.

Ed. Chart. VI. [260.]

ια'.

Χυλοὶ φθείροντες καὶ ὅλον καὶ μέρος καὶ ἔξωθεν καὶ ἔνδοθεν.

Ἡ φθορὰ διττῶς λέγεται, ἡ μὲν ἐν τῷ γίγνεσθαι, ἡ δὲ ἐν τῷ γεγονέναι. τὰ δὲ πράγματα κατὰ τέτταρας τρόπους φθείρεσθαι εἴωθεν. ὅτι καὶ τὰ στοιχεῖα τῆς οὐσίας αὐτῶν ἐστι τέτταρα· τὰ μὲν διὰ ξηρότητα φθείρεται, τὰ δὲ δι' ἄμετρον θερμότητα ἢ ψυχρότητα ἢ καὶ ὑγρότητα. φθείρεται γὰρ τὴν φύσιν, ἕκαστον θερμαινόμενον ἢ ψυχόμενον ἢ ξηραινόμενον ἢ ὑγραινόμενον. μάλιστα δὲ διὰ τὸ θερμαίνεσθαι ἢ ψύχεσθαι· δραστικώταται γὰρ αὗται αἱ ποιότητες. ἤδη δὲ καὶ διὰ τὸ ὑγραίνεσθαι καὶ ξηραίνεσθαι. ἐν δὲ τῷ πεινῆν ἢ διψῆν ἐπιλειπούσης ἔνθα μὲν τῆς ὑγρᾶς οὐσίας, ἔνθα δὲ τῆς ξηρᾶς. τὸ μὲν οὖν αἷμα εἰ χολωδέστερον ὑπάρχοι, ῥᾷον ἐκθερμαίνεται· ἐὰν δὲ ἐν τῷ φλεγμαίνοντι μορίῳ περιέχηται, εἴη δ' ἱκανῶς θερμὸν καὶ καθ' ὅλον τὸ ζῶον χολῶδες, πολὺ μᾶλλον ἐκθερμανθήσεται· καὶ

XI.

Succi corrumpentes et totum et partes et foris et intus.

Duobus modis corruptela dicitur, tum ea quae fit, tum ea quae facta est. Res autem quatuor modis corrumpi solent, quod etiam ipsarum essentiae elementa sint quatuor, ut quaedam propter siccitatem, quaedam propter nimium calorem aut frigus aut humorem corrumpantur. Cujusque autem natura corrumpitur, quum calefit aut frigesit aut siccatur aut humectatur, potissimum autem dum calefit aut frigesit, quippe quum hae qualitates sint efficacissimae. Sed etiam quum siccatur et humectatur, ut etiam esuriendo et sitiendo, dum hic humida, illic sicca substantia deest. Itaque si sanguis sit biliosior, facilius excalefit. Sique in parte contineatur, quae inflammatione tentetur, sitque admodum calidus et in toto corpore sit biliosus, multo magis excalefit, ac deinceps corrumpitur.

ἑξῆς διαφθείρεται. ἴσμεν γὰρ ὅτι ἐπὶ παντὸς τοῦ θερμαίνοντος, ὅσον εὐαλλοίωτον ἦν, ἢ τῇ φύσει θερμὸν ἐκθερμαίνεσθαί τε καὶ οὕτω φθείρεσθαι πρῶτον, ὥσπερ γε κἀπὶ τοῦ ψύχοντος, ὅσον εὐαλλοίωτον ἢ τῇ φύσει ψυχρὸν, ἐκεῖνο πρῶτον καταψύχεται καὶ διαφθείρεται εἴτε καθόλου εἴτε κατὰ μέρος. ἔστι δ' εὐαλλοίωτα ὅσα καὶ λεπτομερέστερα. διὸ τὸ πνεῦμα εὐαλλοίωτόν ἐστι. θερμότατον δὲ φύσει ἡ χολὴ ξανθὴ, ψυχρότατον δὲ τὸ φλέγμα. αἷμα δὲ ἐφεξῆς τῇ ξανθῇ χολῇ θερμόν. ἡ μέλαινα δὲ ψυχρὸν κατὰ τὸ φλέγμα. ἀλλοιοῦται μὲν γὰρ ἡ ξανθὴ χολὴ ῥᾳδίως ὑπὸ παντὸς τοῦ δρῶντος εἰς αὐτὴν, ἡ μέλαινα δὲ δυσκόλως. συνελόντι δ' εἰπεῖν τὸ μὲν λεπτομερὲς ἅπαν εὐαλλοίωτον, τὸ δὲ παχυμερὲς δυσαλλοίωτον καὶ ἑξῆς δύσφθαρτον. εἰσὶ δὲ διαφθοραὶ τοῦ σώματος ἡμῶν διτταὶ κατὰ γένος. αἱ μὲν γὰρ αὐτῶν ἀναγκαῖαί τέ εἰσι καὶ σύμφυτοι καὶ ὡς ἐκ τῶν ἀρχῶν τῆς γενέσεως ὁρμώμεναι, καθάπερ ἐξ αἵματός τε καὶ σπέρματος. ἔνιαι δὲ ἐξ αὐτῶν ἡμῶν ὁρμώμεναι. πρῶτον μὲν γένος διὰ τὴν ξηρότητα γίνεται καὶ γῆρας καλεῖται.

Scimus enim, quicquid facile alteratur, aut natura calidum est, id a quavis re calefaciente excalefieri atque ita primum corrumpi, sicut quicquid facile est ad alterandum et natura frigidum, id a quavis re refrigerante primum refrigerari atque corrumpi, sive universe, sive particulatim. Facile porro alterantur, quae tenuiorum sunt partium, proinde spiritus est ad alterandum facilis, ac bilis flava est natura calidissima, pituita frigidissima. Post flavam bilem calidus est sanguis, ut post pituitam frigida est atra bilis. Etenim flava bilis a quovis in ipsam agente alteratur, atra aegre, atque ut uno verbo dicam, quicquid e tenuibus constat partibus, facile ad alterandum est, quicquid e crassis, difficile, deinceps difficile ad corrumpendum. Corporis autem nostri sunt duo genera corruptelae. Quaedam enim corruptelae sunt necessariae et innatae et tanquam ex ortus nostri principiis, ut ex sanguine semineque profectae, quaedam ex nobis ipsis oriuntur. Primum genus ex siccitate fit, ac senectus appellatur, estque

ἐστι δὲ σύμφυτος ἀνάγκη φθορᾶς ἅπαντι τῷ γεννητῷ σώματι. δευτέρα δὲ τοῖς ζώοις μάλιστα ὑπάρχουσα, τῆς ὅλης αὐτῶν οὐσίας ἡ ῥύσις, ἐκ τῆς ἐμφύτου θερμότητος ἀποτελουμένη. ῥεούσης γοῦν τῆς συστάσεως ἀπὸ πάντων τῶν ζώων, εἰ μή τις ἑτέρα ὁμοία ἀντεισάγει τῷ ἀποῤῥέοντι, διαφθαρθήσεται σύμπαν οὕτω τὸ σῶμα. διὰ μὲν οὖν τῆς ἐδωδῆς ἀναπληροῦμεν ὅσον ἀποῤῥυῇ τῆς ξηροτέρας οὐσίας· διὰ δὲ τοῦ πόματος ὅσον τῆς ὑγροτέρας. οὕτω δὲ καὶ τῆς ἀερώδους τε καὶ πυρώδους οὐσίας τὴν συμμετρίαν ἀνα-[261] πνοαῖς τε καὶ σφυγμοῖς διασώζομεν. οὐ γὰρ ὡσαύτως ὑπὸ τῶν θερμῶν ἢ ψυχρῶν ἅπαν τὸ σῶμα διατίθεται. καὶ διὰ τοῦτο τινὰ μὲν οἰκείους ἔχει χυμοὺς ἀλλήλοις ζῶα, τινὰ δὲ οὐ μόνον οἰκείους ἔχει, ἀλλὰ καὶ φθαρτικούς. τρέφεται δὲ πάντα πρὸς τῶν ὁμοίων. ἀναιρεῖται δὲ καὶ φθείρεται πρὸς τῶν ἐναντίων. οὐδὲν μέντοι αὐτὸ ἐξ ἑαυτοῦ, ὥς γε ἐκ τῆς οἰκείας θερμασίας φθείρεται· τοὐναντίον δ' ἅπαν αὐξάνεταί τε καὶ ῥώννυται καὶ ὑγιαίνει καὶ ζῇ. εἰ δέ τι παρὰ φύσιν ἐγγένηται τοῖς σώμασι, τοὺς μὲν χυμοὺς

haec omni genito corpori innata corruptelae necessitas. Altera quae in animantibus inest maxime, totius substantiae fluor est, qui ab innato calore efficitur. Quum enim fluat omnium animantium moles, nisi alia similis substantia pro ea, quae defluit, introducatur, universum corpus ita corrumpetur. Ergo quicquid siccioris substantiae effluxit, cibo restituimus, quicquid vero humidioris, potione, ita aëreae igneaeque substantiae modum respirationibus pulsuque arteriarum conservamus. Siquidem non eodem modo universum corpus a calidis aut frigidis afficitur, ob eamque causam quaedam animantes aptos sibi ipsis humores habent, quaedam non modo aptos, sed etiam qui perniciem afferant. Caeterum omnia aluntur similibus, tolluntur autem et corrumpuntur a contrariis. Nihil tamen ex seipso, ut ex proprio calore corrumpitur. Contra vero omnia augentur, roborantur et bene valent et vitam ducunt. At si quid praeter naturam corporibus accidat, primum humores propter humiditatem corrum-

Ed. Chart. VI. [261.]

πρώτους δι' ὑγρότητα διαφθείρει· τῷ χρόνῳ δὲ καὶ τῆς πιμελῆς ἅπτεται καὶ τῆς σαρκός. καὶ διὰ τοῦτο ὁρᾶται πολλάκις ἐκχολούμενον τὸ αἷμα κατά τινα διαφθορὰν ἀλλόκοτον· ὡς ὅλον τὸ τοῦ σώματος γενέσθαι πρασοειδές. ἀλλὰ καὶ χωρὶς τῶν θανασίμων φαρμάκων εἰς διαφθορὰν χυμῶν ἀφικνούμενον ὁρᾶται τὸ σῶμα, παραπλησίαν τῇ διὰ τῶν φαρμάκων γιγνομένῃ. ἐνίοτε δὲ τὸ χρῶμα ἐξαλλάττεται διὰ τὴν τροπὴν χυμῶν, ὡς ἰκτεριωθῆναι τὸ πᾶν. ἐνίοτε δὲ μολίβδῳ παραπλήσιον ἔχειν τὴν χρόαν· ἐνίοτε δὲ φαιοτέραν· ἐνίοτε δὲ μελαντέραν· ἐνίοτε δὲ καὶ πρὸς τὸ * οὐ θαυμαστόν. δῆλον γὰρ ὅτι ἡ σῆψις ὑπὸ θερμότητος ἀλλοτρίας γίνεται, ὡς εἴρηται. λέγω δ' ἀλλοτρίαν τὴν ἔξωθεν, οὐκ ἔμφυτον, οὐδὲ οἰκείαν ἑκάστου τῶν ὄντων. αὐτὴ μὲν πέφυκεν πέττειν, ἡ δὲ ἀλλοτρία διαφθείρειν. οὕτω δὲ ἔξωθεν θερμότης ἐπιγίνεται τοῖς χυμοῖς, μάλιστα δὲ τῷ αἵματι κατά τε τὰς ἐγκαύσεις καὶ τὰς λοιμώδεις καταστάσεις. ἀλλὰ κἀπειδὰν ἔν τινι μορίῳ τοῦ ζώου τὸ αἷμα πλέον ἀθροισθὲν ὑπὲρ τὴν δύναμιν αὐτοῦ γένηται, διαφθείρεται,

pit, temporis vero progreſſu id pinguedinem et carnem attingit. Quamobrem videmus ſaepenumero ſanguinem biliofum redditum corruptela quadam abſurda usque adeo, ut totus corporis color porri colorem imitetur. Quin etiam ſine mortiferis medicamentis cernitur corpus ad humorum corruptelam pervenire, quae ſimilis eſt ei, quam venena afferunt. Quandoque etiam color propter humorum converſionem immutatur, ut totum corpus arquatum ſit, interdum plumbi colorem referat, interdum ſit magis fuſcum, interdum nigrius, interdum vero etiam magis vergat ad * Quod mirabile non eſt. Perſpicuum enim eſt putredinem ab alieno calore proficiſci, ut dictum eſt. Alienum calorem voco eum, qui foris advenit et neque eſt innatus, neque unicuique rei aptus, ſiquidem innato eſt a natura tributum ut concoquat, alieno ut corrumpat. Calor enim extrinſecus ſanguini advenit et in ſolis exuſtionibus et in peſtilenti ſtatu. Sed et quando in aliqua parte corporis major copia ſanguinis

Ed. Chart. VI. [261.]

ὡς κατὰ τοὺς βουβῶνας καὶ τὰ φύματα καὶ τὰς φλεγμονὰς, ὅταν ἐμφραχθῇ διὰ πάχος ἐν τοῖς μικροῖς ἀγγείοις ἢ σφηνωθῇ διὰ πλῆθος. καὶ τότε κατὰ διττὴν αἰτίαν φθείρεται τὸ αἷμα, τῷ τε μὴ διαπνεῖσθαι καὶ τῷ μὴ κρατεῖσθαι πρὸς τῆς φύσεως. * * μεταβάλλει δήπου πάντως καὶ ἡ μετάπτωσις εἰς τὸν μελαγχολικὸν χυμὸν γίνεται· * καὶ τοίνυν κατὰ τὰς τῶν χυμῶν ἰδέας * * περὶ τούτων εἴρηται τὰ εἰκότα ἐν τοῖς περὶ * * τῇ τοῦ * * αἵματος μεταβολῇ σὺν * πειρατέον ὑπὲρ αὐτῶν διελθεῖν, οὐδ' ἐνταῦθα μηκύνοντες, οὐδὲ ἀντιλέγοντες τοῖς παλαιοῖς, τοῖς μάλιστα ἐσφαλμένοις, πλὴν γὰρ Ἀριστοτέλει, ὅς μοι δοκεῖ ὀρθῶς εἰρηκέναι, ἄλλους σχεδὸν πάντας ἐστὶν ἐσφαλ. * *

συγχωροῦσι μὲν πάντες, ἀπὸ τῆς οἰκείας ἢ ἀλλοτρίας θερμότητος γίγνεσθαι, οὐχ ὁμοίως δέ· ἀλλ' ὁ μὲν Ἐμπεδοκλῆς * * * * τοῖς γὰρ οὕτω διακειμέ-

coacervata fit et ejus vires fuperet, corrumpitur, quemadmodum in tumoribus inguinum et orientibus tuberculis et inflammationibus, quum in parvis vafculis propter crasfitudinem obftruitur aut propter multitudinem impingitur. Quo fane tempore fanguis duplici de caufa corrumpitur, et quia non difflatur et quia a natura non vincitur * Omnino mutatur et commutatio in humorem melancholicum fit * et ex humorum formis. * Deque his dicta funt, quae dici par erat in libris de * fanguinis mutatione * * Conandum eft de eis differere, ita tamen ut neque hoc loco longiores fimus, neque veteribus contradicamus, qui fummopere erraverunt, praeter Ariftotelem, qui quum caeteri ferme omnes hallucinati fint, recte dixiffe mihi videtur. *

Omnes tamen concedunt a fuo aut alieno calore id effici. Non tamen pari modo. Sed Empedocles * * Iis enim, qui fic

Ed. Chart. VI. [261. 262.]

ναις φησὶν ὀλεθρίως ἔχειν αὐτοὺς, ὅτι τοιαῦτα τὰ πάθη ἐνδείκνυται ἔνδειαν τροφῆς καὶ διαφθορὰν χυμῶν, ὅπερ οὐκ ἀεὶ συμβαίνει. * * * καὶ μὲν ἀλλὰ συγχωρητέον ἤδη αὐτοῖς πολλὰ κατὰ τὴν ἰατρικὴν εἰρηκόσιν ἄτοπα, ὡς μήτε ἰατροῖς μήτε ἐμπείροις· ὡς δὲ φιλοσόφοις καὶ τὰς τῶν ὄντων αἰτίας ζη * * * *.

ιβʹ.

Αὐτόματοι καὶ οὐκ αὐτόματοι· ἡμῖν μὲν αὐτόματοι, αἰτίῃ δὲ οὐκ αὐτόματοι.

---

[262] Τὰ αὐτόματα λέγεταί ποτε οὐ τὰ χωρὶς αἰτίας, ἀλλὰ χωρὶς τῆς ἐξ ἡμῶν αἰτίας. ὅταν γὰρ δόντων ἡμῶν χολαγωγὸν φάρμακον τῆς χολῆς γένηται κένωσις, οὐκ ἔτι αὐτὴν ὀνομάζειν αὐτόματον χρή· ἐνίοτε δὲ καὶ τὰ χωρὶς τῆς αἰτίας τῆς ἔξω, ἐνίοτε δὲ καὶ τὰ οἷον ἐξαίφνης οὐδενὸς

affecti ſunt, perniciem inſtare: ſiquidem ejusmodi affectus et alimenti indigentiam et humorum corruptelam indicant, quod quidem non ſemper uſu venit. * * Illis tamen, utpote qui multa abſurda in iis, quae ad medicinam pertinent, dixerint, hoc jam concedendum eſt, quod neque medici ſint, neque longo uſu exercitati; ſed quod philoſophi eſſent et rerum cauſas perveſtigarent. *

XII.

Spontanei ac minime ſpontanei; nobis quidem ſpontanei, cauſa vero minime ſpontanei.

Spontanea interdum dicuntur non quae ſine cauſa, ſed quae ſine cauſa a nobis proficiſcente fiunt. Quum enim medicamentum bili ducendae aptum damus, bilis fit evacuatio, nec eam tum ſpontaneam nominare oportet; interdum etiam quae ſine externa cauſa fiunt. Interdum

συμπτώματος· προηγησαμένου. νῦν δὲ ἄμεινον ἀκούειν τὰ αὐτόματα σημαίνειν τὰ χωρὶς τῆς αἰτίας τῆς ἐξ ἡμῶν, ἵνα γνῶμεν τοὺς χυλοὺς ἢ αὐτομάτους εἶναι, ἢ μὴ αὐτομάτους καὶ ὑπὸ τῆς φύσεως ἀγαθοὺς γινομένους. ὃ χρὴ μιμεῖσθαι τὸν ἰατρόν. τοῦτο γὰρ δῆλον. προστίθησι γὰρ, ἡμῖν μὲν αὐτόματοι, ὅτι κατὰ φύσιν καὶ ὑπὸ τῆς φύσεως γίνονται· αἰτίᾳ δ' οὐκ αὐτόματοι· διότι ὑπαρχούσης τῆς ἄλλης αἰτίας οὐκ εἰσὶν αὐτόματοι. κατὰ μὲν οὖν τὴν ἔννοιαν ταύτην εἶπεν αὐτὸς, ὑπὸ διαῤῥοίας ἐχομένῳ μακρῆς, ἀπὸ ταυτομάτου ἔμετος ἐπιγενόμενος λύει τὴν νόσον. καὶ ἐν ἄλλοις, ὁκόσοι ἀπὸ ταυτομάτου αἷμα οὐρέουσιν. ἀλλὰ καὶ τὰς κενώσεις αὐτομάτους ἐκ τοῦ σώματος λέγομεν, ὅσαι χωρὶς τοῦ πρᾶξαί τι ἡμᾶς γίγνονται. ὅπερ ποτὲ συμβαίνει τῆς διοικούσης τὸ σῶμα φύσεως τὰ αὐτόματα ἐκκαθαιρούσης, ποτὲ δὲ δι' ἐρεθισμὸν, ἢ τὸ μὴ στέγεσθαι πρὸς τῶν ἀγγείων. καὶ τότε δεῖ τὸν ἰατρὸν προσέχειν τὸν νοῦν, πότερον χρησιμεύουσιν ἢ βλάπτουσι, τουτέστι πότερον, ὡς αὐτὸς φησὶν, οἷα δεῖ καθαίρεσθαι καθαίρονται. τότε

vero 'quae. velut repente, nullo cafu praecedente. Nunc vero praeftiterit accipere fpontanea fignificare quae fiunt fine caufa a nobis proficifcente, ut nofcamus humores fpontaneos effe, vel non fpontaneos et a natura bonos effici, quam rem debet medicus imitari, id enim perfpicuum eft. Addit enim, nobis quidem fpontanei, hoc eft fecundum naturam et a natura facti: *caufa vero non fpontanei*, quia quum alia caufa fubeft, non funt fpontanei. In hanc fententiam ipfe dixit haec: *quem diuturnus alvi fluor vexavit, ei vomitus fponte fuperveniens morbum folvit.* Et alio in loco: *quicunque fponte fanguinem mingunt.* Quin etiam evacuationes e corpore fieri fponte dicimus; quaecunque fiunt, quum nos nihil molimur. Quod folet contingere, quum natura corpus gubernans expurgat ea, quae fua fponte feruntur, interdum irritata, aut quod illa a vafculis non cohibeantur. Quo fane tempore advertere medicus debet an profint, an ne noceant. Hoc eft utrum, ut ipfe ait, qualia purgari oportet

Ed. Chart. VI. [262.]

γὰρ τὰ σώματα ὠφελεῖται καὶ ἡ φύσις ἐκκενοῖ τὸ περιττόν. ὅτε δὲ λόγῳ συμπτώματος γίνεταί τι, οὔτε ὠφέλειά τις ἕπεται, τοιαύτη ἡ κένωσις σημεῖον τῆς κακῆς τοῦ ζώου διαθέσεώς ἐστι.

ιγ'.

Αἰτίη δ' αὖ τὰ μὲν δῆλα, τὰ δ' ἄδηλα, καὶ τὰ μὲν δυνατὰ, τὰ δ' ἀδύνατα.

Τῆς τῶν κατὰ τὸ ζῶον συμβαινόντων ζητήσεως ὁ καρπὸς οὗτός ἐστι, τὸ τὰς αἰτίας τῶν δυσκρασιῶν εἰδότι, εἰς τὸ κατὰ φύσιν ἐπανάγειν αὐτάς. πῶς δέ τις διαγνωστικός τε καὶ ἰατρὸς τῶν νοσημάτων ἔσται ἀγνοῶν ὅλως αὐτὰ, τίνα τέ ἐστι καὶ πόσα καὶ ποῖα; ἡμεῖς δὲ συγχωρήσαντες γένη πλείω τῶν αἰτιῶν ὑπάρχειν τινὰ προθήσομεν νῦν. πρῶτον μὲν καὶ μάλιστα δι' ὃ γίνεταί τι· δεύτερον δὲ ὑφ' οὗ γίνεται· καὶ τρίτον ἐξ οὗ· καὶ τέταρτον δι' οὗ· καὶ πέμ-

purgentur. Siquidem tunc corpora juvantur et natura id evacuat, quod supervacaneum est. Quum vero symptomatis ratione fit aliquid, neque ulla consequitur utilitas, ejusmodi evacuatio est malae constitutionis animantis indicium.

XIII.

Causae rursus aliae manifestae, aliae abditae et aliae possibiles, aliae impossibiles.

Fructus quaestionis eorum, quae animali accidunt, est, ut qui causas intemperierum norit, eas ad naturalem statum reducat; quomodo autem noscet curabitque morbos is, qui et qui et quales et quanti sint ignorabit? Nos autem ut multa esse genera causarum concedamus, quasdam in praesentia afferemus: primum quidem et praecipue illam, propter quam fit aliquid; secundo a qua fit; tertio ex quo; quarto per quod; quinto quale fit. Eo-

Ed. Chart. VI. [262.]

πτον τὸ καθό· τρία γάρ ἐστι τὰ σύμπαντα γένη τῶν παρὰ φύσιν, ἓν μὲν αἱ διαθέσεις αἱ βλάπτουσαι τὴν ἐνέργειαν, ἕτερον δὲ τὰ τούτων αἴτια, καὶ τρίτον τὰ συμπτώματα. τὰ μὲν οὖν αἴτια κυριώτατα μὲν, ὅταν ἐνεργῶσιν, οὕτως ὀνομάζεται. λέγεται μέντοι γε πολλάκις, εἰ καὶ μηδέπω μηδὲν ἐνεργεῖ, κατ' αὐτὸ τὸ δύνασθαι μόνον, οἷον καὶ ἀπεψίαι νόσων αἰτίαι λέγονται, κἂν μηδέπω τις νοσάζῃ. διὸ τῶν αἰτίων τὸ μέν ἐστι προκαταρκτικὸν, τὸ δὲ συνεκτικὸν, τὸ δὲ προηγούμενον· ὡς προκαταρκτικὸν μὲν εἶναι, ὃ ποιῆσαν τὸ ἀποτέλεσμα κεχώρισται. συνεκτικὸν δὲ, ὃ παρὸν φυλάττει τὴν παροῦσαν νόσον, ἀναιρούμενον δὲ συναναιρεῖ, προηγούμενον δὲ αἴτιόν ἐστι, τὸ ὑπὸ τοῦ προκαταρκτικοῦ κατασκευάζεται πως. οὗ παρόντος πάρεστι τὸ ἀποτέλεσμα καὶ αὐξομένου αὔξεται· καὶ μειουμένου μειοῦται· καὶ αἱρουμένου αἱρεῖται· εὑρίσκεται δὲ καὶ ἄλλα γένη πολλὰ, ὡς τὸ αὐτοτελὲς, τό τε συναίτιον καὶ τὸ συνεργόν· ὥσπερ καὶ τὰ πρόδηλα καὶ μὴ πρόδηλα αἴτια. λέγουσι μὲν αὐτοτελὲς εἶναι τὸ αὐτὸ καθ' αὐτὸ ποιοῦν τὸ τέλος.

rum enim quae praeter naturam sunt, tria sunt universa genera: unum affectiones quae actionem laedunt, alterum earum causae, tertium symptomata. Causae autem quum agunt, hoc potissimum vocabulo gaudent. Sed saepe etiam sic vocantur, licet nondum quicquam agant, sed quod solum possint, veluti cruditates morborum causae dicuntur, quamvis nemo adhuc aegrotet. Quocirca causarum alia est procatarctica, alia continens, alia antecedens, ut procatarctica sit, quae opere perfecto separatur. Continens quae praesens morbum praesentem conservat, sublata tollit. Antecedens causa est, quae a procatarctica quodam modo fit, qua praesente effectus ipse adest et illa adaucta adaugetur et diminuta diminuitur et sublata tollitur. Multa quoque alia genera causarum inveniuntur. ut per se finiens, concausa et causa adjuvans, sicut etiam sunt et manifestae et obscurae. Volunt autem causam per se finientem esse, quae ipsa per se finem afferat, concau-

Ed. Chart. VI. [262. 263.]
συναίτιον δὲ ὃ κατὰ τὴν ἰδίαν αὐτοῦ δύναμιν οὐχ οἷόν τέ ἐστι ποιῆσαι τὸ ἀποτέλεσμα· [263] σὺν ἑτέρῳ δὲ δύναται. συνεργὸν δέ ἐστιν αἴτιον, ὃ ποιοῦν μὲν τὸ ἀποτέλεσμα, δυσχερῶς δέ. διό τι συλλαμβάνει πρὸς τὸ ῥᾷον αὐτὸ ἀποτελεῖν. αἴτια δὲ πρόδηλα προσαγορεύεται ὅσα ἐξ ἑαυτῶν ποιοῦντά τε καὶ ἐνεργοῦντα αἰσθάνεται· οὐ πρόδηλα δὲ ὅσα οὐκ ἐξ ἑαυτῶν, ἀλλὰ διὰ σημείων καταλαμβάνεται· καθάπερ ἄδηλα κάλεῖται ὅσα οὐδὲ ἐξ ἑαυτῶν, οὐδὲ ἐκ τῶν ἄλλων εἰς τὴν αἴσθησιν πίπτει. ταῦτα μὲν ἢ ἄδηλα ἀεὶ ἐστιν, ἢ πρὸς καιρόν· ἅπερ εἶναί φαμεν τὰ μέχρι μέν τινος ἀπόντα, αὖθις δὲ ὑπὸ τὴν αἴσθησιν ἐλθεῖν δύναται· ὡς ἐν τῷ περὶ τῶν προκαταρκτικῶν αἰτιῶν ὑπομνήματι δέδεικται. εἰδέναι δὲ δεῖ πάντως τὰ αἴτια, εἴπερ μηδὲν ἀναιτίως γίνεται. καὶ τοῦτ᾽ ἔστιν ἁπάντων σχεδόν τι τῶν φιλοσόφων ὁμολόγημα κοινόν. οὐ μὴν, ἀλλὰ πειρατέον ἐστὶ τὸ τῶν ἁπάντων αἰτίαν ἀποδοῦναι. πρῶτον μὲν ὅτι πρὸς τὰς τῶν πραγμάτων ἐννοίας καὶ πρὸς τὰς χρείας οὐ πολλάκις τὸ τοιοῦτον ἀναγκαῖόν ἐστιν· ἔπειθ᾽ ὅτι πολλὰ τῶν ὄντων τρό-

ſam vero, quae ſuapte vi opus efficere non poſſit, quum alia conjuncta poſſit, cauſam adjuvantem eſſe, quae efficiat illa quidem opus, ſed aegre. Proinde aliquid ab ipſa aſſumi ad id, quod vult, facilius efficiendum. Cauſae autem manifeſtae appellantur, quae ipſae ex ſe, quum agunt et faciunt quid, in ſenſum cadunt. Non manifeſtae vero, quae non ex ſe, ſed mediis intercedentibus percipiuntur. Sicut abditae vocantur, quae neque ex ſe ipſis, neque ex aliis ſentiuntur. Eaeque aut ſemper abditae ſunt, aut ad tempus quas eſſe dicimus, quae aliquando abſunt, rurſus vero cadere ſub ſenſum poſſunt, ſicut in libro de cauſis procatarcticis oſtenſum eſt. Cauſarum habenda omnino cognitio eſt, ſiquidem nihil ſine cauſa efficitur. Haecque eſt communis fere omnium philoſophorum conſenſio. Non tamen conandum eſt rerum omnium afferre cauſam; primum quia ad rerum notiones atque uſus hoc non eſt ſaepe neceſſarium, deinde quia multa ſunt in rerum natura, quae ſuapte natura quibusdam principiis

Ed. Chart. VI. [263.]
πον τινὰ ἀρχαῖς τισιν ἔοικε κατὰ φύσιν, ὥστε μὴ παραδέχεσθαι τὸν ὑπὲρ αἰτίων λόγον. πρὸς δὲ τούτοις διαμαρτάνουσιν ἐνίοτε, ὅτι τὰ ἀγνοούμενα καὶ τὰ μὴ αἴτια λαμβάνοντες οἴονται λέγειν τὴν αἰτίαν. οὐ γοῦν δεῖ προσέχειν τὸν νοῦν τοῖς πάντων οἰομένοις δεῖν λέγειν τὴν αἰτίαν. τότε γὰρ δεῖ τῶν ὄντων αἰτίαν ζητεῖν, ὅτ' ἂν μέλλῃ περὶ τούτων γνωριμώτερον ἢ πιστότερον γίνεσθαι τὸ λεγόμενον. καὶ μέντοι διαφυλάττειν ἀξιοῦμεν τοῦτο, οἷς ἂν ἀλήθεια σπουδάζηται, τὸ μηδὲν ἀποκρύπτεσθαι τῶν ἐναργῶς φαινομένων, μηδ' ἂν ὅτι μάλιστα τὸν τῆς αἰτίας λογισμὸν ἀπορώτατον ἔχει. τοῦτ' ἐπαινεῖν Ἱπποκράτην ἄξιον ἔν τε τοῖς ἄλλοις ἅπασι καὶ ἐν τοῖς περὶ τούτων, περὶ ὧν νῦν διαλεγόμεθα λόγοις οὐχ ἥκιστα. μέχρι γὰρ τοῦ προέρχεσθαι τὸν ἰατρὸν ἀξιοῖ, ὅσον περ ἡ τέχνη αὐτοῦ δύναται, ὡς πολλάκις μέχρι τοῦ πιθανοῦ ἐλθεῖν, ἐπιδεικνύναι τε τὰ παραπλήσια ταῖς ἀλλήλων φύσεσι πράγματα καὶ διὰ τοῦτο παρορώμενα, κἄπειτα τίθεσθαι κατὰ τούτων τὰ ὀνόματα, μάλιστα μὲν εἰ

similia sunt, ut causae rationem non admittant. Praeterea nonnunquam falluntur, quum incognita et quae causae non sunt sumentes, se causam afferre arbitrantur. Non est igitur attendendus sermo eorum, qui rerum omnium causam putant esse afferendam. Tunc enim quaerenda rerum causa est, quum id, quod de ipsis dicitur, aut notius aut credibilius est futurum. Hoc tamen semper servandum censemus ab iis, qui veritatis studio ducuntur, nihil ut occultent eorum, quae evidenter apparent, etiam si causae rationem maxime controversam habeant. Quamobrem quum in aliis rebus omnibus Hippocrates ornandus est laudibus, tum vel maxime in his, de quibus nunc differimus. Censet enim usque eo progredi medicum oportere, quousque pervenire ipsius ars potest, ut saepenumero ad probabilitatem usque perveniat et res, quod inter se natura sunt similes et ob id minus advertuntur, ostendat, deinde eis nomina imponat, potissimum vero si possit, quae sint usitatissima; sin haec ignoret, apta singat.

Ed. Chart. VI. [263.]

οἷός τε εἴη, τὰ συνηθέστατα, εἰ δ' ἀγνοοίη ταῦτα, ποιεῖν ἴδια· πρὸ πάντων δὲ καθ' ἑκάστου πράγματος ἓν ὄνομα, ἵνα μήτε παρὰ τὴν ὁμωνυμίαν ἀσάφειά τις γένηται, μήτε παραλείπηταί τι πρᾶγμα· τούτων οὕτως ἐχόντων ἐνδέχεταί τινα στίχον αἰτιῶν γενέσθαι, πολλάκις ἀλλήλας διαδεχομένων. ἀλλ' ἐν τοῖς τοιούτοις, εἰ μή τις διορίζοιτο τοῦ κατὰ συμβεβηκὸς ποιεῖν λεγομένου τὸ καθ' ἑαυτὸ, πάμπολλα καὶ ἄτοπα συμπεσεῖται τοῖς λόγοις ἁμαρτήματα. σημαίνει δὲ ταὐτὸν τὸ καθ' ἑαυτὸ τῷ πρώτως, τὸ δὲ κατὰ συμβεβηκὸς τῷ δευτέρως, ὥσπερ ἐπὶ τὸ νόσημα διάθεσίς τίς ἐστι παρὰ φύσιν, τὴν ἐνέργειαν βλάπτουσα, ἐνδέχεται δὲ προηγεῖσθαι τῆς νόσου διάθεσιν ἑτέραν τινὰ καὶ αὐτὴν παρὰ φύσιν, οὐ μὴν κατά γε τὸν ἑαυτῆς λόγον βλάπτουσαν τὴν ἐνέργειαν, ἀλλὰ διὰ μέσου τοῦ νοσήματος, τὴν τοιαύτην διάθεσιν οὐ νόσημα καλέσεις, ἀλλὰ προηγουμένην τοῦ νοσήματος αἰτίαν. οὐδὲ γὰρ καθ' ἑαυτὴν οὐδὲ πρώτως, ἀλλὰ κατὰ συμβεβηκός τε καὶ δευτέρως βλάπτεται ἡ ἐνέργεια. καὶ οὕτως οὐ πᾶν ὅ τι περ ἂν ᾖ παρὰ φύσιν ἐν τῷ σώματι, νόσημα

Ante omnia vero singulis rebus singula nomina imponat, ne in sermone ex homonymia obscuritas oriatur, neve res ulla omittatur. Quum vero haec ita se habeant, series quaedam causarum se deinceps excipientium saepe existit. Sed in ejusmodi, nisi quis distinguat eam quae per se facit ab ea quae ex accidenti dicitur, plurimi absurdissimique errores in disputationibus orientur. Significat autem per se idem quod primum, ex accidenti idem quod secundo loco, quemadmodum morbus est quaedam praeter naturam affectio, quae actionem laedit, accidit autem ut alia affectio, quae ipsa quoque praeter naturam est, morbum praecedat. Haec tamen non sui ratione laedit actionem, sed morbo intercedente, hanc autem affectionem non morbum, sed causam, quae morbum praecedit, appellabis, quum neque per se neque primum, sed ex accidenti et secundo loco laeditur actio. Atque ita non jam quicquid praeter naturam sit in corpore morbus statim erit appellandus, sed id denique quod primo actionem

Ed. Chart. VI. [263. 264.]
εὐθὺς ἔσται κλητέον, ἀλλὰ τὸ πρώτως βλάπτον τὴν ἐνέργειαν· τὸ δὲ τούτου προηγούμενον αἴτιον. κατὰ μὲν οὖν τὴν αἰτίαν τὰ μὲν δῆλα, τὰ δὲ ἄδηλα, καὶ τὰ μὲν δυνατὰ, τὰ δὲ ἀδύνατα· ὡς τὰ μὲν οἷά τε εἶναι γίνεσθαι ὑπὸ τοιαύτης αἰτίας, τὰ δὲ οὔ. καὶ τοῦτό γε κατὰ τὴν δύναμιν τῆς αἰτίας καὶ τὴν ἐπιτειδιότητα τοῦ γενησομένου πράγματος.

ιδ'.

[264] *Φύσις ἐξαρκέει πάντα πᾶσιν.*

Πάντες ὀλίγου δεῖν τὴν φύσιν ὡς τεχνικὴν ὑμνοῦσι καὶ οἱ ἀπὸ τοῦ περιπάτου καὶ οἱ κατὰ Ἱπποκράτην. οἱ δὲ περὶ τὸν Ἐρασίστρατον οὐκ ἀεὶ τοῦτο λέγουσιν, αὐτὸν μέντοι τὸν ἡγεμόνα θαυμάζουσιν ὡς θεὸν καὶ πάντα ἀληθεύειν νομίζουσι. εἰ δ' οὕτως ἔχει τὸ πρᾶγμα, πάμπολυ δήπου της ἀληθείας ἐσφάλθαι χρὴ νομίζειν τοὺς ἐκ τοῦ περιπάτου φιλοσόφους, οἷς μηδὲν ὧν Ἐρασίστρατος ὑπελάμβανεν ἀρέ-

laedit. Quod vero hunc antecedit, caufa nominanda eft. Caufae igitur ratione quaedam manifefta, quaedam abdita funt; quaedam fieri poffunt, quaedam non poffunt, ut quaedam a tali caufa fieri poffint, quaedam non poffint, id quod pro poteftate caufae et prout apta fit res, quae facienda fit, accipiendum eft.

XIV.

Natura omnia omnibus fufficit.

Omnes fere et peripatetici et qui Hippocratem auctorem habent, naturam ut artificem ornant laudibus. Erafiftrati vero ftudiofi non id perpetuo confitentur. Illum quidem principem admirantur, ut deum, et omnibus in rebus verum effe exiftimant. Quod fi ita fit, profecto multum a veritate aberraviffe philofophos peripateticos putandum eft, quibus nihil placet eorum quae Erafiftra-

Ed. Chart. VI. [264.]

σκει. ἀλλ᾽ εἴπερ οἱ περιπατητικοὶ καλῶς ἐφυσιολόγησαν, ὡς πᾶσίν ἐστι δῆλον, οὐδὲν ἂν εἴη ληρωδέστερον Ἐρασιστράτου. λέγει γὰρ οὐδὲν ὀρθῶς ἐγνωκέναι περὶ φύσεως τοὺς περιπατητικούς· ὅπερ οὕτω ψεῦδός ἐστιν ὡς εἴ τις ὁμιλήσειε τοῖς Ἀριστοτέλους καὶ Θεοφράστου γράμμασιν, οὗτος τῆς Ἱπποκράτους αὐτὰ δόξειε φυσιολογίας ὑπομνήματα συγκεῖσθαι. καὶ γὰρ τὸ θερμὸν καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν εἰς ἄλληλα δρῶντα καὶ πάσχοντα Ἱπποκράτης πρῶτος, δεύτερος δὲ Ἀριστοτέλης καλῶς εἶπεν. ἔτι δὲ τρέφεσθαι δι᾽ ὅλων αὐτῶν τὰ τρεφόμενα καὶ κεράννυσθαι δι᾽ ὅλων τὰ κεραννύμενα καὶ ἀλλοιοῦσθαι δι᾽ ὅλων τὰ ἀλλοιούμενα καὶ τὴν πέψιν ἀλλοίωσίν τινα εἶναι καὶ μεταβολὴν τοῦ τρέφοντος εἰς τὴν οἰκείαν τοῦ τρεφομένου ποιότητα καὶ τὰ περὶ τῆς αἱματώσεως καὶ θρέψεως καὶ αὐξήσεως καὶ ἄλλα πολλὰ δόγματα περί τε γενέσεως καὶ φθορᾶς τῶν ζώων καὶ ὑγείας καὶ νόσου Ἱπποκράτειά τε ἅμα ἐστὶ καὶ Ἀριστοτέλεια. ἐκ δὲ τοσούτων καὶ τοιούτων ἓν μόνον εὑρεθήσεται ταὐτὸν

tus cenſuit. Verum ſi peripatetici recte in naturae contemplatione ſunt verſati, ut perſpicuum omnibus eſt, nihil erit Eraſiſtrato magis ridiculum. Is enim ait peripateticos nihil de natura recte ſtatuiſſe. Quod ita falſum eſt ut ſi quis in Ariſtotelis ac Theophraſti libris ſit verſatus, is ceu commentarios phyſiologiae Hippocratis illos conſcriptos eſſe ſit arbitraturus. Etenim calida, frigida, humida et ſicca agere inter ſe et pati princeps Hippocrates, ſecundus Ariſtoteles recte affirmavit, nutriri quoque per ſe tota, quae nutriuntur et quae miſcentur, omnia per ſe tota miſceri, pari modo quae alterantur per ſe tota alterari; ſicut illud quoque, concoctionem alterationem quandam eſſe et mutationem ejus quod alit in propriam ejus, quod alitur, qualitatem, tum quae de gignendo ſanguine ac nutritione deque incremento habentur et item alia multa decreta ad ortum et interitum animantium et ad bonam valetudinem morbumque pertinentia ſunt Hippocratica ſimul et Ariſtotelica. Ex tot talibus-

Ed. Chart. VI. [264.]
Ἐρασιστράτῳ κἀκείνοις τοῖς ἀνδράσι, τὸ τινὸς ἕνεκα πάντα ποιεῖν. τὴν φύσιν καὶ μάτην οὐδέν. φησὶ μὲν γὰρ τοῦτο ἐνίοτε Ἐρασίστρατος, οὐ φυλάττει δέ. ἀλλὰ μυριάκις διαφθείρει. καὶ γὰρ κατὰ τὸν Ἐρασίστρατον ὁ σπλὴν μάτην ἐγένετο, μάτην δὲ τὸ ἐπίπλοον, μάτην δὲ ἄλλα μυρία. διὰ ταῦτα μὲν ἔξεστιν ἰδεῖν ὡς ἐκεῖνοι μὲν οὔτε ψευδεῖς οὔτε ἀπεράντους ἔγραψαν λόγους, τὰ δ' Ἐρασιστράτεια βιβλία παμπόλλους ἔχει τοὺς τοιούτους. γελοῖον δὲ καὶ ἄριστα κατεσκευασμένης τῆς νεὼς ἢ τῆς οἰκίας ἢ τῆς κλίνης, ἀγνώστου δὲ ὄντος τοῦ κατασκευάσαντος, νομίζειν ἄνευ τῆς τέχνης καὶ μάτην γεγονέναι τὰ τοιαῦτα· ἢ κατὰ τύχην διακρινόντων ἁπάντων καὶ τὴν μὲν σπανιάκις ἁμαρτάνειν τοῦ σκοποῦ, τὴν δὲ ἐπιτυγχάνειν ὀλιγάκις· ἀχρείαν δὲ καὶ μὴ τεχνικὴν ἡγεῖσθαι τὴν τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς αἰτίαν εἶναι, φυλάττοντα τὴν ὁμοιότητα τῆς κρίσεως ἐπὶ τῶν ὁρατῶν τεχνιτῶν πρὸς τοὺς μὴ ὁρωμένους. τοῦτ' οὖν εἴ τις αὐτὸς καθ' ἑαυτὸν βουληθείη βασανίζειν

que ſententiis una ſola reperitur, de qua Eraſiſtratus cum illis viris conſentiat, hoc eſt naturam alicujus rei cauſa facere omnia ac nihil fruſtra. Idque interdum quidem ait Eraſiſtratus, non tamen idem tuetur, ſed plus millies evertit, ſiquidem de Eraſiſtrati ſententia lien ſine cauſa factus eſt, ſic omentum, ſic alia ſexcenta. Quamobrem licet intueri ſermones ab illis mandatos literis neque falſos eſſe, neque parum concludentes, quum interim Eraſiſtrati libri talium pleniſſimi comperiantur. Ridiculum autem eſt, quum optime exaedificatam navim aut domum aut lecticam videas, licet artificem ignores, eam ſine arte et temere et fortuna factam exiſtimare, quum interim artem raro a fine ſibi propoſito aberrare, fortunam raro eundem conſequi, omnes ſtatuant. Sic etiam abſurdum eſt inutilem et non artificem putare cauſam fabricae corporis noſtri, ſi modo ſimilitudinem judicii in artificibus, qui cernuntur, cum iis qui non videntur ſervare velimus. Hoc autem ſi quis ipſe per ſe in animali velit expendere,

Ed. Chart. VI. [264. 265.]
ἐπὶ ζώου, μεγάλως μοι δοκεῖ καταγνώσεσθαι τῆς Ἀσκληπιάδου τε καὶ τῶν ἄλλων πολλῶν προπετείας. εἰ δὲ καὶ αἰτίαν μάθοι, δι' ἣν οὐδὲν μάτην γέγονε καὶ πάντα ἐν τῷ σώματι πρὸς τὸ χρήσιμον ὑπάρχει, πεισθῆναι γοῦν μοι δοκεῖ καὶ διὰ τοῦδε τὴν εἰς τὰ ζῶα πρόνοιάν τε καὶ τέχνην τῆς φύσεως. διὸ Ἱπποκράτης, ὡς ἂν πρῶτος ἐπιγνοὺς τὰ τῆς φύσεως ἔργα, θαυμάζει τε καὶ διὰ παντὸς ὑμνεῖ ταύτην, ὡς καὶ δικαίαν ὀνομάζειν καὶ μόνην ἐξαρκεῖν εἰς ἅπαντα τοῖς ζώοις καὶ αὐτὴν ἐξ αὐτῆς ἀδιδάκτως πράττουσαν ἅπαντα τὰ δέοντα. εἰ δ' ἐθέλει τις τῆς φύσεως πρόνοιάν τε καὶ σοφίαν γνῶναι ἀκριβῶς, τοῦτο μὲν εἰδέναι δυνήσεται, εἰ ἐπιβλέψειεν ἐν ταῖς ἀνατομαῖς καὶ σκέψαιτο, πότερον πλημμελῶς, ἢ δικαίως, οὐκ ἴσα τοῖς μέρεσιν ἅπασι διένειμεν, ἀλλὰ τοῖς μὲν μείζω, [265] τοῖς δ' ἐλάττω, εἰς ὅσον ἂν ἤρκει τὸ κατὰ τὴν ἀξίαν, ἀκριβῶς ἐν ἑκάστῳ μετρήσασα, τὸ μὲν μεῖζον ἀπένειμε μέρος, τὸ δ' ἔλαττον· ἑκάστῳ δὲ τηλικοῦτον, ἡλίκον ἦν δοθῆναι δικαιότατον. οὕτω δὲ καὶ τὸν ἰατρὸν Ἱπποκράτης τῆς φύσεως ὑπηρέτην ὀνομάζει. λέγω

is mihi Asclepiadis et aliorum multorum temeritatem videtur magnopere damnaturus. Si vero causam discat, cur nihil frustra factum sit et omnia in corpore ad usum vergant, vel ex eo naturae in animalibus et providentiam et artem credet. Quare Hippocrates, ut qui primus naturae opera norit, hanc admiratur ac perpetuo praedicat, ut et justam nominet et solam animalibus ad omnia sufficere dicat et ipsam ex se sine doctore quae opus sunt efficere. Si vero naturae providentiam ac sapientiam quispiam velit accurate cognoscere, id poterit percipere, si in dissectionibus spectet et consideret justene an secus suas portiones omnibus partibus distribuerit, sed aliis majores, aliis minores sit impertita: quantae nimirum satis erant, aestimata accurate cujusque dignitate, alii majorem, alii minorem portionem tribuit: unicuique vero tantam dedit, quantam tribui erat aequissimum. Sic Hippocrates vocat medicum naturae ministrum, eum inquam, qui re-

Ed. Chart. VI. [265.]
δὲ τὸν ὄντως ἰατρὸν, οὐ φαρμακοπώλην τινὰ ἐκ περιόδου. οὗτος γὰρ τοσοῦτον ἀποδεῖ τοῦ φύσεως ὑπηρέτης δικαίως ὀνομάζεσθαι, ὥστε μᾶλλον ἐχθρὸν καὶ πολέμιον τῆς φύσεως αὐτῆς καὶ τῶν καμνόντων πρέπειν καλεῖν αὐτόν. οὕτω μὲν γὰρ δεῖ ποιεῖν τὸν ἰατρὸν, ὡς καὶ φύσιν ὁρῶμεν ἀεὶ ποιοῦσαν. ἀναριθμήτους γὰρ ἐκείνη μηχανὰς ἐξευρίσκει, ἕνεκα τοῦ διασώζεσθαι τὰ σώματα, τὰ μὲν ἀμφιεννῦσα καὶ ὑποστέγουσα τῶν μορίων, ὡς μηδὲν ἔξωθεν πλεονάζειν· τὰ δὲ διατιτρῶσα καὶ ἀνευρύνουσα καὶ ὀχετοὺς ἐντιθεῖσα· τοὺς μὲν ὥσθ' ἕλκειν δι' αὐτῶν τὴν τροφὴν, τοὺς δὲ εἰς ἀνάψυξιν καὶ ἀναπνοὴν ὀχετεύουσά τε τὰ περιττώματα, δι' ἄλλων μὲν τὰ παχέα, δι' ἄλλων δὲ τὰ λεπτά. λάθοιμ' ἂν ἐνταῦθα μεταφέρων ἅπασαν τὴν περὶ χρείας μορίων πραγματείαν, εἰ τὰ τῆς φύσεως ἔργα πάνθ' ἑξῆς καταλέγοιμι. οὐ γοῦν θαυμαστὸν ὅτι φησὶ τὴν φύσιν παντάπασιν ἐξαρκεῖν. καὶ γὰρ αἱ φύσεις, ὡς αὐτός που γράφει, τῶν νόσων εἰσὶν ἰατροί. εἰ μὲν ἐπὶ σωτηρίᾳ τοῦ ζώου πάντα πράττει, εὔλογόν ἐστι καὶ τοῦτο, τὰς νόσους ἐκείνην πρώτην ἰᾶσθαι, ἢ

vera medicus sit, non pharmacopolam quendam de trivio. Hic enim tantum abest ut merito naturae minister appelletur, ut potius inimicus et adversarius naturae atque aegrotantium nuncupari jure debeat. Perinde enim par est efficere medicum ut naturam semper facere intuemur. Ipsa enim innumerabiles machinationes conservandorum corporum causa adinvenit, quum quasdam partes circumvestierit ac clauserit, ne quid exterius exuperet: quasdam perforarit et dilatarit canalesque induxerit, quibus modo alimentum, modo refrigerationem spiritumque traherent, simul etiam excrementa per alios crassa, per alios tenuia extruserit. Omnem profecto de usu partium scriptionem huc imprudens transferam, si omnia naturae opera deinceps recenseam. Haud igitur mirabile est, si ait, naturam omnino sufficere: *naturae* enim, ut ipse quodam in loco scribit, *sunt morborum medicae;* propterea quod si natura ad animantis salutem molitur omnia, consentaneum etiam est ab ipsa principe morbos curari, aut dum co-

Ed. Chart. VI. [265.]

πολλοὺς ἱδρῶτας χέασασαν, ἢ δι᾽ οὔρων ἢ διὰ γαστρὸς ἢ δι᾽ ἐμέτων κενώσασαν τοὺς λυποῦντας χυμούς. καὶ τοῦτο πολλάκις ὁρᾶται συμβαίνειν ἀπὸ τῆς δυνάμεως ἐνοικούσης τοῖς σώμασιν αὐτοῖς τοῖς διοικουμένοις ὑπ᾽ αὐτῆς, ἣν φύσιν εἴωθε καλεῖν Ἱπποκράτης. ταύτην τε φύσιν εἶναι ἀπαίδευτόν τε καὶ οὐ μαθοῦσαν, ἀλλὰ τὰ δέοντα ποιεῖν· ἐπειδὴ τὰς κινήσεις τὰς προαιρετικὰς ὑπὸ πάντων γίνεσθαι τῶν ζώων ἀδιδάκτως εἶδεν. καὶ ταῦτα μὲν γίνεσθαι ἐναργῶς ὁρῶμεν· ὅπως δὲ γίνεται, μεῖζον ἢ καθ᾽ ἡμᾶς καὶ πλέον τοῦ θαυμάζειν οὐδὲν ἴσμεν. ἀλλ᾽ ἡ φύσις περὶ τὸ ζῶον κατὰ πάντα χρόνον μηχανᾶται περιττὰ σοφίσματα. καὶ γὰρ περὶ τοῦ στόματος τῶν μητρῶν ὅπως ἀκριβῶς ἔσφιγκται καὶ κεκόλληται κατὰ τὸν τῆς κυήσεως χρόνον οὐδεὶς ἀγνοεῖ· ὡς οὐδὲ ὅπως ἐν δέοντι σχήματι τῷ τῆς μήτρας αὐχένι πελάζοι· καὶ ὅπως διεξέρχοιτο χωρὶς τοῦ πληγῆναί τι μέλος ἢ βλάπτειν, οὐ σμικρὰν ἐποιήσατο πρόνοιαν. τοῦ δὲ κυουμένου ζώου τὰς δυνάμεις ἐνυπαρχούσας ἤδη τοσοῦτον αὐξά-

piosum sudorem effundit, aut per urinam aut per alvum aut per vomitum humores noxios excernit. Id autem saepe fieri cernitur ab ea facultate, quae corporibus inest, quae ab ipsa gubernantur, quam Hippocrates naturam appellare consuevit. Hanc quidem et indoctam et non didicisse ait, sed tamen ea efficere quae oporteat, siquidem ipsa sine magistro novit motus voluntarios ab omnibus effici animantibus. Haec autem effici nos evidenter cernimus; quomodo autem fiant, hoc vero humanum ingenium superat: nec magis quicquam quam admirari possumus intelligere. Ac natura omni tempore in animali admirabilia commenta machinatur. Etenim neminem praeterit quo tempore praegnans foemina est quomodo os uteri constrictum accurate conglutinatumque sit: sicut nemo etiam ignorat, quantum providentiae adhibuerit, ut foetus ad collum uteri qua convenit figura perveniret, et quum ipsum pervaderet, nullam partem sauciaret aut laederet. Jam vero facultates, quae in foetu jam sunt, adeo

Ed. Chart. VI. [265. 266.]
νει, ὡς μὴ μόνον τρέφεσθαι, ἀλλὰ καὶ φρονεῖν καὶ διανοεῖσθαι καὶ πάντα ὀλίγου δεῖν διαγνῶναί τε καὶ ἐνεργεῖν. ὅπερ τεκμήριόν ἐστιν οὐ τῆς σοφίας μόνον αὐτῆς, ἀλλὰ καὶ τῆς δυνάμεως. ἀλλὰ τοῦτο οὐκ αὔταρκες. ὃ γὰρ ἁπάντων θαυμάτων μέγιστον ἐμηχανήσατο, τὸ διδάξαι τὸ γεννώμενον ἁπάντων τῶν μορίων τὰς ἐνεργείας, οὔσης αὐτῆς ἀδιδάκτου τε καὶ οὐ μαθούσης. οὐ γὰρ στόμα μόνον καὶ στόμαχον καὶ γαστέρα τροφῆς ὄργανα παρεσκεύασεν, ἀλλ' εὐθὺς ὅπως χρήσαιτο τούτοις, ἐπιστάμενον ἐγέννησε τὸ ζῶον, αὐτοδίδακτόν τινα σοφίας δύναμιν ἐνθεῖσα· καθ' ἣν ἕκαστον τῶν ζώων ἐπὶ τὴν ἐνέργειαν τρέπεται καὶ τὴν οἰκείαν τροφὴν ἀπαιτεῖ· καὶ τἄλλα ἐφεξῆς πάντα, περὶ ὧν ἑτέρου λόγου διέρχεσθαι.

ιε'.

[266] Ἐς δὲ ταύτην ἔξωθεν μὲν κατάπλασμα, κατάχρισμα, ἄλειμμα, γυμνότης καὶ σκέπη ὅλου καὶ μέρεος, θέρμη

adauget, ut non solum alatur, sed etiam sapiat, intelligat et omnia fere dignoscat atque agat, quod est naturae non modo sapientiae, sed etiam potestatis argumentum. Sed hoc non est satis. Nam quod omnium est maxime admirabile ipsa effecit, nimirum ipsa a nemine docta et quae non didicit, animans quod nascitur omnium partium actiones docuit, siquidem non modo os, stomachum et ventriculum alimenti instrumenta praeparavit, sed statim docuit animal, quomodo eis uteretur, facultatem quandam sapientiae ipsam a sese doctam animali ingenerans, cujus impulsu singula animalia ad actionem ducuntur et alimentum sibi accommodatum exigunt et caetera omnia deinceps faciunt, de quibus disserere est alterius disputationis.

XV.

Ad hanc vero extrinsecus quidem cataplasma, linimentum, inunctio, nuditas et tegumentum totius ac partis, calor

Ed. Chart. VI. [266.]
καὶ ψύξις κατὰ τὸν αὐτὸν λόγον· καὶ στύψις καὶ ἕλκωσις καὶ δηγμὸς καὶ λίπασμα.

Τῆς προγνώσεως οὐ σμικρᾶς μοίρας οὔσης τῆς ἰατρικῆς καὶ ὠφελιμωτάτης, δείκνυσι νῦν ὁ παλαιὸς κατὰ πόσους τρόπους ἁμαρτάνουσι κατ᾽ αὐτὴν οἱ ἰατροί. πλὴν γὰρ τοῦ πολλὰς εἶναι πρὸς τῆς φύσεως αἰτίας, δι᾽ ἃς πολλάκις ἡ πρόγνωσίς τε καὶ πρόῤῥησις ἐξαλλάττει, πολλὰ δὲ καὶ ἔστιν ἰδεῖν τὰ τῶν ἰατρευόντων πλημμελήματα καὶ τὰ τῶν καμνόντων ἁμαρτήματα ἐς φύσιν πάντα διοικοῦσαν, ὡς ἐπὶ τὸ πολὺ, καλῶς. εἰσὶ μέν τινες ἡγούμενοι σφᾶς αὐτοὺς μὴ εἶναι ἰατροὺς, εἰ μὴ ἕκαστος αὐτῶν εἰσελθὼν περὶ τὸν ἄῤῥωστον, εἶτα περιζωσάμενος ἢ καταπλάσειεν ἢ καταιονήσειεν ἢ κλύσειεν ἢ φλεβοτομήσειεν ἢ σικυάσειεν ἢ τρίψειεν ἤ τι τοιοῦτον ἕτερον ἐργάσαιτο· ὡς μηδὲν αὐτῷ πεπρᾶχθαι τεχνικὸν, εἰ τούτων τι παραλείπῃ. σημαίνει γὰρ νῦν Ἱπποκράτης ὅτι ὁποσάκις ἂν οὗτοι εἰσέλθωσι πρὸς τὸν νοσοῦντα, ταῦτα μὴ κατὰ καιρὸν ποιοῦντες, τοσαυτάκις

et frigus eadem ratione et adſtrictio et ulceratio, morſus et res pinguefaciens.

Quum praenotio non exigua ſit medicinae pars, maximeque utilis cenſeatur, docet hoc loco ſenex quot modis medici in praeſagiendi ratione delinquant. Praeter enim quam quod multae a natura cauſae afferuntur, quae faciunt ut praeſagium praedictioque ſaepe varientur, profecto multa etiam medicorum peccata et aegrorum errata in naturam, omnia plerumque recte gubernantem, licet intueri. Etenim quidam ſunt, qui ne ſe medicos quidem arbitrantur, niſi quisque ipſorum ad aegrotum ingreſſus ſe ſuccingat, deinde vel cataplasma imponat vel perſundat vel clyſterem indat vel venam incidat vel cucurbitulas admoveat vel fricet vel tale quidpiam faciat. Ac ſi quid horum ab ipſo praetermiſſum ſit, nihil ex arte factum videatur. Hippocrates autem nobis indicat, quoties hujusmodi homines ad aegrotum accedunt, haecque

Ed. Chart. VI. [268.]
ἁμαρτάνουσι. πῶς οὖν δύνανται προγινώσκειν ἢ προειπεῖν τι ἀληθὲς, τοσούτων ἐν τῷ μεταξὺ πλημμεληθέντων, καὶ τὴν φύσιν, ὡς εἰπεῖν, ἀμυνάντων; δεῖ γοῦν τὸν ἰατρεύειν βουλόμενον ποιεῖν τὰ δέοντα καὶ ἐὰν τὰ περισσὰ καὶ τὰ ἄκαιρα καὶ βλαβερὰ ἀφιέναι· δεύτερον δὲ καὶ ὁ νοσῶν εὐπειθὴς ἔστω τὰ πάντα καὶ μηδὲν ὑπ' ἀκολασίας ἁμαρτανέτω· καὶ τρίτον οἱ παρόντες αὐτῷ μηδὲν πλημμελείτωσαν, ὡς ἤτοι θυμὸν ἀγείρειν ἐφ' οἷς ἁμαρτάνουσιν, ἢ λύπην ἐφ' οἷς ἀκαίρως ἀγγέλλουσιν, ἢ βλάβην ἐφ' οἷς ἐλλιπῶς παρασκευάζουσιν. ἐὰν μὲν οὖν μήθ' ὁ ἰατρὸς ἁμάρτοι τι, μήθ' ὁ κάμνων, μήτε τῶν ὑπηρετουμένων μηδεὶς, ἀλλὰ μήτε τῶν ἔξωθέν τι πλημμεληθείη, ἀληθὴς ἔσται σοι πρόγνωσίς τε καὶ πρόῤῥησις καὶ τῇ φύσει ἐμποδὼν οὐ γενήσεται. γινομένου δέ τινος ἁμαρτήματος, ἐπισκεπτέον αὐτοῦ τὸ μέγεθος. μάλιστα δὲ τεχνικὸν ὑπάρχειν χρὴ περὶ δίαιταν. οὗτος γὰρ μόνος ἐξεταστικὸς καὶ διαγνωστικός ἐστι τῆς

non in tempore faciunt, toties errare. Quomodo igitur possunt aut praesagire, aut verum praedicere, quum tanta errata et quae naturae, ut ita dicam, repugnent, intercedant? Quamobrem qui vult medicinam facere, debet facere quae oportet, et supervacanea, importuna et noxia omittere. Deinde vero etiam aegrotus in rebus omnibus sit facilis ad parendum, neque quicquam per intemperantiam delinquat. Denique qui assident, nihil peccent, ut neque iracundiam aegro concitent, quum aliqua in re peccant, aut dolorem afferant, quum quid importune nunciant, aut damno afficiant, quum quid diminute praeparant. Si autem neque medicus neque aegrotus neque quisquam eorum, qui eidem assident, delinquat, neque quicquam errati committatur in iis, quae extrinsecus adveniunt, verum erit praesagium veraque praedictio et naturae nullum impedimentum afferetur. Quum autem erratum aliquod commissum sit, quantum id sit expendendum erit. Maxime autem in victus ratione instituenda artifi-

Ed. Chart. VI. [266.]
τῶν ἁμαρτανομένων δυνάμεως· καὶ μόνος δύναται γνῶναι τῆς βλάβης τὸ μέγεθος. ἴσμεν γὰρ ὅτι τὰ μὲν ἀκίνδυνα τελέως νοσήματα χρονίζειν εἴωθεν ἐπὶ τοῖς ἁμαρτήμασι· καὶ τὰ περιεστικὰ, οὐ μὴν ἄνευ κινδυνωδῶν συμπτωμάτων, ὀλέθρια γίνεται. ἀλλὰ καὶ τὰ τελέως ἀκίνδυνα, πολλῶν καὶ μεγάλων ἁμαρτημάτων ἐφεξῆς γινομένων, μεταπίπτει εἰς τὴν τῶν ὀλεθρίων φύσιν. καὶ οὐδὲν θαυμαστὸν, ὅταν καὶ τοῖς ὑγιαίνουσι τὰ μεγάλα τῶν ἁμαρτημάτων αἴτια τῶν νοσημάτων ὀλεθρίων γίνεται. δεῖ τοίνυν ἐπιμελῶς μὲν εἶναι θεραπευτικὸν καὶ προγνωστικὸν τὸν ἰατρὸν, ἀκριβῶς δὲ καὶ τῆς βλάβης μεγέθους διαγνωστικόν. οὕτω μὲν γὰρ εἴ τι ἔξωθεν ἐμπίπτοι ἢ ὁ κάμνων ἁμάρτοι ἢ καὶ παρόντες μὴ τὰ δέοντα ποιήσωσι, ταῦτα αὐτὸς κατορθώσει, εἰ δυνήσεται καὶ μεταθήσει τὴν πρόῤῥησιν. καὶ τὴν ἀρχὴν αὐτὸς οὐχ ἁμαρτανεῖ, οὔτε κατὰ τὴν τῶν καταπλασμάτων πρόσθεσιν οὔτε ἐν τοῖς καταχρίσμασιν ἢ ἀλείμμασιν ἢ ἐν τῷ γυμνῶσαι τὰ τοῦ σώματος μόρια, οὔτε ἐν τῷ θερμαίνειν

cem esse oportet. Hic enim solus errorum vim disquirit et pernoscit et solus noxae magnitudinem habere perspectam potest. Scimus enim morbos, qui prorsus periculo vacant, propter errata fieri diuturnos consuevisse. Qui vero incolumitatem pollicentur, non tamen sine periculosis symptomatibus, eos effici letales. Quin etiam ii, a quibus periculum omnino abest, multis magnisque erroribus deinceps commissis in letalium naturam incidunt. Ac nihil mirabile est, quum etiam in bene valentibus magna errata morborum mortiferorum causae sint. Oportet igitur medicum studiose dare operam, ut et praesagiat et curet et noxae magnitudinem accurate pernoscat. Ita enim si quid foris incidet aut aegrotus peccabit aut assistentes non faciunt quae oportebit, ipse illa corriget, si poterit, et praedictionem mutabit. Et initio ipse non errabit, neque cataplasmata superdando, neque liniendo, neque inungendo, neque in partibus corporis denudandis, neque in iisdem calefaciendis aut refrigerandis tempore

Ed. Chart. VI. [266. 267.]

ἢ τὴν ψύξιν ἐμποιεῖν ἀκαίρως, [267] οὔτε κατὰ τὰς στύψεις καὶ τὰς ἑλκώσεις καὶ δηγμοὺς καὶ τὰ λιπάσματα καὶ ὅσα αὐτὸς κατὰ τὴν ῥῆσιν μνημονεύει.

ιστ'.

Ἔνδοθεν δὲ τινά τε τῶν εἰρημένων καὶ ἐπὶ τούτοισιν αἰτίη ἄδηλος καὶ μέρει καὶ ὅλῳ, τινί τε καὶ οὔ τινι.

Ὥσπερ τὰ ἁμαρτήματα γίνεται ἔξωθεν κατὰ τὰ προειρημένα, οὕτω κᾂν ἔνδοθεν συμβαίνει πολλάκις παρὰ τὴν αἰτίαν τὴν μὴ σαφῆ καὶ ἐν ὅλῳ τῷ σώματι καὶ ἐν μέρει καὶ τοῖς καθ' ἕκαστον καὶ μή· ὡς καὶ ταῖς τοιαῖσδε κράσεσι καὶ μὴ τοιαῖσδε. ἐνίοτε μὲν γὰρ ὁ χυμὸς ἢ σαπεὶς ἢ πλείων ἢ χρὴ, ἢ ἄπεπτος ἢ καὶ πληθώρα αἰτίαν τοῦ νοσήματος παρέχει. ἐνίοτε δὲ ταὐτὸ τοῦτο ποιεῖ ἄμετρός τε καὶ ἄκαιρος κένωσις. ὡς καὶ τὰ καταλειφθέντα μετὰ τὴν κένωσιν, καθάπερ αὐτός φησιν, ἂν μὲν ῥυέντων ἐγκα-

minime opportuno, neque in conſtrictionibus neque ulcerationibus neque morſibus neque rebus pinguefacientibus adhibendis, neque in aliis rebus, quarum ipſe mentionem facit, adminiſtrandis.

XVI.

Intrinſecus vero et quaedam praedictorum et praeterea cauſa abdita et parti et alicui et non alicui.

Quemadmodum errata foris committuntur iis in rebus, quarum ante facta mentio eſt, ſic intus ſaepe accidit propter cauſam, quae manifeſta non eſt, idque et in toto corpore et in parte et in ſingulis et non item, ſicut in talibus et non talibus temperaturis. Interdum enim humor, qui computruit vel qui ſit quam par eſt copioſior et incoctus, aut etiam omnium humorum redundantia morbi cauſam affert, interdum idem facit immodica intempeſtivaque evacuatio, ſicut etiam ſolent efficere, quae poſt evacuationem relicta ſunt, ut ipſe ait, ſi ex effluen-

Ed. Chart. VI. [267.]
ταλείπη τι, καὶ τοῦτο μὲν ἢ ἐπὶ νοσοποιοῦντος χυμοῦ ἢ ἐπὶ τῆς νοσώδους διαθέσεως ἀκουστέον.

ιζ.

Ἀποκρίσιες κατὰ φύσιν κοιλίης, οὔρων, ἱδρῶτος, πτυάλου, μύξης, ὑστέρας, καθ' αἱμοῤῥοΐδα, θυμὸν, λέπρην, φῦμα, καρκίνωμα, ἐκ ῥινῶν, ἐκ πνεύμονος, ἐκ κοιλίας, ἐξ ἕδρης, ἐκ καυλοῦ, κατὰ φύσιν καὶ παρὰ φύσιν. αἱ διακρίσιες τούτων ἄλλοισι πρὸς ἄλλον λόγον, ἄλλοτε καὶ ἀλλοίως.

Ἀποδέδεικται τὰς φυσικὰς δυνάμεις ἐν ἑκάστῳ τῶν ὀργάνων τέτταρας ὑπαρχούσας. ἐπειδὴ γοῦν ἕκαστον τῶν ἐν τῷ ζώῳ μορίων εἰς ἑαυτὸ τὸν οἰκεῖον ἕλκει χυμὸν καὶ πρώτη σχεδὸν αὕτη τῶν φυσικῶν ἐστι δυνάμεων, ἐφεξῆς ἰστέον ὅτι οὐ πρότερον ἀποκρίνει τὴν ἑλχθεῖσαν τροφὴν, πρὶν ἂν εἰς ἐναντίον μεταπέσῃ διάθεσιν, ἢ αὐτὸ τὸ ὄργανον, ἢ καὶ περιεχομένων ἐν αὐτῷ τὰ πλεῖστα. ἐπειδὰν οὖν ἱκανῶς

tibus aliquid relinquitur, atque id vel in humore, qui morbum gignit, vel in affectione morbosa intelligendum est.

XVII.

Excretiones secundum naturam ventris, urinarum, sudoris, sputi, muci, uteri, per haemorrhoidas, thymion, lepram, tuberculum, cancrum, e naribus, ex pulmone, ex ventre, ex sede, ex cole, secundum naturam et praeter naturam. Horum discrimina aliis alia ratione, alibi et aliter.

Ostensum est in unoquoque instrumento quatuor esse naturales facultates. Quum autem unaquaeque pars animalis humorem, qui ei conveniens est, in se traxit, haecque ferme est naturalium facultatum prima, deinceps sciendum est, partem non prius id alimentum, quod attraxit, excernere, quam vel ipsum instrumentum vel pars maxima eorum, quae continentur, in contrariam affectionem transierit. Postquam igitur partes sint abunde expletae

Ed. Chart. VI. [267.]
ἐμπλησθῇ τῶν σιτίων τὰ μόρια, τηνικαῦτα ἤδη τὸ λοιπὸν ἀποτρίβεται, καθάπερ ἄχθος ἀλλότριον. οὕτω μὲν γὰρ ποιεῖ ἡ γαστήρ. οὕτω καὶ αἱ κύστεις, ὅταν ἕκαστον τῶν ἑλχθέντων ἢ τῷ πλήθει διατείνῃ ἢ τῇ ποιότητι δάκνῃ καὶ γένηται ἀνιαρόν. τὸν αὐτὸν δὲ τρόπον αἱ μῆτραι. διὸ ἔστιν ὅτε καὶ ἀμβλίσκουσι, ὡς διατεινόμεναι, τὸ λυποῦν ἀποθέσθαι σπεύδουσαι· ἢ τῇ ποιότητι δακνόμεναι τῶν ἐκχυθέντων εἰς αὐτὰς ὑγρῶν. ἔστι δ' ὅτε καὶ τίκτουσι καὶ οἱ τόκοι προσηκόντως γίνονται. ἴσμεν γὰρ τῆς ἀνίας αἴτιον εἶναι τριττὸν, ἢ ὄγκον περιττὸν, ἤ τι βάρος, ἢ δῆξιν. ὄγκον μὲν λέγω, ἐπειδὰν τὸ μόριον μηκέτι φέρῃ διατεινόμενον· βάρος δὲ, ὅταν ὑπὲρ τὴν ῥώμην αὐτοῦ ᾖ περιεχόμενον· δῆξιν δὲ, ὅταν τὰ πρότερον ἐν τοῖς ἄλλοις μέρεσι στεγόμενα ῥαγέντων αὐτῶν εἰς τὰ μόρια ἐκχυθῇ. ἐπὶ μὲν γὰρ τῆς γαστρὸς αἱ δήξεις ἐναργεῖς εἰσι, διὰ τὴν τῆς πλείστης αἰσθήσεως μετουσίαν· ὡς ἐπὶ τῶν ὑστερῶν τε καὶ τῆς κύστεως τῆς τὸ οὖρον ὑποδεχομένης. ἀνάγκη γοῦν τὸ μόριον ἕκαστον ἢ διὰ τὸ πλῆθος βαρυνόμενον, ἢ διὰ τὴν ποιότητα μετα-

cibis, tum quod reliquum est tanquam onus alienum abjiciant. Sic enim facit venter, sic vesicae, ubi quodvis eorum, quae attraxerunt, vel multitudine distendat vel qualitate mordeat molestumque reddatur. Eodemque modo uterus. Idcirco interdum abortus fit, quia distentus properat quod molestum est abjicere. Quod etiam fit quum humoris in se effusi qualitate mordetur. Interdum etiam foetus editur et, ut decet, in lucem profertur. Est enim laesionis triplex causa, aut nimia moles, aut aliquod pondus, aut morsus. Molem intelligo, quum uterus non fert, ut amplius distendatur; onus, quum id quod continetur supra ipsius vires sit; morsus, quum ea, quae aliis in partibus prius continebantur, illis disruptis, in uterum sint effusa. At in ventriculo morsus sunt evidentes propter plurimum ipsius sensum, sicut etiam in utero et vesica lotium excipiente. Quare necesse est, unamquamque partem, aut multitudine oppressam, aut propter qualitatem in

βάλλουσαν [268] ἐπὶ τὸ δακνῶδες καὶ τὸ δριμὺ, τῆς ἀποκρίσεως ἐφίεσθαι. ὅθεν καὶ κατὰ φύσιν καὶ παρὰ φύσιν αἱ ἀποκρίσεις γίνονται ὡς κοιλίας, ἱδρῶτος, πτυάλου, οὔρων, μύξης καὶ τῶν ἄλλων πολλῶν. ἀλλ' ὅταν ἅμα συνέλθοι τὴν μὲν ἑλκτικὴν δύναμιν ἐπισπᾶσθαι πολὺν χρόνον, ἀδυνατεῖν δὲ τὴν ἀλλοιωτικὴν ἅπαντα τὰ ἑλχθέντα κατεργάζεσθαι καὶ διὰ τοῦτο πολλὰ γενέσθαι τὰ περιττώματα, τὴν ἀποκριτικὴν δὲ ἐν τούτῳ τῷ καιρῷ χεῖρόν τε καὶ ἀτονώτερον ἑαυτῆς κινεῖσθαι, πλῆθος οὕτως ἀνάγκη τῶν περιττωμάτων ἐν ταῖς σαρξὶ συνίστασθαι. κἀν τούτῳ, κατὰ τὴν ἰδέαν καὶ ποσὸν τοῦ περιττώματος ἄλλοτε ἀλλοίαν γίνεσθαι τὴν σάρκα, ποτὲ μὲν οἰδηματώδη, ποτὲ δὲ φυσώδη, ποτὲ δὲ ὑδερώδη· ἐνίοτε δὲ καὶ παρὰ φύσιν γίνεται ἔκκρισις, ἤτοι, ὡς εἴρηται, διά τινα δυνάμεως βλάβην ἢ ἐρεθισμὸν ἄκαιρον ἢ πλημμελῆ κίνησιν, ἀφ' ἧς ἐπεγείρεται ἡ δύναμις, ἢ διὰ ἀναστόμωσιν ἢ ῥῆξιν ἢ διάβρωσιν ὀργάνου τινός· ὥσπερ ἡ τοῦ αἵματος ἔκκρισις, ἢ τῷ γένει δοκεῖ παρὰ φύσιν

mordacem acremque mutatam, desiderare expulsionem. Ex quo fit ut excretiones et secundum naturam et praeter naturam fiant, ut alvi, sudoris, sputi, lotii, muci et aliarum rerum multarum. Sed quum simul evenit ut facultas attrahendi humoris et facultas alterandi totum, quod attractum est, conficere non possit, ideoque multa gignantur excrementa, facultas autem expellens eo tempore deterius et imbecellius quam prius moveatur, necesse est ita magnam excrementorum vim in carnibus consistere. Atque interdum pro excrementi specie et multitudine alias aliam fieri carnem modo tumidam, modo flatus plenam, modo ut in hydropibus est Interdum vero etiam praeter naturam excretio fit, vel, ut dictum est, propter aliquam facultatis noxam vel irritationem importunam vel vitiosum motum, a quo facultas excitatur, aut propter ora venarum adaperta, aut propter instrumenti alicujus ruptionem aut erosionem. Quo in numero est sanguinis effusio, quae genere ipso praeter naturam esse

Ed. Chart. VI. [268.]
ὑπάρχειν, ὡς τὰ πολλά. ἔστι δὲ καὶ ὅτε κατὰ φύσιν γίνεται, ὡς ὅταν διὰ μήτρας αἱμοῤῥαγῶσι γυναῖκες. ἀλλὰ πᾶσαι μὲν ἄλλαι κενώσεις τοῦ αἵματος ὅλαι τῷ γένει παρὰ φύσιν εἰσίν· ἐκεῖναι δὲ ποσῷ μόνον. * * * * τὰ δ' ἐμούμενα ἐκκρίνεται ποτὲ μὲν ὡς πλείω τε καὶ βαρύνοντα τὴν κοιλίαν, ὡς ἔστιν ἐνίοτε τὸ πλῆθος τῆς τροφῆς, ἔστιν ὅτε δὲ ὡς ἀνιῶντά τε καὶ δάκνοντα. τοιούτου δὲ γένους ἐστὶ τὰ ὀξώδη, τὰ κνισώδη ἢ πικρὰ καὶ τὰ χολώδη καὶ τὰ φλεγματώδη, ἅπερ ἢ αὐτόθι γίνονται, ἢ συῤῥέουσιν εἰς αὐτὴν ἐξ ὅλου τοῦ ζώου τῆς ἕξεως· παρὰ φύσιν δὲ, εἰ μὴ 'δύναιτο τρέφειν πεφθέντα. διὸ ὁρῶμεν πολλάκις μὴ μόνον ὀξὺ φλέγμα καὶ ἁλυκὸν, ἀλλὰ καὶ γλυκὺ ἐν τῇ γαστρὶ συστὰν εἰς ἔμετον αὐτὴν ἐξορμᾷν. ἀλλὰ καὶ αὐτό γε τὸ αἷμα τὸ εἰς τὴν κοιλίαν ἐκχυθὲν οὕτως ἐμεῖν αὐτὴν ἀναγκάζει. περὶ δὲ τῆς ἀποκρίσεως τοῦ οὔρου, ὅτι φυσική ἐστιν, ὥσπερ καὶ ἡ τῆς γονῆς καὶ ἡ τῶν σκυβάλων κένωσις, οὐδεὶς, οἶμαι, ἀμφισβητεῖ. ἐνίοτε μὲν ὁρῶμεν τὸ

magna ex parte videtur. Interdum tamen ſecundum naturam fit, ut quum mulieres ſanguinem per uterum excernunt. At caeterae omnes ſanguinis evacuationes toto genere praeter naturam ſunt, illae vero ſola multitudine praeter naturam cenſentur. * Quae autem vomuntur, expelluntur alias, ut immodica et ventriculum praegravantia, ut eſt interdum alimenti copia, alias vero, ceu quae angant et mordeant. Quo in genere ſunt acida, nidoroſa aut amara, et item bilioſa, pituitoſa et ſeroſa excrementa, quae vel ibidem gignuntur, vel ex totius animantis habitu in ipſum confluunt. Praeter naturam vero, ſi quae concocta ſunt, nutrire non poſſint. Quocirca videmus ſaepe non ſolum acidam ſalſamque pituitam, ſed etiam dulcem in ventriculo collectam ad vomitum ipſum impellere. Sed et ſanguis ipſe in ventriculum effuſus eo pacto ipſum vomere cogit. Urinae autem excretionem, ſicut etiam ſeminis et ſtercoris, naturalem eſſe nemo, opinor, ambigit. Videmus tamen quandoque magnam lotii

Ed. Chart. VI. [268.]
πλῆθος τῶν οὔρων οὐκ ἐκκαθαιρούσης τὸ σῶμα καὶ κινούσης τὰ λυποῦντα τῆς φύσεως· ἀλλ' ὥσπερ συμβαίνει ἱδρῶτάς τε καὶ διαχωρήματα ποτὲ μὲν ὡς συμπτώματα τῆς κατὰ τὸ σῶμα περιουσίας τῶν μοχθηρῶν χυμῶν ἐκκρίνεσθαι, ποτὲ δὲ ἐκκαθαιρούσης αὐτὰ τῆς φύσεως, αὕτη γὰρ ἡ τῶν οὔρων διάκρισις, ἐὰν ἀναμνησθῇς ὅπως γίνεται, θαυμαστὴν ἐνδείξεταί σοι πρόνοιαν τῆς φύσεως εἰς τὰ ζῶα τῆς τε τῶν νεφρῶν κατασκευῆς ἕνεκα καὶ τῆς τῶν οὐρητήρων ἐκφύσεως, ἣν ἐκ τῆς κοιλίας τῶν νεφρῶν ἴσχουσιν. ὥστε εἰ μὴ τὸν τρόπον τοῦτον ἅπαντα κατεσκεύαστο, μοχθηρῶς ἂν ἢ οὐδ' ὅλως ἐγίνετο τὰ περὶ τῶν οὔρων διάκρισίν τε καὶ κένωσιν. καὶ γὰρ ἡ τῶν οὔρων διάγνωσις πάνυ ὠφέλιμός ἐστι· μάλιστα δὲ ἐν τοῖς νοσήμασι τοῖς ὀξέσιν· ὡς ἐν τοῖς προγνωστικοῖς εἴρηται ἡμῖν. Ἱπποκράτης μέντοι εἴωθε καὶ ὅταν περί τι τῶν ἀναπνευστικῶν ὀργάνων ᾖ διάθεσις, εἰς τὰ οὖρα βλέπειν· κατὰ φύσιν μὲν γὰρ ἐχόντων αὐτῶν, ἐκ μόνων ἀναπνευστικῶν ὁ κίνδυνος, εἰ δὲ καὶ ταῦτα μοχθηρὰ φανείη, κακῶς ἔχειν ἐνδείκνυται τότε καὶ τῆς

copiam excerni, quum natura nec corpus purgat, nec molesta amovet, sed sicut accidit, ut sudores et alvi dejectiones, ut symptomata redundantiae vitiosorum humorum, qui sint in corpore, excernantur, interdum vero a natura expurgentur. Si vero memoria repetas ut fiat urinae secretio, profecto ea res admirabilem tibi in regendis animalibus naturae providentiam indicabit, idque quum ob renum fabricationem, tum vero ob urinariorum vasorum originem, quam ex renum ventriculo ducunt. Ut nisi ad hunc modum facta essent omnia, aut perperam, aut ne omnino quidem urina secerneretur et vacuaretur. Etenim urinae dignotio valde utilis est, praecipue autem in morbis acutis, ut in libris praesagiorum dictum est nobis. Quamquam Hippocrates etiam consuevit, ubi aliquod instrumentum respirationis laesum sit, urinas intueri; quae si secundum naturam sint, in solis respirationis instrumentis periculum versatur; sin hae quoque pravae esse videantur, tunc instrumentum quoque nutritionis male

τροφῆς ὄργανον. καί τοι τῶν κατὰ γαστέρα πεπονθότων καὶ τῆς διαθέσεως αὐτῶν ἐκ τῶν διαχωρημάτων γνωριζομένης, ὅμως καὶ τῶν οὔρων μνημονεύει, ὡς λεπτῶν ὄντων· ἅπερ ἀπεψίαν σημαίνει τῶν ἐν ταῖς φλεψὶ χυμῶν. οὕτω δὲ καὶ ἐν τοῖς κατὰ τὴν γαστέρα καὶ θώρακα καὶ πνεύμονα [269] καὶ νεῦρα πάθεσι τὰ οὖρα ἐπισκοπεῖν δεῖ. αὐτὸς δὲ λέγει ἐφεξῆς περὶ τῶν ἱδρώτων, περὶ ὧν ἀμφισβητήσει τις ὡς οὐκ ὄντων κατὰ φύσιν. Διοκλῆς μὲν γὰρ ἐπεχείρησεν εἰς τοῦτο ἐπιμελῶς. ἀλλὰ τουτὶ τὸ δόγμα δοκεῖ μοι εἶναι πάνυ τραχὺ καὶ παρὰ τὴν ἐνέργειαν· εἰ καὶ ὅτι μάλιστα πιθανῶς κατασκευάζεται πρὸς αὐτοῦ. ἡμεῖς μὲν γὰρ ἴσμεν αὐτὸν τὸν ἱδρῶτα τὴν ὕλην αὐτὴν ἔχειν καὶ τρόπον γενέσεως τὸν αὐτὸν τοῖς οὔροις. καὶ γὰρ ἐκ τῆς πινομένης ὑγρότητος γίνεται ἀμφότερον, θερμαινομένης τε ἅμα κατὰ τὸ σῶμα καί τι χολώδους οὐσίας προσλαμβανούσης. ἀλλ' ὡς περὶ τῶν οὔρων καὶ πλείω τοῦ προσήκοντος ἔγραψαν οἱ ἰατροὶ, οὕτω περὶ τῶν ἱδρώτων ἢ τῶν περιέργων τινὰ μᾶλλον. ἐκκαθαίρειν μὲν γὰρ τὸ αἷμα διὰ παντὸς ἡ φύσις

affectum esse ostendunt. Jam vero quum venter male affectus sit, ipsiusque affectio ex dejectionibus dignoscatur, tamen etiam facit urinae mentionem, quae tenuis quum sit, cruditatem humorum venis contentorum significat. Quo etiam modo in ventriculi, thoracis, pulmonis nervorumque affectionibus urinae spectandae sunt. Ipse autem deinceps sudorem commemorat. De quo, utpote qui secundum naturam non sit, aliquis controversabitur. Diocles de hoc est studiose argumentatus. Sed hoc decretum mihi plane asperum et praeter evidentiam esse videtur, quum tamen ab ipso vel maxime accommodate ad persuadendum confirmetur. Nos autem perspectum habemus, sudorem ex eadem gigni materia, ex qua urina, et eodem modo exoriri. Utrique enim origo est ex humore epoto, qui in corpore calefit et aliquid biliosae materiae assumit. Verum ut medici plura quam par est de urinis, ita de sudoribus aut nihil aut certe potius non necessaria conscripserunt. Etenim natura semper dat operam

Ed. Chart. VI. [269.]
πειρᾶται, διακρίνουσά τε τὸ μοχθηρὸν ἐξ αὐτοῦ, κἀκ τῶν κυρίων μορίων ὠθοῦσα, ποτὲ μὲν εἰς τὴν γαστέρα τε καὶ τὰ ἔντερα, ποτὲ δὲ εἰς τὴν ἐκτὸς ἐπιφάνειαν. ἀλλ' ὅσα μὲν τῶν τοιούτων λεπτομερεστέρας οὐσίας ἐστὶ, διεξέρχεται τὸ δέρμα, τινὰ μὲν κατὰ τὴν ἄδηλον τῇ αἰσθήσει διαπνοὴν, ἔνια δὲ αἰσθητικῶς, καθάπερ οἱ ἱδρῶτες· ὅσα δὲ παχύτερα, διεξελθεῖν μὲν οὐ δύναται τὴν πυκνότητα τοῦ δέρματος, κενοῦνται δὲ ἤτοι ὑπὸ τῶν φαρμάκων ἢ καθάρσεων ἢ κλυστήρων ἢ ἐμέτων. ἐκκενοῦνται μὲν ἑτοιμότερον οἱ μὲν ἐν ταῖς πρώταις φλεψὶ χυμοὶ διὰ γαστρός· οἱ δὲ ἐν ταῖς μεθ' ἧπαρ δι' οὔρων· οἱ δὲ καθ' ὅλην τὴν ἕξιν δι' ἱδρώτων· ὥσπερ γε καὶ οἱ κατὰ τὴν κεφαλὴν ἤτοι δι' ὑπερώας ἢ διὰ ῥινῶν ἢ δι' ἀμφοτέρων· οἱ δὲ ἐν ταῖς τοῦ θώρακος εὐρυχωρίαις, διὰ φάρυγγος ἅμα καὶ βηχός· οἱ δὲ κατὰ τοὺς νεφροὺς ἢ κύστιν δι' οὔρων. περὶ δὲ τῶν πτυσμάτων εἰδέναι χρὴ τοῦτο, ὅτι τὰ μὲν αὐτῶν ἐστιν ἀφρώδη, τὰ δὲ πυῤῥὰ, τὰ δὲ ξανθὰ ἢ ὠχρὰ ἢ ἐρυθρὰ ἢ μέλανα. τούτων δὲ τὰ μὲν ἀφρώδη φλεγματικώτερον ἐνδείκνυται τὸ

ut fanguinem expurget, quodque vitiofum eft ab eo fecernat et a partibus principibus modo in ventrem et inteftina, modo in extimam fuperficiem detrudat. Sed ex iis quaecunque tenuioris fubftantiae funt, ea cutim egrediuntur, partim per eam perfpirationem, quae fenfum effugit, partim, ut fenfu percipiantur, ut fudores. Quae vero craffiora funt, ea pertranfire cutis denfitatem non poffunt, fed aut medicamentis aut purgationibus aut clyfteribus aut vomitibus evacuantur. Promptius autem per alvum evacuantur humores, qui in primis venis funt; qui vero infunt in iis, quae in jecore funt, per urinas, qui vero in toto corporis habitu, per fudorem; ficut qui in capite, aut per palatum aut per nares aut per utrumque; qui in amplis fpatiis thoracis, per guttur fimul cum tuffi; qui denique in renibus aut vefica funt, per urinam. De fputis autem hoc intelligendum eft, quaedam ipforum effe fpumea, quaedam flava, quaedam rufa, quaedam pallida, quaedam rubra, quaedam nigra. Ex iis

ῥεῦμα· τὰ δὲ ξανθὰ πικρόχολον ἄκρατον. ὅσα δὲ πυῤῥὰ, πικρόχολα μὲν καὶ ταῦτα, μεμίχθαι δὲ οὐκ ὀλίγον ὀῤῥῶδες περίττωμα τῇ χολῇ ξανθῇ δηλοῖ. οὕτω δὲ καὶ τὰ μέλανα μελαγχολικὸν ἐνδείκνυται τὸ ῥεῦμα, ὅσα δὲ τὴν χροιὰν μᾶλλόν πως ἐρυθρά ἐστι, πλεῖστον μὲν αἵματος, ὀλίγον δὲ τῆς πικρᾶς χολῆς μετέχειν τὸν χυμὸν σημαίνει· καὶ διὰ τοῦτο πάντων μέν ἐστιν ἐπιεικέσταιον πτυσμάτων, ὡς τὰ μέλανα πάντων ὀλεθριώτατα. πῶς δὲ χρὴ τὰ πτύσματα κατὰ τὰς ὀξείας νόσους σκοπεῖσθαι οὐκ ἔστιν ἀναγκαῖον εἰπεῖν κατὰ τὸ παρόν. οὐ γὰρ περὶ τούτων νῦν ὁ παλαιὸς διαλέγεται, ἀλλὰ ἐν τῷ περὶ διαίτης ἱκανῶς εἴρηται· καὶ ἡμεῖς ἤδη ἐξηγησάμεθα ἐν τοῖς τέτταρσι τὴν πραγματείαν αὐτὴν ὑπομνήμασι. διὸ πρὸς τὰ ἑξῆς μεταβήσομαι. προστίθησι γοῦν, μύξης, ὑστέρης, καθ' αἱμοῤῥοΐδα καὶ τὰ λοιπά· περὶ ὧν καθ' ἕκαστον λέγοντας οὐ χρὴ μηκῦναι τὸν λόγον. ἀρκεῖ δὲ τοσοῦτον περὶ αὐτῶν εἰπεῖν, καθ' ὅσον δύναιτο εἰδέναι τις τὰς κενώσεις γίνεσθαι, τὰς μὲν κατὰ φύσιν, τὰς δὲ

ſpumea pituitoſum fluxum indicant, flava bilioſum ſincerum; quaecunque autem ruſa ſunt, ea bilioſum quidem fluxum ſignificant, ſed non parum ſeroſi excrementi eſſe cum flava bile commixtum; ſic nigra melancholicum eſſe fluxum oſtendunt, quae vero magis rubra ſunt, plurimum ſanguinis, ſed parum amarae bilis habere humorem atteſtantur, quamobrem, quod hujusmodi eſt, omnium eſt ſputorum mitiſſimum, ſicut nigrum eſt omnium pernicioſiſſimum. Caeterum quomodo ſputa in acutis morbis expendenda ſint, non eſt neceſſe dicere in praeſentia; ſiquidem ſenex de eis nunc non diſſerit, ſed in libro de ratione victus abunde locutus eſt, nosque in quatuor in illum librum conſcriptis commentariis rem ipsam explicavimus. Quare ad ea, quae deinceps ſequuntur, noſtra ſe convertet oratio. Addit, *muci, uteri, per haemorrhoidas* etc. De quibus ſigillatim agendo, non eſt producenda longius oratio, ſatisque erit eatenus de iis loqui, quatenus poſſit quispiam intelligere, evacuationes fieri partim ſecundum naturam, alias praeter naturam, quod jam nobis ad oſtendendum propoſitum

Ed. Chart. VI. [269. 270.]
παρὰ φύσιν· ὅπερ δὴ ἡμῖν πρόκειται δεικνύναι· ὥσπερ καὶ περὶ μύξης ἰστέον ὅτι πολλάκις ὁ ἐγκέφαλος ταύτης ἐκκενουμένης ἐκκαθαίρεται. τὸ μὲν γὰρ τῶν ὀσμῶν αἰσθητήριον ἔνδον ἐγένετο τοῦ κρανίου ἐν ταῖς προσθίοις τοῦ ἐγκεφάλου κοιλίαις ἀτμῶδές τε πνεῦμα περιεχούσαις. ἔδει μὲν γὰρ στέγασμά τι περιβεβλῆσθαι τοιοῦτον, οἷον καὶ φρουρεῖν ἱκανὸν εἶναι καὶ μὴ κωλύειν τὴν δίοδον τῶν αἰσθητῶν. διὸ τουτὶ τὸ σκέπασμα ἀραιὸν ἐγένετο. ὅθεν πολλάκις γίνεται τῶν ἄνωθεν περιττωμάτων ἀθρόα κένωσις· ἃ δὴ βλέννας μὲν οἱ παλαιοὶ, μύξας δὲ νεώτεροι κατὰ τὸν Ἱπποκράτην ὀνομάζουσι. [270] Πρόδικος μέντοι τὸ πρὸς ἁπάντων ἀνθρώπων καλούμενον φλέγμα, οὗ τὸ χρῶμα λευκόν ἐστι, βλένναν ὀνομάζει· τὸ δὲ φλέγμα καλεῖ αὐτὸς τὸ συγκεκαυμένον καὶ οἷον ὑπερωπτημένον ἐν τοῖς χυμοῖς. τὸ δὲ ἐξ ἐγκεφάλου καταῤῥέον περίττωμα τάχα μὲν ἂν οὐδὲ φλέγμα τις ὀρθῶς, ἀλλὰ βλένναν τε καὶ κόρυζαν καὶ μύξαν καλοίη. τὸ δὲ κατὰ τὴν γαστέρα τε καὶ ἔντερα συνιστάμενον φλέγμα, ὅπως ἂν ἐκκενῷτο καὶ αὐτὸ, μάλιστά τε καὶ τάχιστα παρε-

eft; quemadmodum de muco illud fcire convenit, cerebrum faepe expurgari hoc evacuato. Inftrumentum enim olfactus intra calvariam exiftit, in anterioribus cerebri ventriculis, qui vaporofum etiam fpiritum continent. Oportebat enim operimentum quoddam tale ei circumjectum effe, quale et tueri ipfum poffet et tranfitum fenfibilium non impediret. Quocirca hoc operimentum rarum factum eft. Unde faepenumero a partibus fuperioribus confertim fit excrementorum evacuatio, quas blennas antiqui, mucos juniores ex Hippocratis fententia nuncupant. Prodicus tamen id quod ab omnibus phlegma vocatur, cujus albus eft color, mucum appellat: phlegma vero nominat ipfe id, quod in humoribus uftum et veluti fupra modum coctum eft. Excrementum autem, quod a cerebro defluit, fortaffe quispiam non rite pituitam, fed mucum et gravedinem nuncupabit. Quemadmodum autem pituita, quae in ventriculo inteftinisque confiftit, commodiffime celerrimeque vacuetur, naturae inventum in libris de ufu par-

Ed. Chart. VI. [270.]
σκευασμένον τῇ φύσει μηχάνημα, ἐν τοῖς περὶ χρείας εἴρηται μορίων. ὅσον μὲν ἐμφέρεται ταῖς φλεψὶ φλέγμα, χρήσιμον ὑπάρχον, οὐδεμιᾶς δεῖται κενώσεως· ἀλλὰ γινώσκειν χρὴ ὅτι τοῦ φλέγματος τὸ μὲν χρήσιμον καὶ κατὰ φύσιν ἐν τοῖς ζώοις, τὸ δ' ἄχρηστόν τε καὶ παρὰ φύσιν. ὅσον μὲν ἂν ᾖ γλυκὺ, χρηστὸν μέν ἐστι τοῦτο τῷ ζώῳ καὶ κατὰ φύσιν· ὅσον δὲ ὀξὺ καὶ ἁλυκὸν ἐγένετο, τὸ μὲν ὀξὺ τελέως ἀπεπτῆσθαι, τὸ δ' ἁλμυρὸν διασεσῆφθαι. ταῦτ' ἀρκεῖν μοι δοκεῖ περὶ μύξης ἐν τῷ νῦν. περὶ δὲ τῆς ὑστέρας ὀλίγα ῥηθήσεται· καὶ πρῶτον μὲν, πότερον ὑστέρον, ἢ μήτραν κλητέον ἐστὶ τὸ μόριον ἐκεῖνο, ὃ πρὸς τὴν κύησιν ἔδωκε φύσις ταῖς γυναιξὶν, οὐδὲν διαφέρει· ἔπειτα ἰστέον ὅτι τινά ἐστιν ἅπερ κενοῖ καὶ καθαίρει πάντα τὰ τοῦ ζώου σώματα, τινὰ δὲ τὶ μόριον. γίνονται μὲν ποτὲ τάδε διὰ τῶν καθαιρόντων ὅλον τὸ σωμα, ποτὲ δὲ διὰ τῶν μορίου τινος κενωτικῶν· οἷον ὅσα δι' ὑπερώας καὶ ῥινῶν ἀπάγει τῆς κεφαλῆς τὰ περιττά· καὶ ὅσα διὰ βηχὸς ἐκκαθαίρει τὰ κατὰ θώρακα καὶ πνεύμονα· καὶ ὅσα δι' οὔρων ἀπάγει τὸ

tium expofuimus. Quod vero pituitae in venis comportatur, quum ex ufu fit, nullius eft vacuationis indigens. Sed fcire oportet pituitae unum genus utile effe, ac fecundum naturam animantibus, aliud inutile et praeter naturam: quae dulcis eft, eam effe animanti utilem et ad ejus naturam accommodatam, quae acida falfaque facta eft, acidam perfecte incoctam effe, falfam computruiffe. Atque haec de muco fatis effe mihi videntur in praefentia. De utero pauca dicentur. Ac primum utrum vulvam, an uterum appellare oporteat eam partem, quam mulieribus ad pariendum dedit, foliciti effe non debemus. Deinde fciendum eft quaedam effe, quae tota animantium corpora expurgant, quaedam, quae partem aliquam. Haec autem interdum praeftant, quae totum corpus purgant, interdum quae unam partem vacuant, qualia funt quae per palatum et nares excrementa capitis educunt et quae per tuffim thoracis partes pulmonemque purgant et quae per urinam ferofum totius fanguinis excrementum edu-

Ed. Chart. VI. [270.]
τοῦ παντὸς αἵματος ὀῤῥῶδες περίττωμα. τοῦ γένους δ' ἐστὶ τῶν κενούντων ὅλον τὰ σῶμα, τὰ διὰ μήτρας καὶ ἡ διὰ τῶν αἱμοῤῥοΐδων κένωσις, ἥ τ' ἐπὶ τοῖς γυμνασίοις καὶ τρίψεσι καὶ πάσῃ κινήσει. ὅσον δὲ πρὸς τῆς μήτρας, αἴτιον ἐστὶν, ὅτι τῶν κατὰ τὸ σῶμα ἁπάντων μορίων πλείστας τε καὶ μεγίστας φλέβας ἔχουσιν αἱ μῆτραι, ὅθεν γινομένης ποτὲ τῆς τῶν καταμηνίων ἐπισχέσεως πολλὰ ἕπεσθαι εἴωθε συμπτώματα. ἐνίαις μὲν διασημαίνει τι ἄλγημα κατ' ἐκεῖνο τὸ μόριον μετὰ βάρους, ἐνίαις δὲ εἰς ἰσχίον τὸ ἄλγημα ἥκει, ἐνίαις δὲ χωλεύει τὸ σκέλος τὸ κατ' εὐθύ. ἐὰν δὲ πολλῷ χρόνῳ τὰ καταμήνια κρυφθῇ, τότε καὶ φλεγμοναὶ καὶ φυματώδεις ὄγκοι ἐγείρονται κατὰ τὰ πέρας τοῦ κενεῶνος, καὶ χωρὶς τούτων ἀλγήματα κατ' ὀσφὺν καὶ τράχηλον καὶ βρέγμα καὶ τὰς τῶν ὀφθαλμῶν βάσεις, ἔτι δὲ καὶ πυρετοὶ σφοδροί· ἔνιαι δὲ καὶ δυσουροῦσιν· ὧν οὐδὲν γίνεται ταῖς ἀμέμπτως καθαιρομέναις. ὡς μὲν οὖν πολλὰ ἕπεται συμπτώματα ταῖς ἐπισχέσεσι τῆς ἐμμήνου καθάρσεως, οὕτω καὶ ἀμέτροις κενώσεσιν ἐπιγίνεται τάδε· ἄχροιαι καὶ ποδῶν

cunt. De genere autem totum corpus purgantium funt quae per uterum et per haemorrhoidas evacuant et item evacuatio, quae fit exercitationibus, frictionibus et quovis motu. Quod ad uterum pertinet, caufa eft, quoniam ex omnibus corporis partibus uteri plurimas maximasque venas habent. Itaque facta interdum menfium fuppreffione, multa fymptomata confequi folent. Quasdam autem foeminas aliquis ejus partis dolor cum gravitate conjunctus conflictat, aliquibus in coxam dolor incidit, aliquibus crus illius partis claudicat. Si vero menftruae purgationes diu fupprimantur, tunc et inflammationes et tumentia tubercula in extrema ilium parte excitantur, praeterea dolores lumborum, colli, fincipitis et fedis oculorum et vehementes febres. Quibusdam lotium aegre it, quibusdam ne aegre quidem, quorum nihil accidit iis, quae integre purgatae funt. Ut igitur multa fymptomata comitantur menftruas purgationes retentas, fic immoderatas evacuationes fequuntur haec,

Ed. Chart. VI. [270. 271.]

οἴδημα καὶ ὅλον ὕποιδον τὸ σῶμα. ἀλλὰ καὶ αἱ τοῦτο παθοῦσαι γυναῖκες μοχθηρῶς πέττουσι τὰ σιτία καὶ φαύλως ὀρέγονται. εἰκότως γοῦν εἶπεν αὐτὸς ἐν τοῖς ἀφορισμοῖς, καταμηνίων γινομένων πλειόνων νοῦσοι ξυμβαίνουσι, καὶ μὴ γινομένων ἀπὸ τῆς ὑστέρας ξυμβαίνουσι νοῦσοι· ὡς πολλῶν ὄντων τῶν αἰτίων, ἐφ' οἷς πλείω τοῦ προσήκοντος ἢ ἐλάττω γίνεται καταμήνια. καὶ διὰ τοῦτο αἱ νόσοι πολυειδεῖς ἕπονται. ταὐτὸ δὲ τοῦτο συμβαίνειν φαίνεται ἐν ταῖς διὰ τῶν αἱμοῤῥοΐδων κενώσεσι· καὶ γὰρ πολλὰ ἕπεται συμπτώματα· ὡς ἐπὶ μὲν χρονίαις αἱμοῤῥοΐσιν ἐπισχεθείσαις ἢ διὰ κένωσιν ἄμετρον εἰς ψύξιν ἐσχάτην ἀγούσαις τὸν ἄνθρωπον πολλάκις ἤδη ἐθεασάμεθα συστάντας ὑδέρους. τοῦτο δὲ οὐ πάντες ἰατροὶ γινώσκουσι, καίτοι [271] σαφῶς Ἱπποκράτους καὶ τοῦτο καὶ ἄλλα πολλὰ διδάξαντος· ἀλλ' ὅσοι γνησίως ὡμίλησαν αὐτοῦ τοῦ γράμματος, οὗτοι μόνοι πῶς μὲν αἱμοῤῥοῒς γίγνεται μεμαθήκασι παρ' αὐτοῦ, πῶς δὲ καὶ πολλὰ πάθη γίνεται, ὡς δυσεντερία καὶ κίρσος, ὅτι τε οὐ διὰ παντὸς

coloris vacuitas, pedum tumor et totum corpus ſubtumidum. Quin etiam hoc malo affectis mulieribus et concoctio et appetitus ciborum vitiatur. Merito igitur ipſe in Aphorismis ſcriptum reliquit: *ſi menſtruae purgationes copioſiores ſint, morbi accidunt; ſi non fiant, et ex utero morbi exiſtunt.* Utpote multae cauſae ſint, quibus copioſiores quam par ſit, aut etiam pauciores excitentur menſtruae purgationes, atque ideo multiplices morbi exoriantur. Idem in evacuationibus, quae fiunt per haemorrhoidas, videtur contingere, ſiquidem multa inde mala conſequuntur, ſicut ex diuturnis haemorrhoidibus ſuppreſſis aut immodica evacuatione ad extremum frigus hominem ducentibus ſaepenumero jam conſpeximus hyderos conſiſtere. Hoc autem omnes medici norunt, quum tamen Hippocrates et hoc ipſum et alia multa perſpicue docuerit. Sed quicunque vere in illius ſunt ſcriptis verſati, ii ſoli quomodo haemorrhois fiat, ab ipſo didicerunt. Quomodo autem multi morbi inde oriantur, ut tormina

Ed. Chart. VI. [271.]
ἕκαστον τούτων ὅταν συστῇ κωλυτέον, ἀλλ' ὅτι ἐνίοτε συνεργητέον, ἢ τῆς φύσεως ἡσυχαζούσης αὐτῇ τὸ πᾶν διατρεπτέον, ὅτε τοῦτο συμφέρει, τοσοῦτον ἀποδέουσιν οἱ ταῦτα μαθόντες πρὸ τοῦ καιροῦ σπεύδειν ἰᾶσθαι, ὥστε αὐτοὶ μηχανῶνται μηδ' ὅλως ὄντα ποιῆσαι. καίτοι μελαγχολήσαντας ἔγωγε πολλοὺς οἶδα ἐπὶ τοιαύταις κενώσεσι κωλυθείσαις, ἄλλους δὲ τῇ πλευρίτιδι καὶ νεφρίτιδι ἑαλωκότας, ἄλλους δὲ αἵματος ἐμέσαντας καὶ ἄλλοις συμπτώμασιν ἀπολλυμένους. ὡς δὲ περὶ τὸ δέρμα καὶ τόπους τοῦ ὅλου σώματος λέπρα, ψώρα, λειχὴν, ἀκροχορδόνες, θύμοι, μυρμηκίαι, ἧλοι, πῶροι, οὕτω καὶ περὶ τὴν ἕδραν αἱμοῤῥοΐδες τυφλαὶ, ῥαγάδες, πρόπτωσις, κονδυλώματα, πυλίδες καὶ ἄλλα πολλὰ συμβαίνει, οὕτω δὲ καὶ φύματα, ὧν τὰ μὲν ἐστι πάνυ θερμὰ καὶ σφοδρῶς ἐξορμῶντα, τινὰ δὲ καὶ ψυχρὰ καὶ ξηρά· πάμπολλα δ' ἄλλα μεταξὺ τούτων· ἔνια μὲν ἀκριβῶς μέσα τῶν εἰρημένων, ἔνια δὲ ὀλίγον ἀφιστάμενα μεσότητος ἑκατέρωσε· καὶ τινὰ πλέον ὡσαύτως ἐφ' ἑκάτερα, καὶ τινὰ

inteſtinorum, ut varices, et quum haec ſint, non ſemper eſſe prohibenda, ſed interdum adjuvanda, vel natura quiescente, totum ei negotium committendum, quum ita expediat, tantum abeſt ut illi ſciant, ut ante tempus remedia adhibentes ea faciant, quae nullo modo facienda ſunt. Vidi etiam his evacuationibus cohibitis multos melancholicis humoribus fuiſſe correptos, alios dolore lateris renumque vexatos, alios quum ſanguinem evomuiſſent et aliis conflictati eſſent ſymptomatibus, diem ſuum obiiſſe. Quemadmodum autem in cute et totius corporis partibus lepra, ſcabies, impetigo, verrucae, thymi, formicae, clavi tophique, ſic in ano haemorrhoides caecae, ſiſſa, procidentia, condylomata, ſiſtulae aliaque multa contingunt, ſic etiam tubercula. Quorum quaedam admodum calida ſunt et cum vehementia quaedam prodeunt, quaedam frigida ſiccaque, permulta alia inter haec media exiſtunt, quaedam exacte media eorum, quae dicta ſunt, quaedam a medio utrinque parum diſtantia, alia plus eodem modo in

Ed. Chart. VI. [271.]

τῶν ἄκρων ἐγγὺς ἢ μεταξύ πως ἐξ ἴσου τῶν τε μέσων καὶ τῶν ἄκρων. καλοῦσι δὲ φύματα τοὺς παρὰ φύσιν ὄγκους, τοὺς ὡς ἐπὶ τὸ πλεῖστον, ἄνευ τῆς ἔξωθεν αἰτίας γινομένους. φαίνεται μὲν αὐτῶν ἡ γένεσις ἐν ἐπιγαστρίῳ τε εἶναι καὶ κατὰ θώρακα. ἔστι δ' αὐτῶν τὰ μὲν κορυφώδη καὶ ἀπόξεα, ἅπερ αὐτὸς γράφει κρείττονα τῶν πλατέων εἶναι. ἐπαινεῖ δὲ καὶ τὰ κατάῤῥοπα, διότι ἀναστομωθέντα, τὰς ἀποῤῥύσεις εὐπετεῖς ἔχει· ὥσπερ καὶ τὰ σκληρὰ τῶν μαλακῶν φαυλότερά ἐστι. καὶ μέντοι καὶ πάντων τῶν παρὰ φύσιν ὄγκων ἡ ποικιλία τῆς διαφορᾶς ἕπεται τῇ τῶν ἐπιῤῥεόντων φύσει. πνευματωδέστεροι μὲν γὰρ, ὅταν ἡ πνευματώδης οὐσία πλείων ἀφίκηται, γίνονται· φλεγμονωδέστεροι δὲ, ὅταν ἡ τοῦ αἵματος· ἐρυσιπελατώδεις δὲ, ὅταν ὁ τῆς ξανθῆς χολῆς χυμός· οἰδηματώδεις δὲ, ὅταν ὁ τοῦ φλέγματος· ὥσπερ γε καὶ σκιῤῥώδεις, ὅταν ἤτοι παχὺς ἢ καὶ γλίσχρος ἱκανῶς ὁ κατασκήψας εἰς τὸ μόριον ᾖ χυμός. οὕτως δὲ καὶ ἡ μέλαινα χολὴ χωρὶς τοῦ ζεῖν τοὺς καρκίνους ἐργάζεται. ἂν δὲ δριμυτέρα τύχῃ, μεθ' ἕλκους. παχὺς δ' ἐστὶν

utramque partem, quaedam summis vicina aut a mediis quodammodo et summis pari spatio distantia. Phymata autem appellant tumores praeter naturam, qui maxima ex parte sine externa causa oriuntur. Videntur autem in abdomine thoraceque nasci. Quaedam acuta sunt et fastigiata, quae ipse meliora esse latis scripsit. Commendat etiam ea quae deorsum vergunt, quia eis adapertis materia facile defluit; sicut etiam dura mollibus deteriora sunt. Quin etiam omnium tumorum, qui praeter naturam sunt, varietas existit e natura ejus quod influit; flatuosi enim magis sunt, ubi materia flatuosa copiosior accessit. Magis vero inflammationis participes, ubi sanguis, erysipelatis, ubi flavae bilis humor, oedematis, ubi pituita, sicut scirrhosi, ubi vel crassus vel valde lentus sit humor is, qui parti infixus est. Pari modo atra bilis sine fervore canoros efficit, eosque si acrior sit, cum ulcere. Crassus autem est is humor, qui cancros gignit. Quocirca e vasculis in circumjectam carnem non admodum excidit. Ac

Ed. Chart. VI. [271. 272.]
ὁ γεννῶν τοὺς καρκίνους χυμός. διὸ οὐ πάνυ ἐκπίπτει τῶν ἀγγείων εἰς τὴν πέριξ σάρκα. οὕτω μὲν οὖν καὶ οἱ καρκινώδεις ὄγκοι ἐν ἅπασι τοῖς μορίοις γίνονται. μάλιστα δὲ τοῖς τιτθοῖς τῶν γυναικῶν, ὅσαι μηκέτι καθαίρονται τὴν κατὰ φύσιν κάθαρσιν. ἔχουσι δὲ τὴν γένεσιν ἐκ τοῦ μελαγχολικοῦ περιττώματος, ὃ καὶ ἐργάζεται τὸν καλούμενον ἐλέφαντα. καὶ πολλάκις εἰς κίρσους κατασκήπτει· καί ποτε εἰς τὸ δέρμα πᾶν ὠθεῖται. καὶ τὸν μὲν καρκίνον ἀρχόμενον ἰασάμεθα· εἰς μέγεθος δὲ ἀξιόλογον ἀρθέντα ἄνευ χειρουργίας οὐδεὶς ἰάσατο. κατὰ τὸν αὐτὸν τρόπον καὶ τὴν δυσεντερίαν τὴν ὑπὸ τῆς ξανθῆς χολῆς ἰώμεθα πολλάκις. εἴ τις δ᾽ ἂν ὑπὸ τῆς μελαίνης γένοιτο χολῆς, ἀνίατός ἐστι πάντη. οὐδὲν γὰρ διαφέρει τοῦ καρκίνου τοῦ μεθ᾽ ἑλκώσεως. * * ἑτοιμοτάτη μὲν οὖν ἡ εἰς τὸ στόμα καὶ τὰς ῥῖνας φορά. παραγίνεται δὲ καὶ εἰς τοὺς ὀφθαλμοὺς, ἐνίοις δὲ καὶ εἰς ὦτα. τὴν δὲ εἰς τὸ στόμα φορὰν τῶν περιττωμάτων ὑποδέχεται στόμαχός τε καὶ ἡ τραχεῖα ἀρτηρία. δριμέος δὲ τοῦ ῥεύματος [272] ὄντος, οὐ μόνον τὴν φωνὴν

ſic quidem tumores cancri naturam imitantes in omnibus partibus, praeſertim vero in mammis mulierum, quae naturali purgatione non amplius expurgantur, oriri ſolent et ab excremento melancholico originem ducunt, quod etiam morbum, qui dicitur elephas, efficit. Saepe etiam ad varices decumbit et interdum ad cutem univerſam expellitur. Ac cancrum quidem incipientem curavimus, quum vero ad notabilem eſt perductus magnitudinem, nemo ſine chirurgia ſanavit. Simili quoque modo tormina inteſtinorum a flava bile exorta ſaepe ſuſtulimus. At ſi quae eſſent ab atra bile excitata, ea vero prorſus fuerunt inſanabilia, ſiquidem a cancro, cum ulceratione conjuncto, nihil differant. * *
Promptiſſime in os et nares comportantur. Decidunt vero et in oculos ac nonnullis in aures. Decurſum porro excrementi in os tum gula excipit, tum aſpera arteria. Si vero acris ſit fluxio, non ſolum vocem laedit, ſed

Ed. Chart. VI. [272.]

βλάπτει, ἀλλὰ καὶ χαλεπωτάτη τις ἀνάβρωσις προσέρχεται, ὡς καὶ πνεύμονα πολλάκις ἑλκοῦσθαι· διὰ τοῦτο εἴπομεν, ὅτι ἐμέτοις μὲν καὶ διαχωρήμασιν ἡ γαστὴρ ἐκκενοῦται, τὰ δ' ἔντερα μόνοις τοῖς κάτω διερχομένοις, ὥσπερ γε τοῦ ἥπατος τὰ σιμά. νεφροὶ δὲ καὶ κύστις καὶ τοῦ ἥπατος τὰ κυρτὰ πολλῆς μὲν ἐμπεπλησμένα κακοχυμίας, διὰ τῶν ὑπηλάτων τε καὶ καθαιρετικῶν ἐκκαθαίρεται φαρμάκων, μετρίας δὲ, διὰ τῶν οὐρητήρων πόρων, ἐγκέφαλος δὲ, ὡς ἔφην, δὲ ὑπερώας καὶ ῥινῶν καὶ ὤτων. θώραξ δὲ καὶ πνεύμων διὰ τραχείας ἀρτηρίας καὶ φάρυγγος. δῆλον μὲν οὖν ἐστι τάς γε τῆς ὑπερώας καὶ ῥινὸς κενώσεις κατὰ φύσιν μὲν εἶναι, ὡς διὰ τῶν μορίων τούτων μεταχετεύεσθαι τὸ περίττωμα τοῦ ἐγκεφάλου, παρὰ φύσιν δὲ διὰ τῶν ὤτων. τοῖς μέντοι βρέφεσι καὶ διὰ τούτων ὁ ἐγκέφαλος ἐκκαθαίρεται. ἐὰν γὰρ τὰ αὐτόθι συνεστῶτα περιττώματα σήπηται καὶ δριμύτερα καὶ θερμότερα γένοιτο, φλεγμονὰς καὶ ἐρυσιπέλατα καὶ ἕρπητας καὶ ἄνθρακας καὶ πυρετοὺς καὶ μυρία ἄλλα ἀποτίκτει νοσήματα. πρόνοιαν δ' εἶχεν ἡ φύσις μὴ ἀπὸ κεφαλῆς

etiam graviſſima quaedam accedit eroſio, ut etiam pulmonem ſaepe exulceret. Quamobrem dictum eſt vomitibus et dejectionibus ventriculum evacuari, inteſtina iis ſolis, quae per infernas partes dejiciuntur, ſicut etiam cava jecoris, renes et veſica et gibba jecoris, ſi multo vitioſoque ſucco ſint referta, medicamentis per infernas partes dejicientibus et purgantibus expurgantur, ſi modico, per urinae meatus. Cerebrum vero, ut dixi, per palatum, nares et aures; thorax et pulmo per aſperam arteriam et fauces. Perſpicuum autem eſt et palati et narium evacuationes eſſe naturales, ut per has partes cerebri excrementa derivando expurgentur. Per aures vero praeter naturam: in infantibus tamen etiam per aures cerebrum purgatur, propterea quod ſi excrementa, quae illic conſiſtunt, putreſcant acrioraque et calidiora reddantur, inflammationes, ignem ſacrum, ulcera ſerpentia, carbones, febres aliaque ſexcenta genera morborum parient. Natura autem providit ne quid a capite in pulmonem deſlueret, ſiquidem

Ed. Chart. VI. [272.]

εἰς τὸν πνεύμονα γενέσθαι κατάῤῥους· οἵπερ εἶναι κακοήθεις εἰώθασιν, ὅταν λεπτὰ καὶ βρωτικὰ ταῖς δυνάμεσιν ᾖ τὰ καταῤῥέοντα. ταῦτα οὖν οὔτε μένειν ἐν τῷ πνεύμονι προσήκει μέχρι περ ἂν πεφθέντα παχυνθῇ, καθάπερ τἄλλα ῥεύματα, λεπτὰ μὲν, οὐκ ἔχοντα δὲ τὸ διαβρωτικόν τε καὶ δύσπεπτον, οὔτε εὐθέως ἐκκρίνεσθαι. μένοντα γὰρ ἔνδον οὐ πέττεται ῥᾳδίως, ἐκκρινόμενα δὲ βῆχας ἐργάζεται συντόνους. διὸ βλάβη ἕπεται καὶ μένουσι κατὰ τὸν πνεύμονα τοῖς τοιούτοις ὑγροῖς καὶ κενουμένοις. καλῶς οὖν ἡ φύσις προυμηθήσατο διττοὺς ποιοῦσα πόρους, ἵνα μὴ τοιοῦτόν τι συμβαίνῃ· καθάπερ τἄλλα πολλὰ ἐκ τῆς κοιλίας τε καὶ τῆς ἕδρας καὶ τοῦ καυλοῦ ἐκκρίνεται· ὅπερ ἀκουστέον ἐστὶ καὶ κατὰ φύσιν καὶ παρὰ φύσιν, ὡς ἐπὶ τῶν ἄλλων τῶν ἤδη εἰρημένων.

ιη'.

Μία φύσις ἐστὶ πάντα ταῦτα καὶ οὐ μία. πολλαὶ φύσιές εἰσι πάντα ταῦτα καὶ οὐ μία.

defluxiones malignae esse solent, quum ea, quae defluunt, tenuia sunt facultatibusque corrodentibus praedita. Haec autem non expedit tam diu in pulmone contineri, quoad concocta crassa reddantur, ut caeteras defluxiones, tenues illas quidem, sed non corrodentes et difficiles ad concoquendum. Neque statim expelli, propterea quod intus morantes non facile concoquuntur, sique excernantur, tusses vehementes concitant. Quare sive in pulmone permaneant hi humores, sive evacuentur, noxa sequitur. Itaque natura recte animantibus consuluit, quum duos meatus fecit, ne quid tale accideret. Sicut etiam alia multa ex alvo, ex sedo et ex cole educuntur. Quod et secundum naturam et praeter naturam fieri, sicut etiam de caeteris quae jam dicta sunt intelligendum est.

XVIII.

Una natura sunt haec omnia et non una; multae naturae sunt haec omnia et non una.

Οὐ λέγει φύσιν τὴν τῶν τεσσάρων στοιχείων κρᾶσιν, ὑγροῦ καὶ ξηροῦ καὶ θερμοῦ καὶ ψυχροῦ· αὕτη γάρ ἐστι μία πάντων τῶν ὄντων, ἀλλὰ καὶ οὐ μία, ἐπειδὴ τὰ καθ' ἕκαστον ταῖς κράσεσι διαφέρει, ἀλλὰ τὴν τῶν κενουμένων ὕλην. ἓν γάρ ἐστι τὸ τῶν περιττωμάτων γένος. καὶ οὕτω πάντα μία φύσις ἐστὶν, οὐ μὴν ἀλλὰ μία τῷ εἴδει, ἀλλὰ τῶν ἑτέρων εἰδῶν.

ιθ'.

Φαρμακίη ἄνω καὶ κάτω, καὶ οὔτε ἄνω οὔτε κάτω.

Σύνηθες αὐτῷ φαρμακεύειν οὐκ ἐπὶ πάσης τῶν φαρμάκων προσφορᾶς λέγειν, ἀλλ' ἐπὶ τῆς τῶν καθαιρόντων μόνοις. οὕτω μὲν γὰρ ἐν τοῖς ἀφορισμοῖς εἶπε, πέπονα φαρμακεύειν, καὶ τὸ ἐν τοῖς ὀξέσι πάθεσιν ὀλιγάκις καὶ ἐν [273] ἀρχῇσι τῇσι φαρμακείῃσι χρῆσθαι. καθόλου δὲ ὡμολόγηται τοῦτο πᾶσιν, ὅτι κἂν ἐπὶ βραχὺ τῆς λέξεως αὐ-

Non vocat naturam quatuor elementorum, humidi, ficci, calidi et frigidi temperamentum, fiquidem haec eft una omnium eorum, quae in rerum natura funt, fed et non una, quia temperamenta rerum fingularum differunt, fed vocat materiam eorum, quae evacuantur. Unum eft enim genus excrementorum. Atque ita haec omnia funt una natura. Non tamen una fpecie, fed fpecierum diverfarum.

XIX.

Purgans medicamentum furfum et deorfum, et neque furfum neque deorfum.

Eft hoc in more pofitum Hippocratis ut verbum φαρμακεύειν non ufurpet ubi quaevis medicamenta adhibet, fed folum ubi purgantia. Sic in Aphorismis dixit: *concocta φαρμακεύειν, et in acutis morbis raro et in principiis uti pharmaciis.* Omnino autem id fatentur omnes, qui vel mediocriter in ejus funt dictione verfati.

Ed. Chart. VI. [273.]
τοῦ συνιᾶσιν. πῶς δὲ καὶ ἄνω καὶ κάτω χρὴ φαρμακεύειν ἐδίδαξεν αὐτὸς εἰπὼν, φαρμακεύειν θέρεος μὲν τὰς ἄνω μᾶλλον, χειμῶνος δὲ τὰς κάτω κοιλίας. καὶ πάλιν τοὺς ἰσχνούς φησι καὶ εὐεμέας ἄνω φαρμακεύειν, ὑποστελλομένους χειμῶνα· τοὺς δὲ δυσεμέας καὶ μέσως εὐσάρκους κάτω, ὑποστελλομένους θέρος. καὶ προσθείς· τοὺς δὲ φθινώδεις, ὑποστελλομένους τὰς ἄνω, τοὺς δὲ μελαγχολικοὺς ἁδρότερον τὰς κάτω. μετ' ὀλίγον δέ· ὁκόσοισι κοιλίαι λειεντεριώδεις, χειμῶνος φαρμακεύειν ἄνω κακόν. καὶ πάλιν, ἀπυρέτῳ ἐόντι ἀποσιτίη καὶ καρδιωγμὸς καὶ σκοτόδινος καὶ τὸ στόμα ἐκπικρούμενον, ἄνω φαρμακίης δεῖσθαι σημαίνει. προστίθησι δὲ καὶ τὸν ἄλλον ἀφορισμὸν, ὡς παράγγελμα ἐπὶ πάσας ἐκτεινόμενον τὰς ὀδύνας, οὕτως· τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα, ὁκόσα καθάρσιος δέονται ἄνω φαρμακείας σημαίνει δεῖσθαι· ὁκόσα δὲ κάτω, κάτω. κατὰ δὲ τὴν αὐτὴν ἔννοιαν πολλὰ γεγραμμένα ἐστὶν εἰδέναι καὶ κατὰ τοὺς ἀφορισμοὺς καὶ τἄλλα αὐτοῦ συγγράμματα· καθ' ἃ διορισμοὺς τῆς

Quomodo autem ſurſum et deorſum uti pharmaco oporteat ipſe docuit, quum ait: *purgare oportet aeſtate ſuperiores potius, hieme inferiores ventres.* et item: *graciles et facile vomentes ſuperius purgare, caventes hiemem; vomentes vero difficulter et modice bene habitos, inferius, caventes aeſtatem.* Et quum addit: *tabidos vero, caventes purgationes per ſuperiora; melancholicos uberius, per inferiora.* Et paulo poſt: *quorum alvi laevitate inteſtinorum laborant, hieme per ſuperiora purgare, malum.* Itemque: *ſi quis febrem non habens cibum faſtidiat et cordis morſum tenebricoſamque vertiginem patiatur et os amarum ſentiat, pharmacia per ſuperiora indigere ſignificat.* Adjungit poſtremo alium aphorismum, tanquam praeceptum, quod ad omnes dolores pertineat, his fere verbis: *dolores ſupra ſeptum tranſverſum, qui purgatione indigeant, per ſuperiora opus eſſe pharmacia indicant; qui vero infra ſunt, per inferiora.* In hanc ſententiam multa et in aphorismis et in aliis ipſius libris ſcripta eſſe licet intueri; quibus aperte diſtinguit, quando per ſu-

Ed. Chart. VI. [273.]
ἄνω τε καὶ τῆς κάτω φαρμακείας παραδίδωσι σαφῶς. *
* χρὴ τοίνυν ἐν ἅπαντι πράγματι τεχνίτην γενέσθαι πρῶτον, εἶθ' οὕτως ἐπιχειρεῖν τοῖς ἔργοις. τὸ τεχνίτην δὲ γενέσθαι ἐστὶ τὸ γνῶναι τῆς ὑποβεβλημένης τῇ τέχνῃ συμπάσης ὕλης. πρῶτον μὲν καὶ μάλιστα τὰς ἁπλᾶς δυνάμεις, εἶτ' ἐφεξῆς τὰς μίξεις αὐτῶν ὁπόσαι τέ τινές εἰσι καὶ ὁποῖαι. ἔστι γὰρ ἡ αὐτὴ μέθοδος καὶ περὶ φαρμάκων συνθέσεώς τε καὶ χρήσεως. διττῆς δὲ ὕλης οὔσης τοῖς ἰατροῖς ὑποκειμένης, ἑτέρας μὲν ᾗ γίνεται τὸ τῆς ἰατρικῆς τέχνης τέλος, τοῦτ' ἔστιν ἡ ὑγεία, ὅπερ ἐστὶν ἀνθρώπινον σῶμα, δευτέρας δὲ τῆς τῶν βοηθημάτων, δι' ὧν γίνεται τὸ τέλος, ἰστέον ὅτι ἡ περὶ τῶν φαρμάκων πραγματεία τῆς δευτέρας ὕλης ἐστίν. ἑτέρα δὲ τῆς πρώτης. * *
ἔνιοι μὲν γὰρ ἐπὶ ξανθῇ χολῇ, τινὲς δὲ ἐπὶ τῇ μελαίνῃ, τινὲς δὲ ἐπὶ τῷ φλέγματι συνίστανται. τοσαῦτα γάρ ἐστι σύμπαντα γένη τῶν ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν. καὶ ἅπασα ποικιλία τῶν ἄλλων πυρετῶν ἐκ τῆς

perna et quando per inferna fit pharmacia utendum.
* * In omni igitur re primum esse artificem oportet, tum opus aggrediendum est. Artificem autem esse in eo positum est ut primum et maxime totius materiae, quae arti subjecta sint, simplices facultates cognoscas, mox vero ipsarum mixtiones, quot qualesque sint. Est enim eadem ratio atque doctrina de medicamentis componendis deque ipsorum usu. Quum autem duplex materia sit medicis subjecta, altera, in qua medicae artis finis, hoc est bona valetudo, efficitur, idque est humanum corpus, altera est auxiliorum, per quae finis efficitur; sciendum est medicamentorum tractationem ad secundam materiam pertinere, alteram vero esse prioris.
* * Quaedam enim ex flava bile, quaedam ex atra, quaedam ex pituita existunt, tot enim sunt omnia febrium, quae ex humoribus putrescentibus accenduntur, genera; omnis aliarum febrium varietas ex

Ed. Chart. VI. [273.]
τούτων γίνεται μίξεως. καί τοι οἱ ἐφήμεροί τε καὶ οἱ ἑκτικοὶ καλούμενοι πυρετοὶ ἕτερα δύο γένη εἰσὶ ἀποκεχωρισμένα τῶν ὀξέων πυρετῶν. ἀλλὰ καὶ ὁ ὀξὺς πυρετὸς ἤτοι σηπομένου τῶν εἰρημένων τινὸς χυμῶν, ἢ μορίου φλεγμαίνοντος γίνεται. ἅπαντα δὲ τὰ τοιαῦτα. * *
ὅτε γὰρ ἐν πρώτῃ τῶν ἡμερῶν. * *
ψιλὸς μὲν οὖν καὶ μόνος ἕκαστος τῶν εἰρημένων χυμῶν ἀκριβὲς ἕκαστον ἐργάζεται τῶν εἰρημένων παθῶν. ἀναθολωθεὶς δὲ τῷ αἵματι, κἄπειτα κατασκήψας εἴς τι μόριον σκιῤῥώδεις ἢ οἰδηματώδεις ἢ ἐρυσιπελατώδεις ἐργάζεται φλεγμονάς. καὶ σκιῤῥώδεις μὲν ὁ μελαγχολικὸς, ἐρυσιπελατώδεις δὲ ὁ πικρόχολος, οἰδηματώδεις δὲ ὁ φλεγματικός· ὥσπερ ὅταν τὸ αἷμα αὐτὸ κατὰ φύσιν σφηνωθὲν ἐν τῷ ῥευματισθέντι χωρίῳ διασαπῇ, φλεγμονὴ συνίσταται· *
* ὡς καὶ πολλὰ εὑρίσκεσθαι, ἐφ' ὧν οὐ χρὴ μήτε ἄνω μήτε κάτω φαρμακεύειν. αὐτίκα μὲν οὖν οὔτε ἐν
* οὔτε ἐν τῇ ἡλικίᾳ, * οὔτ'

harum mixtione exiftit. Quae autem ephemerae hecticaeque vocantur, funt alia duo genera febrium, ab acutis diftincta. Sed et acuta febris oritur aut putrefcente aliquo ex praedictis humoribus, aut particula inflammata. Omnia autem, quae hujusmodi funt. * *
Quum enim primo die. * * Simplex et folus quisque humor ex iis, qui dicti funt, quemlibet eorum quos commemoravimus morbum exquifitum gignit; confufus vero cum fanguine, tum in partem aliquam procumbens aut fcirrhi aut oedematis aut eryfipelatis naturam referentem inflammationem. Ac fcirrhi quidem is, qui atrae bili mifcetur, eryfipelatis, qui amarae, oedematis, qui pituitae, ficut quum fanguis ipfe impactus in loco fluxioni obnoxio computruit, inflammatio exoritur.
* * * Sicut multa comperiuntur, in quibus neque per infernas, neque per fupernas partes pharmaco utendum eft. Jam vero neque in
* neque in aetate *

Ed. Chart. VI. [273. 274.]
ἐν τῷ θερμῷ χωρίῳ, οὔτ' ἐν τῇ ἕξει. *
οὔτ' ἐν * *

κ'.

'[274] Ἐν τροφῇ φαρμακίη ἄριστον. ἐν τροφῇ φαρμακίη φλαῦρον. φλαῦρον καὶ ἄριστον πρός τι.

Πολλὰ μικτὴν ἔχουσι τὴν φύσιν ἐξ ἐδέσματός τε καὶ φαρμάκου. τοιούτου δὲ τοῦ γένους εἶναι λέγομεν ὅσα σύνθετον ἔχει τὴν φύσιν ἐξ ἐναντίας δυνάμεως. οὕτω δὲ καὶ ἐν τοῖς ὑφ' ἡμῶν σκευαζομένοις ἐξ ἐναντίων οὐσιῶν τε καὶ δυνάμεων εὑρίσκεται. καθάπερ εἰ κ' αὐτὸς ἐμβάλῃς τῷ χυλῷ τῆς πτισάνης ὀλίγον τι τοῦ τῆς σκαμμωνίας ὀποῦ. λανθάνον γὰρ οὕτω τὴν αἴσθησιν, οὐ λήσεται κατὰ τὴν ἐνέργειαν, ἀλλ' ὑπάξει σαφῶς τὴν γαστέρα. ἔνια μὲν οὖν συντίθεται κατὰ τὸν αὐτὸν τρόπον ὑπὸ τῆς φύσεως τῶν ἁπλῶν εἶναι δοκούντων. τοιαύτην τὴν φύσιν ἔχει καὶ ἡ φακὴ καὶ ἡ κράμβη καὶ τῶν θαλασσίων σχεδὸν ἁπάντων τὰ

neque in calida regione, neqne in habitu ∴
neque in ∴ ∴

XX.

In alimento pharmacum optimum; in alimento pharmacum malum; malum et optimum ad aliquid referuntur.

Multa funt quae mixtam ex cibo et medicamento naturam habent. Hujus generis effe dicimus quaecunque ex contraria facultate mixtam habent naturam. Sic in iis, quae a nobis parantur, quaedam ex contrariis fubftantiis facultatibusque comperiuntur, ut fi tu fucco ptifanae parum liquoris fcammonii injicias. Quamvis enim fic fenfum effugiat, in actione tamen non occultabitur, fed aperte alvum fubducet. Quaedam autem eodem modo a natura componuntur, quae videntur effe fimplicia. Talem habent naturam lens, braffica et marina propemodum omnia,

ὀστρακόδερμα καλούμενα· ὧν τὸ μὲν στερεὸν σῶμα βραδύπορόν τέ ἐστι καὶ σταλτικὸν τῆς γαστρὸς, ἡ δ' ὑγρότης ἐρεθίζει πρὸς ἔκκρισιν. καὶ μάχη τις γίνεταί ποτε πρὸς ἄλληλα, τοῦ μὲν στερεοῦ σώματος ἰσχομένου καὶ βραδύνοντος, ἐπειγομένης δὲ τῆς ὑγρότητος πρὸς τὴν ἔκκρισιν. ἔτι δὲ τὰ βρώματα καὶ πόματα ταχεῖαν ἢ βραδεῖαν ἔχει τὴν διέξοδον, ἤτοι διὰ τὴν ἐξ ἀρχῆς ἡμῶν φύσιν ἢ διὰ τὴν ἐπίκτητον διάθεσιν τῆς γαστρὸς, ἢ διὰ τὴν οἰκείαν οὐσίαν. ὡς καὶ πάντες ἴσασιν, ὅτι τινὰ μὲν αὐτῶν εἰσιν ὑγρὰ, τινὰ δὲ ξηρὰ, καὶ τινὰ μὲν γλίσχρα, τινὰ δὲ εὔθρυπτά τε καὶ εὐδιαίρετα· καὶ τινὰ μὲν δριμύτητας ἐν ἑαυτοῖς ἔχοντα, τινὰ δὲ ὀξύτητας ἢ πικρότητας ἢ γλυκύτητας ἢ ἁλυκότητας ἢ αὐστηρότητας καὶ στρυφνότητας ἤ τινας ἔξω τούτων φαρμακώδεις δυνάμεις, ὁμοίας ταῖς τῶν φαρμάκων τῶν καθαιρόντων. οὐ γοῦν θαυμαστὸν ὡς τινὰ μὲν ἐπάγει τὴν γαστέρα, μεμιγμένας ἐν ἑαυτοῖς ἔχοντα φαρμακώδεις δυνάμεις, ὁμοίας τῆς κατὰ τὴν κολοκυνθίδα τε καὶ σκαμμωνίαν καὶ

quae testam pro cute habere dicuntur, quorum solidum corpus tarde permeat alvumque cohibet, humor ad excretionem irritat. Atque interdum pugna quaedam mutuo conseritur, quum solidum corpus cohibet et moratur, humor vero ad excretionem stimulat. Praeterea vero cibi et potus celeriter aut tarde pertranseunt, aut propter naturam nobis ab initio tributam, aut propter ventris affectionem acquisitam, aut propter propriam substantiam, quum neminem fugiat quosdam humidos esse, quosdam aridos, quosdam lentos, quosdam friabiles, quosdam facile dividuos, quosdam acres, quosdam acidos aut amaros aut dulces aut salsos aut austeros aut acerbos, aut quasdam extra has habere facultates medicamenti naturam referentes, quae similes sint earum, quae in medicamentis purgantibus insunt. Haud igitur mirabile est, si quaedam alvum movent, quum mixtas in seipsis facultates habeant medicamenti naturam referentes, similes earum, quae sunt in colocynthide, scammonio, veratro et aliis generis ejus-

Ed. Chart. VI. [274.]

ἐλλέβορον ὅσα τε ἄλλα τοιαῦτα. εἰσὶ δέ τινες ἡγούμενοι ἐδέσματα μὲν εὑρίσκεσθαι, ἅπερ οὔτε θρεπτικήν τινα τοῦ ζώου δύναμιν ἔχουσιν οὔτε καθαρτικήν. καί φασι ταῦτα οὐχ ὡς τροφὰς μόνον ἐνεργεῖν πολλάκις, ἀλλὰ καὶ ὡς φάρμακα, διότι θερμαίνει καὶ ὑγραίνει καὶ ψύχει καὶ ξηραίνει σαφῶς τὰ σώματα. καὶ ταῦτα ὅταν μηδὲν τούτων ἐνεργῇ περὶ τὸ σῶμα, τρέφει δὲ μόνον αὐτὸ, τότε οὐχ ἕξει τὸν τοῦ φαρμάκου λόγον. ἀλλ' εἴπερ ἐστί τινα τοιαῦτα ἐδέσματα, ἡμεῖς εἶναι ὀλίγιστά φαμεν. εἰ δ' ἐστὶ, μόνον τὸν τῆς τροφῆς ἔχει λόγον χωρὶς τοῦ μεταβάλλειν τὸ σῶμα τοῦ προσενεγκαμένου κατὰ ποιότητα. κατὰ τοῦτον οὖν τὸν λόγον ὅσα μέσα ταῖς κράσεσιν οὐδεμίαν ἔχει ἐπικρατοῦσαν ποιότητα, ταῦτα μόνον τροφὰς εἶναι, οὐ φάρμακά φασιν. ἔστι μὲν οὖν ὅτε συμφέρει ἐν τῇ τροφῇ δύναμιν εἶναι τοῦ φαρμάκου, ἵνα μετὰ τροφῆς καὶ τὸ βοήθημα προσενέγκοιτο καὶ ἴσως μετά τινος ἡδονῆς, ἔστι δ' ὅτε οὐ συμφέρει τοῦτό γε. καὶ τότε ἡ τροφὴ γίνεται μὲν φαύλη κατὰ τὴν δύναμιν τὴν φαρμακώδη, εἰ καὶ τῇ τῆς τροφῆς ποιότητι ἐπιτήδειος οὖσα

dem. Sunt qui edulia inveniri arbitrentur, in quibus nulla neque alendi animalis, neque purgandi facultas insit, aiuntque haec non solum ut alimenta persaepe agere, sed etiam ut medicamenta, propterea quod corpora perspicue calefaciunt, humectant, refrigerant et siccant: haec porro quum nihil horum agunt in corpore, sed solum alunt, tum non subire medicamenti rationem. Sed si quae sunt hujusmodi edulia, nos certe paucissima esse affirmamus. Quod si sint, solum pro alimento sunt. Nec qualitatem corporis ejus, qui sumpsit, immutant. Hac ratione quae mediae temperaturae. sunt nullamque superantem qualitatem habent, haec alimenta solum esse volunt, medicamenta non item. Prodest igitur interdum in alimento vim medicamenti inesse, ut cum alimento remedium quoque adhibeatur, ac fortasse etiam cum voluptate quadam, interdum vero id prodest. Quo sane tempore alimentum redditur malum ex medicamenti qualitate, licet qualitate alimenti esset omnibus temporibus nostro

Ed. Chart. VI. [274. 275.]
κατὰ πάντας τοὺς χρόνους τοῖς σώμασιν ἡμῶν. οὐ συμφέρει δὲ, ὡς ὅταν μόνης τῆς καθάρσεως χρήζει τὸ σῶμα, τροφῆς δὲ οὔ. τοῦτο δ' οὐκ ἔστιν ἐπὶ πᾶσι καὶ ἀεὶ ἀληθές. διὸ προστίθησι, φλαῦρον καὶ ἄριστον πρός τι· δηλονότι τὸ βλαβερόν τε καὶ ὠφέλιμον. ἑτέρῳ γὰρ λόγῳ φαίης ἂν τήνδε τὴν τροφὴν τῆς ἄλλης βελτίονα, ἑτέρῳ δὲ τὴν ἄλλην ὑπάρχειν· [275] οὐχ ἁπλῶς δέ. ἐὰν μὲν γὰρ χρὴ φαρμακεύειν ἢ τὴν κοιλίαν καθᾶραι, βελτίονα πρὸς τοῦτο τὸ ἔργον εἶναι τὴν σκαμμωνίαν τῆς κράμβης λέξειας· ἐὰν δὲ μόνον ὑπάγειν τὴν γαστέρα δέῃ, τὸν τῆς κράμβης ζωμόν. οὕτω δὲ καὶ περὶ τῶν ἄλλων, διότι τὸ φαῦλον καὶ τὸ οὐ φαῦλον πρός τι λέγεται· καὶ ὃ τινὶ ἄριστόν ἐστι, ἄλλῳ φαῦλον ἔσται, καὶ ἀνάπαλιν. καὶ ὃ ἁπλῶς φαῦλόν ἐστι, τινὶ κατὰ μέρος ὠφέλιμον εὑρεθήσεται. περὶ δὲ τῆς τοῦ φαύλου ὀνομασίας ἰστέον ὅτι οἱ παλαιοὶ σχεδὸν ἅπαντες εἰώθασι λέγειν αὐτὸ ἀντὶ τοῦ τυχόντος καὶ ἁπλοῦ, ᾧ ἀντικείμενον τιθέασι τὸ ἀκριβές· νῦν δὲ οὐχ οὕτω ληπτέον, ἐπειδὴ ἀντίκειται αὐτῷ τὸ ἄριστον.

---

corpori idoneum. Non prodeſt autem, quum corpus ſolam purgationem et non item alimentum poſtulat. Id quod neque in omnibus neque perpetuo verum eſt. Quocirca addit: *malum et optimum ad aliquid referuntur*, hoc eſt noxium et utile. Alia enim ratione dices, hoc alimentum eſſe melius: alia vero aliud, non autem abſolute. Nam ſi medicamentum dandum ſit aut purganda alvus, hoc ad agendum ſcammonium braſſicae praeſtare affirmabis; ſi vero ſolum ſubducenda alvus ſit, braſſicae jus antepones. Sic de caeteris judicandum eſt, quia malum et non malum ad aliquid referuntur. Et quod uni optimum eſt, alteri erit malum et contra, et quod abſolute malum eſt, alicui particulatim utile eſſe comperietur. Caeterum de vocabulo *φαύλου* hoc ſciendum eſt, veteres fere omnes ſolere hoc uſurpare, quum ſignificare volunt ſimplex, aut quodvis, cui contrario nomine opponitur exquiſitum. Nunc vero non ita accipiendum eſt, quum ei optimum opponatur.

Ed. Chart. VI. [275.]

κά.

Ἕλκος, ἐσχάρη, αἷμα, πῦον, ἰχὼρ, λέπρη, πίτυρον, ἀχὼρ, λειχὴν, ἀλφὸς, ἔφηλις· ὁτὲ μὲν βλάπτει, ὁτὲ δὲ ὠφελέει, ὁτὲ δὲ οὔτε βλάπτει οὔτε ὠφελέει.

---

*Τῶν ἑλκῶν τὰ μὲν αὐτομάτως γίνεται, τὰ δὲ ἐκ τῆς ἔξωθεν αἰτίας. καὶ τὰ μὲν ἀεὶ μείζω καὶ χείρω γίνεται, τὰ δ' ἐναντίως, καὶ τὰ μὲν ἐπιπολῆς, τὰ δὲ κοῖλα. ὅσα δὲ ἐπιπολῆς ᾖ καὶ κατὰ τὸ δέρμα, ἕρπητας ὀνομάζουσιν. ὅσα δὲ τὴν ὑποκειμένην διαφθείρει σάρκα, φαγεδαίνας· ὡς καὶ καλεῖται ἄνθραξ ἕλκος ἐσχαρῶδες ἅμα πολλῇ τῇ τῶν πέριξ σωμάτων φλογώσει. εἰ δέ τις ἐπιμελέστερον βούλεται τὰς οἰκείας τῶν ἑλκῶν εἰδέναι διαφορὰς, οὗτος ἔχει αὐτὰς ἐν τῇ θεραπευτικῇ μεθόδῳ παραδεδομένας. ἔνθα καὶ λέλεκται ἡμῖν ἄλλας μὲν εἶναι διαφορὰς ἕλκους ἁπλοῦ καὶ μόνου, χωρὶς ἑτέρας τινος διαθέσεως, ἄλλας δὲ εἴ τις ἄλλη συνῇ διάθεσις. * * * εἶπεν αὐ-*

XXI.

Ulcus, crusta, sanguis, pus, ichor, lepra, furfur, ulcera capitis manantia, impetigo, vitiligo, ephelis, interdum laedunt, interdum juvant. Interdum neque laedunt, neque juvant.

Ulcerum quaedam sua sponte oriuntur, quaedam e causa externa. Et quaedam semper majora deterioraque fiunt, quaedam contra, sicut quaedam in extremitate consistunt, quaedam cava sunt. Quae extremitatem cutemque occupant, herpetes vocant; quae subjectam carnem corrumpunt, phagedaenas, ut etiam carbunculus vocatur ulcus quum crusta simul cum multa circumjacentium corporum inflammatione. Si quis autem accuratius scire aveat proprias ulcerum differentias, is explicatas habebit in libris methodi medendi, ubi etiam diximus alias esse simplicis soliusque ulceris, sine alia affectione conjuncta, differentias, alias, si qua alia simul adsit affectio. *

Ed. Chart. VI. [275.]
τός, ἐρυσίπελας ἔξωθεν ἔσω τρέπεσθαι, οὐκ ἀγαθόν· ἔσωθεν δὲ ἔξω ἀγαθόν· ἵνα ἐπιστάμεθα πᾶν ὅ τι ἐκ τῶν βαθέων μερῶν ἐπὶ τὸ δέρμα τρέποιτο τῶν ἀγαθῶν εἶναι, ἔμπαλιν δὲ ἐπὶ τὸ βάθος μεθιστάμενον, τῶν κακῶν. διὰ τοῦτο οὐδὲν θαυμαστὸν εἰ τὰ ἕλκη ποτὲ ἐπ' ἀγαθῷ γίνεται καίπερ ὄντων, ὡς εἶπον, πάντων σχεδὸν κακῶν. ὁ αὐτὸς δὲ λόγος τῆς ἐσχάρας ἐστίν. εἰ μὲν οὖν ἐκ τοῦ ἕλκεος τὸ αἷμα ῥέοι, ἐπισχεῖν μὲν χρὴ πρῶτον τὸ αἷμα, τὸ δὲ ἕλκος ἑξῆς ἰᾶσθαι. ἐσχάραν δὲ οἱ ἰατροὶ ὡς φράγμα τι τοῖς ἕλκεσιν ἐξεῦρον. ἔστι γὰρ ἡ γένεσις αὐτῆς ἐκ τῶν ὑποκειμένων καὶ περικειμένων σωμάτων, οἷον ἡμικαύτων γενομένων. ὥστ' ἀπόλλυται τοῦ μορίου τοσοῦτον τῆς κατὰ φύσιν σαρκὸς, ὅσον κατὰ τὴν ἐσχάραν ἐκαύθη. πολλοῖς μὲν ἐπὶ ταῖς τῶν ἐσχάρων ἀποπτώσεσι δυσεπίσχετος ἐπηκολούθησεν αἱμοῤῥαγία· ὥστε βλάπτειν μεγάλως καὶ πολλάκις οὕτω συμβαίνει. καὶ θᾶττον ἀπόλλυται τὸ οὕτως αἱμοῤῥαγοῦν ζῶον, ἢ τὸ αἷμα παύεται κενούμενον. τότε δὲ ἡ ἀνάγκη βιάζεται χρῆσθαι τοῖς

* Ipse dixit: *Erysipelas ab externis ad interna verti non bonum est; ab interioribus ad exteriora bonum.* ut sciamus quicquid ex imis partibus ad cutim vertitur, in bonis esse numerandum. Contra vero si ad profundas partes transmutetur, in malis esse habendum: quocirca non est mirabile, si ulcera interdum boni consulenda sunt, licet, ut monui, omnia propemodum sint mala. Eadem est crustae ratio. Quare si ex ulcere sanguis fluat, cohibendus prius sanguis est, deinde ulcus curandum. Crustam autem ut sepimentum ulcerum medici comperérunt. Generatur enim crusta ex subjectis circumpositisque corporibus veluti semiustis, quare tantum carnis naturalis deperditur, quantum ad crustam faciendam adustum est. Multis autem, postquam crusta decidit, profusio sanguinis, quae aegre sisti potuit, supervenit, ut magnopere nocuerit, ac saepe acciderit ut animal hoc profluvio laborans citius moriatur quam effluere sanguis cesset: quo sane tempore necessitas nos cogit ut omni

Ed.' Chart. VI. [275. 276.]

ἅπασι βοηθήμασι· καὶ δεῖ τὸν ἰατρὸν ἀκριβῶς καὶ ἐπιμελῶς νοῦν προσέχειν. περὶ δὲ τοῦ αἵματος οὐδεὶς ἀγνοεῖ ὅτι ποτὲ μὲν ὠφελίμως, ποτὲ δὲ βλαβερῶς ἐκρεῖ, ἢ καὶ ἐκκρίνεται. καὶ γὰρ εἰ λόγῳ κρίσεως, πεπεμμένου τοῦ νοσήματος, καὶ ἐν τῇ κρισίμῃ ἡμέρᾳ αἱμοῤῥαγία γένοιτο, εἴπερ δέον ἦν τὴν νόσον διὰ τοῦ αἵματος κρίνεσθαι, πάντως σώσει τὸν κάμνοντα· εἰ δ' ἀνάπαλιν, οἴσεται τὸν θάνατον ἢ κίνδυνον μέγιστον, ὡς ἡμεῖς ὁσημέραι σχεδὸν ὁρῶμεν. [276] τὸ δὲ πῦον ἔχει δύο γένη καὶ καθ' ἕτερον μὲν βλάπτει, καθ' ἕτερον δὲ ὠφελεῖ· ὡς ὅταν ἐπικρατούσης τῆς φύσεως γίνεται. βλάπτει δὲ ὅταν γίνεται ἐκείνης νενικημένης· καὶ ἐπικρατούσης μὲν, ὡς ἐπὶ ταῖς φλεγμοναῖς καὶ τοῖς φυματώδεσιν ὄγκοις· καὶ ἐν τοῖς κατὰ τὰς ἀρτηρίας τε καὶ φλέβας χυμοῖς τὸ τοῖς οὔροις ὑφιστάμενον. ἕτερον δὲ γένος ἀῤῥωστιούσης εἰς τοσοῦτον τῆς πεπτικῆς δυνάμεως γίνεται, ὡς μηδεμίαν ἐπὶ χρηστὸν ἐργάζεσθαι μεταβολὴν τοῦ σηπομένου περιττώματος. ὃ γίνεται ποτὲ μὲν ἐκείνης ἐσχάτως ἀσθενούσης, κἂν τὸ σηπόμενον μετρίως ᾖ μοχθηρὸν,

remediorum genere utamur, debetque medicus accurate ac sedulo animum advertere. De sanguine autem nemo dubitat quin interdum utiliter, interdum secus effluat, aut etiam excernatur. Etenim si ratione judicationis morbo concocto et critico die fiat sanguinis profusio, si modo morbum per sanguinem judicari opus erat, omnino aegrotum servabit. Sin contra, aut mortem aut certe maximum periculum afferet, ut nos quotidie propemodum intuemur. Puris duplex est genus, altero prodest, nocet altero. Prodest autem, quum sit superante natura, nocet, quum sit illa superata. Ac superante quidem, ut in inflammationibus et tumentibus tuberculis et in humoribus, qui in venis arteriisque continentur, id quod subsidet in urinis. Alterum genus gignitur quum facultas concoctrix usque adeo infirma facta est, ut nullam plane mutationem putrescentis excrementi ad bonum eliciat. Quandoque etiam facultas ad extremam imbecillitatem non per-

Ed. Chart. VI. [276.]
ἔστι δ' ὅτε τὰ μὲν τῆς δυνάμεως οὐκ εἰς ἔσχατον τῆς ἀῤῥωστίας ἥκει, τὸ δὲ ὑγρὸν ἄκρως μοχθηρὸν ὑπάρχει. κρατησάσης μὲν οὖν ἀκριβῶς τῆς φύσεως τὸ κάλλιστον γίνεται πῦον. ἔστι γὰρ ἰδεῖν μὲν λευκὸν, παχὺ καὶ ὅμοιον ἑαυτῷ πανταχόθεν· ἔτι δὲ καὶ λεῖον ἁπτομένῳ καὶ ἥκιστα δυσῶδες. πολλάκις δὲ λευκὸν μέν ἐστιν, ἀλλ' ὅτι δυσῶδες εἶναι δοκεῖ, οὐ καλόν ἐστιν· ὡς ἐνίοτε οὐ λευκὸν, ἀλλὰ πελιδνὸν φαίνεται. διὸ εἶπεν ἐν τοῖς ἀφορισμοῖς Ἱπποκράτης, ὁκόσοι ἔμπυοι καίονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίνονται· ἢν δὲ ὕφαιμον καὶ βορβορῶδες καὶ δυσῶδες, ἀπόλλυνται. καὶ πάλιν, ὁκόσοι τὸ ἧπαρ διάπυον καίονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίνονται· καὶ τὰ ἑξῆς. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ περὶ τῶν ἰχώρων νομιστέον, ὡς οὐ σμικρὰ συμπτώματα ὑφ' ἑαυτῶν γίνεται. καὶ ὁ Πλάτων δὲ ταὐτό πως λέγει εἰπών· ἰχὼρ δὲ ὁ μὲν αἵματος ὀῤῥὸς πρᾶος, ὁ δὲ μελαίνης χολῆς, ὀξείας δὲ, ἄγριος. δῆλον γάρ ἐστιν ὅτι ἐπὶ πάντων χυλῶν τε καὶ χυμῶν ὑγρό-

venit, ſed humor eſt ſumme vitiatus. Ergo quum natura integre ſuperat, pus optimum efficitur. Eſt autem hoc ad adſpectum album, craſſum et omni ex parte ſibi ſimile, tangenti autem laeve ac minime foetidum. Saepe autem album quidem eſt, ſed quia foetidum videtur eſſe, non eſt bonum; ſicut interdum non album, ſed lividum apparet. Propterea ipſe in Aphorismis extulit hanc ſententiam: *quicunque ſuppurati uruntur aut ſecantur, ſi pus purum albumque fluxerit, evadunt; ſin ſubcruentum, foeculentum ac foetidum, moriuntur*, et hanc: *quorum jecur ſuppuratum aduritur, ſi pus purum albumque fluxerit, evadunt*, et quae ſequuntur. Eodem modo eſt de ichoribus exiſtimandum, quod non parva ſymptomata ex ichoribus oriantur. Idem ferme cenſet Plato, quum ait: *Ichor, qui ſanguinis ſerum eſt, mitis, qui vero atrae bilis quae acida ſit, ferus.* Perſpicuum enim eſt in omnibus et ſuccis et humoribus humiditatem quandam ſeroſam tenuemque reperiri; differre tamen pro natura eorum humorum, quo-

Ed. Chart. VI. [276.]

της τις ὀῤῥώδης καὶ λεπτή ἐστι. διαφέρει δὲ κατὰ τὰς φύσεις τῶν χυμῶν, ὧν εἰσιν ὀῤῥοί. καὶ χαλεπώτατος ἔσται ὁ τῆς μελαίνης χολῆς· ἧττον δὲ χαλεπὸς ὁ τῆς ξανθῆς· καὶ τούτου μᾶλλον ὁ τοῦ φλέγματος. ἐπιεικέστατος δὲ πάντων ὁ τοῦ αἵματος ἰχώρ. καὶ δὴ κἂν τοῖς ἕλκεσιν ἰχὼρ μὲν καλεῖται τὸ λεπτὸν περίττωμα, ῥύπος δ' ἕλκους τὸ παχύ. καὶ διὰ μὲν τὸ λεπτὸν περίττωμα ὑγρὸν τὸ ἕλκος γίνεται, διὰ δὲ τὸ παχὺ ῥυπαρόν. τὴν δὲ περὶ τῶν χυμῶν θεωρίαν, ἐν οἷς ἰχῶρές εἰσιν, οὐ μόνον αὐτὸς οἶδεν Ἱπποκράτης, ἀλλὰ καὶ Πλάτων, καὶ περὶ τῶν νοσημάτων ἐκ τῶν καθέκαστα χυμῶν ὁρμωμένων διαλέγεται ὧδέ πως, περὶ νοσημάτων ὅσα διὰ χολὴν γίνεται ἀρχόμενος· ὅσα δὲ φλεγμαίνειν λέγεται τοῦ σώματος ἀπὸ τοῦ καίεσθαί τε καὶ φλέγεσθαι διὰ χολὴν γέγονε πάντα. περὶ δὲ φλέγματος ὧδε· φλέγμα δὲ ὀξὺ καὶ ἁλμυρὸν πηγὴ πάντων νοσημάτων, ὅσα γίνεται καταῤῥοϊκά. περὶ δὲ μελαίνης χολῆς λέγει μὲν ἐκεῖνα, ἅπερ ἡμεῖς ἤδη γεγράφαμεν, ταὐτὰ δὲ λέγουσι καὶ Ἀριστοτέλης καὶ Θεόφραστος καὶ τῶν ἰατρῶν οἱ δοκιμώτατοι, Διοκλῆς, Πλειστόνικος, Φιλότιμος, Ἡρόφιλος καὶ ἄλλοι πολλοί. Ἱπποκράτης

rum ferum funt. Erit autem infeftiffimum atrae bilis ferum, minus infeftum flavae, hocque minus pituitae, omnium mitiffimus ichor fanguinis. In ulceribus autem ichor tenue excrementum appellatur, fordes ulceris id, quod craffum eft, atque ex tenui excremento ulcus humidum redditur, ex craffo fordidum. Hanc vero humorum contemplationem, in quibus ichores funt, non folum novit Hippocrates, fed etiam Plato, et de morbis, qui ex fingulis humoribus oriuntur, ita fere differit, quum de morbis qui a bile progrediuntur, agere incipit: *quaecunque partes corporis pati inflammationem dicuntur, eae omnes a bile incenduntur et inflammantur.* De pituita ad hunc modum: *pituita acida et falfa morborum omnium, qui diftillatione fiunt, fons eft.* De atra vero bile dicit ea, quae a nobis jam fcripta funt. Eadem confueverunt Ariftoteles, Theophraftus et medici praeftantiffimi, Diocles, Pliftonicus, Philotimus, Herophilus et alii plerique. Hippocra-

Ed. Chart. VI. [276. 277.]
δὲ οὐ μὴ μόνον περὶ τούτων λέγει, ἀλλὰ καὶ περὶ τοῦ αἵματος τοῦ ἰχωροειδέος ἐν ταῖς ἐπιδημίαις, ὅπερ εἶναι οἱ ἰατροὶ βούλονται, τὸ μετά τινος ἰώδους καὶ κακοήθους δυνάμεως, κατὰ τὴν ἔννοιαν, καθ' ἣν γέγραπται ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν· καὶ ὑπὸ τῷ δέρματι, φησὶν, ἰχῶρες ἐγίνοντο, ἐγκαταλαμβανόμενοι δὲ ἐθερμαίνοντο καὶ κνησμὸν ἐνεποίουν· εἶτα φλυκταινίδες ὥσπερ πυρίκαυστοι ἀνίσταντο καὶ ὑπὸ τὸ δέρμα καίεσθαι ἐδόκεον. πρὸς δὲ τούτοις ἴσθι ὅτι τινὰ τῷ ὅλῳ γένει παρὰ φύσιν ἐστὶν, ὧν ἁπάντων τριττὴ ἡ διαφορά. τινὰ μὲν γὰρ ἐκ μεταβολῆς γίνεται τῶν στερεῶν σωμάτων, ὡς ἡ μυρμηκία καὶ ἡ λεύκη καὶ ὁ ἀλφὸς, ἐλέφας τε καὶ ψώρα καὶ λέπρα, τινὰ δ' οὐδ' ὅλως [277] ὄντα πρότερον ὕστερα γίνεται, καθάπερ καὶ ἡ μελικηρὶς, ἀθερώματά τε καὶ στεατώματα. προσέχειν οὖν ἀεὶ χρὴ τὸν νοῦν ἐπὶ πάντων τῶν παρὰ φύσιν ἀκριβῶς, ἐπισκοπούμενον ἐκ τίνος γένους ἐστὶ, καὶ πότερον αὐτομάτως γέγονεν, ἢ ἔκ τινος τῆς αἰτίας, καὶ πότερον ὠφελεῖ, ἢ βλάπτει· εἰ καὶ μήτ' ὠφελεῖ μήτε βλάπτει, ὡς αὐτός φησιν. ἐπεὶ δὲ καὶ τὰ

tes non modo de his egit, sed etiam de ichoroide sanguine in libris de morbis vulgaribus loquutus est, quem sanguinem medici esse volunt cui venenosa quaedam malignaque facultas sit adjuncta, ut est in secundo de morbis vulgaribus sententia, *sub cute*, inquit, *ichores gignebantur, hique inclusi incalescebant pruritumque excitabant, tum pustulae, ut ambustis, exurgebant, ac sub cute exuri sibi videbantur.* Praeterea vero scito quaedam esse toto genere praeter naturam, quorum omnium est triplex differentia, quaedam ex solidarum partium mutatione fiunt, ut myrmecia, vitiligo, leuce et alphos, elephas, scabies et lepra. Quaedam non omnino sunt praeter naturam prius, sed postea fiunt, ut meliceris, atheromata et steatomata. Quare semper adhibenda mens accurate est ad omnia, quae praeter naturam sunt, ut cujus sint generis expendas, et utrum sponte sua, an ex aliqua causa orta sint pernoscas, et utrum prosint, an noceant, utrum denique neque prosint, neque noceant, ut ab ipso dictum est. Quia

Ed. Chart. VI. [277.]
ὅμοια πιτύροις ἀπὸ τοῦ τῆς κεφαλῆς δέρματος πολλάκις ἀποπίπτει, διὸ ἀξιοῖ σκοπεῖν πότερον καὶ ταῦτα ὠφέλιμά ἐστιν ἢ βλαβερά. γίνεται δὲ τὸ σύμπτωμα τοῦτο ὑπὸ μοχθηρῶν ἰχώρων τοὺς κνησμοὺς ἐμποιούντων. ἐν δὲ αὐτῷ τῷ δέρματι τῆς κεφαλῆς γίνεται ὁ καλούμενος ἀχώρ· ὃς ἐκ τοῦ γένους τῶν παρὰ φύσιν ὄγκων ὑπάρχει. οὗτος γὰρ λεπτοῖς πάνυ τρήμασι κατατιτρᾶται, νοτίδα λεπτὴν ἔχουσιν ὑγρότητος ἀτρέμα γλίσχρας. ἔστι δὲ καὶ ὁ λειχὴν πάθος τοῦ δέρματος, διττὸν δὲ εἶδος λειχῆνος, ὁ μὲν ἥμερος καὶ πρᾳότερος, ὁ δὲ ἄγριος καὶ χαλεπώτερος. ἀφίστανται δὲ καὶ ἐπὶ τούτων καὶ αἱ λεπίδες τοῦ δέρματος καὶ ὑπὸ τὰς λεπίδας τόπος ἐρευθέστερος καὶ ἐγγὺς ἡλκωμένου φαίνεται. τὸ δὲ πάθος αὐτὸ γίνεται ἀπὸ φλέγματος ἁλμυροῦ καὶ τῆς ξανθῆς χολῆς. οὗτοι δὲ καὶ ὁ ἀλφὸς διττός ἐστιν, ὁ μὲν λευκὸς, ὁ δὲ μέλας. γίνεται δὲ ὁ μὲν μέλας ὑπὸ μελαίνης χολῆς, ὁ λευκὸς δὲ ὑπὸ τοῦ φλέγματος οὐχ ἁλυκοῦ. περὶ δὲ τὸ πρόσωπόν ἐστιν οὐ μόνον ἔφηλις, περὶ ἧς αὐτὸς εἶπεν, ἀλλὰ καὶ οἱ ἴονθοι καὶ φακὸς καὶ κατάγματα τῶν ὀστέων.

vero etiam quaedam furfurum similia a capite excidunt, idcirco monet spectandum esse, utrum haec quoque damnum, an utilitatem afferant. Caeterum hoc symptoma gignitur ab ichoribus pravis pruritus concitantibus. In capitis etiam cute nascitur is, qui achor nominatur. Estque ex genere tumorum, qui praeter naturam sunt. Hic enim tenuibus quibusdam foraminibus perforatur, quae tenuem quendam vaporem humiditatis modicae glutinosae continent. Impetigo quoque affectio cutis est. Ejus sunt duae species, altera cicur et mitior, altera agrestis et molestior; in his squamae a cute abscedunt et locus, qui sub squamis est, rubicundior videtur et prope ad ulceratum accedit. Morbus autem ipse a salsa pituita flavaque bile exoritur. Alphos quoque duplex est, albus et niger. Fit niger ab atra bile, albus a pituita, non salsa. In vultu autem est non solum ephelis, cujus mentionen fecit, sed et vari et lentigines et ossium fracturae: quae omnia spe-

Ed. Chart. VI. [277.]
ἅπαντα σκοπεῖσθαι χρὴ, πότερον λόγῳ κρίσεως, ἢ ἀποστάσεως, ἢ κατ᾽ ἄλλον τινὰ τρόπον γίνεται.

κβ΄.

Τροφὴ, οὐ τροφή. ἢν μὴ οἷόν τε ᾖ τρέφεσθαι, ὄνομα τροφὴ, ἔργον δὲ οὐχί· ἔργον τροφὴ, οὔνομα δὲ οὐχί.

Ὀρθῶς ἐλέγετο τὸ πρόσθεν ῥηθὲν, τὸ δεῖν πρόσθεσιν μὲν πρῶτον, ἐφεξῆς δὲ πρόσφυσιν, ἔπειτ᾽ ὁξομοίωσιν γενέσθαι τῷ μέλλοντι τρέφεσθαι. καὶ ὅτι κυρίως μὲν τὸ τρέφον ἤδη τροφὴ, τὸ δ᾽ οἷον μὲν τροφὴ, οὔπω δὲ θρέψαν, ὁποῖόν ἐστι τὸ προσφυόμενον ἢ τὸ προστιθέμενον· τροφὴ μὲν οὐ κυρίως, ὁμωνύμως δὲ τροφὴ καλεῖται. τὸ δὲ ἐν ταῖς φλεψὶ περιεχόμενον καὶ τούτου ἔτι μᾶλλον τὸ κατὰ τὴν γαστέρα, ὡς μέλλον ποτὲ θρέψειν, εἰ καλῶς κατεργασθείη, κέκληται τροφή. τὸν αὐτὸν δὲ τρόπον, ὡς εἴρηται, καὶ τῶν ἐδεσμάτων ἕκαστα τροφὰς ὀνομάζομεν, οὔτε τῷ τρέφειν ἤδη

ctanda sunt, an ut crises, an ut abscessus, an alio modo quodam exoriantur.

XXII.

Alimentum non alimentum; nisi alere queat, nomine alimentum, re autem minime; re alimentum, nomine vero non item.

Quod paulo ante dixit recte dictum est, appositionem fieri, deinde agglutinationem, tum assimilationem cum eo, quod nutriendum sit, et illud proprie alimentum vocari, id quod jam alit: quod vero velut alimentum est, necdum aluit, quale est quod agglutinatur aut quod apponitur, alimentum non proprie, sed homonyme nominari; quod autem venis continetur et eo magis etiam quod in ventriculo est, utpote quod quandoque nutriturum sit, si probe conficiatur, alimentum esse appellatum. Eodem modo, ut dictum est, singula edulia vocamus alimenta, non quod jam alant

Ed. Chart. VI. [277.]

τὸ ζῶον οὔτε τῷ τοιοῦτον ὑπάρχειν, οἷον τὸ τρέφον, ἀλλὰ τῷ δύνασθαί τε καὶ μέλλειν τρέφειν, καλῶς κατεργασθέν. ἔστι μὲν οὖν τροφὴ καὶ οὐ τροφή· τὸ γὰρ ἤδη ὁμοιούμενον τροφὴν καλεῖ. οὕτω δὲ καὶ τὸ δυνάμενόν τε καὶ μέλλον τρέφειν τροφὴν ὀνομάζομεν, τὸ δὲ μὴ δυνάμενόν ποτε τρέφειν τῷ μὲν ὀνόματι λέγεσθαι τροφὴ δύναται, ἔργῳ δὲ οὐκ ἔτι. οὕτω καὶ τὸ τῷ ἔργῳ τροφὴ οὐκ ἔστι τροφὴ κατὰ τοὔνομα, ἀλλὰ κατὰ τὸ πρᾶγμα καὶ κατ' ἐνέργειαν. περὶ δὲ τῶν τροφῶν, ἐν αἷς αἱ δυνάμεις φαρμακώδεις εἰσὶ καὶ περὶ τῶν φαρμάκων * * ὡς ἡ θεραπεία γινομένη διὰ τῶν τροφῶν, ἐν αἷς ἡ τοῦ φαρμάκου δύναμίς ἐστι, βελτίων ἐστὶ τῆς διὰ τῶν φαρμάκων, τὰς τῶν τροφῶν δυνάμεις ἐχόντων. διὸ εὐλαβοῦ τὰς καθάρσεις ποιεῖν διὰ τῶν καθαρῶν. δεῖ γάρ τι μιγῆναι. εἰ δὲ συμβαίνει φαρμακεύειν, ἵνα μὴ ἁμαρτάνοις τοῦ σκοποῦ, μὴ προσθήσεις ἄλλο τι πλὴν τὸ ἐπιτήδειον, ἐν ᾧ δύναμις ὑπάρχῃ τρόφιμος. τούτου δὲ γένους ἐστὶν, ὅσα * * *

---

animantes, neque quod talia ſint, quale eſt id quod alit: ſed quod poſſint alere nutrituráque ſint, ſi probe fuerint confecta. Eſt ergo alimentum et non alimentum. Quod enim jam aſſimilatum eſt, alimentum vocat. Sic quod poteſt nutrire nutriturumque eſt, alimentum nuncupamus. Quod vero nunquam poteſt alere, nomine quidem poteſt alimentum appellari, re vero non poteſt. Pari modo quod re ipſa alimentum eſt, non eſt alimentum nomine, ſed re et actione. De alimentis autem, in quibus medicamenti facultates ſunt, ac de medicamentis * Sicut curatio, quae ſit iis alimentis, in quibus medicamenti facultas ineſt, praeſtantior cenſetur quam ea, quae medicamentis facultates alimentorum in ſe habentibus fiat. Proinde cave ne purgationes ex puris rebus moliaris, ſiquidem aliquid admiſcendum eſt. Si vero ut in medicamento purgante contingat, ne finem non conſequaris, ne quid aliud adjungito, niſi quod idoneum ſit, in quo alendi inſit facultas. Hujus autem generis ſunt quaecunque *

κγ'.

[278] Ἐς τρίχας τροφὴ καὶ ἐς ὄνυχας καὶ ἐς τὴν ἐσχάτην ἐπιφανείην ἔνδοθεν ἀφικνέεται. ἔξωθεν τροφὴ ἐκ τῆς ἐσχάτης ἐπιφανείης ἐνδοτάτω ἀφικνέεται, ξύῤῥοια μία, ξύμπνοια μία.

Δέδεικται μὲν ἐν τοῖς ἄνωθεν εἰρημένοις ὅτι ἕκαστον μόριον ἕλκει τὴν οἰκείαν αὐτῷ τροφήν· καὶ ὅτι φυσικὸν ἔργον ἐστὶν ἡ ἀνάδοσις τροφῆς, ἐκ κοιλίας μὲν εἰς ἧπαρ, ἐξ ἥπατος δὲ εἰς ὅλον τὸ σῶμα· καὶ ὅτι τῶν φυσικῶν ἐνεργειῶν ἡ πρώτη τε καὶ ἀναγκαιοτάτη σχεδὸν ἁπασῶν ἡ θρέψις ἐστὶν εἶδός τι οὖσα τῆς ἀλλοιωτικῆς ἐνεργείας. ἐπειδὴ δὲ ἡ κατὰ τὴν γαστέρα πέψις ἀλλοίωσίς ἐστι καὶ ἡ ἐν ταῖς φλεψὶ καὶ ἡ καθ' ἕκαστον μόριον, διὰ τοῦτο ἕπεται μὲν ἐξομοίωσις, οὐ ταὐτὸν μὲν ὄνομα τῇ θρέψει, τὸ δ' ἔργον οὐχ ἕτερον. εἰσὶ μέντοι τινὲς ἡγούμενοι οὐδεμίαν οὐδενὶ μορίῳ ὑπάρχειν ἑλκτικὴν δύναμιν τῆς οἰκείας ποιότητος. ἡμῖν δὲ οὐδὲ τὸ διὰ τοῦ αὐτοῦ πόρου τὴν ὁλκὴν γίνεσθαι καὶ τὴν

XXIII.

Alimentum in pilos et in ungues et in extimam superficiem ab internis partibus pervenit. Ab externis partibus alimentum ab extima superficie ad intima pervenit, confluxio una, conspiratio una.

In iis, quae supra attulimus, ostensum est, unamquamque partem trahere alimentum sibi aptum; atque alimenti distributionem opus esse naturale, ut ex ventriculo in jecur, ex jecore in totum corpus distribuatur, itemque omnium naturalium actionum principem ac maxime necessariam propemodum esse nutritionem, quae actionis alterantis quaedam species est. Quoniam autem concoctio, quae in ventriculo fit, alteratio quaedam est, itemque ea, quae in venis, quaeque in singulis fit partibus, ideo consequitur assimilatio, quae ut nomine non eadem sit, quod nutritio, re certe diversa non est. Sunt tamen, qui nullam inesse ulli parti attractricem fa-

Ed. Chart. VI. [278.]
ἀπόκρισιν ἐν διαφόροις τοῖς χρόνοις οὐδὲν χαλεπὸν δεικνύναι, εἴ γε καὶ τῆς γαστρὸς ὁ στόμαχος οὐ μόνον ἐδέσματα καὶ πόματα παράγων εἰς ἑαυτὸν, ἀλλὰ κἀν ταῖς ναυτίαις τὴν ἐναντίαν ἐνέργειαν ποιῶν ἐναργῶς φαίνεται. ταὐτὸ τοῦτο ποιεῖ καὶ ἡ ἐπὶ τῷ ἥπατι κύστις, ἣ διὰ τοῦ ἑαυτοῦ αὐχένος πληροῦται καὶ ἐκκενοῦται. ὡσαύτως δὲ καὶ ὁ στόμαχος τῶν μητρῶν ὁδός ἐστιν εἴσω μὲν τοῦ σπέρματος, ἔξω δὲ τοῦ κυήματος. δέδεικται δὲ ἤδη ἡμῖν ὅτι δι' ὧν εἰς ἧπαρ ἐνεδόθη τι φλεβῶν ἐκ γαστρὸς, αὖθις εἰς αὐτὴν ἐξ ἥπατος ἐν ταῖς ἀσιτίαις ταῖς μακροτέραις δύναται ἕλκεσθαι ἡ τροφή. τῶν δὲ φλεβῶν τῶν ἐν τῷ μέσῳ τεταγμένων ἥπατός τε καὶ τῶν κατὰ τὴν κοιλίαν ὁ αὐτὸς λόγος. ὅτε μὲν γὰρ ἐν τούτοις ἄφθονος εἴη περιεχομένη τροφὴ, διὰ τῶν εἰρημένων εἰς ἧπαρ ἀναφέρεται φλεβῶν· ὅτε δὲ εἴη κενὰ καὶ δεῖται τροφῆς, διὰ τῶν αὐτῶν αὖθις ἐξ ἥπατος ἕλκεσθαι. τούτων μὲν οὕτως ἐχόντων πᾶν μόριον ἕλκει μὲν τὸ ἰσχυρότερον, ἐκκενοῦται δὲ τὸ ἀσθενέστερον. καὶ τοῦτό

cultatem propriae qualitatis arbitrentur. Nobis autem nihil difficile eſt oſtendere per eundem meatum effici attractionem et excretionem, temporibus tamen diverſis, quando gula ventriculi non ſolum eſculenta et potulenta in ſeipſum adducit, ſed etiam quum nauſea tentatur, contrariam obire actionem evidenter conſpicitur. Idem facit veſica, quae ſub jecore eſt, quae ejusdem colli uſu impletur et vacuatur. Simili quoque modo uteri collum intro eſt via ſpiritus, foras vero foetus. Oſtenſum enim eſt, per quas venas a ventre in jecur facta eſt digeſtio, rurſus ex jecore in ipſum trahi nutrimentum in longiore inedia poſſe. Venarum, quae medium ſpatium inter jecur et partes citra ventrem occupant, eadem ratio eſt. Quum enim in eis magna alimenti contineatur copia, per easdem venas ſurſum fertur jecur. Quum autem vacuae ſint alimentique indigeant, per easdem rurſus a jecore trahunt. Quae quum ita ſint, omnis pars, quae robuſtior ſit, trahit; quae imbecillior, evacuatur. Idque vel

Ed. Chart. VI. [278.]
γε ἢ ἁπλῶς καὶ φύσει καὶ κοινῇ πᾶσίν ἐστιν, ἢ ἰδίως τῷδέ τινι γίνεται. καὶ φύσει μὲν καὶ κοινῇ πᾶσι τοῖς ζώοις ἡ μὲν καρδία τοῦ ἥπατος, τὸ δ' ἧπαρ ἐντέρων τε καὶ γαστρὸς, αἱ δ' ἀρτηρίαι τῶν φλεβῶν ἰσχυρότεραί εἰσιν ἑλκύσαι τε τὸ χρήσιμον ἑαυτοῖς ἀποκρῖναί τε τὸ μὴ τοιοῦτον. καθ' ἕκαστον δὲ ἡμῶν ἰδίως ἐν μὲν τῷδε καιρῷ τὸ ἧπαρ ἰσχυρότερον ἕλκειν, ἐν δὲ τῷδε ἡ γαστήρ. ἐπισπᾶται γὰρ ῥαδίως ἐκ τοῦ ἥπατος, ὅταν αὐτὴ μὲν ὀρέγοιτο τροφῆς σφοδρῶς, ἐμπεπλησμένον δὲ εἴη τὸ ἧπαρ. οὕτω δὲ καὶ τὸ ἧπαρ ἕλκει, ὅταν ποτὲ καὶ αὐτὸ δεῖται τροφῆς, καὶ ὡς ἐξ ἀλλήλων ἕλκει τὰ μόρια τροφὴν, οὕτω καὶ ἀποτίθεταί ποτ' εἰς ἄλληλα τὸ περιττόν. ὥστε οὐ θαυμαστὸν, εἰ ἐκ τῆς ἐσχάτης ἐπιφανείας, τῆς κατὰ τὸ δέρμα, ὡς νῦν Ἱπποκράτης φησὶ, μέχρι τῶν ἐντέρων καὶ τῆς γαστρὸς ἀφικνεῖταί τι μεταλαμβανόμενον. καὶ μὴ μόνον τὸ πνεῦμα ἢ τὸ περίττωμα, ἀλλὰ καὶ ἡ τροφὴ αὐτὴ ἐκ τῆς ἐσχάτης ἐπιφανείας αὖθις ἐπὶ τὴν ἀρχὴν, ὅθεν ἀνηνέχθη, καταφέρεται. ἐλάχισται γὰρ ῥοπαὶ τῶν κινήσεων τὴν ἐκκριτικὴν ταύτην οἷα-

absolute et natura et communiter omnibus inest, vel proprie in aliqua efficitur. Et natura quidem, generatimque omnibus et animantibus, cor quam jecur, jecur quam intestina et venter, arteriae quam venae sunt ad trahendum id, quod eis utile est, et ad id, quod tale non est, excernendum valentiores. In singulis autem nobis proprie hoc tempore trahit vehementius jecur, in alio ventriculus. Hic enim facile attrahit ex jecore, quum vehementer alimentum appetit plenumque jecur est. Quomodo etiam jecur trahit, quum ipsum quoque indiget alimento: et ut partes vicissim ex sese alimentum trahunt, sic etiam quod supervacaneum est, in sese vicissim deponunt. Quare non est mirandum, si ab extima superficie, quae ad cutim est, ut nunc ait Hippocrates, usque ad intestina et ventrem aliquid translatum perveniat, ac non spiritus modo et excrementum, sed etiam nutrimentum ipsum ab ultima superficie eo, unde primum ascendit, rursus deferatur, siquidem exiguum momentum expultricem facultatem huc illuc im-

Ed. Chart. VI. [278. 279.]
κίζουσι δύναμιν. [279] αἱ δὲ κινήσεις ἀπὸ τῶν ἔνδοθεν διερεθιζόντων, ὡς ἐν τοῖς καθαίρουσι φαρμάκοις, ἰσχυρότεραί τε πολὺ καὶ μονιμώτεραι γίνονται καὶ διαμένουσιν, ἔστ' ἂν καὶ ἡ περὶ τοῖς σώμασι τῶν ἀγγείων διάθεσις ἡ τὸ πλησίον ἕλκουσα παραμένῃ. αὕτη γὰρ εἰς τὸ συνεχὲς ἐκκενοῖ τὸ μόριον, ἐκεῖνο δ' αὖ εἰς τὸ μετ' αὐτὸ, καὶ τοῦτο οὐ παύεται μέχρι τῆς ἐσχάτης ἐπιφανείας, ὥστε μεταδιδόντων τῶν ἐφεξῆς ἀεὶ μορίων ἑτέρων ἑτέροις τὸ πρῶτον πάθος τάχιστα διικνεῖσθαι μέχρι τῶν ἐσχάτων. δῆλον μὲν οὖν ἐστιν ὅτι ἐκ παντὸς εἰς πᾶν φέρεταί τι καὶ μεταλαμβάνεται καὶ ὅτι, ὡς γράφεται πρὸς αὐτοῦ, μία πάντων ἐστὶ σύμπνοιά τε καὶ σύῤῥοια. φαίνεται γὰρ τοῦτο σαφῶς ἐπί τε τῆς καρδίας καὶ τῶν ἀρτηριῶν ἁπασῶν καὶ τοῦ θώρακος καὶ τοῦ πνεύμονος. καθ' ἑκάστην γὰρ σχεδὸν τοῦ καιροῦ ῥοπὴν τὰς ἐναντίας κινήσεις τε ἅμα τῶν ὀργάνων καὶ φορὰς τῶν ὑλῶν ἐστιν ἰδεῖν γιγνομένας. καὶ ὥσπερ εἰσπνέομεν ἐν ἑτέρῳ χρόνῳ καὶ αὖθις πάλιν ἐν ἑτέρῳ ἀντεκπνέομεν, οὕτω καὶ τροφὴν ἐν ἑτέρῳ μὲν χρόνῳ τὸ ἧπαρ

pellit. Motus autem qui ab internis partibus irritant, ut in purgantibus medicamentis fit, et vehementiores ſunt et diuturniores, durantque dum affectio, quae in ore vaſorum eſt, quae nimirum trahit, quod vicinum eſt, permaneat. Haec enim in partem continentem evacuat; illa in eam rurſus, quae ſibi proxima ſuccedit, nec finis fit, donec ad ultimam ſuperficiem perventum ſit, ita ut partibus deinceps poſitis, ſibi ſemper altera alteri impertientibus, prima affectio celerrime usque ad extrema perveniat. Perſpicuum igitur eſt ex toto in totum aliquid ferri mutuoque recipi et, ut ipſe ſcribit, *unam eſſe omnium conſpirationem et confluxionem.* Id autem aperte cernitur in corde arteriisque omnibus, itemque thorace et pulmone. Siquidem omni fere temporis momento ſimul inſtrumentorum, ſimul materiarum contrarios motus fieri conſpicies, et quemadmodum alio tempore ſpiritum ducimus et alio viciſſim emittimus, ſic alimentum alio tempore jecur

Ed. Chart. VI. [279.]
ἐκ τῆς γαστρὸς, ἐν ἑτέρῳ δὲ ἡ γαστὴρ ἐκ τοῦ ἥπατος ἐπισπᾶται. ἐκεῖνο μὲν γινώσκειν χρὴ, ὡς δύο εἰσὶν ὁλκῆς εἴδη, τὸ μὲν τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ, τὸ δ' οἰκειότητι ποιότητος γιγνόμενον. καὶ ὡς ἡ μὲν πρὸς τὸ κενούμενον ἀκολουθία τὸ κουφότερον ἕλκει πρότερον, ἡ δὲ κατὰ τὴν τῆς ποιότητος οἰκειότητα πολλάκις τὸ βαρύτερον, ἂν τῇ φύσει συγγενέστερον ὑπάρχῃ. τὸ μέντοι κουφότερον φαίνεται ἀεὶ πρότερον ἀκολουθεῖν καὶ ταῖς ἀρτηρίαις καὶ τῇ καρδίᾳ. ὡς δὲ τρέφεσθαι δεομένοις εἰς αὐτοὺς τοὺς χιτῶνας ἕλκεται τὸ οἰκεῖον. ὁ δὲ δὴ τρόπος τῆς θρέψεως τῶν μορίων τοιόσδε ἐστί· τοῦ σώματος ἑαυτῷ συνεχοῦς τὰ μὲν ἐπιπολῆς μέρη πρῶτα ὁμιλούσης ἀπολαύει τροφῆς, ἐκ τούτων δ' αὖ μεταλαμβάνει κατὰ τὸ συνεχὲς ἕλκοντα τὰ τούτων ἐφεξῆς, εἶτ' ἐξ ἐκείνων αὖθις ἕτερα. καὶ τοῦτο γίνεται ἄχρις ἂν εἰς ἅπαντα τὰ μόρια διαδοθείη ἡ ποιότης τῆς τροφῆς. οὐχ ὁμοίως δὲ πάντα τὰ μόρια τρέφεται, ἀλλὰ τὰ μὲν ἐπὶ πλέον ἀλλοιουμένου δεῖται χυμοῦ, τὰ δ' ἧττον.

trahit ex ventriculo, alio vero ventriculus extrahit e jecore. Illud autem non eſt praetereundum, duo eſſe genera tractionis, unum fit ſucceſſione ad id, quod vacuatur, alterum qualitatis familiaritate. Quod autem fit ſucceſſione ad id, quod vacuatur, prius id trahit, quod levius eſt. Quod vero fit qualitatis familiaritate, ſaepe quod eſt gravius, modo id ſit magis natura cognatum. Quanquam quod levius eſt, videtur cor et arterias prius petere. Quatenus vero etiam alimentum exigunt, in ipſas tunicas quod accommodatum eſt trahitur. Partes autem hoc potiſſimum modo nutriuntur, corporis, quod ſibi continuum eſt, ſummae primum partes admoto ſibi nutrimento fruuntur. Ab his rurſum per continuum trahentes, ſumunt eae, quae deinceps ſunt. Deinde ab illis rurſus aliae. Atque id fit usque dum alimenti qualitas in omnes ſit partes diſtributa. Nec tamen partes omnes eodem modo aluntur, ſed aliae ſanguinem magis, aliae minus alteratum poſtulant. Quae autem hujusmodi ſint alibi

Ed. Chart. VI. [279.]
ὅσα δὲ τοιαῦτά ἐστιν εἴρηται ἐν ἄλλοις, καὶ οὐ χρὴ μηκύνειν ἔτι τὸν λόγον.

κδ΄.

Ξυμπαθέα πάντα, κατὰ μὲν οὐλομελίην πάντα· κατὰ μέρος δὲ τὰ ἐν ἑκάστῳ μέρει μέρεα πρὸς τὸ ἔργον.

Περὶ γενέσεως τοῦ τῶν ζώων σώματος τέσσαρες κατὰ τὴν διαίρεσιν εὑρίσκονται δόξαι. πρώτη μὲν ἡ ἐξ ἀναισθήτων τε ἅμα καὶ ἀπαθῶν, δευτέρα δὲ ἡ ἐξ αἰσθητικῶν μὲν, ἀπαθῶν δέ. τοῦτο δ' ἀδύνατον. διὸ ἀπεχωρήσαμεν ἀμφοτέρων τῶν δοξῶν. λοιπαὶ δ' εἰσὶ δύο, μία μὲν ἐξ αἰσθητικῶν τε ἅμα καὶ πασχόντων στοιχείων τὸ σῶμα αἰσθανόμενον συνιστῶσα, δευτέρα δὲ ἡ οὐκ ἐξ αἰσθητικῶν μὲν, πασχόντων δέ. εἰ μὲν οὖν προσέχεις τὸν νοῦν, εὑρήσεις ὅτι πάντα τὰ τῶν ζώων σώματα αἰσθητικά ἐστι καὶ παθητικά. ἀλλὰ καὶ τὰ πρῶτα στοιχεῖα εἰς ἄλληλα δρᾷ καὶ πάσχει πολυειδῶς. ἐκ δὲ τῶν μὴ μεταβαλλόντων τὰς ποιότητας

dictum eſt, neque opus nunc eſt orationem producere longius.

XXIV.

Conſentientia omnia, univerſae compagi omnia, parti vero partes in unaquaque parte ad opus.

De ortu corporis animantium quatuor opiniones per diviſiones inveniuntur, prima, quae ex non ſentientibus ſimul et non patientibus, ſecunda, quae ex ſenſibilibus quidem, ſed impatibilibus ipſum conſtituit. Quod fieri non poteſt: ideo ab utraque opinione diſceſſimus. Reliquae ſunt duae, quarum altera ex ſenſibilibus patientibusque elementis corpus ſentiens efficit, altera non ex ſenſibilibus illa quidem, ſed ex patientibus. Verum ſi mentem adhibeas, omnia corpora animantium et ſenſibilia et patibilia eſſe comperies. Imo vero prima ipſa elementa viciſſim agunt et patiuntur multis modis. Ex elementis

Ed. Chart. VI. [279. 280.]

στοιχείων οὐκ ἐγχωρεῖ γενέσθαι τι τῶν ἑτερογενῶν· ἐκ δὲ τῶν μεταβαλλόντων ἐγχωρεῖ. ὁρῶμεν γάρ ποτε ἐν πολλαῖς ταῖς μεταξὺ γινομέναις μεταβολαῖς τὸ τέως μέλαν αὖθις γενέσθαι λευκὸν καὶ τὸ τέως λευκὸν, αὖθις μέλαν, [280] *καὶ τὸ νῦν ἀναίσθητον αὖθις αἰσθητικόν. ὅσοι μὲν οὖν ἐκ πυρὸς καὶ ὕδατος καὶ γῆς καὶ ἀέρος ἀλλοιουμένων τε καὶ μεταβαλλομένων καὶ κεραννυμένων δι' ὅλων ἀξιοῦσι γενέσθαι τι τῶν συνθέτων σωμάτων αἰσθητικὸν, τἀληθὲς λέγουσιν. ὅτι δέ τινες λέγουσι τὰ σώματα μὴ εἶναι αἰσθητικὰ, ἐπειδὴ τῇ ἐνεργείᾳ οὐκ αἰσθάνεται, καὶ ἐν τῷδε ἐνδεχόμενα λέγουσι. τὸ γὰρ ἡμέτερον σῶμα καίτοι φανερῶς ὑπάρχον αἰσθητικὸν, ὅμως οὐκ αἰσθάνεται, πρὶν παθεῖν ὑπό τινος. διὸ ἤτοι ἐξ αἰσθητικῶν τε καὶ πασχόντων τῶν πρώτων στοιχείων, ἤτοι ἐξ ἀναισθήτων μὲν, ἀλλὰ μεταβάλλεσθαι καὶ ἀλλοιοῦσθαι δυναμένων ἀνάγκη συνίστασθαι τὸ μέλλον αἰσθήσεσθαι, ἀληθής ἐστιν ἡ τοῦ παλαιοῦ δόξα, πάντα εἶναι συμπαθῆ. ἢ νῦν λέγει περὶ τῶν μόνων τοῦ σώματος ἡμῶν μορίων ση-*

autem qualitates non transmutantibus aliquid diverſi generis fieri non poteſt, ex transmutantibus poteſt. Videmus enim interdum in multis mutationibus, quae interjectis mediis fiunt, quod hactenus fuit nigrum, rurſus fieri album, et quod hactenus album fuit, viciſſim nigrum, et quod nunc ſenſile eſt, mox effici non ſenſile. Quicunque igitur ex igne, aqua, aëre et terra alteratis, transmutatis et per ſe tota temperatis, aliquod ex compoſitis corporibus ſenſibile fieri cenſent, ii verum pronunciant. Quod vero quidam ajunt, corpora non eſſe ſenſibilia, quia actu non ſentiunt, fortuito loquuntur. Etenim noſtrum corpus etſi eſt perſpicue ſenſibile, tamen non ſentit prius, quam ab aliquo quidpiam patiatur. Quare ſive ex ſenſibilibus et patientibus primis elementis, ſive ex non ſenſibilibus, ſed quae mutari alterarique poſſint neceſſario conſtitutum eſt, quod ſenſum ſit habiturum, vera eſt ſenis ſententia: *omnia eſſe conſentientia.* An de ſolis corporis noſtri partibus nunc loquitur, ſignificans omnes eſſe ſibi

Ed. Chart. VI. [280.]

μαίνων πάντα εἶναι ἀλλήλοις συμπαθῆ, τουτέστιν εἰς ὑπηρεσίαν ἑνὸς ἔργου πάνθ' ὁμολογεῖν. δῆλον γὰρ ὅτι τὰ μεγάλα τοῦ παντὸς ζώου μόρια, καθάπερ χεῖρες καὶ πόδες καὶ ὀφθαλμοὶ καὶ γλῶττα, ἐγένοντο χάριν τῶν ὅλων τοῦ ζώου ἐνεργειῶν· καὶ ὁμολογεῖ πάντα πρὸς ταύτας. ἀλλὰ καὶ τὰ μικρότερα πρὸς τοὔργον τοῦ παντὸς ὀργάνου καὶ αὐτὰ ἀναφέρεται. οἷον ἐν τῷ ὀφθαλμῷ, ἑνὶ ὄντι ὀργάνῳ τῆς ὄψεως καὶ ἐκ πολλῶν μορίων συνεστῶτι, ἅπαντα τὰ μόρια πρὸς ἓν ἔργον, τουτέστι πρὸς τὸ ὁρᾷν ὁμολογεῖται· τῶν δ' ἄλλων μορίων ὁ αὐτὸς λόγος. οὕτω μὲν οὖν ἡ γαστὴρ καὶ τὸ στόμα καὶ πόδες καὶ χεῖρες. τοῦτο δὲ οὐ πάντες εἰδέναι βούλονται, καίτοι κατὰ τόνδε τὸν λόγον εἰρηκότος τοῦ συγγραφέως. συγγνωστέον μέντοι καὶ πολλοῖς, ἀγνοοῦσι διὰ τὴν ἀσάφειαν τῆς λέξεως. καὶ γὰρ κατὰ τὸν παλαιὸν ἡρμήνευται τρόπον καὶ ταχέως καὶ ἀπὸ τῶν ἄνωθέν τε καὶ κάτωθεν ἀδιαλύτως, καθάπερ ἐστὶ πλεῖστα τῶν ἐν τῷδε τῷ γράμματι, ἢ αὐτοῦ τοῦτον τὸν τρόπον πρῶτον γράψαντος, ἢ τοῦ βιβλιογράφου, ὡς εἰκός ἐστι, σφαλέντος,

mutuo consentientes, hoc est omnes in unius operis ministerium conspirare. Perspicuum enim est, magnas omnis animalis partes, ut manus, ut pedes, ut oculos, ut linguam, omnium animalis actionum causa factas esse, omnesque ad actiones obeundas consentire. Quia etiam minores ad totius instrumenti actiones ipsae quoque referuntur, sicut in oculo, quod unum est aspectus instrumentum et ex multis constat particulis, omnes particulae ad unum opus, hoc est ad videndum consentiunt. Aliarum partium est eadem ratio. Sic ventriculus, sic os, sic pedes, sic manus faciunt; non omnes tamen id nosse volunt, quamvis hoc sermone id exposuerit hic auctor. Multis tamen danda venia est, propter dicendi obscuritatem non intelligentibus. Hanc enim sententiam et prisco more et succincte extulit et sursum et deorsum sine copulatione, ut dicta est maxima pars eorum, quae hoc libro continentur, vel quod ipse primum ita scripserit, vel quod librarius, ut verisimile est, errarit, aut ad extremum quod

Ed. Chart. VI. [280.]

ἢ τέλος μετατεθειμένων καὶ κενωθησομένων πολλῶν πρός τε τοῦ Καπίτωνος καὶ Διοσκορίδου καὶ τῶν ἄλλων τολμηρῶν ἐξηγητῶν, ὥσπερ ἐν ταῖς ἄλλαις τοῦ Ἱπποκράτους πραγματείας συμβέβηκεν. ἀλλ' οὐ πρόκειται νῦν ἡμῖν τῶν ἄλλων ἐξελέγχειν τὰ σφάλματα, ἀλλὰ τὴν Ἱπποκράτους λέξιν ἐξηγήσασθαι. φησὶ γοῦν αὐτὸς κατὰ μὲν οὐλομελίην πάντα συμπαθέα, κατὰ δὲ μέρεα τοῦ μέρεος ἑκάστου πρὸς τὸ ἔργον, διδάσκων ἡμᾶς ὅτι τὰ μόρια πάντα, ὡς εἶπον, πρὸς ἓν ἔργον συντείνει· καὶ ἕκαστον μόριον ὡσαύτως, ὡς πρὸς τὸ ζῆν πάντα καὶ πρὸς μέσας τοῦ σώματος ἐνεργείας καὶ πρὸς τὰς μερικὰς ἐνεργείας τὰ κατὰ μέρη· ὡς αἱ χεῖρες τῆς ἀντιλήψεως χάριν ἐγένοντο, οἱ δ' ὀφθαλμοὶ τῆς ὄψεως, οἱ δὲ πόδες τῆς βαδίσεως καὶ τἄλλα τὸν αὐτὸν τρόπον. εἰ μὲν οὖν ὡς ὀφθαλμῶν καὶ χειρῶν καὶ ποδῶν ἅπασιν ἔνδηλον τοὔργον, οὕτω καὶ θώρακος καὶ πνεύμονος καὶ καρδίας καὶ τῶν ἄλλων ἁπάντων ἦν, οὐκ ἂν ἀναγκαῖον εἴη πολλὰ περὶ τούτων εἰπεῖν· νυνὶ δὲ πλείστων ἄδηλον τοὔργον καὶ μὴ μόνον τοῖς πολλοῖς καὶ τυχοῦσιν, ἀλλὰ καὶ τοῖς ἰατροῖς τε καὶ φιλοσόφοις. διὸ οὐκ ἐνδέχεται τῶν

multa ſint immutata et innovata a Capitone, a Dioſcoride et aliis audacibus interpretibus, ſicut in aliis Hippocratis ſcriptis contigit. Sed nunc non eſt nobis propoſitum aliorum errata arguere, ſed Hippocratis explicare ſententiam. Ait igitur: *in totius corporis compage omnia conſentiunt et partis cujusque partes ad ejus actionem conſpirant.* Quibus verbis nos docet, omnes partes, ut dixi, in unam actionem conſpirare, unamquamque eodem modo: ut omnes ad vitam et ad omnes corporis actiones conſentiunt, ſic ſingulae ad ſingulas actiones conſpirent, ſicut manus apprehenſionis cauſa factae ſunt, oculi aſpectus, pedes inceſſus et caeterae partes pari modo. Si igitur ut manuum, oculorum pedumque actio omnibus manifeſta eſt, ita etiam pectoris, pulmonis, cordis et aliarum omnium partium eſſet, non eſſet neceſſe de eis multa dicere; nunc vero actio plurimarum abdita eſt, nec ſolum vulgo et cuivis homini, ſed etiam medicis ac philoſophis, proinde ſit

Ed. Chart. VI. [280. 281.]
κατὰ μέρος ἐξευρεῖν καὶ τὰς ἐνεργείας καὶ τὴν χρείαν οὐδενός. εὔδηλον δ' ὅτι ὅσοι περὶ τὰς ἐνεργείας τῶν ὀργάνων σφάλλονται, οὗτοι καὶ τὴν χρείαν τῶν μορίων ἀγνοοῦσι. ταύτης δὲ μὴ γινωσκομένης οὔτε πῶς πάντα συμπάσχει κατὰ τὴν οὐλομελίαν οὔτε κατὰ τὰ μέρη δυνατόν ἐστι γινώσκεσθαι. ἄνευ γὰρ τῆς τοιαύτης θεωρίας πῶς τῶν ἐγκεφάλου μορίων ἢ καρδίας ἢ τῶν ἄλλων σχεδὸν ἁπάντων σπλάγχνων ἑτοίμως ἐξευρήσομεν ἑκάστου τὴν ὠφέλειαν; διαφέρουσι δὲ περὶ τούτων καὶ φιλόσοφοι πολλοὶ καὶ εὐδόκιμοι καὶ οἱ ἰατροὶ οὐ τυχόντες. [281] ὁ μὲν γὰρ τὴν καρδίαν, ὁ δὲ τὰς μήνιγγας, ὁ δὲ τὸν ἐγκέφαλον ἐν ἑαυτῷ φησιν ἔχειν τὸ τῆς ψυχῆς ἡγεμονοῦν· ὥστε καὶ τῶν ἐν αὐτοῖς μορίων τὴν ὠφέλειαν ἄλλος ἄλλην ἐρεῖ. ἵνα γοῦν τὴν ἀλήθειαν γνῶμεν, δι' ὀλίγων ῥημάτων διδάσκει Ἱπποκράτης τούς γε δυναμένους μανθάνειν τὰ αὐτοῦ. οὐ δύναται δὲ εὑρηθῆναι χωρὶς τοῦ περὶ χρείας μορίων ἀκριβῶς ἐπεσκέφθαι. τοῦτο δ' ἐστὶ τὸ γινώσκειν, ἥτις ἐστὶν ἡ ἀρίστη κατασκευὴ

ut neque actionem, neque usum partium singularum inveniamus. Quum interdum evidens sit, quicunque in actionibus instrumentorum falluntur, eos etiam partium usum ignorare, hoc autem ignorato, nec quomodo omnia in totius corporis compage simul consentiant, neque quomodo id in singulis partibus fiat, cognosci potest. Etenim hac neglecta contemplatione, quomodo particularum cerebri aut cordis aut aliorum fere omnium viscerum singulorum utilitatem sine mora inveniemus? His de rebus dissentiunt multi clarique philosophi et medici non vulgares. Alius enim in corde, alius in membranis, alius in cerebro animae principatum statuit. Proinde partium, quae in illis sunt, alius aliam utilitatem esse vult. Ergo ut veritatem cognoscamus, paucis verbis docet Hippocrates eos, qui ab ipso possunt perdiscere. Sed ea inveniri non potest, nisi partium utilitas sit accurate considerata. Quod in eo positum est, ut quae sit optima corporis con-

Ed. Chart. VI. [281.]
τοῦ σώματος. ταῦτα δὲ ἐν τοῖς περὶ χρείας μορίων ἀκριβῶς ἐξείργασται.

κε'.

Ἀρχὴ μεγάλη εἰς ἔσχατον μέρος ἀφικνέεται, ἐξ ἐσχάτου μέρεος εἰς ἀρχὴν μεγάλην ἀφικνέεται.

Ἀρχὴν λέγομεν εἶναι τὸ μόριον ὃ τοῖς ἐφ' ἑαυτοῦ πεφυκόσιν ἤτοι δύναμιν ἢ πάντως γε τὴν ὕλην χορηγεῖ. ἵνα δὲ τὸ ζῶον ἅμα τε θερμὸν ᾖ συμμέτρως, εἰς ὅσον πρέπει τῷ ζώῳ γενέσθαι θερμῷ καὶ τοὺς τόπους ἀμείβειν δύνασθαι, δύο ἀρχὰς ἐπεκτήσατο, τὴν μὲν ἑτέραν ὀργάνων διαφυλαξάντων αὐτῷ τὴν κατὰ φύσιν θερμότητα, τὴν δὲ ἑτέραν τῶν ὑπηρετησόντων ἁπάσαις ταῖς καθ' ὁρμὴν ἐνεργείαις. ἐπειδὴ δὲ τὸ κύημα πληρωθῇ τοῦ αἵματος, τότε τρεῖς εἰσιν αἱ ἀρχαὶ, ἡ καρδία καὶ ὁ ἐγκέφαλος καὶ τὸ ἧπαρ. ἔστι μὲν τάδε ἀρχαὶ, ἀδιάρθρωτα δὲ καὶ ἄμορφα ἔτι, πῆξιν δὲ ἤδη

ftitutio, cognofcatur. Haec autem in libris de ufu partium funt diligenter pertractata.

XXV.

Principium magnum in ultimam partem pervenit, ex ultima parte ad principium magnum pervenit, una natura effe et non effe.

Principium effe dicimus partem, quae iis a fe exortis aut facultatem aut materiam omnino praebet. Ut autem animal fit moderate calidum, quatenus ei convenit ut calidum fiat ac mutare locum queat, duo principia nactum eft, alterum inftrumentorum, quae naturalem calorem confervent, alterum eorum, quae omnibus ex appetitu actionibus obtemperent. Ubi vero foetus fit repletus fanguine, tum tria funt principia, cor, cerebrum, jecur. Haec tamen principia indiftincta adhuc funt et informia, fed quae coagulationem quandam notabilemque

Ed. Chart. VI. [281.]
τινὰ καὶ μέγεθος ἀξιόλογον ἔχοντα. προϊόντος δὲ τοῦ χρόνου τὰς μὲν τρεῖς ἀρχὰς ἔστιν ἰδεῖν ἐναργῶς· ὑπογραφὴν δέ τινα ἁπάντων ἄλλων μορίων. ἔπειτα δὲ τὰ ἐν τοῖς κώλοις καὶ ἐν τῷ ὅλῳ τῷ σώματι πάντα διαρθροῦται. τριῶν μὲν οὖν οὐσῶν ἔμαθες ὅτι ὁ ἐγκέφαλός ἐστιν ἀρχὴ τῶν προαιρετικῶν ἐνεργειῶν, ἡ καρδία δὲ τῶν ζωτικῶν ὀνομαζομένων, τὸ δὲ ἧπαρ τῶν περὶ τροφῆς, ἃς δὴ καὶ φυσικὰς ὀνομάζουσιν. νῦν δὲ ἐπειδὴ ἐν τῇ καρδίᾳ ἡ ἀρχὴ ζωῆς συνίσταται καὶ αὐτή ἐστιν ἀρχή τε καὶ πηγὴ τῆς ἐμφύτου θερμασίας, ἧς ἄνευ οὐ δύναται ζῶόν ποτε ζῆν, διὰ τοῦτο τὴν καρδίαν αὐτὴν ἀρχὴν μεγάλην καλεῖ· ἐξ αὐτῆς γὰρ ὁρμῶσα ἡ ἔμφυτος θερμότης εἰς πάντα τοῦ ζώου μόρια, καὶ τὰ ἐγγυτάτω καὶ τὰ πορρωτάτω, ἅπερ αὐτὸς ἔσχατα λέγει, κατὰ πᾶσαν ὥραν καὶ πάντα χρόνον ἀφικνεῖται καὶ πάλιν εἰς αὐτὴν παλινδρομεῖ, ὡς τοιαύτην τινὰ γενέσθαι ἀμοιβὴν, οἵαν δὴ ἔφαμεν πολλάκις πρὸς τὴν ζωὴν ἀναγκαίαν εἶναι, καὶ ταύτης στερούμενον τὸ ζῶον οὐχ οἷόν τε μὴ μόνον οὐκ ἐνεργεῖν τι τῶν ὅλων πραγμάτων, ἀλλὰ καὶ μηδ' ὅλως ζῆν.

magnitudinem habeant. Progreſſu autem temporis licet haec tria principia evidenter intueri et quandam etiam aliarum omnium partium deſcriptionem; denique et artus et quae in toto ſunt corpore diſtinguuntur. Quum igitur tria ſint, noſti cerebrum eſſe voluntariarum actionum principium, cor earum, quae vitales nominantur, jecur earum, quae ad nutrimentum pertinent, quas etiam naturales vocant. Quumque in corde ſit vitae principium, ipſumque ſit et origo et fons innati caloris, ſine quo nunquam vivere animal poteſt, ideo ipſum cor magnum principium nuncupat. Siquidem ab ipſo dimanans nativus calor in omnes animantis partes et proximas et remotiſſimas, quas ipſe ultimas vocat, omnibus horis omnique tempore pervenit et rurſus ad idem principium revertitur, ut talis quaedam fiat viciſſitudo, quam perſaepe eſſe ad vitam neceſſariam admonuimus et qua privatum animal non poſſe non ſolum nihil plane agere rerum omnium, ſed ne omnino quidem vivere. Ac fortaſſe hoc unam

Ed. Chart. VI. [281. 282.]
καὶ ἴσως τήνδε μίαν φύσιν καλεῖ, ὡς τοιαύτης οὔσης ἄνθρωπος εἴη, μὴ οὔσης δὲ οὐκ εἴη.

κστ'.

Νούσων διαφοραὶ ἐν τροφῇ, ἐν πνεύματι, ἐν θερμασίῃ, ἐν αἵματι, ἐν φλέγματι, ἐν χολῇ, ἐν χυμοῖσιν, ἐν σαρκὶ, ἐν πιμελῇ, ἐν φλεβὶ, ἐν ἀρτηρίῃ, ἐν νεύρῳ, μυῒ, ὑμένι, ὀστέῳ, ἐγκεφάλῳ, νωτιαίῳ μυελῷ, στόματι, γλώσσῃ, στομάχῳ, κοιλίῃ, ἐντέροισι, φρεσὶ, περι- [282] τοναίῳ, ἥπατι, σπληνὶ, νεφροῖσι, κύστεϊ, μήτρῃ, δέρματι. ταῦτα πάντα καὶ καθ' ἓν καὶ κατὰ μέρος. μέγεθος αὐτῶν μέγα καὶ οὐ μέγα.

Ἦν ἐπὶ τοῦ τῶν νοσημάτων ἀριθμοῦ ζήτησις παρὰ πᾶσι τοῖς παλαιοῖς ἰατροῖς. εἶπον γάρ τινες ἑπτὰ τὰ πάντα εἶναι αὐτά· ἄλλοι δὲ ἐλάττω τούτων ἢ πλείω. ἄλλοι δὲ, ὡς οἱ ἀπὸ Κνίδου, τὸν τῶν μορίων τοῦ σώματος ἀριθμὸν τῆς νόσου προσέγραψαν, ὡς εἶναι τῆς χολῆς νόσους ἑπτά· τῆς

naturam nuncupat, ut quum hic calor adsit, homo sit, quum ille absit, homo esse desinat.

XXVI.

Morborum differentiae in alimento, in spiritu, in calore, in sanguine, in pituita, in bile, in humoribus, in carne, in pinguedine, in vena, in arteria, in nervo, musculo, membrana, osse, cerebro, spinali medulla, ore, lingua, gula, ventriculo, intestinis, septo transverso, peritonaeo, jecore, liene, renibus, vesica, utero, cute, haec omnia tum sigillatim, tum per partes, magnitudo ipsorum magna et non magna.

De numero morborum apud omnes veteres medicos extitit quaestio. Quidam enim omnes morbos esse septem numero dixerunt, alii aut plures aut pauciores. Alii, ut Cnidii, numerum partium corporis ad numerum morborum accommodarunt, ut bilis sint morbi septem, vesicae

Ed. Chart. VI. [282.]
δὲ κύστεως ιβ', νεφρῶν δὲ δ', τοῦ μηροῦ δὲ β', τοῦ ποδὸς ε'. ὡς καὶ στραγγουρίας τέσσαρας, τετάνους τρεῖς, ἰκτέρους δ', καὶ φθίσεις γ', καὶ κυνάγχας πολλὰς, καὶ κατὰ τὸν αὐτὸν τρόπον τὰς τῶν ἐντέρων διαθέσεις πολλάς. ὅπερ οὔτε ἀληθὲς, οὔτε ἀναγκαῖόν ἐστιν. * * ἀλλ' εἰ νῦν κινήσαιμι τὴν περὶ διαφωνίας αὐτῶν διέξοδον, ἀπάξω τοῦ χρησίμου τὸν λόγον. διττὸν γὰρ δή που γένος ἐστὶ νοσημάτων, ἕτερον μὲν ἐν τοῖς ὁμοιομερέσι σώμασιν, ἕτερον δὲ ἐν τοῖς ὅλοις ὀργάνοις, ὡς ἐν τοῖς ὁμοιομερέσιν εἰσὶν αἱ δυσκρασίαι, τῶν δ' ὅλων ὀργάνων ἓν μὲν τὸ παρὰ τὴν διάπλασιν, ἓν δὲ τὸ παρὰ τὸν ἀριθμὸν τῶν μορίων, ἄλλο δὲ τὸ παρὰ τὸ ποσὸν ἑκάστου καὶ τὸ παρὰ τὴν θέσιν. ἔστι καὶ ἡ τῆς συνεχείας λύσις, ὡς εἶναι ἓξ τὰ πάντα τῶν νοσημάτων γένη· αἱ δὲ καθ' ἕκαστον αὐτῶν διαφοραὶ μέχρι τῶν ἐσχάτων εἰδῶν ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς εἴρηται. ἄλλας δὲ τῶν νόσων διαφορὰς νῦν αὐτὸς λέγει· ὡς ἐκ τῆς τροφῆς, ἐκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος καὶ ἐκ τῶν ἄλλων πολλῶν. καὶ γὰρ ἐκ τῆς τρο-

duodecim, renum quatuor, femoris duo, pedis quinque, ficut etiam difficultatis urinae quatuor, diftentiones tres, morbi regii quatuor, tabis tres, anginae multos, eodemque modo inteftinorum multas affectiones pofuerunt, quod neque verum eft, neque neceffarium. * * * Verum fi nunc de illorum diffenfione dicere aggrediar, fermonem ad inutilia deflectam. Morborum enim duplex eft genus, alterum in partibus fimilaribus, alterum in totis organis. Ut in fimilaribus funt intemperies, fic et in inftrumentis unum in figura fpectatur; alterum in numero partium, tertium in cujusque quantitate, quartum in fitu obfervatur. Eft vero etiam folutio continui, atque ita fena funt omnia genera morborum. Horum autem cujusque differentiae ad ultimas usque fpecies in libro de differentia morborum expofitae funt. Alias vero morborum differentias ipfe nunc connumerat, quae ab alimento, ab aëre nos ambiente et ab aliis multis rebus oriuntur. Etenim fieri morbos ex alimento in libro de natura hominis atte-

φῆς γίνεσθαι νοσήματα εἶπεν αὐτὸς κατὰ τὸ περὶ φύσεως ἀνθρώπου, ταυτὶ γράφων· αἱ δὲ νοῦσοι γίνονται αἱ μὲν ἀπὸ διαιτημάτων, αἱ δὲ ἀπὸ τοῦ πνεύματος, ὃ ἐσαγόμενοι ζῶμεν. καὶ τὴν διάγνωσιν ἑκατέρων προστίθησιν. ἐπεὶ δὲ μὴ μόνον ἀπὸ τῶν ἐσθιομένων καὶ πινομένων, ἀλλὰ καὶ ἀπὸ τῶν θερμῶν λουτρῶν ἢ ψυχρῶν καὶ γυμνασίων, ἀργίας τε καὶ ἀγρυπνίας καὶ λύπης καὶ θυμοῦ καὶ ψύξεως καὶ ἐγκαύσεως γίνονται, εἰκότως προσέγραψεν, ἐν θερμασίῃ καὶ τὰ λοιπά. ἐπειδὴ δὲ τὴν αὐτὴν ἀναλογίαν ἔχει πρὸς μὲν τὰς φλέβας ἡ ἐκ τῆς κοιλίας εἰς αὐτὰς ἀναδιδομένη τροφὴ, πρὸς δὲ τὰς σάρκας ἡ ἐκ τῶν φλεβῶν εἰς ἐκείνας, ἣν παρεῖχε τὰ ἐσθιόμενά τε καὶ πινόμενα πρὸς τὴν γαστέρα. διὰ τοῦτο ἐκ τῶν κακοχυμιῶν πάμπολλα συμβαίνει γενέσθαι νοσήματα, ὡς ἐρυσιπέλατά τε καὶ καρκίνους καὶ γάγγραίνας, φαγεδαίνας τε καὶ ἄνθρακας καὶ ἕρπητας, ὅσα τε ἄλλα τοιαῦτα. ἐνίοτε δὲ τὰ ἐδέσματά ἐστι μοχθηρὰ ἢ φύσει ἢ διὰ σηπεδόνα τινά. καὶ φύσει καθάπερ κρόμμυά τε καὶ σκόροδα καὶ κάρδαμα καὶ πράσα, διὰ σηπεδόνα τε ὥσπερ καὶ πυροὶ καὶ κριθαὶ καὶ τἄλλα τὰ γεύματα. τοι-

ſtatus eſt his verbis: *morbi autem tum a victu, tum a ſpiritu, quem trahentes vivimus, oriuntur.* Tum utriusque generis diſtinctionem adjunxit. Quia vero non ſolum ab iis, quibus veſcimur, quaeque bibimus, ſed etiam a lavacris, exercitationibus, otio, vigilia, moerore, ira, frigore et aeſtu morbi gignuntur, merito addidit: *in calore*, et reliqua. Quum autem alimentum e ventriculo in venas diſtributum eandem habeat proportionem cum venis et cum carnibus, id quod e venis in ipſas diditur, quam habuerunt eſculenta et poculenta cum ventriculo, idcirco ex vitio humorum plurimi morbi oriri ſolent, ut eryſipelata, cancer, gangraenae, phagedaenae, carbunculi, herpetes et caeteri generis ejusdem. Edulia autem interdum vitioſa ſunt aut natura, aut propter corruptelam quandam. Natura, ut caepa, allium, cardamum, porrum; propter corruptelam, ut triticum, hordeum et alia quae guſtantur. Hujusmodi autem eduliis veſci fame coacti

αὐτὰ γοῦν ἐδέσματα ἀναγκασθέντες ἐσθίειν πολλοὶ διὰ λιμὸν οἱ μὲν ἀπέθανον ἀπὸ σηπεδονωδῶν τε καὶ λοιμωδῶν νόσων, οἱ δὲ ἐξανθήμασιν ἑάλωσαν ψωρώδεσί τε καὶ λεπρώδεσι. τοῦτο μὲν γὰρ φανερόν ἐστιν, ὅτι τὰ ἐδέσματα τὰ μοχθηρὰ μοχθηρὸν εἴωθεν αἷμα γεννᾷν· ἐκ δὲ τοῦ αἵματος ἡ θρέψις γίνεται· ὅθεν πολλὰ γένη τῶν νοσημάτων ὑπάρχει. πάντων δὲ διὰ τοῦτο ἀπέχεσθαι συμβουλεύω τῶν μοχθηρῶν τε καὶ κακοχύμων ἐδεσμάτων, κἂν εὔπεπτά τισιν εἴη. λανθάνει γὰρ ἐν χρόνῳ πλείονι μοχθηρὸς ἐν ταῖς φλεψὶ χυμὸς ἐξ αὐτῶν ἀθροιζόμενος· ὃς τοῦ χρόνου προϊόντος τοὺς πυρετοὺς κακοήθεις ἐργάζεται. οὕτω καὶ τὴν ποικιλίαν τῶν ἐδεσμάτων φευκτέον. οὐδὲν γὰρ τοῦδε μᾶλλον ἐναντιοῦται πέψει σιτίων, καὶ μάλιστα, ὅταν αὐτὰ τὰ ἐδέσματα ἐξ ἐναντίων ταῖς δυνάμεσι σύγκειται. [283] τί λέγω τὴν ἔνδειαν τῆς τροφῆς; αὕτη γὰρ πλειόνων αἰτίαν παρέχει νοσημάτων, ὡς καὶ τὰς ἐν γαστρὶ ἐχούσας ἐκτιτρώσκειν· ὡς ἐν ἄλλοις μὲν τὴν χολὴν γενέσθαι, ἐν ἄλλοις δὲ ψυχρότητα, ἐν ἄλλοις τρόμον, ἐν ἄλλοις ῥύσιν τῶν τριχῶν. κατὰ τὸν αὐτὸν

aut mortui ſunt oppreſſi morbis, qui a corruptela oriri ſolent et quos peſtis affert, aut puſtulis ſunt correpti, ſcabiem lepramque referentibus. Id enim manifeſtum eſt, vitioſa edulia ſanguinem vitioſum gignere, ac nutritionem a ſanguine effici. Unde multa genera morborum exiſtunt. Itaque hoc conſilii do, abſtinendum eſſe ab omnibus vitioſis malique ſucci eduliis, etiam ſi ſint ad concoquendum facilia. Humor enim vitioſus ex ipſis collectus diu in venis latet, qui progreſſu temporis malignas febres gignit. Eodemque pacto cenſeo eduliorum varietatem eſſe fugiendam, ſi quidem nihil eſt, quod ciborum concoctioni magis adverſetur, praeſertim vero quum ipſa edulia ex contrariis ſint conflata facultatibus. Quid dicam de alimenti indigentia? ipſa enim multorum morborum cauſa eſt usque adeo, ut etiam mulieres uterum gerentes abortum faciant, in aliis bilis gignatur, in aliis refrigeratio, in aliis tremor, in aliis capilli defluant. Simili quoque modo

Ed. Chart. VI. [283.]
δὲ τρόπον, ἂν τροφὴ παρὰ φύσιν, ὡς αὐτός φησι, πλείων εἰσέλθῃ, τοῦτο νόσον ποιεῖ. διὸ πειρατέον ἡμῖν, διότι κενούμεθα, ὡς τρέφεσθαι καὶ ὡς ἴσην εἶναι τὴν τροφὴν τῷ πλήθει τῆς ἀποῤῥεούσης οὐσίας. ἀποῤῥεῖ δὲ πλεῖστον μὲν τῶν θερμῶν καὶ μαλακῶν σωμάτων καὶ κινουμένων συνεχῶς ἢ σφοδρῶς, ἐλάχιστον δὲ τῶν ψυχρῶν καὶ σκληρῶν καὶ μετρίαις ἐνεργείαις ὑπηρετούντων * ἀλλὰ καὶ τῆς οὐσίας αὐτῆς ἡ μὲν σκληροτέρα καὶ λιθώδης μόνιμός ἐστι καὶ δυσκίνητος, ἡ δὲ ὑγρὰ καὶ μαλακὴ ταχὺ μὲν ὑπὸ τῆς * εἰς * ἀναλύεται, ταχὺ δ' ἐξαπ νεῖται. ἀνάλογον οὖν εἶναι χρὴ τὸ ποσὸν τῆς τροφῆς τῷ ποσῷ τῆς διαπνοῆς. * τοὶ διαφοραὶ τῶν νοσημάτων ἐπὶ μὲν τῇ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κράσει γίνονται, διὰ τὴν ἑκάστου φύσιν καὶ δίαιταν, ἣν ὑγιαίνων διαιτᾶται. εἰ γὰρ ἡ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσις ἦν αἰτία μόνη τῶν νοσημάτων, ἅπαντες ἂν ἐνοσοῦμεν ἐν ἑκάστῃ τῶν ὡρῶν ἐκείνας τὰς νόσους, ὅσαι τῶν ὡρῶν εἰσιν οἰκεῖαι. νῦν δὲ

si alimentum praeter naturam plus ingeſtum ſit, ut ipſe ait, *hoc morbum facit*. Quocirca danda nobis opera eſt, ut quoniam evacuamur, alimentum aequale ſit copiae ejus ſubſtantiae, quae defluit. Plurimum autem defluit a calidis mollibusque corporibus et iis quae aut aſſiduo aut vehementi motu cientur, minimum autem a frigidis, duris et quae moderatas actiones obeunt. *
Et quod ad ſubſtantiam pertinet, quae durior lapideaque eſt, permanens eſt et aegre movetur. Quae vero humida eſt ac mollis *, cito a reſolvitur.

Quocirca copia alimenti debet copiae perſpirationis proportione reſpondere. * Morborum differentiae ex temperatura aëris non ambientis fiunt ex natura cujusque victus ratione, qua bene valens quis utatur. Si enim ſola aëris nos ambientis temperatura eſſet cauſa morborum, omnes in ſingulis anni temporibus illis generibus morborum affligeremur, qui morbi ad illa eſſent tempora accommodati. Sed et propter errata, quae

Ed. Chart. VI. [283.]

καὶ διὰ τὰς ἐν τῇ διαίτῃ τε καὶ τῷ βίῳ πλημμελείας καὶ ἄλλας πολλὰς αἰτίας αἱ νόσοι γίνονται, ὡς ἐν τῷ περὶ φύσεως ἀνθρώπου γέγραπται. τὴν δὲ διάγνωσιν αὐτὸς γράφει. * * λέγει δὲ μόνην τὴν θερμότητα, ὅτι δραστικωτάτη αὕτη τῶν ποιοτήτων ἐστίν· ἑξῆς δὲ τὴν ψυχρότητα· εἶθ' ὑγρότητα καὶ ξηρότητα. θερμότης μέντοι καὶ ψυχρότης ὅλην ἀλλοιῶσαι δύνανται τὴν πλησιάζουσαν οὐσίαν. ὑγρότης δὲ καὶ ξηρότης ἐν χρόνῳ μὲν μεταλλάττουσι καὶ αὗται τὰ ὑποκείμενα, διὰ τάχους δὲ οὐχ ὁμοίως ταῖς εἰρημέναις. οὐκ ἔστι δὲ εἷς τρόπος οὔτε γενέσεως οὔτε αὐξήσεως τῆς θερμότητος, ἀλλ' ἤτοι διὰ κίνησιν ἢ διὰ σῆψιν ἢ δι' ὁμιλίαν ἑτέρας θερμότητος ἢ δι' ἐπίσχεσιν ἀποῤῥοῆς θερμῆς ἢ δι' ἐπιμιξίαν οὐσίας θερμῆς. ἐξ ὁμιλίας μὲν οὖν, ὡς εἴτε ἥλιος εἴτε πῦρ εἴτε φάρμακον εἴη τὸ θερμαῖνον, ἔξωθεν ἁπτόμενον ἢ πλησιάζον. ἐκ κινήσεως δέ, ὡς ὅταν ὁ θυμὸς κινεῖ σφοδρῶς τὴν θυμοειδῆ δύναμιν, ἐν τῷ σώματι τῆς καρδίας καθιδρυμένην. ἐκ δὲ τῆς σήψεως

in victu committuntur et propter multas alias caufas morbi oriuntur, quemadmodum in libro de natura hominis fcriptum eft. Caeterum diftinctionem ipfe attulit. * * Solam autem caliditatem commemorat, quia ipfa eft qualitatum efficaciffima. Ad ipfam addidit frigiditatem, tum humiditatem ac ficcitatem, ac caliditas quidem et frigiditas totam fubftantiam, quae vicina fit, alterare poffunt; humiditas vero et ficcitas temporis progreffu mutant ipfae quoque res fubjectas, fed tamen non tam celeriter ficut antedictae. Non eft autem unus modus neque originis, neque incrementi caliditatis, fed hoc fit aut propter motum, aut propter putredinem, aut propter alterius caliditatis vicinitatem, aut propter calidae effluxionis retentionem, aut calidae fubftantiae admixtionem. Propter vicinitatem, ut facit fol aut ignis, aut fi medicamentum calefaciens extrinfecus admotum contingat aut adhaereat. Propter motum, ut quum ira vehementer commovet facultatem irafcendi, quae in corpore cordis collocata eft. Propter vero putredinem *

Ed. Chart. VI. [283.]

* * διττὴ γὰρ ἡ πρόφασις τῆς ἐπιῤῥοῆς· μία μὲν, ὅταν ἐξ ἑτέρων μορίων ἐπιπέμπηται τοῖς ἀσθενεστέροις τὰ περιττώματα, δευτέρα δὲ, ὅταν ἕλκηται, τῆς θερμασίας ἤτοι γε ἕλκειν ὑφ' ἑαυτὴν, ἢ δέχεσθαι ῥεύματα πεφυκυίας. * * θερμοῦ δὲ κρατοῦντος νοσεῖν ἀνάγκη τὸ ζῶον, εἶδος νοσήματος ἐοικὸς τῇ φύσει τοῦ κρατήσαντος αἰτίου. φλεγμοναὶ μὲν οὖν καὶ ἐρυσιπέλατα καὶ ἕρπητες καὶ ἄνθρακες καὶ τὰ καυσώδη καὶ πάντα τὰ πυρετώδη πάθη ἐστὶ τοιαῦτα, ὡς πάλιν σπασμοὶ καὶ τέτανοι καὶ παλμοὶ καὶ νάρκαι καὶ παραλύσεις, ἐπιληψίαι τε καὶ παραπληγίαι τοῦ κρατοῦντος ψυχροῦ. καθάπερ αὖ πάλιν ἐκ τῆς μελαίνης χολῆς καρκῖνοι τε καὶ ἐλέφαντες καὶ ψώρα καὶ δέρματος κνησμὸς καὶ τεταρταῖος πυρετὸς καὶ ἡ μελαγχολία καλουμένη καὶ τὸ τοῦ σπληνὸς μέγεθος καὶ τὰ ἄλλα πολλὰ γενέσθαι πέφυκε· καὶ ἐκ τῶν ἄλλων χυμῶν ἄλλα, ἅπερ οὐ χρὴ ἐν τῷ νῦν χρόνῳ καταριθμεῖν. μεγάλην οὖν χρείαν τοῖς ζώοις ἡ σύμμετρος παρέχει θερμασία, μάλιστα μὲν τῷ πνεύματι τῷ ψυχικῷ καὶ τοῖς κυριωτάτοις ὀργάνοις, ἤδη

Duplex enim eſt cauſa effluxionis, altera quum ab aliis partibus excrementa ad imbecilliores mandantur, altera quando eodem trahuntur, quod caliditas apta ſit fluxiones ad ſe trahere, aut easdem recipere. * * Si calor ſuperet, neceſſe eſt ut animal aegrotet eo morbi genere, qui morbus ſimilis ſit naturae ejus cauſae, quae ſuperarit. Quare inflammationes et eryſipelata et herpetes et carbunculi et affectus cum ardore et febre conjuncti ſunt hujusmodi, ſicut etiam convulſiones, diſtentiones, palpitationes, ſtupores, nervorum reſolutiones, morbi comitiales et paraplegiae frigoris ſuperantis affectus ſunt. Quo etiam modo ex atra bile exoriri ſolent cancer, elephas, ſcabies, pruritus cutis, quartana febris et affectio quae melancholia dicitur et lienis magnitudo atque alia permulta. Et item ex aliis humoribus alia, quae non ſunt hoc tempore annumeranda. Magnam autem utilitatem affert animantibus calor moderatus, praecipue autem animali ſpiritui et inſtrumentis locum ma-

Ed. Chart. VI. [283. 284.]
δὲ καὶ καθ᾽ ὅλον τὸ σῶμα, ὡς ἑτέρωθι δέδεικται. * * [284] τὸ μὲν γὰρ ψυχρὸν αἷμα πῶς ἂν εἰς ἀτμοὺς λύοιτο; ἀμέτρως δὲ θερμὸν, εὐκόλως μὲν λύεται εἰς ἀτμοὺς, ἀλλ᾽ εἰς θολεροὺς τούτους καὶ καπνώδεις. * * ταῦτ᾽ ἄρα τὸ μελαγχολικὸν αἷμα καὶ τὸ πικρόχολον εἰς ἀτμοὺς μοχθηροὺς λυόμενον τὸ μὲν εἰς μελαγχολίαν, τὸ δὲ εἰς φρενῖτιν ἄγει. ἐνίοτε δὲ καὶ παραφροσύνην φέρει, ὡς ἐν τοῖς καυσώδεσι πυρετοῖς. ἐπειδὴ δὲ ἰδία ἑκάστου τῶν μορίων οὐσία ψυχροῦ καὶ θερμοῦ καὶ ξηροῦ καὶ ὑγροῦ κρᾶσις ποιά τίς ἐστιν, ἰστέον ὅτι ξηρὸν μὲν ἀμέτρως, ἢ ὑγρὸν οὐκ ἐν ἀκαρεῖ χρόνῳ γίγνοιτο τῶν μορίων οὐδὲν, ψυχρὸν δὲ ἐσχάτως ἢ θερμὸν δύναιτ᾽ ἂν προφανῶς γίνεσθαι. καὶ διὰ τοῦτο κρᾶσις διαφθείρεται ὑπ᾽ οὐδενὸς οὕτω ταχέως ὡς ὑπὸ τῆς κατὰ τὴν θερμασίαν ἀμετρίας· καθάπερ καὶ ὄφελος οὐ σμικρὸν, ὅταν εἴη κατὰ φύσιν θερμόν. καὶ τοῦτο οὐ μόνον κατὰ τὴν πρώτην διάπλασιν, ἐν ᾗ θᾶττον μὲν ὀστοῦν πήγνυται, θᾶττον δὲ ἀποτείνεται τὰ νεῦρα· θᾶττον δὲ αἱ φλέβες καὶ ἀρτηρίαι

xime principem obtinentibus; ſed et toti corpori, ſicut alibi oſtenſum eſt. * Quomodo enim frigidus ſanguis in vapores ſolveretur? immodice vero calidus facile quidem in vapores ſolvitur, verum turbidos et fumoſos. * * Ob hanc igitur cauſam ſanguis melancholicus et bilioſus in vapores vitioſos ſolvuntur et alter ad melancholiam, alter ad inſaniam perducit. Interdum vero etiam in febribus ardentibus ad delirium. Quum autem propria cujusque pars ſubſtantia ſit frigidi, calidi, humidi et ſicci quaedam temperatura, ſciendum eſt nullam partem ſtatim immoderate ſiccam aut humidam reddi, extreme vero frigidam aut calidam evidenter effici. Itaque temperatura a nulla re tam celeriter corrumpitur quam ab immoderato calore, ſicut non exigua utilitas eſt, quum naturalis calor eſt. Idque non ſolum in prima conformatione, in qua oſſa citius concreſcunt, nervi citius extenduntur, venae et

Ed. Chart. VI. [284.]
συριγγοῦνται καὶ τἄλλα πάντα διαπλάττεται μόρια· ἀλλὰ κατὰ πᾶσαν τὴν ζωήν. οὕτω δὲ καὶ περὶ φλέγματός τε καὶ τῆς χολῆς ξανθῆς καὶ μελαίνης νομιστέον. ταῦτα γὰρ ὥσπερ καὶ τὸ αἷμα, ὅταν * * * οὐ γὰρ βούλονται, οὐδὲ μανίαν ἐπὶ μελαίνῃ χολῇ γίνεσθαι, καθάπερ μηδὲ καρκίνον, μηδὲ ἐλέφαντα, μηδὲ τὰς θηριώδεις ἐν φρενίτισι παρακοπὰς, μηδὲ κιρσοὺς, μηδ' αἱμοῤῥοΐδας. * * καθάπερ οὐδὲ τὸ πικρόχολον καὶ ὀῤῥῶδες περίττωμα. καί τοι φαίνονται πάντες κατὰ τὸ σῶμα οἱ χυμοὶ περιεχόμενοι. καὶ τοῦτο Ἱπποκράτης ἀπέδειξεν ἐκ τοῦ πάντας ἐκκρίνεσθαι τοῖς ὑγιαίνουσιν ἑλκομένους ὑπὸ τῶν οἰκείων ἑκάστου φαρμάκων. * * * φαίνεται ταῦτα. καὶ τὸ μέγεθος δὲ καὶ τὸ ἦθος ἑκάστου τῶν νοσημάτων ἐκ τούτων λαμβάνεται. καὶ τὸ μέγεθος μὲν ἐκ τοῦ τῆς διαθέσεως μεγέθους καὶ ἐκ τῶν ἑπομένων αὐτῇ συμπτωμάτων. τὸ δὲ ἦθος γνωρίζεται ἔκ τε τῆς διαφορᾶς τοῦ νοσήματος καὶ ἐκ τῶν συμπτωμάτων τῶν αὐτῇ ἑπομένων. τριχῶς γὰρ ἑκάστου νοσήματος μεγάλου γενομένου, διὰ τὸ κύριον τοῦ

arteriae citius in fistulae formam se induunt ac caetera membra formantur omnia, sed etiam in vita universa. Idem est de pituita, de flava bile deque atra judicandum. Haec enim, sicut etiam sanguis, cum * * * Neque enim volunt maniam ab atra bile exoriri, sicut neque cancrum, neque elephantiasin, nec ferina deliria in phrenitide, neque varices, neque haemorroidas. * * * Sicut neque biliosum serosumque excrementum, et tamen omnes humores in corpore contineri perspiciuntur, idque Hippocrates demonstravit eo, quod omnes in bene valentibus, quum unusquisque a proprio medicamento trahitur, excernuntur. * * Haec videntur. Itemque magnitudo et mos cujusque morbi ex iis percipitur. Ac magnitudo quidem ex affectionis magnitudine et symptomatis ipsam consequentibus. Mos vero tum ex differentia morbi, tum ex symptomatibus ipsum consequentibus cognoscitur. Quum enim quisque morbus tri-

Ed. Chart. VI. [284.]
πεπονθότος μορίου, διὰ τὸ μέγεθος τῆς διαθέσεως καὶ διὰ τὴν κακοήθειαν αὐτοῦ· τὰ παραδείγματα εἴη ταῦτα. ἐν μὲν οὖν τῇ κεφαλῇ καὶ τῇ κοιλίᾳ τρώματα τὸ κύριον ἐμφαίνει τοῦ τετρωμένου μορίου, κακοήθη δὲ γίνεται ταχέως πάντα τὰ ἐν τοῖς ἄρθροις τρώματα. κίνδυνος γὰρ ἐνταῦθα μὲν ὀδυνηθῆναι καὶ ἀγρυπνῆσαι καὶ σπασθῆναι καὶ παραφρονῆσαι. οὕτω δὲ καὶ τὰ μεγάλα, ὅσα οὕτως ἐστὶ μεγάλα, ὡς ῥαφῆς χρῄζειν, ἢ καὶ τῆς ἐπιδέσεως. ἐπὶ δὲ τῶν χυμῶν ἔσται ταὐτὸ τοῦτο δῆλον. ὁ γὰρ μελαγχολικὸς χυμὸς ἐπικρατῶν ὀλεθριώτατός ἐστιν, ὅτι τε κακοηθέστατος αὐτός ἐστι καὶ διαβρωτικώτατος καὶ δύσπεπτος καὶ δυσεκκάθαρτος, ὅτι τε πλείστην ἐνδείκνυται θερμασίαν, ὑφ᾽ ἧς κατοπτηθεὶς ἐγένετο. αἱματικὸς δὲ ὅτι γλυκύτατός τέ ἐστι καὶ εὐπεπτότατος, πάντων ἐπιεικέστατος εἶναι βούλεται. οἱ δ᾽ ἄλλοι δύο χυμοὶ μεταξὺ τῶν εἰρημένων εἰσί. τῶν συμπτωμάτων δὲ *

---

bus modis magnus fiat, aut propter nobilitatem affectae partis, aut propter affectionis magnitudinem, aut propter morum ipsius malitiam, exempla erunt haec, vulnera capitis et ventriculi praestantiam vulneratae partis indicant. Maligna autem statim fiunt vulnera, quae in articulis sunt. Illic enim doloris, vigiliarum, convulsionis et delirii periculum instat, sic etiam magna, quae ita magna sunt, ut vel suturam, vel deligaturam postulent. In humoribus hoc idem manifestum est: etenim melancholicus exuperans perniciosissimus est, et quod malignus est maxime roditque maxime et aegre concoquitur aegreque purgatur, et quod plurimum subesse caloris, a quo perassatus est, indicat. Sanguineus, quia dulcissimus est et maxime aptus ad concoquendum, omnium est mitissimus. Alii duo humores sunt inter praedictos interjecti medii. Symptomatum autem. *

κζ΄.

[285] *Τεκμήρια, γαργαλισμὸς, ὀδύνη, ῥῆξις, γνώμη, ἱδρὼς, οὔρων ὑπόστασις, ἡσυχίη, ῥιπτασμὸς, ὄψιες, φαντασίαι, ἴκτερος, λυγμὸς, ἐπιληψίη, αἷμα ὁλοσχερὲς, ὕπνος καὶ ἐκ τούτων καὶ ἐκ τῶν ἄλλων τῶν κατὰ φύσιν καὶ ὅσα ἄλλα τοιουτότροπα ἐς βλάβην καὶ ἐς ὠφελίην ὁρμᾷ. πόνοι ὅλου καὶ μέρεος καὶ μεγέθους σημήϊα, τοῦ μὲν ἐς τὸ μᾶλλον, τοῦ δὲ ἐς τὸ ἧσσον· καὶ ἀπ᾽ ἀμφοτέρων ἐς τὸ μᾶλλον καὶ ἀπ᾽ ἀμφοτέρων ἐς τὸ ἧσσον.*

---

* * οὔτε τῆς προαιρετικῆς δυνάμεως οὔτε τῶν ὀργάνων τῶν προαιρετικῶν ἴδιόν ἐστι πάθος, ὥσπερ ὁ τρόμος τε καὶ σπασμός· ἀλλ᾽ ἐν ἅπασι γίνεται σώμασιν, ὅσα γε διαστέλλεσθαι πέφυκεν· ἅπερ μαλακὰ τὴν φύσιν εἰσὶν, ὡς διάστασιν καὶ συνίζησιν ὑπομένειν δύνασθαι. ἐνίοτε μὲν γὰρ οὗτος ὁ παλμὸς ἐκ τῶν ὀξέων καὶ δακνωδῶν συμβαίνει χυμῶν, τῶν δακνωδῶν * * καὶ ἔστι κίνησις ἐοικυῖα τῇ κινήσει, ἣ μὲν καλεῖται πρὸς πάντων

XXVII.

Signa, titillatio, dolor, ruptio, mens, ſudor, urinarum ſedimentum, quies, iactatio, viſa, phantaſiae, icterus, ſingultus, morbus comitialis, ſanguis integer, ſomnus, et ex his et ex aliis quae ſecundum naturam ſunt et quaecunque ejusmodi caetera ad noxam et utilitatem procedunt. Labores totius et partis et magnitudinis ſigna; alterius quidem ad majus, alterius vero ad minus et ex utrisque ad majus et ex utrisque ad minus.

---

* * Neque facultatis voluntariae, neque inſtrumentorum ad hanc pertinentium eſt propria affectio, ſicut tremor et convulſio, ſed omnibus accidit corporibus quaecunque dilatari poſſunt. Haec ſuapte mollia ſunt, ut et dilatari et rurſus ſedere in ſe queant. Interdum haec palpitatio ex acribus mordacibusque humoribus exoritur. * * Eſt motus ſimilis ei motui, qui vulgo dicitur titillatio, fitque ex digitorum contactu.

Ed. Chart. VI. [285.]
γαργαλισμὸς, γίνεται δὲ ἐκ τῆς τῶν δακτύλων ἀφῆς. *
ὁ μὲν δὲ τρόμος τοιαύτη τίς ἐστι κίνησις· ὁ δὲ τῶν μορίων κλόνος, ὁ ἐν τῷ νοσώδει ῥίγει γινόμενος, ἄνευ τε προαιρέσεως ἀποτελεῖται καὶ μετὰ μεγάλα διαστήματα, τῶν ἐναντίων κινήσεων τῶν ἀλλήλων διαδεχομένων. * * παραπλήσιον δ' ἐστί πως τούτῳ πάθει ἄλλο μυῶν τε καὶ νεύρων, ὃ καλεῖται σπασμός. * ἱκανῶς ἤδη μοι * * τῷ βουλομένῳ δὲ ἀκριβῶς ὑπὲρ ἁπάντων τῶν εἰρημένων τῆς τε διαγνώσεως καὶ τῆς γενέσεως μανθάνειν ἔξεστιν ἀναγινώσκειν τὸ βιβλίον, ἐν ᾧ τελέως ὑπὲρ ἁπάντων αὐτῶν διῆλθον. πρὸς δὲ τὰ λοιπὰ νῦν ἰτέον καὶ πρῶτον μὲν περὶ τῆς ὀδύνης λεκτέον, εἶτα περὶ τῶν ἑπομένων ἐφεξῆς. * * *

* * Tremor talis quidam eſt motus. Partium vero concuſſio, quae in morboſo rigore fit, ſine voluntate efficitur et poſt longa intervalla, quum motus contrarii ſeſe excipiant. * * Huic ſimilis eſt alius morbus, qui musculos et nervos occupat, qui convulſio nominatur. * * Satis enim jam a nobis eſt dictum * * Qui autem eorum omnium, quorum facta mentio eſt, accurate tum cognitionem habere, tum originem perdiſcere ajunt, poterit is noſtrum librum perlegere, in quo de iis omnibus plene diſſeruimus. Nunc autem ad reliqua progrediendum eſt, ac primum de dolore dicendum, tum deinceps de conſequentibus. * *

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΡΟΦΗΣ ΥΠΟΜΝΗΜΑ Δ.

Ed. Chart. VI. [286.]

α'.

[286] *Γλυκὺ, οὐ γλυκύ. γλυκὺ ἐς δύναμιν, οἷον ὕδωρ, γλυκὺ ἐς γεῦσιν, οἷον μέλι. σημεῖα ἑκατέρων ἕλκεα, ὀφθαλμοὶ καὶ γεύσιες. καὶ ἐν τούτοισι τὸ μᾶλλον καὶ τὸ ἧττον. γλυκὺ ἐς τὴν ὄψιν καὶ ἐν χρώμασι καὶ ἐν ἄλλῃσι μίξεσι γλυκὺ μᾶλλον καὶ ἧσσον.*

GALENI IN HIPPOCRATIS LIBRUM DE ALIMENTO COMMENTARIUS IV.

I.

Dulce, non dulce; dulce facultate, ut aqua, dulce gustu, ut mel. Signa utrorumque ulcera, oculi et gestus et in his magis et minus. Dulce ad aspectum et in coloribus et aliis mixturis dulce magis et minus.

Ed. Chart. VI. [286.]

* *Τινὰ μὲν αὐτῶν εἰσιν ὑγρὰ, τινὰ δὲ ξηρὰ, καὶ τινὰ μὲν γλίσχρα, τινὰ δὲ εὔθρυπτά τε καὶ εὐδιαίρετα. καὶ τινὰ μὲν δριμύτητας ἐν ἑαυτοῖς ἔχοντα, τινὰ δὲ ὀξύτητας ἢ πικρότητας ἢ γλυκύτητας ἢ ἁλυκότητας ἢ αὐστηρότητας ἢ στρυφνότητας ἤ τινας ἔξωθεν τούτων ἄλλας δυνάμεις. ἐπεὶ δὲ ἐπιστήμη γίνεται ἢ ἐξ αἰσθήσεως, ἢ ἐκ νοήσεως ἐναργοῦς, ἡμᾶς ἀναγκαῖόν ἐστιν ἢ θατέρῳ τούτων, ἢ ἀμφοτέροις χρήσασθαι πρὸς τὴν τῶν νῦν προκειμένων εὕρεσιν. καὶ πρῶτον μὲν* * *

β'

Ἀραιότης σώματος ἐς διαπνοὴν, οἷσι πλέον φέρεται, ὑγιεινότερον, οἷσι δὲ ἔλαττον, νοσερώτερον. πυκνότης σώματος ἐς διαπνοὴν, οἷσιν ἔλαττον ἀφαιρέεται, νοσερόν.

Διττῆς οὔσης βλάβης τοῖς τῶν ζώων σώμασιν, ἑτέρας μὲν ἀπὸ τῶν ἔξωθεν αἰτίων, ἑτέρας δὲ ἀπὸ τῶν ἔνδοθεν,

* Ipſorum quaedam humida, quaedam ſicca, quaedam tenacia, quaedam friabilia et facile dividua ſunt. Quaedam acrimoniam in ſe habent, quaedam acorem, quaedam amaritiem aut dulcedinem aut ſalſuginem aut auſteritatem aut acerbitatem aut alias praeter has qualitates. Quum autem ſcientia oriatur aut a ſenſu, aut ab evidenti notione, nos ad eorum, quae modo propoſita nobis ſunt, inventionem aut altero horum, aut utroque uti neceſſe eſt.

II.

Raritas corporis ad perſpirationem, quibus amplius fertur, ſalubrius, quibus minus, inſalubrius. Denſitas corporis ad perſpirationem, quibus minus aufertur, morboſum.

Quum duplex ſit noxa, qua corpora animantium afficiuntur, altera ab externis, altera ab internis cauſis

Ed. Chart. VI. [286. 287.]
ὧν μὲν μαλακόν ἐστι καὶ ἀραιὸν τὸ δέρμα, τούτων εὐάλωτόν ἐστι τοῖς μὲν ἔξωθεν ἅπασιν, τοῖς δ' ἔνδοθεν, ὧν πυκνόν τε καὶ σκληρόν. διὸ καλόν ἐστιν οὕτως παρασκευάζειν τὸ δέρμα, ὡς ἑκατέρας φυλάττεσθαι τὰς ὑπερβολὰς καὶ μήτ' εἰς τοσοῦτον πυκνὸν τὸ δέρμα ποιεῖν, ὡς κωλύειν διαπνεῖσθαι καλῶς, μήθ' οὕτως ἀραιὸν, ὡς ὑπὸ παντὸς τῶν ἔξωθεν αἰτίου αὐτῷ προσπιπτόντων ῥᾳδίως βλάπτεσθαι. ἴσμεν γὰρ ὅτι τὰ μὲν ἀραιὰ τῶν σωμάτων ἀσθενέστερα μέν εἰσι καὶ πλεῖον διαμένουσιν ὑγιεινὰ, ὅταν δὲ νοσῶσι, ῥᾷον ὑγιαίνουσι· τὰ δὲ πυκνὰ τοὐναντίον. εἰ γοῦν συνεχῶς τις νοσοίη, σκεπτέον ἐπ' αὐτὴν τὴν αἰτίαν. διττὴν γὰρ ἔχει τὴν πρόφασιν, ἤτοι πλῆθος ἢ κακοχυμίαν. ὅταν οὖν ἐλάττω τὰ διαπνεόμενα τοῦ σώματος ᾖ τῶν λαμβανομένων, αἱ πληθωρικαὶ νόσοι γίνονται. διὸ δεῖ φυλάττεσθαι τὴν συμμετρίαν τῶν ἐσθιομένων τε καὶ πινομένων πρὸς τὰ κενούμενα, σκεψαμένων ἡμῶν ἐν ἑκατέροις τὴν ποσότητα. ἀφαιρεῖν δὲ χρὴ τῶν τροφῶν ἤτοι τῆς ποιότητος, [287] ἢ τῆς ποσότητος, ἢ καὶ συναμφοτέρων. καὶ τοὺς μὲν τὸ

profecta, quorum mollis raraque cutis est, ea ab omnibus externis causis facile corripiuntur, quorum vero densa duraque est, ea facilius ab internis. Quocirca prodest cutim ita praeparare, ut utrumque excessum caveamus, ut neve cutim ita densam reddamus, ut ne recte fiat perspiratio prohibeamus, neve ita laxemus, ut a quacunque causa foris in ipsam incidenti facile laedatur. Scimus enim rara corpora imbecilliora esse et sana diutius permanere et quum aegrotant, facilius sanescere, densa vero contra. Quod si quis continenter aegrotet, inspicienda causa erit. Siquidem duplex ejus rei causa est, aut plenitudo, aut vitiosus humor. Quum igitur e corpore minus perspiratur quam sint ea, quae sumpta sunt, morbi ex plenitudine oriuntur. Proinde aptus modus eorum, quae edimus et bibimus, servandus est, habita ratione eorum, quae evacuantur, quantitate in utrisque ponderata. Est autem detrahendum de alimentorum aut qualitate, aut quantitate, aut de utraque, atque in iis, qui celeriter

Ed. Chart. VI. [287.]
πλῆθος ταχέως ἀθροίζοντας ἑκατέρων, ὅσοι δὲ οὐ ταχέως, ἢ οὐ μέγα, ἀρκέσει θάτερον, ὅπερ ἂν αὐτὸς ὁ κάμνων αἱρῆται. τὸ μὲν οὖν τῆς ποσότητος ἀφελεῖν ῥᾴδιον, τὸ δὲ τῆς ποιότητος ἐν τῇ τῶν ὀλιγοτρόφων ἐδεσμάτων γίγνεται προσφορᾷ. οἱ δὲ κακοχυμίαν ἀθροίζοντες οὐχ ὡσαύτως τοῖς τὸ πλῆθος ἀθροίζουσιν. οὐχ εἷς γάρ ἐστιν ὁ σκοπὸς, ὅτι μηδὲ τῆς κακοχυμίας ἰδέα μία. ἔστι μὲν γὰρ ψυχροτέρα τε καὶ φλεγματικωτέρα τις, ὥσπερ καί τις θερμοτέρα τε καὶ χολωδεστέρα· καὶ πάλιν τις ὑδατωδεστέρα καί τις μελαγχολικωτέρα. ἀφεκτέον οὖν ἐν ἑκάστῃ σιτίων τε καὶ ποτῶν, ὅσα πέφυκε γεννᾷν ἑτοίμως τὸν ἀθροιζόμενον ἐν τῷ ἀνθρώπῳ χυμόν. εἰ δὲ τύχοι, ἀληθὲς εὑρίσκεται τὸ ὑφ' Ἱπποκράτους ῥηθὲν, ὅτι οἷς πλείω φέρεται κατὰ τὸ δέρμα, τούτους μὴ νοσεῖν συνεχῶς· διότι εἰσὶν εὐδιάπνευστοι· τοὺς δὲ ἐπ' ἐναντίον διακειμένους ἐναντίως· καὶ τοῦτ' ἔστιν ὅπερ αὐτὸς προστίθησιν εἰπών.

---

copiam humorum collignnt, de utraque. Qui non celeriter, aut non multum, ſatis erit alteram imminuere, quamcunque aegrotus optarit. Quantitatem imminuere facile eſt; quod ad qualitatem pertinet, ſit ea edulia offerendo, quae parum nutriunt. Qui vero vitioſos humores accumulant, non ſunt eo modo tractandi, quo ii qui plenitudinem congerunt, ſiquidem non eſt unus ſolum ſcopus, quum neve una quidem ſit malitiae humorum ſpecies. Eſt enim quaedam frigidior ac pituitoſior, ut quaedam calidior et bilioſior, ſicut rurſus quaedam magis aquea et quaedam magis melancholica. In ſingulis autem cibi potusque omittendi ſunt, qui cito gignere poſſint humorem, qui in homine accumulatur. Quod ſi contingat, verum invenitur quod ab Hippocrate dictum eſt: *quibus plus ad cutim fertur, eos non aſſidue aegrotare*, quia libera corporis perſpiratio eſt. Qui contrario modo ſe habent, contra. Atque id eſt quod ipſe addit, quum ait.

γ.

Οἱ διαπνεόμενοι καλῶς ἀσθενέστεροι καὶ ὑγιεινότεροι καὶ εὐανάσφαλτοι· οἱ διαπνεόμενοι κακῶς, πρὶν ἢ νοσέειν, ἰσχυρότεροι· νοσήσαντες δὲ δυσανάσφαλτοι. ταῦτα δὲ καὶ ὅλῳ καὶ μέρεϊ.

Ὅταν βλάβη τίς ἐστι τῶν πόρων, ἐφ' ᾗ κωλύεται διαφορεῖσθαι τὰ περιττώματα καὶ κακῶς διαπνεόμενοι τυγχάνομεν, αὕτη ἔμφραξις ἢ πύκνωσις ἢ μύσις τῶν πόρων ἢ καὶ στέγνωσις ὀνομάζεται. διαφέρει μέντοι ἔμφραξις τῆς πυκνώσεως, ὅτι ἔμφραξις ὑπὸ γλίσχρων ἢ παχέων περιττωμάτων ἀθροωτερον ἐπὶ τὸ δέρμα ὁρμησάντων γίνεται, πύκνωσις δὲ ὑπὸ τῶν στυφόντων καὶ ψυχόντων. ἔνιοι μὲν οὖν καλῶς διαπνεόμενοι ταύτην τὴν βλάβην φεύγουσιν, οἵπερ εἰ καὶ ἀσθενέστεροί εἰσιν, ἀλλ' ὅμως ὑγιεινότερον ζῶντες τυγχάνουσι, καὶ εἰς νόσους πεσόντες περιεστήκασιν. ἔνιοι δὲ οὕτως εὐθὺς ἐξ ἀρχῆς κατεσκευάσθησαν κακῶς, ὡς

III.

Qui probe perſpirant, imbecilliores et ſalubriores exiſtunt et facile convaleſcunt. Qui male perſpirant, priusquam aegrotent, robuſtiores ſunt. Quum vero in morbum inciderunt, diſſicilius ſaneſcunt. Haec autem et toti et parti attribuuntur.

Quum vitium quoddam meatuum cutis eſt, quo per halitum diſcuti excrementa prohibentur ac nos male tranſpiramus, id obſtructio aut condenſatio aut contractio meatuum aut etiam anguſtatio nominatur. Obſtructio tamen a condenſatione differt, quod obſtructio a tenacibus craſſisque excrementis confertim ad cutim ruentibus fiat, condenſatio ab adſtringentibus et refrigerantibus oriatur. Quidam autem, qui probe perſpirant, hoc vitium effugiunt, qui licet ſint imbecilliores, tamen magis ſani vitam degunt et quum in morbos incidunt, ſuperſtites evadunt. Quidam vero ſic a principio ſunt male conſti-

Ed. Chart. VI. [287.]
ἀεὶ νοσεῖν, μηδ᾽ ὑγιαίνειν δύνασθαι, κἂν αὐτὸν αὐτοῖς ἐπιστήσῃς τὸν Ἀπόλλωνα. καὶ ταῦτα μὴ μόνον ἐν τῷ ὅλῳ σώματι, ἀλλὰ καὶ καθ᾽ ἕκαστον μόριον. αἴτιόν ἐστι τὰ μὴ διαφορούμενα περιττώματα· ἡμᾶς μὲν γὰρ ἐσθίειν μὲν καὶ πίνειν ἀναγκαῖον, ἐπειδὴ διὰ παντὸς ἀποῤῥεῖ τι τοῦ σώματος· ἐπεὶ δ᾽ ἐσθίομεν καὶ πίνομεν, ἀναγκαῖον αὖθίς ἐστι τῆς τῶν περιττωμάτων προνοεῖσθαι κινώσεως. ἔστι δὲ τούτων εἴδη πολλὰ, ὡς τὰ μὲν ἐν τῇ γαστρὶ, πεττομένης τροφῆς, τὰ δὲ τῆς ἐν ἥπατι καὶ ἀρτηρίαις καὶ φλεψὶ, τὰ δὲ τῆς καθ᾽ ἕκαστον μόριον. διὸ χρὴ καὶ τὴν κένωσιν αὐτῶν ἰδίαν εἶναι καθ᾽ ἕκαστον· ὡς μηδ᾽ εἰς νόσον πεσεῖν μηδ᾽ ἐνοχλεῖσθαί τι. ἔστι γὰρ οὐκ ἀδύνατον τοῦτο, διότι εὑρίσκονται εἰς ταύτην τὴν χρείαν ἐν τοῖς ζώοις ὄργανα πολλὰ, τὰ μὲν ἐκκαθαίροντά τε καὶ διακρίνοντα ταυτὶ τὰ περιττώματα, τὰ δὲ παράγοντα, τὰ δὲ ἀθροίζοντα. καὶ ταῦτα πάντα ἡ φύσις αὐτὴ φαίνεται ἐξ ἀρχῆς ἐργαζομένη.

---

tuti, ut ſemper aegrotent, neque poſſint valere, etiamſi eis ipſum Apollinem praeficias. Haecque non modo in toto corpore, ſed etiam in ſingulis partibus viſuntur. In cauſa ſunt excrementa, quae per halitum non extruduntur. Neceſſe enim eſt ut comedamus bibamusque, propterea quod ſemper aliquid defluit e corpore. Quum autem edamus ac bibamus, neceſſe etiam eſt ut provideamus quo excrementa evacuentur. Eorum autem multa ſunt genera, ut quaedam ſint in ventriculo confecti cibi, quaedam ejus, qui in jecore, arteriis et venis, quaedam ejus, qui in ſingulis partibus continetur, ſane cujusque ſuam eſſe evacuationem oportet, quo neque in morbum animal cadat, neque ullam plane moleſtiam ſentiat. Id quod fieri non poteſt, quandoquidem in animantibus multa in hunc uſum inſtrumenta comperiuntur, tum quae deducant, tum quae in unum conducant, tum quae excernant, quae omnia natura videtur eſſe vel ab initio fabricata.

δ.

[288] *Πνεύμων ἐναντίην σώματι τροφὴν ἕλκει, τὰ δὲ ἄλλα πάντα τὴν αὐτήν.*

Τῶν τρεφομένων ἕκαστον ἕλκει εἰς ἑαυτὸ τὴν τροφὴν ἐκ τῶν παρακειμένων ἀγγείων. καὶ ἐκ μὲν τῶν ἀρτηριῶν εὔλογον ἕλκεσθαι λεπτοτέραν, ἐκ δὲ τῶν φλεβῶν παχυτέραν. τὸ γὰρ περιεχόμενον ἐν ταῖς ἀρτηρίαις αἷμα λεπτότερον καὶ ἀτμωδέστερόν ἐστιν, ἐκ δὲ τοιούτου βέλτιόν ἐστι τρέφεσθαι χαύνῃ σαρκὶ, καθάπερ ἐκ παχυτέρου τῇ πυκνῇ. διὰ τοῦτο ἡ σὰρξ τοῦ πνεύμονος χαυνοτάτη καὶ κουφοτάτη οὖσα καὶ μικροῦ δεῖν λευκὴ καθάπερ ἐξ ἀφροῦ πεπηγυῖα, τρέφεται ἐξ αἵματος ἀκριβῶς καθαροῦ καὶ ξανθοῦ καὶ λεπτοῦ καὶ πνευματώδους. τὸ γὰρ παρὰ τῆς καρδίας ἐπιπεμπόμενον αὐτῷ αἷμα ἅπαντα ἔχει ταῦτα τὰ πλεονεκτήματα. ἀλλὰ καὶ τὸ ἧπαρ ὑπὸ χρηστοῦ τε ἅμα τοῦ αἵματος καὶ παχέος τρέφεται, διά τε τὴν λεπτότητα τοῦ χιτῶνος τῶν ἐν ἑαυτῷ φλεβῶν καὶ τὸ μέγεθος τῶν κατατρήσεων. ὁ δὲ σπλὴν ἐκ τοῦ

IV.

Pulmo contrarium corpori alimentum trahit, alia vero omnia idem.

Quicquid nutritur, ab adjacentibus sibi vasculis alimentum in se trahit. Ac consentaneum est ut ab arteriis tenuius, a venis crassius trahatur. Sanguis enim, qui arteriis continetur, tenuior est et vaporosior. Atque hoc ali carnem laxam, sicut crassiore densam praestat. Ideo pulmonis caro, quae laxissima levissimaque est, ac paulo minus alba, utpote quae ex spuma concrevit, nutritur sanguine exquisite puro et flavo et tenui et spirituoso. Sanguis enim, qui a corde ad ipsum transmittitur, has omnes praerogativas habet. Jecur quoque nutritur sanguine probo simul et crasso, tum propter tenuitatem tunicae venarum, quae in ipso sunt, tum propter foraminum magnitudinem. Lien vero alitur humore melancholico, qui ab ipsomet viscere sit elaboratus. Horum autem

Ed. Chart. VI. [288.]
μελαγχολικοῦ χυμοῦ, ὑπὸ τοῦ αὐτοῦ σπλάγχνου κατεργασθέντος. καὶ τοίνυν καὶ τῆς σαρκὸς τῶν τριῶν τούτων σπλάγχνων ἰδέαι κατὰ τοῦ τρέφοντός εἰσιν εἶδος χυμοῦ. ἐὰν δὲ ἑνὶ λόγῳ βούληταί εἰδέναι τις τὸ περὶ τῶν τριῶν σπλάγχνων τῆς τροφῆς, ὧδε ἔχει. τὸ μὲν ἧπαρ ἐξ ἐρυθροῦ καὶ παχέος αἵματος· ὁ δὲ σπλὴν ἐκ λεπτοῦ μὲν, ἀλλὰ μέλανος· ὁ δὲ πνεύμων ἐξ ἀκριβῶς κατειργασμένου καὶ ξανθοῦ καὶ λεπτοῦ καὶ πνευματώδους καὶ καθαροῦ τὴν θρέψιν λαμβάνει. νῦν δὲ ὡς πάντων πάντα μετέχει τἄλλα μόρια, οὕτω καὶ ἀρτηρίαι καὶ φλέβες· καὶ αἱ μὲν ὀλίγου καὶ λεπτοῦ καὶ ἀτμώδους αἵματος, αἱ δ᾽ αὖ φλέβες ἐλαχίστου καὶ αὗται πνεύματος ὁμιχλώδους δὲ καὶ παχέος. εἴπερ οὖν δεῖται τρέφεσθαι τὸ σῶμα τοῦ πνεύμονος, οὐκ ἰλυώδει τινὶ καὶ παχείᾳ τροφῇ, ὡς τὸ τοῦ ἥπατος, ἀλλὰ, καθάπερ ἐῤῥέθη, λεπτῇ καὶ κούφῃ καὶ ἀτμώδει, πάντα φαίνεται ἐν τῷ ζώῳ καλῶς πρὸς τοῦ δημιουργοῦ γεγεννημένα. τρέφεται γὰρ ἕκαστον ἐκ τῆς ὁμοίας αὐτῷ τροφῆς. κοῦφον δέ ἐστι καὶ μανὸν τὸ τοῦ πνεύμονος σῶμα. δεῖται γοῦν ἀτμώδους

trinm viſcerum carnis ſpecies formae humoris ipſas nutrientis reſpondent. Si quis vero ſummatim ſcire velit, quomodo haec tria viſcera nutriantur, ita ſe res habet: jecur ex rubro craſſoque ſanguine, lien ex tenui, ſed nigro, pulmo ex accurate elaborato, flavo, tenui, ſpirituoſo puroque alimentum ſumit. Nunc autem quemadmodum aliae partes omnes ſunt omnium participes, ſic venae et arteriae ſunt, quarum hae exigui, tenuis et vaporoſi ſanguinis, venae rurſus pauciſſimi ſpiritus, ſed caliginoſi et craſſi. Si igitur corpus pulmonis alimentum poſtulat, non limoſum illud quidem et craſſum, ſicut corpus jecoris, ſed, ut dictum eſt, tenue, leve et vaporoſum: profecto apparet omnia in corpore animalis ab opifice recte facta eſſe. Unumquodque enim alimento ſibi ſimili nutritur. Leve autem ac rarum eſt pulmonis corpus. Ergo vaporoſum, tenuem et purum ſanguinem, non limoſum et craſſum, ſicut jecur, poſtulabat. Ex quo factum

Ed. Chart. VI. [288.]

καὶ λεπτοῦ καὶ καθαροῦ τοῦ αἵματος, οὐχ ὥσπερ τὸ ἧπαρ ἰλυώδους καὶ παχέος. ὅθεν ἔμπαλιν αὐτῷ τὰ τῶν ἀγγείων ἔχει, μάλιστα μὲν τοῖς καθ' ἧπαρ· ἤδη δὲ καὶ τοῖς ἄλλοις τοῦ ζώου μορίοις. ἐκείνων μὲν γὰρ ἀραιός τε καὶ λεπτὸς ὁ χιτών ἐστι τοῦ ἀγγείου τοῦ τὸ αἷμα χορηγοῦντος. διὸ πλεῖστον τοῦ παχέος ἑτοίμως τοῖς περιέχουσι διαδίδωσιν. ὁ δὲ τοῦ πνεύμονος, παχὺς καὶ πυκνὸς καὶ διὰ τοῦτο οὐδὲν πλὴν τὸ λεπτότατον ἐᾷ διεξέρχεσθαι. ἔτι δὲ ἐν τοῖς ἄλλοις μορίοις αἱ ἀρτηρίαι εἰσὶ παχεῖαι καὶ πυκναὶ, δι' ἣν αἰτίαν παντάπασιν ὀλίγον ἀτμώδους αἵματος τοῖς παρακειμένοις μορίοις ἕλκειν ἐπιτρέπουσι. τῷ δὲ πνεύμονι μόνῳ πάμπολυ τὸ τοιοῦτον μεθιᾶσιν ὑπὸ μανότητος καὶ λεπτότητος μὴ δυνάμεναι στέγειν. ὅθεν γίνεται, ὡς παντὶ τῷ πνεύμονι τὰ περὶ τὴν τροφὴν ὑπεναντίως ἔχει τοῖς ἄλλοις ἅπασι τοῦ ζώου μορίοις. καὶ μὴ θαυμαστὸν τοῦτό γε, ἐπεὶ καὶ τὰ τῆς τοῦ σώματος ἰδέας, ὄντος ἐν τῷ σώματι οὐδενὸς οὔτε οὕτω μανοῦ καὶ κούφου οὔτε πνευματώδους. ἀλλὰ καὶ ἴσμεν τρεῖς ἐπικουρίας αὐτῷ πρὸς τὴν τροφὴν ἐξ ἀνάγ-

eſt, ut vaſa habeat contraria, praecipue iis, quae in jecore ſunt, deinde vero aliis animalis partibus. In illis enim rara tenuisque eſt tunica vaſis ſanguinem ſuppeditantis. Propterea fit ut plurimum craſſi ſanguinis ac celeriter partibus circumſtantibus diſtribuat. At tunica in pulmone craſſa denſaque eſt, proinde nihil, niſi quod tenuiſſimum ſit, elabi ſinit. Jam vero in aliis partibus arteriae craſſae denſaeque ſunt. Qua ſane ratione paucum omnino ipſumque vaporoſum ſanguinem proximis partibus trahere permittunt. Soli vero pulmoni plurimum hujusmodi impartiuntur, utpote quae propter raritatem ac tenuitatem continere ipſum non poſſint. Ex quo efficitur ut quod ad nutrimentum pertinet, in pulmone contrarium ſit, atque in caeteris omnibus animalis partibus. Neque hoc mirabile eſt, quandoquidem etiam ipſius corporis forma ita ſe habet, quum nihil in toto corpore neque ita rarum, neque ita leve, neque ita ſpirituoſum reperiatur. Sed ſcimus etiam tria adjumenta ad alimentum accommodata ei neceſſario ineſſe:

Ed. Chart. VI. [288. 289.]
κης ὑπάρχειν, μίαν μὲν, τὸ πλῆθος τῆς ἐγχωρίου θερμότητος, ἑτέραν τὴν ἐν ταῖς εἰσπνοαῖς τοῦ πνεύμονος διάστασιν, [289] καὶ τρίτην ἀπὸ καρδίας ἐπιπεμπομένου μόνῳ αὐτῷ τοῦ αἵματος, ἀκριβῶς ἐν ἐκείνῃ κατειργασμένου καὶ λελεπτυσμένου· ἔτι δὲ μεγίστας ἐν αὐτῷ τὰς φλέβας· ἵνα ὅσον ἀπολείπεται τοῦ τρέφειν ἱκανῶς, διὰ τὴν τοῦ χιτῶνος πυκνότητα, τοῦτ' ἐκ τοῦ μεγέθους αὐτῶν ἀναπληροῦται. περὶ δὲ τῆς ἀρτηριώδους φλεβὸς καὶ φλεβώδους ἀρτηρίας οὐ χρὴ νῦν λέγειν. ἐνήλλακται γὰρ καὶ ἡ τούτων τῶν ἀγγείων φύσις ἐν τῷ πνεύμονι· ὅτι βέλτιον ἦν ἐν τούτῳ μόνῳ τῷ σπλάγχνῳ στεγανὴν μὲν τὴν φλέβα, μανὴν δὲ εἶναι τὴν ἀρτηρίαν· ὃ μὴ ἴσασιν οἱ μὴ ἐν ταῖς ἀνατομαῖς ἐσκεμμένοι καὶ μὴ ζητοῦντες τὰς αἰτίας τῶν φυσικῶν δυνάμεων.

ε'.

Ἀρχὴ τροφῆς πνεύματος, ῥῖνες, στόμα, βρόγχος, πνεύμων καὶ ἡ ἄλλη διαπνοή. ἀρχὴ τροφῆς καὶ ὑγρῆς καὶ ξηρῆς

primum copiam domeſtici caloris, alterum pulmonis dilatationem in inſpirationibus, tertium ſanguinem a corde ad ipſum emiſſum, qui in corde ſit accurate elaboratus et attenuatus. Praeterea vero maximae in ipſo venae ſunt, ut quantum propter tunicae craſſitudinem juſto alimento detrahitur, tantum magnitudine ipſarum expleatur. De arterioſa autem vena et venoſa arteria nihil nunc attinet dicere, ſiquidem horum etiam vaſorum natura in pulmone mutata eſt, propterea quod in hoc | ſolo viſcere denſam venam raramque arteriam eſſe praeſtabat. Quod ignorant ii, qui non ſunt in corporum diſſectionibus exercitati, quique naturalium facultatum cauſas non inveſtigant.

V.

Principium alimenti ſpiritus, nares, os, guttur, pulmo reliquaque perſpiratio. Principium alimenti tum hu-

Ed. Chart. VI. [289.]

στόμα, στόμαχος, κοιλίη· ἡ δὲ ἀρχαιοτέρη τροφὴ διὰ τοῦ ἐπιγαστρίου, ὀμφαλός.

Ἐγὼ μὲν ἐπὶ πλέον διῆλθον ὁπόση τίς ἐστιν ἡ τέχνη τῆς φύσεως ἐν ἅπασι τοῖς τῆς τροφῆς ὀργάνοις, εἰ τῆς προκειμένης πραγματείας ὁ λόγος ἦν οἰκεῖος· ἐπὶ τοσοῦτόν γε μὴν ἐνδεδεῖχθαι περὶ αὐτῶν, εἰς ὅσον ἠναγκάσθην ὑπὸ τῆς τοῦ λόγου χρείας, ἀρκέσει. τὰ γάρ τοι τῆς τροφῆς ὄργανα, καθότι περ ἂν ἐθέλῃς ἐπισκέπτεσθαι ζῶον, οὕτως ἔχοντα εὑρήσεις, ὡς εἰς τὰς πύλας τοῦ ἥπατος ἀναφερομένας ἁπάσας θεάσῃ τὰς φλέβας, ὅσαι κατ' ἔντερά τε καὶ γαστέρα καὶ σπλῆνα καὶ τὸ ἐπίπλοον ὑπάρχουσι. μιᾶς οὖν οὔσης κοινῆς χρείας, ἧς ἕνεκα πάντα τὰ ζῶα δέονται τροφῆς, ὄργανα καθ' ἕκαστον εἶδος αὐτῶν τριττά ἐστιν· τινὰ μὲν πρός τε τὴν ὑποδοχὴν καὶ τὴν κατεργασίαν αὐτῆς, ἔτι δὲ καὶ τὴν εἰς ὅλον τὸ σῶμα φοράν· ἕτερα δὲ τῶν περιττῶν ὑποδεκτικά. τριττὰ δ' ἄλλα μόρια ὑπηρετοῦντα ταῖς τούτων ἐκκρίσεσι· γαστὴρ μὲν οὖν ὑποδέχεται τὴν τροφήν,

midi, tum ficci, os, gula, ventriculus. Antiquius autem alimentum per abdomen, umbilicus.

Ego vero pluribus indicaſſem quantum in omnibus alimenti inſtrumentis ſit naturae artificium, ſi hoc eſſet hujus inſcriptionis et temporis. Tantum autem indicaſſe ſufficiat, quantum uſus orationis coëgit exponere. Etenim alimenti inſtrumenta in quocunque voles animante contemplari, ita eſſe conſtituta comperies, ut venas omnes, quae in inteſtinis, ventriculo, liene omentoque inſunt, ad jecoris portas porrigi conſpicias. Quumque unus ſit cunctis animantibus communis uſus, cujus gratia indigent alimento, in ſingulis ipſorum generibus triplicia eſſe inſtrumenta intuebere: quaedam ad alimentum ſuſcipiendum et conficiendum, atque etiam in totum corpus comportandum, alia, ut ſint receptacula excrementorum, tertia alias partes, quae excernendis excrementis ſubſerviant. Ergo ventriculus alimentum excipit, in quo exiguam quandam

Ed. Chart. VI. [289.]
καὶ ἔνθα μεταβάλλεταί τινα μικράν τε καὶ πρώτην μεταβολὴν παρασκευαζόμενα τῷ ἥπατι, μεγίστην ἀλλοίωσιν ἐργαζομένῳ τῆς εἰς αὐτὸ παραγινομένης τροφῆς. ἐντεῦθεν φλέβες εἰς ὅλον ὀχετεύουσι τὸ σῶμα κατεργασθεῖσαν αὐτήν. τὸ δὲ περιττὸν καὶ τὸ λεπτὸν καὶ τὸ κοῦφον, ἔτι τε τὸ γεῶδες καὶ βαρὺ καὶ τὸ ὑδατῶδες καὶ τὸ ὀῤῥῶδες ἐκκαθαίρει ἡ φύσις δι' ἄλλων ὀργάνων. τοιαῦτα μέν ἐστι πόροι χοληδόχοι ὀνομαζόμενοι καὶ κύστις ὁμοία τούτοις καὶ ὁ σπλὴν αὐτὸς καὶ τῶν φλεβῶν ἡ κάτω μοῖρα προαπευθυσμένου, καὶ οὐρητῆρες καὶ νεφροὶ καὶ κύστις. κοινὰ δὲ ἐν ἅπασιν ἔντερα μὲν καὶ γαστὴρ καὶ φλέβες καὶ ἧπάρ εἰσιν. ἕνεκα δὲ τῆς διακρίσεως καὶ καθάρσεως τῶν περιττῶν ἀγγεῖα χοληδόχα καὶ τὴν ἐπὶ τῷ ἥπατι κύστιν, ἔτι τε σπλῆνα καὶ νεφρούς. τοὺς δὲ ταῖς τῶν περιττωμάτων ἐκκρίσεσιν ὑπηρετοῦντας μῦς, ἵνα μηδὲν ἀπρονόητον εἴη. * * τοῦ μὴ πάνυ τι δεῖσθαι τοῦ παρὰ τῆς καρδίας πνεύματος τὸν ἐγκέφαλον. ἀπολείπεται γοῦν ἤτοι τὴν ἀναθυμίασιν αὐ-

primamque mutationem, quae ingesta sunt, subeunt ac jecori praeparantur, quod jecur ejus alimenti, quod ipsum permeat, maximam alterationem molitur. Hinc venae confectum alimentum in omne corpus diffundunt. Quod vero supervacaneum, quodque tenue et leve itemque terreum, grave, aqueum et serosum est, natura aliorum instrumentorum usu expurgat. Hujusmodi sunt meatus, qui bilis receptores nominantur, et vesica, quae est his similis, et lien et ex venis eae, quae ad imam intestini recti partem sunt, et meatus urinarii et renes et vesica. Communia porro in omnibus instrumenta sunt intestina, ventriculus, venae et jecur; ut vero excrementa discernantur atque expurgentur, vasa quae bilem recipiunt et vesica jecori adjuncta, praeterea vero lien et renes. Musculi vero accesserunt, qui reliquiis cibi depellendis subserviant, ne quid sine providentia relictum esse videatur. * * Quod cerebrum eo spiritu, qui influit a corde, non admodum indigeat. Restat igitur ut in eo insit aut abundans ex sanguine exhalatio, aut

Ed. Chart. VI. [289. 290.]
τῷ τὴν ἐκ τοῦ αἵματος ἱκανὴν ὑπάρχειν ἢ τὴν διὰ τῶν ῥινῶν εἰσπνοήν. οὐ γίνεται δὲ δαψιλὴς ἀναθυμίασις. ὥστε ἀναγκαῖον ἐκ τῆς διὰ τῶν ῥινῶν τὴν πλείστην εἶναι τροφὴν τῷ ψυχικῷ πνεύματι. [290] διὰ τοῦτο γοῦν φησιν Ἱπποκράτης ἀρχὴν τῆς τροφῆς πνεύματος εἶναι στόμα, ῥῖνας, βρόγχον, πνεύμονα καὶ τὴν ἄλλην ἀναπνοήν. ἐξ ἁπάντων γὰρ τούτων τρέφεται. προστίθησι δὲ ἀρχὴν τροφῆς καὶ ὑγρᾶς καὶ ξηρᾶς εἶναι στόμα, στόμαχον καὶ κοιλίαν. αὕτη δὲ ἐστὶν ἀρχὴ ἡ πρώτη, ἡ δευτέρα δὲ αἱ ἐξ ἥπατος εἰς κοιλίαν καθήκουσαι φλέβες, ἐν αἷς πρώταις αἷμα γίνεται. ἡ τρίτη δὲ τὸ ἧπαρ αὐτό. ἡ τετάρτη δὲ μετὰ τὸ ἧπαρ ἡ κοίλη φλὲψ, ἐν ᾗ πρώτῃ καθαρὸν τῶν περιττωμάτων ἀπολείπεται τὸ αἷμα. ὥστε τροφῆς μὲν ἀρχή ἐστι στόμα, στόμαχος, κοιλία, πνεύματος δὲ στόμα, ῥῖνες, βρόγχος, πνεύμων, ὡς καὶ ὀμφαλὸς ἀρχαιοτέρας τροφῆς δι' ἐπιγαστρίου. ἔστι γὰρ ἐν αὐτῷ ἀγγεῖα τέτταρα, δύο μὲν ἀρτηρίαι, δύο δὲ φλέβες μέσον ἑαυτῶν ἔχουσαι τὸν οὐραχόν. καὶ ἐκ μὲν τῶν ἄνω μερῶν αἱ φλέβες εἰσὶν, ἐκ δὲ τῶν κάτωθεν αἱ ἀρ-

inſpiratio per nares. Caeterum exhalatio copioſa non ſit. Quare neceſſe eſt ut a naribus plurimum alimenti ſpiritu animali ſuppeditetur. Quamobrem dixit Hippocrates principium alimenti ſpiritus eſſe os, nares, guttur, pulmonem et aliam reſpirationem, ſiquidem his omnibus alitur. Addit autem, humidi ſiccique alimenti principium eſſe os, gulam et ventriculum. Eſt enim primum principium. Secundum autem praeſtant venae ex jecore in ventrem pertinentes, in quibus primis ſanguis gignitur. Tertium vero ipſum eſt jecur. Sicut quartum eſt vena cava, in qua prima ſanguis ab excrementis purus relinquitur. Quocirca alimenti principium eſt os, gula, ventriculus, ſpiritus vero os, nares, guttur, pulmo, ſicut umbilicus antiquioris alimenti principium eſt per abdomen. In eo enim quatuor vaſa ſunt, duae arteriae ac duae venae, quae in medio ſui habent urinaculum. In ſuperioribus partibus ſunt venae, in inferioribus arteriae. Pro-

Ed. Chart. VI. [290.]
τηρίαι. εὐθὺς γοῦν ἑκάτερον ζεῦγος τῶν ἀγγείων ἐν τῷ χωρίῳ τῷ ἐπιτηδείῳ ἐστί. καὶ διὰ τούτων οἷον ἐκ πρέμνων τινῶν ἐκ τῆς μήτρας ἕλκει τὸ ἔμβρυον αἷμα καὶ πνεῦμα, ὅπερ Ἱπποκράτης ἀρχαιοτέραν καὶ πρωτίστην τροφὴν καλεῖ, τουτέστι πρὶν ἂν εἰς τὸ φῶς ἐξιέναι τὸ βρέφος, διὰ τοῦ ὀμφαλοῦ καὶ τῶν τεττάρων ἀγγείων τῶν προειρημένων τρέφεσθαι.

στ'.

Ῥίζωσις φλεβῶν ἧπαρ, ῥίζωσις ἀρτηριῶν καρδία. ἐκ τουτέων ἀποπλανᾶται ἐς πάντα αἷμα καὶ πνεῦμα καὶ θερμασίη διὰ τούτων φοιτᾷ.

Ἐπειδὴ τὸ ἧπάρ ἐστι ῥίζωσις φλεβῶν, ἡ δὲ καρδία ἀρτηριῶν, λέγει ὅτι καὶ αἷμα μὲν ἐξ ἥπατος ἀποπλανᾶται εἰς πάντα, πνεῦμα δὲ ἐκ τῆς καρδίας, θερμασία δὲ ἐξ ἀμφοῖν. καὶ ταῖς μὲν κατὰ τὴν καρδίαν ἀρτηρίαις αἱ κατὰ τὸ ἧπαρ φλέβες ἀνάλογον ἔχουσιν. καὶ ὥσπερ ἡ ἐκ τῆς

tinus igitur utrumque vaforum par eft idoneo in loco conftitutum. Ac per ea velut per truncos quosdam foetus ab utero fanguinem et fpiritum ducit. Id quod Hippocrates antiquius et longe primum alimentum vocat, hoc eft, antequam infans in lucem proferatur, per umbilicum et quatuor vafa antedicta ali folet.

VI.

Radix venarum jecur, radix arteriarum cor; ab his et fanguis et fpiritus in omnia aberrat et calor per haec permeat.

Quoniam jecur eft radix venarum et cor arteriarum, ait fanguinem quoque ex jecore et fpiritum ex corde in omnes corporis partes evagari et ex utrisque calorem promanare. Atque arteriis, quae in corde funt, proportione refpondent venae quae funt in jecore. Et quemadmodum

Ed. Chart. VI. [290.]
ἀριστερᾶς κοιλίας τῆς καρδίας ἀρτηρία φυομένη πρέμνον τῶν καθ' ὅλον τὸ ζῶόν ἐστι τῶν ἀρτηριῶν, τὸν αὐτὸν τρόπον ἀπὸ τῆς κοίλης φλεβὸς αἱ καθ' ὅλον τὸ ζῶον ἀποπεφύκασι φλέβες, οἷον κλάδοι τινὲς, ὡς ἀπὸ στελέχων. ταῖς δ' οἷον ῥίζαις τῶν ἀρτηριῶν, ταῖς εἰς τὸν πνεύμονα κατασχιζομέναις, ἐκ τῆς καρδίας ἀνάλογον αὖ πάλιν αἱ κατὰ τὴν γαστέρα τε καὶ τὸν σπλῆνα καὶ τὸ μεσεντέριον ἔχουσι φλέβες. καὶ μὲν δὴ καὶ τῶν τῆς κοίλης φλεβὸς μερῶν τὸ μὲν ἐπὶ τὴν ῥάχιν καταφερόμενον ἀνάλογόν μοι νόει τῇ μείζονι μοίρᾳ τῆς μεγάλης ἀρτηρίας τῇ κάτω φερομένῃ, τὸ δὲ ἐπὶ τὰς σφαγὰς ἀναφερόμενον τῇ μικροτέρᾳ. ἔστι μὲν οὖν μέγιστον ἀγγεῖόν τι ἐκπεφυκὸς τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας, ὅπερ αὐτίκα μετὰ τὴν ἐκ τῆς καρδίας ἔκφυσιν εἰς δύο τέμνεται μέρη, ὧν τὸ μὲν ἐπὶ τὴν ῥάχιν κατακάμπτεται, πᾶσι τοῖς κάτω μορίοις ἐπιπέμψον ἀρτηρίας, τὸ δὲ ἐπὶ τὴν κεφαλὴν ἀναφέρεται, παρέξον τῆς ἄνω καρδίας ἅπασιν ἀρτηρίας. αὐτῆς δὲ τῆς ἀρτηρίας τὸ κάτω φερόμενον μέρος ἐπιβαίνει τε τῷ πέμπτῳ θώρακος σπονδύλῳ, θάτερον

arteria, quae ex finiftro cordis ventriculo producitur, truncus eft arteriarum quae in toto funt animante, eodem modo venae, quae in totum animantis corpus funt diffufae, veluti rami quidam a trunco, a vena cava funt exortae. Arteriis vero, quae a corde in pulmonem funt divifae, quae funt veluti radices, proportione refpondent eae venae, quae ad ventriculum, lienem et mefenterium collocantur. Atque etiam ex venae cavae partibus, quae deorfum fertur ad fpinam, eam mihi intellige refpondere parti magnae arteriae majori, quae deorfum fertur; eam vero, quae furfum fertur ad jugulum, minori. Eft autem vas quoddam maximum, quod a finiftro cordis ventriculo exoritur. Quod fimul atque e corde emerfit, in duas partes dividitur, quarum altera ad fpinam deflectitur, partibus omnibus inferioribus arterias immiffura, altera furfum ad caput fertur, arterias omnibus partibus, quae fupra cor funt, praebitura. Pars autem ejus, quae fertur deorfum, quintam thoracis vertebram confcendit, altera

Ed. Chart. VI. [290. 291.]

δὲ μετὰ τὴν πρώτην ἔκφυσιν καί τινα μοῖραν ἑαυτοῦ ἀποπέμπει πρὸς τὴν ἀριστερὰν ὠμοπλάτην καὶ μασχάλην ἀνατεινομένην, ἢ ἀναφέρεται ἄσχιστος μέχρι τῆς πρώτης πλευρᾶς. ἐνταῦθα δὲ πρὸς τὰ πρῶτα μεσοπλεύρια πέμπει τι μόριον ἑαυτοῦ εἰς ὑποχόνδριόν τε καὶ τιτθὸν ἕτερον, ὑποτεταγμένον ἅπαντι τῷ στέρνῳ. [291] διεξερχόμενον δὲ τὰ τῶν στ' σπονδύλων τρήματα τοῖς πλησιάζουσι κατὰ τὴν ὁδὸν μυσὶ πέμπει ἀποβλαστήματα, καὶ τὸ ταύτης ἀρτηρίας ὑπόλοιπον ἐπὶ τὴν ἀριστερὰν ὅλην χεῖρα καὶ τὴν ὠμοπλάτην διανέμεται. τὸ δὲ μεῖζον μέρος τῆς ὅλης ἄνω φερομένης ἀρτηρίας ἐπὶ τὴν σφαγὴν ἀναφέρεται καὶ τῷ κατὰ τὸ μέσον στέρνον ὀστῷ συνάπτεται. αὕτη δὲ ἡ μεγίστη τῶν ἀρτηριῶν, τὰ κατὰ τοῦ θώρακος διερχομένη, ἀποφύσεις ἑκατέρωσε πέμπει κατὰ τὰς χώρας τῶν μυῶν τῶν μεσοπλευρίων καὶ διεκπίπτει οὐκ ὀλίγον εἰς τοὺς ἔξω τοῦ θώρακος μῦς. καὶ τῇ γαστρὶ καὶ τῷ σπληνὶ καὶ ἥπατι ἀρτηρίας παραδίδωσι, ἡνίκα πρῶτον ἐν τοῖς κάτω γίνεται φρενῶν, ὅθεν καὶ ἡ τοῖς ἐντέροις διανεμομένη παραγίνεται. ἐφεξῆς

poſt primum exortum partem ſui quandam ad ſiniſtram ſpatulam et axillam ſurſum mittit, quae ad primam uſque coſtam ſurſum fertur indiviſa. Illinc autem partem quandam ſui mittit ad prima ſpatia intercoſtalia, hypochondrium atque alteram mammam, quae toti oſſi pectorali ſubjecta eſt. Penetrans autem per ſex vertebrarum foramina etiam muſculis propinquis obiter propagines immittit. Quod autem hujus arteriae reliquum eſt, in totam manum ſiniſtram et ſcapulam diſtribuitur. Major autem totius arteriae, quae ſurſum fertur, pars ſurſum ad jugulum fertur et medio pectoris oſſi conjungitur. Haec autem aliarum arteriarum maxima inferiores thoracis partes pertranſiens, propagines in utramque partem mittit in ea loca, in quibus muſculi intercoſtales poſiti ſunt, et non exigua in thoracis muſculos externos excidit et ventri ac lieni et jecori arterias impertitur, quum primúm ad loca, quae ſub phrenibus ſunt, pervenerint. Unde profecta inteſtinis etiam

Ed. Chart. VI. [291.]

δὲ εἰς τοὺς νεφροὺς μέγιστον ζεῦγος ἀρτηριῶν ἐμβέβληκεν. τῶν δὲ ἐπὶ τοὺς νεφροὺς ἰουσῶν αἱ εἰς τοὺς ὄρχεις εἰσίν. ὅσαι δὲ εἰς ἄλλας τοῦ σώματος χώρας καθέκαστον διανέμονται, οὐ πρόκειταί μοι διέρχεσθαι νῦν, μακρότητος τοῦ λόγου φειδομένῳ, μάλιστα δὲ τοῦ περὶ τῶν φλεβῶν ὑπολοίπου ὄντος λόγου, μακροῦ μὲν ἐκείνου, ἀλλ᾽ οὐ πάνυ ἀναγκαίου τοῖς τὰ ἡμέτερα περὶ τῆς ἀνατομίας αὐτῶν καὶ τὰ περὶ χρείας μορίων ἀναλέξασι. δι᾽ ἐκείνων γὰρ ὑπομνημάτων ἐπὶ πλέον καὶ ἀρκούντως εἴρηταί μοι περὶ τούτων, ὅμως δὲ οὐ χεῖρον ἀναμνῆσαι νῦν. ἐπεὶ τοίνυν τρέφεσθαι δεόμεθα, διότι κενούμεθα, τῷ πλήθει τῆς ἀποῤῥεούσης οὐσίας ἴσην εἶναι χρὴ τὴν τροφήν. ἡ μὲν οὖν μεγίστη φλὲψ ἁπασῶν τῶν κατὰ τὸ ζῶον ἐκπέφυκε τοῦ ἥπατος ἐφ᾽ ἑκάτερα τὰ μέρη, τό τε ἄνω τοῦ σώματος ἡμῶν καὶ τὸ κάτω. πλησίον δὲ αὐτοῦ φλέβες εὐρεῖαι καὶ βραχεῖαι πρὸς τοὺς νεφροὺς ἀποσχίζονται. ἡ λοιπὴ δὲ νομὴ πᾶσα κατά γε ῥάχιν ὅλην καὶ τὰ σκέλη παραπλησίως ἔχει τῇ κατὰ τὰς ἀρτηρίας.

diſtribuitur. Deinceps autem maximum par arteriarum in renes inſevit. Quae vero in teſticulos feruntur, ſunt ex iis, quae in renes perrumpunt. Quaecunque autem in alia corporis loca ſigillatim diſſundantur, mihi nunc orationis prolixitatem vitanti non eſt propoſitum explicare, praeſertim quum reſtet etiam de venis ſermo, qui longus eſt ille quidem, ſed non admodum neceſſarius iis, qui ea quae de ipſarum diſſectione conſcripſimus et noſtros de uſu partium libros perlegerunt. In illis enim commentariis et copioſius et quantum ſatis ſit de iis a me dictum eſt. Nec tamen fuerit incommodum, ea nunc commemorare. Quoniam igitur alimento indigemus, quia evacuamur, ideo oportet alimentum aequale eſſe copiae ejus ſubſtantiae, quae deſluit. Vena igitur omnium, quae animali inſunt, maxima ex jecore in utramque corporis noſtri partem, ſuperiorem, inquam, et inferiorem enaſcitur. Prope ipſum autem venae latae ac breves ad renes dividuntur. Reliqua earum omnis diſtributio in tota ſpina et cruribus eo modo ſe habet, quo in arteriis. Atque etiam omnis venarum

Ed. Chart. VI. [291.]
ἀλλὰ καὶ ἡ εἰς τὰ ἔντερα νομὴ πᾶσα τῶν φλεβῶν ἣν ἀπὸ πυλῶν ἥπατος ἴσχουσιν ἅμα ταῖς ἀρτηρίαις, ἔστι καὶ εἰς ἐπίπλοον καὶ σπλῆνα καὶ γαστέρα, μιᾶς εἰς ταῦτα πάντα κατασχιζομένης φλεβὸς, ἀπὸ τῆς μεγάλης ἀποπεφυκυίας, ἐπειδὰν πρῶτον ἔξω τοῦ διαφράγματος γένηται. τοῖς ἄνω μέρεσι ἀνάλογον τῇ κενώσει ἡ φύσις ἔνειμε τὰς φλέβας, τοῖς μὲν ὀστοῖς μικρὰς, τῷ δὲ πνεύμονι μεγίστην τὴν ἐκ καρδίας ἐκπεφυκυῖαν. καρδία δὲ διὰ τὸ πλῆθος τῆς θερμασίας ἀναλίσκει πλείονα τροφὴν, ἐγκέφαλος δὲ ἧττον διαφορεῖται διὰ τὴν τῆς θερμασίας ἔνδειαν. ἐπειδὴ δὲ πρόκειται εἰπεῖν περὶ

* * *αἱ δὲ φλέβες διανε* * *

ζ.

Δύναμις μίη καὶ οὐ μίη, ἣ πάντα ταῦτα καὶ ἑτεροῖα διοικέεται. ἡ μὲν ἐς ζωὴν ὅλου καὶ μέρεος, ἡ δὲ ἐς αἴσθησιν ὅλου καὶ μέρεος.

in inteſtina diſtributio, quam a portis jecoris habent, ſimul cum arteriis eſt, itemque ea quae ſit in omentum, ventriculum et lienem, in quae omnia unica vena dividitur, quae a magna propagatur, ubi primum extra ſeptum transverſum progreſſa eſt. Partibus autem ſuperioribus natura venas diſtribuit ad proportionem eorum quae evacuantur, atque oſſibus quidem parvas, pulmoni maximam ei a corde inſertam dedit. Cor autem propter magnam caloris copiam plus alimenti conſumit. Cerebrum minus per halitum diſſipatur: cauſa eſt caloris indigentia. Quoniam autem nobis propoſitum eſt agere de *

Venae autem

VII.

Facultas una et non una, quae haec omnia et diverſa gubernat. Alia quidem ad vitam totius et partis, alia vero ad ſenſum totius et partis.

Οὐσῶν τεττάρων δυνάμεων ὧν ἅπαν μετέχει μόριον καὶ τῆς μὲν ἑλκούσης τὸ οἰκεῖον, τῆς δὲ κατεχούσης, τῆς δὲ ἀλλοιούσης, τῆς δ' ἀποκρινούσης τὸ περιττὸν, διὸ εἶπεν περὶ τροφῆς δύναμιν εἶναι μίαν καὶ οὐ μίαν, δεικνὺς μὲν κατὰ τὸ γένος μίαν εἶναι δύναμιν, ἰδέας δὲ πολλὰς ἔχειν· καὶ τοῦτο δηλονότι ἤτοι πρὸς ζωὴν ὅλου τοῦ ζώου ἢ καὶ πρὸς μέρος, ἤτοι πρὸς τὴν αἴσθησιν ἀναφέρηται. * *

η'.

[292] Γάλα τροφὴ, οἷσι γάλα τροφὴ κατὰ φύσιν, ἄλλοισι δὲ οὐχί. ἄλλοισι δὲ οἷσιν οἶνος τροφὴ καὶ οἷσιν οὐχί. καὶ σάρκες καὶ ἄλλαι ἰδέαι τροφῆς πολλαί.

Ἐξ αἵματος ἀκριβῶς πεπεμμένου γένεσίς ἐστι τῷ γάλακτι. καὶ τοῖς τιτθοῖς οὐκ ἐκ τῶν πλησίων ἀγγείων, ἀλλὰ ἐκ τοῦ μακροτάτου διαστήματος ἡ φύσις αἷμά τε καὶ πνεῦμα παράγει. ταῦτα γὰρ ἡμῖν ἐν ἑτέροις ἀποδέδεικται. τὸ

Quum quatuor facultates ſint, quarum omnis pars eſt particeps, quae trahit quod ſibi aptum eſt, quae continet, quae alterat quaeque excernit quod ſuperfluit, de alimento unam eſſe facultatem dixit et non unam, ut unam eſſe genere facultatem, ſed multas habere ſpecies oſtenderet. Atque id ſive ad totius animantis aut partium ipſius vitam, ſive etiam ad ſenſum referatur. * *

VIII.

Lac alimentum eſt iis, quibus lac ſecundum naturam alimentum eſt, aliis vero minime. Alii ſunt, quibus vinum alimentum eſt, alii quibus non eſt, et carnes et aliae multae ſpecies alimenti.

Lac generatur ex ſanguine exacte concocto. Natura autem et ſanguinem et ſpiritum ad mammas non e propinquis vaſculis, ſed longiſſimo interjecto ſpatio adducit, quod eſt a nobis alibi demonſtratum. Lac autem, quod

Ed. Chart. VI. [292.]
δὲ γάλα, ὅπερ ἐστὶν ἀκριβῶς εἰργασμένη τροφὴ, ἐκ τούτων γίνεται. ἐξ αἵματος μὲν γὰρ ἔτι κυουμένοις ἡμῖν ἡ τροφή. ἐξ αἵματος δὲ καὶ ἡ τοῦ γάλακτος, ὡς εἶπον, γένεσις ὀλιγίστην μεταβολὴν ἐν μαστοῖς προσλαβόντος. * * ἄριστον μὲν τοῖς βρέφεσι τὸ τῆς μητρός ἐστι γάλα, πλὴν εἰ νενοσηκὸς εἴη· ὅταν δὲ ἄμεμπτον εἴη, τότε ἐστὶν αὐτοῖς κατὰ φύσιν, καὶ τὰ βρέφη συνηθεστάτῃ τε καὶ οἰκειοτάτῃ χρῆται τροφῇ. καὶ ἡ φύσις μὴ μόνον τὴν τοιαύτην τροφὴν παρασκευάζει τοῖς βρέφεσιν, ἀλλὰ καὶ δυνάμεις αὐτοῖς ἐξ ἀρχῆς εὐθὺς συμφύτους παρέχει τῆς χρήσεως αὐτῆς. ἐπισκέπτεσθαι δὲ καὶ δοκιμάζειν ἀκριβῶς δεῖ τὸ γάλα γεύσει καὶ ὄψει καὶ ὀσφρήσει. τὸ γὰρ ἄριστον ἔσται τὸ γευομένοις καὶ ὀσμωμένοις ἡδύ· ὀφθήσεται δὲ λευκόν τε ἅμα καὶ ὁμαλὸν καὶ μέσον πως τοῦ ὑγροῦ τε καὶ παχέος. τὸ δὲ μοχθηρὸν ἤτοι παχὺ ἢ ὑγρὸν ἢ ὀῤῥῶδες ἢ πελιδνὸν καὶ ἀνώμαλον ἐν συστάσει καὶ τῇ χρόᾳ. ἀλλὰ καὶ τοῖς γευομένοις πικρὸν ἢ ἁλμυρὸν ἢ τινος ἑτέρας ἀλλοκότου ποιότητος μετέχον φανήσεται. φησὶ δὲ μὴ μόνον τὸ γάλα εἶναι τρο-

eſt alimentum exacte confectum, ex iis efficitur. Quum enim adhuc in utero ſumus, ſanguine alimur. Et ex ſanguine qui perexiguam in mammis mutationem aſſumat, lac, ut dixi, conficitur. * * * Lac matris, niſi aegrotet, eſt infantibus optimum. Quumque culpa vacat, tunc eis naturale eſt et infantes uſitatiſſimo accommodatiſſimoque alimento fruuntur. Ac natura non modo hoc infantibus alimentum parat, ſed facultates eis inſitas ab ipſo ſtatim initio tribuit, quibus uti eo poſſint. Conſiderandum explorandumque accurate eſt lac guſtu, viſu et odoratu. Quod enim optimum eſt guſtantibus odorantibusque erit ſuave, intuentibus vero candidum ſimul et aequale et medium quodammodo inter liquidum et craſſum. Quod vero vitioſum eſt aut craſſum aut liquidum aut ſeroſum aut lividum, et conſiſtentia coloreque inaequale. Sed et guſtantibus amarum aut ſalſum aut abſurdae cujusdam qualitatis particeps videbitur. Ait autem non ſolum alimentum eſſe

φὴν, ἀλλὰ καὶ πολλὰς εἶναι τῶν ἄλλων τροφῶν ἰδέας, ὡς τοῦ οἴνου, τῶν σαρκῶν, τῶν ὀσπρίων καὶ τῶν ἄλλων πολλῶν, ἅπερ αἱ γυναῖκες προμασώμεναι καὶ ἐντιθεῖσαι τοῖς στόμασι τῶν παιδίων εἰώθασι τῇ πείρᾳ διδαχθεῖσαι. ἢ καὶ τοῦτο λέγει αὐτὸς περὶ παντὸς γένους τῆς τροφῆς, ᾗ ὁσημέραι χρῶνται οἱ θνητοί; τοῦτο γὰρ ἄμεινον. εἶπε γὰρ μίαν μὲν εἶναι δύναμιν τῷ γένει, ἰδέας δὲ πολλάς.

θ'.

Καὶ κατὰ χώρην καὶ ἐθισμόν.

Ἐπιβλέπειν χρὴ τὴν ἐνεστῶσαν ὥραν τοῦ ἔτους εἴτε ἐαρινὴ, εἴτε θερινὴ, εἴτε φθινοπωρινὴ, εἴτε χειμερινὴ ἐστὶν, καὶ τὸ χωρίον, ἐν ᾧ εἰσιν οἱ ἄνθρωποι, καὶ τὴν ἡλικίαν αὐτῶν. ὡς εἰ τὸ χωρίον θερμὸν ἢ ψυχρὸν, καὶ πότερον νέοι ἢ ἀκμάζοντες ἢ πρεσβῦται. δεῖ δὲ καὶ τὸ ἔθος γνώριμον ἡμῖν εἶναι. ἔνιοι γὰρ τὰ βρώματα καὶ πόματα ὅσα συνήθη δυσπεπτότερα ὄντα ῥᾷον πέττουσιν ἢ τὰ ἀσυνήθη

lac, ſed multas etiam eſſe aliorum alimentorum ſpecies, ut vinum, carnes, legumina et alia permulta, quae mulieres prius mandunt et uſu edoctae in ora infantium indere ſolent. An vero hoc ipſe dixit de omni genere alimenti, quo mortales quotidie utuntur? Id enim praeſtat accipere, nam et unam facultatem genere multasque ſpecies dixerat.

IX.

Et pro regione et conſuetudine.

Praeſens anni tempus ſpectandum eſt, utrum vernum, an aeſtivum, an autumnale, an hibernum ſit. Regio quoque attendenda eſt, in qua homines degunt. Sed et aetatis habenda eſt ratio, ut ſcias, an regio ſit calida, an frigida, et utrum ſint pueri, aut adoleſcentes, aut ſenes. Conſuetudo quoque nota eſſe nobis debet, quando ſunt, qui cibos et potus, quibus uti ſolent et difficiliores ſunt

Ed. Chart. VI. [292. 293.]
εὐπεπτότερα ὄντα. διὸ πάνυ πολλὴν ἐπίσκεψιν ποιεῖν δεῖ περὶ συνηθείας καὶ ἀσυνηθείας, εἰ μέλλοι μὴ πολλὰ τῶν κατὰ τὴν ἰατρικὴν χωλεύειν. εἴρηται δὲ περὶ ἔθους καὶ ἐν ἑτέροις ὑπομνήμασιν. διὰ τοῦτο πρὸς τὰ ἐφεξῆς μεταβήσομαι.

ι'.

[293] *Τρέφεται δὲ τὰ μὲν ἐς αὔξησιν καὶ τὸ εἶναι, τὰ δὲ ἐς τὸ εἶναι μόνον, ὡς γέροντες, τὰ δὲ πρὸς τούτων καὶ ἐς ῥώμην.*

Τὰ βρέφη καὶ τὰ παιδία καὶ τὰ μειράκια ἕλκουσι τὴν τροφὴν, ὡς αὔξησιν λάβωσι καὶ ὡς σώζειν τὴν ὕπαρξιν αὐτῶν. οἱ δὲ γέροντες οὐκ ἔτι αὐξάνονται. καὶ διὰ τοῦτο κἂν τρέφωνται, ὅμως αὔξησιν οὐ λαμβάνουσιν, ἀλλ' εἰς τὸ εἶναι μόνον τρέφονται. καθιστηκότες δὲ τελευταῖον καὶ εἰς τὸ εἶναι καὶ εἰς ῥώμην, ὡς καί τινες εἰς ταῦτα πάντα.

ad concoquendum, facilius concoquant quam insolitos et ad concoquendum faciliores. Quare magnopere spectanda est consuetudo et dissuetudo, nisi multum velis in medicina claudicare. Sed de consuetudine dictum in aliis commentariis est. Propterea ad ea, quae deinceps sequuntur, pertransibo.

X.

Aluntur quaedam ad incrementum et essentiam, quaedam ad essentiam solum, ut senes, quaedam praeterea et ad robur.

Infantes, pueruli et adolescentuli alimentum trahunt, ut incrementum sumant atque ut essentiam suam tueantur. Senes non amplius augentur. Proinde licet alantur, tamen incrementum non sumunt, sed aluntur, ut solum sint. Postremo autem qui aetatem consistentem agunt et ad essentiam et ad robur aluntur, sicut nonnulli, ut haec omnia consequantur.

ια.

Διάθεσις ἀθλητικὴ οὐ φύσει, ἕξις ὑγιεινὴ κρείσσων ἐν πᾶσι.

Διὰ τί μὲν ἡ ἀθλητικὴ διάθεσις οὐ φύσει, δι' ἑτέρων ἐξηγούμεθα. ἀκούειν δέ σε χρὴ νῦν τὴν ἕξιν τῶν σωμάτων μὴ τῶν ὁπωσοῦν γυμναζομένων, οἷον ἤτοι σκαπτόντων ἢ ἄλλο τι πραττόντων, ὅσα κατὰ φύσιν ἄνθρωποι ποιοῦσιν, ἀλλ' οἷς τοῦτο τὸ ἐπιτήδευμα οἰκεῖόν ἐστι, τὸ γυμνάζεσθαι κατ' ἀθλητικὴν τῶν ἀντιπάλων ἰσχὺν ἐπασκοῦσιν, οὓς ἀθλητὰς ἐκάλουν, οἵπερ τὸν βίον ἅπαντα ἐν γυμνασίοις διατρίβουσιν, τοῦ καταβάλλειν ἑτέρους ἕνεκα. πρὸς δὲ τὸ τοῦτο ποιεῖν πειρῶνται ἀεὶ περιβάλλεσθαι μέγεθος ὄγκου κατὰ τὸ σῶμα καὶ πλῆθος χυμῶν, ὅθεν πᾶν τὸ σῶμα τρέφεται. τὴν δὲ τοιαύτην διάθεσιν αὐτὸς εἶπεν εἶναι σφαλερὰν, ὅτι ἐπειδὴ τὰ ἀγγεῖα ὑπερπληρωθῇ ποτῶν ἢ σιτίων, κίνδυνος αὐτοῖς ἐστι τοῦ διαῤῥαγῆναι ἢ καταπνιγῆναι ἢ καὶ σβεσθῆναι τὴν ἔμφυτον αὐτῶν θερμασίαν· ὅτι μὲν χρὴ φεύγειν

XI.

Affectio athletica non eſt natura. Habitus ſalubris melior in omnibus.

Cur athletarum affectio non ſit naturalis, alibi expoſuimus. Hoc autem loco habitum corporum intelligere debes non eorum, qui quovis modo exercentur, ut qui fodiunt aut remigant aut quid aliud agunt eorum, quae homines naturaliter faciunt, ſed eorum, quorum hoc ſtudium eſt proprium, ut ſeſe exercendo contra vim athleticam adverſariorum ſe muniant, quos athletas vocarunt, qui aetatem omnem in exercitationibus conſumunt, ut alios dejiciant. Ad haec autem peragendum magnam molem corpori adjicere et humorum copiam, unde totum corpus alitur, ſemper afferre ſtudent. Hanc autem affectionem ipſe eſſe periculoſam cenſuit, quia ubi vaſa impleta cibis potibusque ſunt, periclitantur ne aut illa diſrumpantur, aut nativus calor ſuffocetur, aut extingua-

Ed. Chart. VI. [293.]
τε καὶ δεδιέναι τοιαύτην τὴν διάθεσιν πρὸς Ἱπποκράτους εἴρηται σαφῶς· τῆς δὲ φυσικῆς ἕξεως, ὅταν ὑγιεινὴ εἴη καὶ οἵα τε εἴη καλεῖσθαι εὐεξία ἁπλῶς, προσήκει παντὶ τρόπῳ σπουδάζειν, καὶ ὥσπερ ταύτην ἐπαινοῦσι πάντες, οὕτω τὴν ἀθλητικὴν πᾶς καὶ ἰατρὸς καὶ φιλόσοφος ἐμέμψατο, ὅτι, ὥς φησι Πλάτων, πρὸς οἰκονομίας καὶ πρὸς στρατείας καὶ πρὸς ἑδραίους ἀρχὰς ἐν πόλει δύσκολος, μάλιστα δὲ πρὸς μαθήσεις ἀστινασοῦν καὶ ἐννοήσεις τε καὶ μελέτας χαλεπή.

ιβ'.

Μέγα τὸ ποσὸν εὐστόχως ἐς δύναμιν ξυναρμοσθέν.

Ἐν ταῖς τροφαῖς καὶ ποιότης καὶ ποσότης ἐστὶ, καὶ μὴ μόνον δεῖ τῆς ποιότητος αὐτῶν, ἀλλὰ καὶ ποσότητος στοχάζεσθαι. πάνυ μὲν γὰρ πρὸς δύναμιν συμφέρειν φαμὲν, εἰ τὸ ποσὸν ταῖς δυνάμεσι συναρμόζῃ, καὶ τότε πέττεσθαι

tur. Dictum autem perſpicue ab Hippocrate eſt, hanc affectionem eſſe et fugiendam et pertimeſcendam. Habitui autem naturali, quum ſalubris ſit et bonus habitus appellari abſolute poſſit, omni modo ſtudere convenit, et ſicut hunc omnes ornant laudibus, ſic athleticum omnes et medici et philoſophi vituperarunt, propterea quod, ut ſcriptum reliquit Plato, et ad rem familiarem tuendam et ad militarem et ad urbanos magiſtratus gerendos incommoda eſt, et quod familiam ducit, omne diſcendi ſtudium et omnem intelligendi meditandique diligentiam impedit.

XII.

Arduum quantitas proba conjectura ad facultatem accommodata.

In alimentis qualitas et quantitas eſt. Nec ſolum debemus conjectura conſequi qualitatem, ſed etiam quantitatem. Nos vero in aliis ad vires non parum conferre dicimus, ſi quantitas facultatibus noſtris accommodetur, ac

Ed. Chart. VI. [293. 294.]
τὴν τροφὴν καλῶς ἴδομεν καὶ διαδίδοσθαι καὶ τὰ περιττὰ ἐκκρίνεσθαι καὶ τὰς ἄλλας τὰς φυσικὰς ἐνεργείας κατὰ τρόπον ἕπεσθαι. ἐναντίως δὲ, ἐὰν ἁμαρτάνῃς τι.

ιγ'.

[294] *Γάλα καὶ αἷμα τροφῆς πλεονασμός.*

Τὸ γάλα περίττωμα χρηστῆς ὑπάρχει τροφῆς, καὶ διὰ τοῦτο τῷ ἀνθρώπῳ οἱ τιτθοὶ τοῖς στέρνοις εὐλόγως πρόσκεινται, πρῶτον μὲν ὅτι οὗτος ὁ τόπος ἐστὶν αὐτοῖς οἰκειότατος, δεύτερον δὲ ὅτι ὡς σκέπη τις τῇ καρδίᾳ προσγίνεται, καὶ τρίτον ὅτι περίττωμα χρηστῆς τροφῆς ἐνταυθοῖ πλεῖστον ἐπ' ἀνθρώπων ἀθροίζεσθαι δύναται. περὶ δὲ τοῦ αἵματος οὐδεὶς ἀγνοεῖ πῶς γίνεταί τε καὶ ἐκ τίνων ὡς ὑλῶν καὶ διὰ τίνων ὀργάνων, εἰ μὴ καὶ πάντα καὶ κατὰ τὴν ἀνατομὴν καὶ ὅλην ἰατρικὴν ἀγνοεῖ.

tunc alimentum probe concoqui ac diſtribui et excrementa excerni et alias naturales actiones ordine procedere cernimus, ſicut ſecus, ſi qua in re pecces.

XIII.

Lac et ſanguis alimenti redundantia.

Lac eſt utilis alimenti excrementum. Quocirca jure factum eſt ut in homine mammae ſint in pectore collocatae, primum quia is locus eſt eis aptiſſimus, deinde quia velut tegumentum quoddam cordi accedit, tertio quia utilis excrementi plurimum in hominibus poteſt eo in loco colligi. De ſanguine autem et quomodo gignatur et ex quibus veluti materiis fiat et per quae inſtrumenta, nemo ignorat, niſi idem omnium, quae in diſſectionibus corporum medicinaque tractantur, ſit ignarus.

Ed. Chart. VI. [294.]

ιδ'.

Περίοδοι ἐς πολλὰ σύμφωνοι, ἐς ἔμβρυον καὶ ἐς τούτου τροφήν.

Τέσσαρές εἰσι τῶν κυουμένων χρόνοι· πρῶτος μὲν, ἐν ᾧ κατὰ τὰς ἀμβλώσεις τε καὶ τὰς ἀνατομὰς ἡ τοῦ σπέρματος ἰδέα κρατεῖ, δεύτερος δὲ, ἐν ᾧ καρδία καὶ ἐγκέφαλος καὶ ἧπαρ, κἂν ἔτι ἄμορφα τυγχάνῃ, πῆξιν ἤδη τινὰ καὶ μέγεθος ἔχει· τρίτον δὲ ὅταν τὰς τρεῖς ἀρχὰς ταύτας ἔστιν ἰδεῖν ἐναργῶς, ὑπογραφὴν δέ τινα τῶν ἄλλων μορίων. τέταρτος δέ ἐστι χρόνος, ἡνίκα μὴ μόνον αἱ τρεῖς ἀρχαὶ, ἀλλὰ καὶ τὰ κατὰ γαστέρα καὶ τὰ ἐν κώλοις ἅπαντα διήρθρωται. οὐ γὰρ ἀποτετμημένος εἷς ὅρος ἐστὶ τοῖς ἐμβρύοις οὔτε τῆς διαπλάσεως οὔτε τῆς ἀποκυήσεως. καὶ διὰ τοῦτο εἶπεν αὐτὸς ὡς τὰ πολλὰ συμφώνους εἶναι τὰς περιόδους καὶ πρὸς τὸ κύημα καὶ ἐπειδὰν ἔχει τὰς τοῦ ζώου δυνάμεις πρὸς τὴν τροφὴν αὐτοῦ.

XIV.

Circuitus ad multa consoni, ad foetum et hujus alimentum.

Foetuum tempora sunt quatuor: primum est, in quo in abortu vel in dissectionibus superat adhuc seminis forma. Secundum, in quo cor, cerebrum et jecur, licet adhuc sint informia, quandam tamen concretionem et magnitudinem habent. Tertium est, quum tria principia evidenter licet intueri et quaedam aliarum partium descriptio apparet. Quartum illud tempus est, quum non solum tria principia, sed etiam partes ad ventrem artusque pertinentes omnes distincta sunt. Foetibus enim non est unus praefinitus terminus, neque perspicuae conformationis, neque egressionis in lucem. Quocirca ipse dixit, *ad multa*, hoc est plerumque consonos esse circuitus et ad foetum et postquam animalis facultates nactus est, ad sui ipsius alimentum.

Ed. Chart. VI. [294.]

ιε'.

Αὖθις δ' ἄνω ῥέπει ἐς γάλα καὶ τροφὴν καὶ ἐς βρέφος.

Μεγάλη συμπάθειά ἐστι τῆς τε μήτρας καὶ τῶν τιτθῶν. καί εἰσιν ἀμφότερα ταῦτα τὰ μόρια εἰς ἑνὸς ὑπηρεσίαν ἔργου παρεσκευασμένα. συνῆψε δὲ ἡ φύσις αὐτὰ διὰ τῶν φλεβῶν καὶ ἀρτηριῶν, ἅπερ ἀγγεῖα ἐκ τῶν ἄνω φέρεται κάτω τοῦ σώματος, καὶ ἐκ τῶν κάτω ἄνω, ἵνα ὅταν ἐν ταῖς μήτραις αὐξάνηταί τε καὶ διαπλάττηται τὸ ἔμβρυον, ἐκείνῳ μόνῳ αἱ κοιναὶ φλέβες τὴν ἐξ ἀμφοτέρων ἐπάρδωσι τροφήν. ὅταν δὲ ἀποκυηθὲν τύχοι, τοῖς τιτθοῖς αὖθις ἐπιῤῥεῖ σύμπασα· ὥσπερ γὰρ τὸ ἔμβρυον ἔτι ἐν τῇ μήτρᾳ ἕλκει τὴν τροφὴν τὴν ἐξ αἵματος εἰς αὐτὴν, μὴ φερομένων καταμηνίων, συῤῥοῦντος, οὕτως τοῦ βρέφους ἤδη κυηθέντος ἐκεῖνο τὸ περιττὸν, ὅσον ἀθροιζόμενον ἡ φύσις ἐφ' ἑκάστῳ μηνὶ εἴωθεν ἐκκρίνειν, εἰς γάλα τρέπεται καὶ εἰς τιτθοὺς ἀναφέρεται πρὸς τὴν τοῦ παιδίου τροφήν. ἔστι γὰρ τὰ γάλακτα

XV.

Rurſus autem ſurſum repit ad lac, ad alimentum et infantem.

Magnus eſt uteri mammarumque conſenſus. Haecque utraque pars eſt ad unius operis miniſterium praeparata. Natura autem eas venis arteriisque conjunxit, quae vaſa a partibus corporis ſuperioribus ad inferiores et ab inferioribus ad ſuperiores feruntur, ut quando in utero foetus augeatur ac conformetur, ei ſoli venae communes ex utrisque alimentum affundant. Quum vero ſit in lucem editus, mammis iterum totum affluat alimentum. Ut enim foetus, dum adhuc in utero eſt, alimentum trahit e ſanguine illuc confluente, quum interim menſtruae purgationes in uterum non comportentur, ita puerulo jam partu edito illud excrementum, quod collectum natura ſingulis excernere menſibus ſolebat, in lac convertitur et ſurſum ad mammas fertur, ut eo puerulus nutriatur. Lac enim

Ed. Chart. VI. [294. 295.]
τῶν ἐπιμηνίων ἀδελφὰ, ὥς φησιν Ἱπποκράτης. τὸ μὲν οὖν τῶν καταμηνίων ἄνω ῥέπον γάλα γίνεται καὶ τὸ βρέφος τρέφει τε καὶ αὐξάνει. διὰ ταῦτα γέγραφεν αὐτὸς ἐν τοῖς ἀφορισμοῖς, ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ αἱ καθάρσιες πορεύονται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν· καὶ ἑτέρωθί που· ἐν γαστρὶ ἐχούσῃ γάλα ἐκ τῶν μαστῶν πολὺ ῥυὲν ἀσθενοῖ τὸ ἔμβρυον· ὡς ἂν εἰς τοὺς μαστοὺς [295] τοῦ περιττοῦ πάντως ἀνιόντος, ὃ κατέλιπεν ἐν ταῖς φλεψὶ τὸ κυούμενον, μὴ δυναμένου τοῦ ἐμβρύου τὴν ἱκανὴν θρέψιν ἐπισπᾶσθαι.

ιστʹ.

Ζωοῦται τὰ μὴ ζῶα, ζωοῦται τὰ ζῶα, ζωοῦται τὰ μέρεα τῶν ζώων.

Ἐκ τῶν μὴ ὄντων γίνεται τὰ ὄντα καὶ ἐκ τῶν ὄντων ἄλλα ὄντα καὶ τὰ μέρη αὐτῶν· τὸ μὲν κύημα κατὰ τὸν πρῶτον καὶ δεύτερον χρόνον, ἡνίκα ὑπογραφήν τινα καὶ οἷον

est menstruo germanum, ut proditum ab Hippocrate est. Quocirca sanguis menstruorum sursum repens fit lac et infantem alit atque auget. Quamobrem in Aphorismis habetur: *si mulieri uterum gerenti purgationes procedant, foetus valere non potest;* et alio quodam in loco: *si gravidae lac copiose mammis profluet, foetum imbecillum reddit.* Quippe cum quicquid supervacaneum est, sursum ad mammas ascendat, quod foetus in venis reliquit, nec ipse quantum ad sui nutritionem satis est, queat attrahere.

XVI.

Animantur quae non sunt animalia, animantur quae sunt animalia, animantur partes animalium.

Ex iis quae nulla sunt, fiunt ea quae sunt, et ex iis quae sunt, fiunt alia et item ipsorum partes; foetus enim primo secundoque tempore, quum descriptionem quandam

Ed. Chart. VI. [295.]
σκιαγραφίαν ἔχει πάντων τῶν μορίων, μή πω ζῶον δεῖ καλεῖσθαι, ἀλλ᾽ ὡς φυτὸν ἅπασαν τὴν γένεσιν ἔχει. ὥσπερ γὰρ τοῖς φυτοῖς ὑπάρχει εἰς τὸ κάτω τε καὶ κατὰ τῆς γῆς ἡ ῥίζωσις, οὕτω καὶ τοῖς κυουμένοις ἡ εἰς τὴν μήτραν ἔμφυσις τῶν κατὰ τὸ χωρίον ἀρτηριῶν τε καὶ φλεβῶν. καὶ ὥσπερ τὰ φυτὰ διττὴν ἔχει ἐκ τῶν σπερμάτων ἔκφυσιν, καθ᾽ ἣν μὲν ἄνω προάγει τὸ πρέμνον καὶ τοὺς πτόρθους, εἰς δὲ κάτω κατασχίζει τὴν ῥίζωσιν, οὕτω καὶ τοῖς ἐμβρύοις πολυσχιδεῖς εἰσι τῶν ἀρτηριῶν τε καὶ φλεβῶν, ὡς πρέμνων μὲν εἰς ὅλον τὸ κυοίμενον, ὡς ῥιζῶν δὲ εἰς τὴν μήτραν τελευτῶσαι. ἀλλὰ καὶ διπλῆ ἐν αὐτοῖς ἀρχὴ κινήσεώς τε καὶ διαπλάσεως εὐθὺς ἐξ ἀρχῆς εὑρίσκεται. τὰ γοῦν μὴ ἔτι ζῷα γίνεται ζῶα, καὶ τὰ ζῶα τῇ δυνάμει γίνεται ἐνεργείᾳ, καὶ τὰ μέρη αὐτῶν κατὰ τοῦτον τὸν τρόπον.

ιζ΄.

Φύσιες πάντων ἀδίδακτοι.

adumbrationemque omnium partium habet, nondum animal vocari debet, ſed velut planta omnem habet ortum. Ut enim in plantis in parte inferiori et ſub terra eſt radix, ſic in foetu eſt exortus arteriarum et venarum chorii in uterum. Et ſicut plantae duplicem habent exortum e ſeminibus prodeuntem, per quem truncum et ramos ſurſum emittunt, deorſum vero radices in multas partes diſfundunt, ſic in foetibus multiplici ſciſſione diſpertitae venae atque arteriae in totum corpus, ut truncus, in uterum vero ut radices terminantur. Quin etiam duplex in ipſis et motionis et conformationis principium ab ipſo ſtatim initio reperitur. Ita quae animalia non ſunt, fiunt animalia, et quae poteſtate animalia ſunt, ea fiunt re ipſa animalia et partes item ipſorum eodem modo.

XVII.

Naturae omnium non edoctae.

Ed. Chart. VI. [295.]

Οὕτως ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν γράφεται, ἀπαίδευτος ἡ φύσις ἐοῦσα καὶ οὐ μαθοῦσα τὰ δέοντα ποιεῖ καὶ τὰς θείας δυνάμεις ἑαυτῆς ἐπιδείκνυται. οὐδεὶς γὰρ διδάσκει εὐθὺς ἐξ ἀρχῆς τὸ βρέφος πῶς δεῖ τὴν γλῶτταν κινεῖν ἢ τοὺς τιτθοὺς ἐπιλαμβάνειν ἢ τὸ γάλα τῆς μητρὸς καταπίνειν, ἢ τὰς φυσικὰς ἐνεργείας ἁπάσας ἐνεργεῖν· οὗ μηδέν ἐστιν εὑρίσκεσθαι θαυμαστότερον. ἀλλ' ἐπειδὴ ταῦτα ἐν παντὶ χρόνῳ καὶ καθ' ἑκάστην ὥραν καὶ ἀπὸ πάντων γίνεται, διὰ τοῦτο οὐδείς, εἰ μή τις τῶν καλῶν τε καὶ σοφῶν γινομένων φίλος εἴη, θαυμάζει.

ιη.

Αἷμα ἀλλότριον ὠφέλιμον, αἷμα ἴδιον ὠφέλιμον. αἷμα ἀλλότριον βλαβερὸν, αἷμα ἴδιον βλαβερόν. χυμοὶ ἴδιοι βλαβεροὶ, χυμοὶ ἀλλότριοι βλαβεροί· χυμοὶ ἀλλότριοι ξυμφέροντες, χυμοὶ ἴδιοι ξυμφέροντες· τὸ ξύμφωνον τὸ διάφωνον, τὸ διάφωνον τὸ ξύμφωνον· γάλα ἀλλότριον ἀστεῖον,

In ſexto de morbis vulgaribus libro ſic ſcriptum invenitur: *quum vero natura non edocta ſit, nec didicerit, quae oportet efficit, ac divinas ſui facultates indicat.* Nemo eſt enim, quum primum natus infans eſt, qui ipſum doceat quomodo aut linguam movere, aut mammas accipere, aut maternum lac deglutire, aut omnes naturales actiones obire debeat, quo nihil inveniri poteſt admirabilius. Sed quoniam haec et omni tempore et ſingulis horis et ab omnibus geruntur, idcirco ipſa, niſi idem amicitia junctus ſit iis qui clari ac ſapientes evaſerunt, admiratur.

XVIII.

Sanguis alienus utilis; ſanguis proprius utilis; ſanguis alienus noxius; ſanguis proprius noxius; humores proprii noxii, humores alieni noxii; humores alieni conferentes, humores proprii conferentes; conſonum, diſſonum; diſſonum, conſonum. Lac alienum bonum; lac

γάλα ἴδιον βλαβερόν· γάλα ἀλλότριον βλαβερὸν, γάλα ἴδιον ὠφέλιμον.

Ταῦτα πάντα δεῖ λαμβάνειν ἐν ταῖς διαφόροις περιστάσεσιν, ὡς ὅταν φθειρόμενόν τί ἐστιν ἢ μειούμενον, ἢ περιττὸν ἢ κακούμενον, ἢ ἄλλως πως ἀλλοιούμενον, ὡς καὶ τὸ τῆς μητρὸς γάλα οἰκεῖόν ἐστι τῷ υἱῷ, ὅτι οὐσία αὐτοῦ ἐστὶν οὐσία τοῦ αἵματος ἐξ οὗ γέγονεν. ἀλλ' ὅταν τὸ γάλα τῆς μητρὸς φθειρόμενον τυγχάνει, τότε ζητεῖν χρὴ ἄλλο προσῆκον τῷ παιδί. ταὐτὸ τοῦτο ἰστέον καὶ περὶ χυμῶν. λαπάθου μὲν γὰρ εἴ τις φάγοι τὰ φύλλα, τὴν κοιλίαν ἐκταράσσεται, εἰ δέ τις τὸ σπέρμα λάβοι, ἐπεχομένην αὐτὴν ἕξει. ὁμοίως δ' οὖν καὶ ὁ τῆς κράμβης χυλὸς [296] καὶ ὁ τῶν γερόντων ἀλεκτρυόνων ζωμὸς, καὶ οἱ τῶν θαλαττίων κοχλιῶν χυμοὶ καὶ αἱ σάρκες αὐτῶν.

---

proprium noxium; lac alienum noxium; lac proprium utile.

Haec pro varietate attributorum accipienda ſunt, velut quum quidpiam corruptum ſit aut diminutum aut redundans aut vitiatum aut alio modo quodam immutatum. Sicut etiam lac matris eſt filio aptum, quia ipſius ſubſtantia eſt ſubſtantia ſanguinis ex quo genitus eſt. Verum ſi lac maternum corruptum ſit, tum aliud, quod infanti conferat, quaerendum erit. Idem eſt de humoribus ſentiendum. Rumicis enim ſi quis foliis veſcatur, alvus ſubducetur, ſi ſemen comedat, alvus cohibebitur. Simili quoque modo braſſicae ſuccus et gallorum veterum jus et marinarum cochlearum humor et ipſarum carnes efficient.

Ed. Chart. VI. [296.]

ιθ'.

Σιτίον νέοισιν ἀκροσαπές. γέρουσι δὲ ἐς τέλος μεταβεβλημένον, ἀκμάζουσιν ἀμετάβλητον.

* * * τὰ ζῶα πάντα, ἐξ ὧν τρέφεσθαι δεῖ τοὺς γέροντάς τε καὶ τοὺς παρακμάζοντας, μίαν τὴν ἡμέραν καὶ νύκτα θνητευτὰ ἐᾷν. * καλῶς πεπεμμένας τροφὰς * * * νέοις τε καὶ ἀκμάζουσιν καὶ τὰ σύντονα ἔργα ἐνεργοῦσιν ὀπτὰ ἢ ἑφθὰ ἐπιμελῶς * * ποιότητα γὰρ ἢ ποσότητα τῆς τροφῆς οὐκ ἐνδείκνυται. * Ἱπποκράτης μὲν τὸν σκοπὸν τῆς ποσῆς τροφῆς ποιεῖ τὴν δύναμιν, λέγων, τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. πλείστης οὖν δεῖται τροφῆς. ἡ μὲν γὰρ δύναμις τὸ γένος τῆς προσφορᾶς ἀπαιτεῖ. καὶ τοῦτο μὲν ἄνευ διαφορᾶς, τὴν δὲ ποιότητα μετὰ διαφορᾶς. νῦν δὲ *

XIX.

Cibus junioribus parum immutatus, senibus summe immutatus, aetate vigentibus haud immutatus.

* * Cuncta animalia, quibus ali senes et quorum aetas inclinat, unum diem et noctem mortua sinere. * * alimenta rite concocta. * * Adolescentibus et florenti aetati et iis qui in vehementibus operibus versantur, tosta aut elixa diligenter. * Qualitatem enim aut quantitatem alimenti non indicat. * Hippocrates autem facit ut vires sint quas attendamus in alimenti copia aestimanda, quum ait: *quae augentur, plurimum innati caloris habent*, ergo plurimo egent alimento. Vires enim genus alimenti indicant. Atque id sine differentia, qualitatem vero cum differentia. Nunc autem

κ'.

Ἐς τύπωσιν λέ ἥλιοι, ἐς κίνησιν ο'. ἐς τελειότητα σι'. ἄλλοι δέ φασιν ἐς μορφὴν με'. ἐς κίνησιν οστ'. ἐς ἔξοδον σι'. ἄλλοι ν' ἐς ἰδέην. ἐς πρῶτον ἅλμα ρ'. ἐς τελειότητα τ'. ἐς διάκρισιν μ'. ἐς μετάβασιν π'. ἐς ἔκπτωσιν σμ'.

Οὐκ ἔστιν ὡρισμένος τις χρόνος τοῖς ἐμβρύοις, ὡς εἶπον, οὔτε τῆς σαφοῦς διαπλάσεως, οὔτε τῆς κινήσεως, οὔτε τῆς ἀποκυήσεως. Ἱπποκράτης δὲ πρῶτος ἔγραψε περὶ διαπλάσεως αὐτῶν ἀληθῶς· καθάπερ ἀποδέδεικται ἐν τῷ περὶ τῆς κυουμένων διαπλάσεως κἀν τῷ περὶ σπέρματος ἀλλὰ καὶ ἐν τῷ περὶ φύσεως παιδίου ταὐτὸ τοῦτο ἀκριβῶς τε ἅμα καὶ σαφῶς γέγραπται. διόπερ οὐ χρὴ μηκύνειν τὸν λόγον. ὅλως δὲ οὐχ εἷς ἐστιν ὅρος, ἀλλ' ὁ μὲν χρόνος τῆς διαπλάσεώς ἐστιν ἡμερῶν λέ. ἢ τῶν μ'. ἢ καὶ με'. καὶ ὁ μὲν τῆς κινήσεως αὐτοῦ χρόνος ἐστὶ διπλάσιος τοῦ τῆς διαπλάσεως, ἣν αὐτὸς τύπωσιν καλεῖ. ὁ δὲ χρόνος τῆς ἀποκυή-

XX.

Ad conformationem ſoles 35, ad motum 70, ad perfectionem 210. Alii vero tradunt ad formam 45, ad motum 76, ad exitum 210, alii ad ſpeciem 50, ad primum ſaltum 100, ad perfectionem 300, ad diſtinctionem 40, ad tranſitum 80, ad elapſum 240.

Non eſt in foetibus definitum tempus neque manifeſtae conformationis, neque motus, neque exortus. Hippocrates primus de ipſorum conformatione vere ſcripſit, ſicut in libro de foetuum formatione itemque in libris de ſemine demonſtratum eſt. Idem quoque in libro de natura pueruli accurate et perſpicue ſcriptum legimus. Quocirca non eſt magis producenda oratio. Omnino autem non eſt unus terminus, ſed conſormationis tempus eſt dierum 35. aut 40. aut 45, tempus motionis duplum eſt ejus, in quo conſormatur, quod ipſe typoſin nominat.

Ed. Chart. VI. [296. 297.]
σεως τριπλάσιός ἐστι τοῦ τῆς κινήσεως. ὅπερ ἀληθὲς ὡς ἐπὶ τὰ πλεῖστον εἶναι δοκεῖ.

κα'.

Οὐκ ἔστι καὶ ἔστι. γίνεται δὲ ἐν τούτοισι καὶ πλέω καὶ ἐλάσσω. καὶ ὅλον καὶ κατὰ μέρος. καὶ εἴπομεν δὲ καὶ πλέω πλεόνων καὶ ἐλάσσω ἐλασσόνων. οὐ πολλὸν δὲ πλείω ἢ ἐλάσσω· τὰ δὲ ἐλάσσω τοσαῦτα καὶ ὅσα ἄλλα τούτοισιν ὅμοια.

Ἔστι μὲν τὰ ἔμβρυα, ἐπειδὴ γέγονε ἤδη καὶ διάπλασιν ἔχει τινά. οὐκ ἔστι δὲ ὅτι οὔπω τέλεια. αὖθις δὲ ὡς ἀπ' ἀρχῆς λέγει, ἐν ταύταις ταῖς ἡμέραις, ἃς προέγραψε, καὶ πλείω καὶ ἐλάττω γίνεσθαι παιδία, ὡς διδάσκων ἡμᾶς μὴ ἕνα εἶναι τὸν ὡρισμένον αὐτῶν χρόνον, [297] ἀλλὰ διάφορον κατὰ τὴν φύσιν τοῦ σπέρματος καὶ τῆς μήτρας καὶ τῆς ὥρας καὶ χώρας καὶ τῶν πολλῶν. οἱ δὲ παλαιοὶ ἐξη-

Tempus denique egreſſus in lucem, eſt triplum ejus, in quo movetur. Quod ut plurimum eſſe verum videtur.

XXI.

Non eſt et eſt. Naſcuntur autem in his et plures et pauciores et ex toto et ex parte. Dicimus etiam plures pluribus et pauciores paucioribus. Neque vero multo plures quam pauciores. At pauciores tot et quaecunque alia his ſimilia.

Foetus ſunt, quoniam geniti jam ſunt et conformationem quandam habent. Non ſunt autem, quia nondum perfecti ſunt. Rurſus autem velut ſumpto initio ait, in his diebus, quos ante praeſcripſit et plures et pauciores infantes exoriri, quaſi nos doceat non unum eſſe eis definitum tempus, ſed diverſum pro natura ſeminis, uteri, temporis, anni, regionis ac praeterea multarum aliarum rerum. Veteres autem interpretes hunc locum aliter in-

Ed. Chart. VI. [297.]
γηταὶ ἄλλως λαμβάνουσι τὸ χωρίον. ἡγοῦνται γὰρ περὶ τῆς ὀκταμήνου γενέσεως τοῦτο λέγεσθαι. καὶ γὰρ ὁ Γλαυκίας οὕτως τὸ ῥηθὲν ἐκφέρει, οὐκ ἔστι δὲ καὶ ἔστι τὸ ὀκτάμηνον βρέφος. καὶ πάντα ἐνθάδε μεταφέρει, ἅπερ γέγραπται ἐν τῷ περὶ ὀκταμήνων, ὧν οὐδὲν περιγίνεται. Σαβῖνος δέ φησι ταῦτα φαίνεσθαι μὲν μετὰ τὴν ἔκτρωσιν καὶ οὕτως εἶναι ὡς ζῶα· οὐκ εἶναι δὲ ὡς εὐθὺς θνήσκοντα, ὡς τίκτεσθαι μὲν, οὐ περιγίνεσθαι δέ. ἄλλοι δὲ * *

κβ΄.

Ὀστέων τροφὴ ἐκ κατάξιος, ῥινὶ δὶς πέντε, γνάθῳ δὲ καὶ κληῗδι καὶ πλευρῇσι διπλάσιαι, πήχει τριπλάσιαι, κνήμῃ καὶ βραχίονι τετραπλάσιαι, μηρῷ πενταπλάσιαι, καὶ εἴ τι ἐν τούτοισι δύναται πλέον ἢ ἔλασσον.

Τὰ τῶν ὀστέων τῆς ῥινὸς κατάγματα ὑγιαίνει τε καὶ κρατύνεται δέκα ἡμέραις, γνάθου δὲ καὶ κληῗδος καὶ μετώ-

telligunt. Hoc enim de partu, qui octavo menſe edatur, dictum arbitrantur. Etenim Glaucias ſic legit: *non eſt et eſt infans octavo menſe natus*, et huc transfert ea omnia, quae in libro de octavi menſis partu ſcripta ſunt, quo in libro habetur, neminem eo menſe natum eſſe ſuperſtitem. Sabinus autem ait, hos foetus poſt partum apparere quidem et ita tanquam animalia eſſe, at non eſſe, ut mox moritura, ita ut in lucem quidem edantur, non vivant tamen. Alii vero *

XXII.

Oſſium alimentum ex fractura, naſo bis quinque, maxillae, claviculae et coſtis duplicia, cubito triplicia, tibiae et brachio quadruplicia, femori quintuplicia et ſi quid in his plus aut minus poteſt.

Naſi oſſium fracturae decem diebus convaleſcunt et corroborantur, maxillae, claviculae et frontis viginti, hu-

Ed. Chart. VI. [297.]

που εἴκοσιν, ὤμου δὲ τριάκοντα, κνήμης καὶ βραχίονος τεσσαράκοντα, μηροῦ δὲ πεντήκοντα. εἰσὶ μέντοι αἰτίαι πολλαί, δι' ἃς ταῦτα τὰ νῦν λεγόμενα ὑπαλλάττεται. καὶ γὰρ ἥ τε τοῦ ἔτους ὥρα καὶ χώρα καὶ φύσις καὶ ἡλικία τοῦ θεραπευομένου σώματος καὶ δίαιτα καὶ ὁ τρόπος τῆς δέσεως ποιοῦσι πολλάκις ὡς θᾶττον ἢ βραδύτερον τὰ κατάγματα κρατύνεσθαι καὶ πωροῦσθαι. ἔστι δὲ καὶ τὸ μὲν πάχος τῆς ὕλης ἐπιτηδειότερον εἰς τὸ παγῆναί τε καὶ γενέσθαι πῶρον, ἡ δ' ὑγρότης ἀνεπιτήδειος. ἔτι δὲ καὶ ἡ δύναμις ἰσχυρὰ θᾶττον ἐργάζεται τὸ ἑαυτῆς ἔργον, ἡ δ' ἀσθενεστέρα βραδύτερον. περὶ πάντων δὲ τούτων εἴρηται τελειότερον ἐν τοῖς εἰς τὸ περὶ ἀγμῶν ὑπομνήμασιν.

κγ'.

Αἷμα ὑγρὸν καὶ αἷμα στερεόν· αἷμα ὑγρὸν ἀστεῖον, αἷμα στερεὸν φλαῦρον. πάντα δὲ τὰ φλαῦρα καὶ ἀστεῖα πρός τι.

Θερμὸν καὶ ὑγρὸν τῇ φύσει τὸ αἷμα. διὰ τοῦτο ἡνίκα

meri triginta, tibiae brachiique quadraginta, femoris quinquaginta. Multae tamen caufae funt quae faciunt ut haec varientur. Nam et anni tempus et regio et natura et aetas ejus corporis, cui remedium adhibetur, et victus ratio et deligandi modus faepe faciunt ut vel citius vel ferius fracturae corroborentur et callo obducantur. Materiae quoque craffitudo eft aptior ad corroborandum et callum inducendum, ficut humiditas inepta eft. Jam vero validae vires citius opus fuum perficiunt, imbecillae tardius. De his autem omnibus in commentariis ad libros de fracturis dictum eft accuratius.

XXIII.

Sanguis humidus et fanguis folidus: fanguis humidus probus, fanguis folidus pravus. Omnia autem prava et proba ad aliquid referuntur.

Sanguis calidus et humidus fuapte natura eft. Ideo

εἴη κατὰ φύσιν αὐτοῦ, ἀστεῖον καὶ καλὸν εἶναί φησιν· ὅταν δὲ στερεὸν καὶ ἔξω τῆς φύσεως αὐτοῦ, φαῦλον, τουτέστιν οὐ καλὸν, ἀλλὰ βλαβερόν. τὸ δὲ φαῦλον σημαίνει νῦν τὸ μοχθηρὸν, ὃ ἀντίκειται τῷ ἀγαθῷ, ἃ πρός τι εἶναι λέγεται.

κδ'.

Ὁδὸς ἄνω, κάτω, μίη.

Αἱ ὁδοὶ καὶ οἷον ὀχετοὶ ἐν τῷ σώματί εἰσι τὰ καλούμενα ἀπ' αὐτοῦ ἀγγεῖα. ταῦτα ἄνωθεν κάτω καὶ κάτωθεν ἄνω πορεύονται, τῇ σχέσει μόνῃ διαφέροντα. ὥσπερ καὶ κλίμακες τῇ τε ἀναβάσει καὶ τῇ καταβάσει ὑπηρετοῦσι.

κε'.

[298] *Δύναμις τροφῆς κρέσσων ἢ ὄγκος. ὄγκος τροφῆς κρέσσων ἢ δύναμις. καὶ ἐν ὑγροῖσι καὶ ἐν ξηροῖσιν ἀφαιρέει, καὶ προστίθησι τοῦτο αὐτό· τῷ μὲν ἀφαιρέει, τῷ*

quum naturae suae statum servat, ipsum esse probum et bonum censet. Quum vero solidus est, hoc est, extra suam naturam, esse malum ait, hoc est, non esse probum, sed noxium. Nam quod *φαῦλον* dixit, hoc loco vitiosum significat, quod bono opponitur, quae ad aliquid referri dicuntur.

XXIV.

Via sursum, deorsum, una.

Viae et veluti canales quidam in corpore sunt, quae ab ipso vasa appellantur. Haec superne deorsum et inferne sursum progrediuntur ac sola relatione differunt, sicut scalae et ascensui et descensui deserviunt.

XXV.

Facultas alimenti melior quam moles. Moles alimenti melior quam facultas et in humidis et in siccis. Detrahit et apponit idem. Huic quidem detrahit, illi vero

Ed. Chart. VI. [298.]
δὲ προστίθησι τὸ αὐτό· φλεβῶν διασφύξιες, καὶ ἀναπνοὴ πνεύματος καθ' ἡλικίαν, καὶ ξύμφωνα καὶ διάφωνα καὶ νόσου καὶ ὑγείης, τροφὴ γὰρ καὶ πνεῦμα.

* * δύναμις ἀσθενὴς οὐ δύναται πέττειν πολὺ τροφῆς, κἂν εἴη ἀγαθὴ τροφή. διὸ δεῖ σύμμετρον εἶναι τὸ τῆς τροφῆς ποσὸν τῇ τοῦ σώματος δυνάμει τε καὶ
* *

κστ'.

Ὑγρὴ τροφὴ εὐμετάβλητος μᾶλλον ἢ ἡ ξηρή· ξηρὴ τροφὴ εὐμετάβλητος μᾶλλον ἢ ἡ ὑγρή. ἡ δυσαλλοίωτος δυσεξανάλωτος, ἡ εὐπρόσθετος εὐεξανάλωτος.

Πρὸς ἄλλην μὲν καὶ ἄλλην φύσιν ἀναφερόμενον τοῦτο ἀληθὲς εἶναι δοκεῖ. ἔστι γὰρ φύσις τις τοῦ σώματος, ἐν

apponit idem. Venarum pulsationes et spiritus respiratio pro aetate consentiunt et dissentiunt, et morbi et sanitatis sunt indicia, magisque sanitatis quam morbi et morbi magis quam sanitatis: spiritus enim etiam alimentum est.

* Vires imbecillae multum alimenti, licet probum sit, concoquere non possunt. Propterea curandum est, ut modus alimenti habita ratione virium corporis statuatur. *

XXVI.

Humidum alimentum facilius transmutatur quam siccum. Alimentum siccum facilius quam humidum transmutatur. Quod difficile alteratur, difficile consumitur. Quod facile apponitur, facile consumitur.

Hoc ad aliam aliamque naturam relatum verum videtur esse. Quaedam enim est corporis natura, in qua

Ed. Chart. VI. [298.]
ἢ μᾶλλον ἡ ὑγρὰ τροφὴ ἢ ἡ ξηρὰ εὖ μεταβάλλεται. ἔστι δὲ καὶ ἐν ᾗ τὸ ἐναντίον εὑρίσκεται. οὕτω καὶ ἡ δυσαλλοίωτος τροφὴ δυσεξανάλωτος, καὶ ἡ εὐπρόσθετος εὐεξανάλωτος. πρώτου μὲν οὖν γένους ἐστὶ τὸ βόειον κρέας καὶ κοχλίαι καὶ πάντα τὰ σκληρόσαρκα, καὶ τῶν οἴνων οἱ παχεῖς καὶ κιῤῥοὶ, καὶ λευκοὶ ἅμα καὶ παχεῖς. δευτέρου δὲ οἱ οἶνοι λευκοὶ μὲν τὴν χρόαν, λεπτοὶ δὲ τὴν σύστασιν, οὓς καλοῦμεν ὑδατώδεις. τῶν δ' ἄλλων πάντων ὅσον ὑπέρχεταί τι κατὰ τὴν γαστέρα σαφὲς, ἀνάλογον τῷ χρόνῳ τῆς θρέψεως ἀναλίσκεται. τοιοῦτος μὲν γάρ ἐστιν ὁ τῆς πτισάνης χυλὸς, ὁ δὲ χόνδρος οὔ. ἀλλὰ καὶ πολλὴν καὶ ἐν πολλῷ χρόνῳ τροφὴν παρέχει. ποιεῖν δὲ δεῖ τὴν παραβολὴν ἐπὶ τοῖς ὁμοίως ἔχουσι κατὰ τὸ ποιὸν τῆς συστάσεως καὶ κατὰ τὸ ποιὸν τῆς σκευασίας, ὥσπερ ἴσασιν οἱ τῶν ἰατρῶν παῖδες, ὡς τὰ ὀπτώμενα μᾶλλον κατισχύει τὰ σώματα, ἢ τὸ ἑψημένον. * τ' ἄλλα εἴδη πάντα τῆς ἑψήσεως.
*

---

potius humidum quam ſiccum alimentum bene transmutatur. Eſt etiam quaedam, in qua contrarium uſu venit. Sic alimentum, quod difficulter alteratur difficulter conſumitur et quod facile apponitur facile alteratur. Primi generis eſt caro bubula et cochleae et quae carnem duram habent omnia et vinum craſſum et fulvum et quod ſimul album craſſumque eſt. Secundo genere continentur vina albi coloris et tenuis conſiſtentiae, quae aquea vocamus. Ex aliis omnibus quatenus aliquid manifeſte ventrem ſubit, eatenus ad proportionem temporis, quo alit, conſumitur. Talis eſt ptiſanae ſuccus, alica vero non item. Siquidem et multum alit et multo ſpatio temporis id facit. Comparatio autem facienda eſt in iis, quae et in qualitate conſiſtentiae et qualitate apparatus ſunt ſimilia, quod medici perſpectum habent, ut aſſa magis corroborent corpora, quam elixa. *
Caetera omnia elixandi genera.

κζ'.

Καὶ ὁκόσοι ταχείης προσθέσιος δέονται, ὑγρὸν ἴημα εἰς ἀνάληψιν δυνάμιος κράτιστον. ὁκόσοι δὲ ἔτι ταχυτέρης, δι' ὀσφρήσιος. ὁκόσοι δὲ βραδυτέρης προσθέσεως δέονται, στερεῇ τροφῇ. μύες στερεώτεροι, δυσεύκτηκτοι τῶν ἄλλων, πάρεξ ὀστέου καὶ νεύρου, δυσμετάβλητα τὰ γεγυμνασμένα κατὰ γένος αὐτὰ αὐτῶν ἰσχυρότερα τοῦ ὄντος, διὰ τοῦτο αὐτὰ ἑωϋτῶν, δυστηκτότερα· πῦον τὸ ἐκ σαρκὸς, πυώδες τὸ ἐξ αἵματος καὶ ἐξ ἄλλης ὑγρασίης, πῦον τροφὴ ἕλκεος. πῦον τροφὴ φλεβὸς, ἀρτηρίης, μυελὸς τροφὴ ὀστέου, διὰ τοῦτο ἐπιπωροῦται.

Οὕτως κἀν τοῖς ἀφορισμοῖς γέγραπται, ῥᾷον πληροῦσθαι ποτοῦ ἢ σιτίου. τὰ γὰρ ὑγρά τε καὶ ποτὰ ὅσα τρέφειν πέφυκε, τοῦτο ποιοῦσι θᾶττον, ἢ τὰ στερεὰ τῶν σωμάτων. κἂν γὰρ τὰ στερεὰ μᾶλ- [299] λον τρέφει, ἀλλ' ὅμως ταῦτα πλεονεκτεῖ τῷ τάχει. διὰ ταῦτα γοῦν τοῖς ταχείας δεομέ-

XXVII.

Et quicunque celeri appofitione indigent, iis humidum medicamentum ad refumendas vires optimum. Quicunque vero adhuc celeriore, per olfactum. Quibuscunque vero tardiore appofitione opus eft, iis folidus cibus exhibendus. Mufculi folidiores difficilius reliquis colliquefcunt excepto offe et nervo. Quae exercita a funt aegre immutantur ipfaque in fuo genere feipfis, quam pro natura, valentiora funt, ideo ipfa inter fe aegrius colliquefcunt. Pus ex carne, purulentum ex fanguine et ex reliquo humore. Pus ulceris alimentum, pus venae et arteriae alimentum, medulla offis alimentum, ideo callo firmatur.

Sic etiam in aphorismis fcriptum eft: *facilius impleri corpora potu quam cibo.* Quae enim humida poculentaque funt, quae nimirum ad alendum apta funt, id celerius quam folida corpora efficiunt. Quamvis enim folida magis nutriant, haec tamen celeritate illis praeftant.

Ed. Chart. VI. [299.]

νοις προσθέσεως, τὸ ὑγρὸν καὶ τὸ ποτὸν προσήκει, τοῖς δὲ τῆς ταχυτέρας τὰ ὀσφραντὰ, τοῖς δὲ βραδυτέρας τὰ στερεὰ τῶν σωμάτων. τὸ μέντοι σῶμα ἤδη ἀσθενὲς, ἢ διὰ μακρὰν νόσον ἢ διὰ κένωσιν ἢ μοχθηρὸν χυμοὶ, δεῖται τροφῆς μὲν μὴ βαρείας, εὐπέπτου τε καὶ εὐόσμου, ὅτι ἀγαθὴ ὀσμὴ προστίθησί τι ἐν τῷ σώματι καὶ τὴν κρᾶσιν αὐτοῦ προσρυθμίζει καὶ τὴν θερμασίαν κρατεῖ τὴν φυσικὴν, ἐν ᾗ τὴν ζωὴν εἶναί φαμεν. * *

κη'.

Δύναμις πάντα αὔξει καὶ τρέφει καὶ βλαστάνει.

Εἴρηται ὅτι ἔστι μέν τις ἑλκτικὴ δύναμις τῆς οἰκείας ποιότητος, ἔστι δέ τις καὶ καθεκτικὴ τῶν ληφθέντων καὶ αὖθις ἀποκριτικὴ τῶν περιττωμάτων, καὶ ἡ ἀλλοιωτικὴ, καὶ ὅτι πάντα τοῦ ζώου μόρια ταύτας ἔχει τὰς δυνάμεις. ἕλκει γὰρ τὰ μόρια καθ' ὅλον τὸ σῶμα ἐκ τῶν ἀπὸ τῆς κοίλης

Proinde fit ut quibus celeri appofitione opus eft, humida poculentaque conveniant. Quibus vero etiam celeriore, iis per odoratum fuccurramus. Quibus tardiore, folida corpora praebeamus. Quamquam corpus, quod jam debile aut evacuatione aut a vitiato humore fit redditum, poftulat alimentum non grave illud quidem, fed quod facile concoquatur, quodque fuavis fit odoris. Caufa eft, quia fuavis odor nefcio quid addit ad corpus et ejus temperaturam accommodat et naturalem calorem corroborat, in quo calore nos effe vitam afferimus. * *

XXVIII.

Facultas omnia auget et alit et propagat.

Dictum eft, facultatem quandam effe, quae fibi aptam qualitatem trahit, aliam effe quae retinet ea quae fumpta funt, ficut rurfus aliam, quae rejicit excrementa, aliam denique, quae alterandi munere fungitur, et has facultates in omnibus animantis ineffe partibus. Partes enim

Ed. Chart. VI. [299.]

πεφυκυιῶν φλεβῶν τὴν τροφήν. αὐτὴ δ' αὖ ἡ κοίλη ἐκ τῶν καθ' ἧπαρ. αἱ δ' αὖθις ἐκ τῶν ἐπὶ τὰς πύλας ἀναφερομένων, ἐκεῖναι δ' αὖ πάλιν ἐκ τῆς γαστρός τε καὶ τῶν ἐντέρων. τὴν δὲ γαστέρα αὐτὴν ἔξωθεν πληροῦν ἀνάγκη. ταῦτα δὲ πάντα ποιεῖ μὲν ἡ δύναμις πρός τε τὴν αὔξησιν καὶ τὴν θρέψιν καὶ τὴν βλάστησιν τοῦ ζώου, καὶ μάλιστα μὲν διὰ τῶν φλεβῶν φαίνεται τοῦτο ἐργάζεσθαι· ἃς ἴδομεν οὐ παραγούσας μόνον τὴν τροφὴν ἐκ τῆς γαστρὸς, ἀλλ' ἑλκούσας ἅμα καὶ παρασκευαζούσας τῷ ἥπατι τὸν ὁμοιότατον ἐκείνῳ τρόπον. πῶς δὲ ταῦτα πάντα γίνεται, ἐπειδὴ

* *

κθ'.

Ὑγρασίη τροφῆς ὄχημα.

Τὸ κοῦφόν τε καὶ ξανθὸν περίττωμα δεξαμένην κύστιν ἡ φύσις ἐπέθηκε τῷ ἥπατι. τὸν δὲ τὸ παχὺ καὶ ἰλυῶδες ἕλκοντα τὸν σπλῆνα ἐν τοῖς ἀριστεροῖς μέρεσι κατέθετο.

alimentum in totum corpus a venis a cava prognatis trahunt. Cava autem rurſus trahit ab iis, quae ſunt in jecore, eae deinde ab illis, quae ſurſum ad portas feruntur. Illae rurſus ex ventriculo et inteſtinis. Ipſum porro ventriculum extrinſecus impleri neceſſe eſt. Haec autem omnia facit facultas, ut augeat animal, nutriat atque propaget. Idque potiſſimum moliri per venas videtur, quas nos non modo alimentum e ventriculo deducere videmus, ſed etiam attrahere ſimul et jecori praeparare ſimillimo modo, quo ipſum facit. Quomodo autem haec generantur omnia, quoniam * *

Humiditas alimenti vehiculum.

XXIX.

Natura veſicam jecori adjunxit, qua leve flavumque excrementum exciperetur, lienem vero ſiniſtra in parte collocavit, qui craſſum limoſumque excrementum traheret.

Ed. Chart. VI. [299.]
ἀποθέμενος οὖν ὁ παρασκευαζόμενος ἐν τῷ ἥπατι χυμὸς εἰς τροφὴν τοῦ ζώου τὰ εἰρημένα περιττώματα καὶ πέψιν κτησάμενος, ἐρυθρὸς καὶ καθαρὸς ἐπὶ τὰ κυρτὰ μόρια τοῦ ἥπατος ἀνέρχεται, διαδέχεται δ' αὐτὸν ἐνταῦθα μεγίστη φλὲψ καὶ πρὸς ἄμφω τὰ τοῦ ζώου μέρη τό τε ἄνω καὶ τὸ κάτω φέρει. κατὰ ταύτην δὲ τὴν φλέβα πολλῆς ὑγρότητος λεπτῆς τε καὶ ὑδατώδους μεστόν ἐστι τὸ αἷμα. οὔτε γὰρ ἐκ τῆς γαστρὸς εἰς τὰς φλέβας ἀναληφθῆναι καλῶς οἷόν τε ἦν τὸν ἐκ τῶν σιτίων χυμὸν οὔτε ῥαδίως διεξέρχεσθαι τὰς ἐν τῷ ἥπατι φλέβας, εἰ μή τις αὐτῷ λεπτοτέρα καὶ ὑδατώδης ὑγρότης ἀνεμέμικτο. τρέφεσθαι μὲν γὰρ οὐδὲν ἐξ αὐτῆς δύναται μόριον. διὸ τὴν ὑγρασίαν τῆς τροφῆς ὄχημα καὶ οὐ τροφὴν οὐ μόνος ὁ Ἱπποκράτης, ἀλλὰ καὶ σχεδὸν ἅπαντες οἱ ἄριστοι τῶν ἰατρῶν ἀπεφήναντο. πρός γοῦν αὐτὴν τὴν χρείαν ὑπηρετεῖ τοῖς ζώοις καὶ οὐκ ἐνδέχεται ἀναδοθῆναι τὸ τρέψον ἐκ τῆς κοιλίας, μὴ παραπέμποντος ὑγροῦ τινος * *

Quum igitur humor, qui in jecore paratur ad animalis alimentum, duo praedicta excrementa depofuit et coctionem eft adeptus, ruber et purus furfum ad gibbas jecoris partes afcendit. Illic autem ipfum excipit vena maxima et ad utramque animalis partem inferiorem et fuperiorem devehit. In hac vena fanguis eft multa humiditate tenui et aquea plenus. Siquidem humor ex cibis proveniens neque poterat ex ventriculo in venas commode tranfumi, neque facile venas, quae in jecore funt, pertranfire, nifi quaedam tenuior et aquea humiditas effet admixta. Ex ea tamen nutriri nulla pars poteft. Idcirco humiditatem effe alimenti vehiculum et non alimentum non folum Hippocrates, fed omnes fere optimi medici cenfuerunt. Hunc igitur ipfum praeftat animantibus, neque quod nutriturum eft, a ventriculo poteft diftribui, nifi ab aliqua re ita liquida deducatur. * *

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ ΝΟΣΗΜΑΤΩΝ ΒΙΒΛΙΩΝ ΚΑΙ ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ Α.

Ed. Chart XI. [1.] Galen. V. (37.)

α'.

[1] Οἱ ξυγγράψαντες τὰς Κνιδίας καλεομένας γνώμας ὁκοῖα μὲν πάσχουσιν οἱ κάμνοντες ἐν ἑκάστοισι τῶν νουσημάτων ὀρθῶς ἔγραψαν, καὶ ὁκοίως ἔνια ἀπέβαινεν αὐτέων, καὶ ἄχρι μὲν τουτέων καὶ μηδὲ ἰητρὸς δύναιτό τις ἂν ὀρθῶς ξυγγράψαι, εἰ εὖ παρὰ τῶν καμνόντων ἑκάστου πυθοίατο ὁκοῖα πάσχουσιν. ὁκόσα δὲ προκαταμα-

HIPPOCRATIS DE ACUTORUM MORBORUM VICTU LIBER ET GALENI COMMENTARIUS I.

I.

Qui Cnidias appellatas ſententias conſcripſerunt, hi ſane quae ſingulis in morbis aegri patiantur et quomodo eorum quaedam ſuccedant, recte ſcripſerunt. Ac certe quivis ad haec usque etiam non medicus ſcribere poterit, ſi probe ex ſingulis aegrotis quae patiantur reſciverit. Verum quae medicum aegro non referente

θεῖν χρὴ τὸν ἰητρὸν, μὴ λέγοντος τοῦ κάμνοντος, τουτέων τὰ πολλὰ παρεῖται, ἄλλα ἐν ἄλλοισι, καὶ ἐπίκαιρα ἔνια ἐόντα ἐς τέκμαρσιν.

Οὐ μόνον οὐδὲν ὧν οἱ κάμνοντες πάσχουσι παρέλιπον οἱ τὰς Κνιδίας γράψαντες γνώμας, ἀλλὰ καὶ περαιτέρω τοῦ προσήκοντος ἐνίων ἐμνημόνευσαν, ὡς ὀλίγον ὕστερον δείξω. καὶ οὔπω τοῦτο τέχνης ἔργον, εἰ μηδὲν παρέλιπον τῶν καὶ τοῖς ἰδιώταις γνωσθῆναι δυναμένων· οὐ γὰρ οὗτος ὁ σκοπὸς τοῖς τεχνίταις ἐστὶν, ἀλλὰ τὸ τὰ χρήσιμα πρὸς τὴν θεραπείαν ἅπαντα γράφειν, ὥστε [2] καὶ προσθεῖναί τινα δεήσει πολλάκις, ὧν μὴ γινώσκουσιν οἱ ἰδιῶται πάντως, ἀφελεῖν τε πολλὰ τῶν γινωσκομένων αὐτοῖς, ἐὰν μηδὲν φαίνοιτο συνεργοῦντα πρὸς τὸ τῆς τέχνης τέλος. (38) Καὶ ἐπίκαιρα ἔνια ἐόντα εἰς τέκμαρσιν. Τέκμαρσίς ἐστιν ἡ διὰ τεκμηρίου γνῶσις, τεκμήριον δὲ ὀνομάζουσιν οἱ παλαιοὶ τὸ συλλογιστικὸν σημεῖον, τεκμήριον δὲ οὐχ ἁπλῶς ἅπαν σημεῖον,

praediſcere oportuit, eorum multa praetermiſſa ſunt, in aliis alia, nonnullaque, ad conjectationem peropportuna.

Qui Cnidias ſcripſerunt ſententias, non ſolum quae aegri patiuntur, eorum nihil praetermiſerunt, verum etiam ultra decentia nonnulla memoriae prodiderunt, ut paulo poſt ſum demonſtraturus. Ac nondum id artis opus eſt, ſi quae ab idiotis cognoſci queunt, eorum nihil praetermiſerint, non enim hic artificibus eſt ſcopus, *ſed alius*, quae *nimirum* ad curationem idonea ſunt, omnia ſcribere. Quare tum ſaepiuscule nonnulla, quae vulgus indoctum prorſus non agnovit, erunt adjicienda, tum multa, quae ab eo cognoſcuntur, ſi nihil ad artis finem conferre videantur, auferenda. *Nonnullaque ad conjectationem peropportuna.* Conjectatio eſt, quae per conjecturam fit cognitio. Conjecturam vero veteres nominant ratiocinativum ſignum, conjectura autem non ſimpliciter omne ſignum

ὡς ἐν τῷ περὶ τεκμηρίου καὶ σημείου δέδεικται λόγῳ. τὰ οὖν εἰς τὴν τοιαύτην γνῶσιν ἀναγκαῖά τε καὶ χρήσιμα τοῖς ἰατροῖς οὐχ ἅπαντά φησι γεγράφθαι κατὰ τὰς Κνιδίας γνώμας, ἀλλὰ παραλελεῖφθαι πολλά.

β'.

Ὁκόταν δὲ ἐς τέκμαρσιν λέγηται, ὡς χρὴ ἕκαστα ἰητρεύειν, ἐν τουτέοισι πολλὰ ἑτεροίως γινώσκω, ἢ ὡς ἐκεῖνοι ἐπεξῆεσαν.

Ἐπειδὴ πολλὰ παραλελεῖφθαι τοῖς Κνιδίοις ἰατροῖς εἶπεν εἰς τέκμαρσιν χρήσιμα, τίνα λέγει τέκμαρσιν αὐτὸς ἐφεξῆς ἐδίδαξεν, ὡς χρὴ εἰπὼν ἕκαστα ἰητρεύειν· εἰς γὰρ τὴν τούτων εὕρεσιν ὅ τί περ ἂν ᾖ χρήσιμον, ἐκ τῆς τέχνης ἐστίν. ἴσως οὖν τις δόξειε παραλελεῖφθαι τὰ πρὸς τὴν διάγνωσίν τε καὶ πρόγνωσιν διαφέροντα τεκμήρια· τὸ δὲ οὐχ οὕτως ἔχει, περιέχεται γὰρ ἐξ ἀνάγκης ταῦτα τοῖς εἰς θεραπείαν διαφέρουσιν, ὡς εἴ γε μηδὲν εἰς τὴν τῆς ἀρίστης

exiſtit, ut in libro de conjectura et ſigno demonſtratum eſt. Quae igitur medicis ad hujusmodi cognitionem tum neceſſaria tum utilia exiſtunt, ea non omnia Cnidiis in ſententiis ſcripta, imo multa praetermiſſa eſſe protulit.

II.

Quum autem ad conjectationem refertur, quomodo ſingula curare oporteat, in his multa aliter quam illi diſſeruerint ſentio.

Poſtquam multa ad conjectationem utilia a Cnidiis medicis praetermiſſa eſſe protulit, quam dicat conjectationem ipſe deinceps docuit his verbis: *quomodo ſingula curare oporteat.* Nam quodcunque ad horum inventionem utile fuerit, id ex arte eſt. Fortaſſis igitur aliquis cenſuerit conjecturas tum ad dignotionem, tum ad praenotionem conferentes eſſe praetermiſſas. Verum non ita ſe res habet, hae namque neceſſario in rebus ad curationem ido-

θεραπείας εὕρεσιν ἡ διάγνωσις τῶν νοσημάτων ἢ ἡ πρόγνωσις τῶν ἀποβησομένων συνετέλουν, παντάπασιν ἂν ἦσαν περιτταὶ, νυνὶ δὲ ὅτι συντελοῦσι, διὰ τοῦτό εἰσι χρήσιμαι. ὅτι μὲν οὖν διάγνωσις τῶν παθῶν ἀναγκαιοτάτη πρὸς τὴν θεραπείαν ἐστὶν οὐδὲ λόγου δεῖ. πρῶτον γὰρ διαγνῶναι χρὴ τί ποτέ ἐστι τὸ πάθος, εἶθ' οὕτως ἐπιχειρεῖν αὐτὸ θεραπεύειν. ὅτι δὲ καὶ ἡ πρόγνωσις εἰς τὴν θεραπείαν χρήσιμος κατὰ τὸ προοίμιον ἐδίδαξεν αὐτὸς τοῦ προγνωστικοῦ. ὥστε ἄν τις λέγῃ πάντα τὰ κατὰ τὴν ἰατρικὴν ἤτοι γε εἰς διάγνωσιν ἢ εἰς θεραπείαν εἶναι χρήσιμα ἢ εἰς πρόγνωσιν, δυνάμει λέγει ταὐτόν· ἡ μὲν γὰρ θεραπεία δι' ἑαυτὴν ἀσκεῖται τοῖς ἰατροῖς, ἡ δὲ πρόγνωσις καὶ διάγνωσις ἕνεκα τῆς θεραπείας· ὅθεν οὐδὲ τὸ τέλος τῆς τέχνης διάγνωσιν ἢ πρόγνωσιν εἶπεν εἶναί τις ὥσπερ τὴν θεραπείαν. ἄκουε δὴ νῦν τὴν θεραπείαν τὴν τῶν νοσημάτων ἀναίρεσιν ἤδη γεγενημένων, οὐ γινομένων ἔτι. γέγραπται δὲ περὶ τούτων ἁπάντων ἱκανῶς ἐν τῷ περὶ τοῦ τέλους τῆς ἰατρικῆς βιβλίῳ καὶ νῦν οὐ χρὴ τὸ πάρεργον ἔργον ποιεῖσθαι, τὴν

neis continentur. Quod si ad optimae curationis inventionem nihil conferrent morborum dignotio ac futurorum praenotio, hae prorsus forent supervacaneae, nunc autem quod conferant, ob id existunt utiles. Ergo quod affectuum dignotio ad curationem maxime necessaria sit, ratione perpendere non opus est. Primum enim quisnam sit morbus dignoscere oportet, deinde ipsius curationem ita suscipere. Quod vero praenotio ad curationem quoque sit utilis, in prognostici praefatione demonstravit *Hippocrates*. Quare si quis quae ad medicinam spectant omnia aut ad dignotionem aut ad curationem aut praenotionem utilia esse dicat, potentia idem dicit. Curatio siquidem per se a medicis instituitur, at praenotio et dignotio propter curationem. Quare nemo finem artis dignotionem vel praenotionem, quemadmodum curationem, asseveraverit. Jam vero percipe, curationem morborum eversionem jam obortorum, non autem etiamnum orientium esse. Sed de his omnibus libro de fine medicinae

γνώμην τοῦ παλαιοῦ κατανοήσαντας ἤδη καὶ χωρὶς τῆς περὶ τοῦ τέλους ἀκριβολογίας. γεγραμμένης δὲ τῆς προκειμένης ῥήσεως καὶ καθ' ἕτερον τρόπον ἐν πολλοῖς τῶν ἀξιοπίστων ἀντιγράφων οὐκ ἄκαιρόν ἐστι κἀκείνης μνημονεῦσαι· διαφέρει δὲ τῆς προγεγραμμένης ἑνὶ γράμματι τῷ ἢ κατὰ τόνδε τὸν τρόπον ἔχουσα, [3] ὁκόταν δὲ εἰς τέκμαρσιν λέγηται ἢ ὡς χρὴ ἕκαστα ἰητρεύειν. οἱ δὲ οὕτω γράφοντες τέκμαρσιν μὲν τὴν διάγνωσίν τε καὶ πρόγνωσιν ἀκούουσι, τὸ δὲ, ὡς χρὴ ἕκαστα ἰητρεύειν τὴν θεραπείαν, οὐ βουλόμενοι ταύτην περιέχεσθαι ἐν τῷ τῆς τεκμάρσεως ὀνόματι· εἰ δέ γε τοῦθ' οὕτως ἔχει, κατὰ τὴν προγεγραμμένην ῥῆσιν, ἐν ᾗ φησιν, πολλὰ παρεῖται ἄλλα ἐν ἄλλοισι καὶ ἐπίκαιρα ἔνια ἐόντα ἐς τέκμαρσιν, οὐκ ὀρθῶς ἔσται παραλελοιπὼς τὸ θεραπευτικὸν μέρος τῆς τέχνης. εὔδηλον δ' ὅτι φήσουσιν ἐκεῖνοι δι' αὐτὸ τοῦτο πάλιν ἐπαναλαβεῖν καὶ γράψαι τὴν ἑξῆς ῥῆσιν, ἵνα προσθῇ καὶ τὸ θεραπευτικόν. ἔνθα δὲ οὐκ ἔστι περὶ πράγματος εἰς θεραπείαν χρησίμου διαφωνία πε-

abunde fcriptum eft. Atque nunc praeter propofitum opus nos conftruere non oportet, qui jam fenis mentem etiam citra accuratam de fine tractationem deprehendimus. Quum autem propofita dictio alio quoque modo plerisque in exemplaribus fide dignis fcripta fit, ejus mentionem facere non intempeftivum eft. Differt autem a praefcripta dictione unica litera, *hoc eft vel*, ut ad hunc modum textus fit: *Quum autem ad conjectationem referatur, vel quomodo fingula curare oporteat.* Qui ita fcribunt, per conjectationem, dignotionem et praenotionem intelligunt, et per haec verba: *quomodo fingula curare oporteat*, curationem, nolentes eam conjectationis nomine contineri. Quod fi ita habet, in ante fcripta dictione qua dicit: *multa praetermiffa funt in aliis alia, nonnullaque ad conjectationem peropportuna*, non recte curatricem artis partem praetermiferit. Patet autem quod ifti afferent, ob id ipfum fequentem dictionem repetiviffe ac fcripfiffe, quo curatricem artis partem adderet. Verum ubi de re ad curationem utili difceptatio non eft, fermonem protrahere

ριττὸν τὸ μακρολογεῖν· ἐπ' ἐκεῖνα τοίνυν σπεύσωμεν, ἐν οἷς καὶ διδάσκει τὰ πρὸς τὴν θεραπείαν χρήσιμα.

γ.

Καὶ οὐ μόνον διὰ τοῦτο οὐκ ἐπαινέω, ἀλλ' ὅτι καὶ ὀλίγοισι τὸν ἀριθμὸν τοῖσιν ἀκέεσιν ἐχρέοντο· τὰ γὰρ πλεῖστα αὐτέοισιν εἴρέαται, πλὴν τῶν ὀξέων νούσων, φάρμακα ἐλατήρια διδόναι καὶ ὀῤῥὸν καὶ γάλα τὴν ὥρην πιπίσκειν. εἰ μὲν οὖν ταῦτ' ἦν ἀγαθὰ καὶ ἁρμόζοντα τοῖσι νουσήμασιν, ἐφ' οἷσι παρήνεον διδόναι, πολὺ ἂν ἀξιώτερα ἦν ἐπαίνου, ὅτι ὀλίγιστα ἐόντα αὐτάρκεά ἐστιν· νῦν δὲ οὐχ οὕτως ἔχει.

Καὶ ὀλίγοις τὸν ἀριθμὸν τοῖς ἰάμασιν αὐτούς φησι κεχρῆσθαι, πλὴν τῶν ὀξέων νοσημάτων, ὡς ἐν τούτοις εἰρηκότων πολλὰ, καὶ γὰρ οὕτως εἰρήκασι· τὰ δὲ ἐπὶ τῶν χρο-

superfluum est. Quare ad ea, in quibus ad curationem utilia etiam docet, properemus.

III.

Atque non solum ob id non laudo, verum quod et paucis numero remediis usi sint. Nam plurima ab ipsis relata sunt (praeterquam in morbis acutis) medicamenta deorsum purgantia exhibenda, tum serum, tum lac pro tempestate propinandum. Haec igitur si bona essent et morbis in quibus dari monuerunt, convenientia, longe laude digniora essent, quod paucissima sufficerent. Sed nunc non ita se res habet.

Paucis quoque numero medicamentis ipsos ait, praeterquam in acutis morbis, usos fuisse, ac si in his multa enarraverint. Etenim ita protulerunt. Quae vero de diuturnis morbis dixerunt, haec revera contra se habent.

νίων ὄντως πάλιν καὶ ταῦτα. καὶ γὰρ δι' ἐλατηρίων καὶ ὀῤῥοῦ καὶ γάλακτος ὡραίως πινομένων αὐτοῖς περαίνεται.

δ'.

Οἱ μέντοι ὕστερον ἐπιδιασκευάσαντες ἰητρικώτερον δή τι ἐπῆλθον περὶ τῶν προσοιστέων ἑκάστοισιν.

Ἐπιδιασκευάσθαι λέγεται βιβλίον ἐπὶ τῷ προτέρῳ γεγραμμένῳ τὸ δεύτερον γραφὲν, ὅταν τὴν ὑπόθεσιν ἔχον τὴν αὐτὴν καὶ τὰς πλείστας τῶν ῥήσεων τὰς αὐτὰς, τινὰ μὲν ἀφῃρημένα τῶν ἐκ τοῦ προτέρου συγγράμματος ἔχει, τινὰ δὲ προσκείμενα, τινὰ δὲ ὑπηλλαγμένα· παράδειγμα δ' εἰ βούλει τούτου σαφηνείας ἕνεκα τὸν δεύτερον Αὐτόλυκον Εὐπόλιδος ἔχεις ἐκ τοῦ προτέρου διεσκευασμένον. οὕτως δὲ καὶ τὰς Κνιδίας γνώμας ἐπὶ ταῖς προτέραις δευτέρας ἐξέδοσαν οἱ ἀπὸ τῆς Κνίδου ἰατροὶ, τινὰ μὲν ἐχούσας τὰ αὐτὰ πάντῃ, τινὰ δὲ προσκείμενα, τινὰ δὲ ἀφῃρημένα, καθάπερ γε καὶ ὑπηλλαγμένα· τοῦτ' οὖν τὸ δεύτερον βι-

Etenim per medicamenta alvum deorſum purgantia tum ſerum tum lac potui exhibita ab illis perficiuntur.

IV.

Qui vero ſecundum librum recognoverunt, de iis ſane quae ſingulis aſſumenda ſint, medice magis diſſeruerunt.

Secundum priori ſuccedentem librum ſcriptum recognoſci dicimus, qui quum documentum idem easdemque plurimas dictiones habeat, nonnulla quidem e priore libro detracta, quaedam vero addita, alia denique permutata continet. Hujus rei exemplum ſi deſideres, perſpicuitatis gratia, ſecundum Eupolidis Autolycum ex priore compoſitum habes. Ita vero et Cnidias ſententias Cnidii medici a prioribus ſecundas ediderunt, quae nonnulla quidem prorſus eadem, quaedam vero addita, alia denique detracta ac etiam immutata continebant. Hunc itaque

βλίον ὁ Ἱπποκράτης ἰατρικώτερον συγκεῖσθαί φησι τοῦ προτέρου.

ε'.

[4] *Ἀτὰρ οὐδὲ περὶ διαίτης οἱ ἀρχαῖοι ξυνέγραψαν οὐδὲν ἄξιον λόγου, καίτοι μέγα τοῦτο παρῆκαν.*

Ἡ διὰ τῶν συνηθῶν ὑλῶν ἀγωγὴ τῆς θεραπείας ὀνομάζεται δίαιτα, καθάπερ ἡ διὰ τῶν συνηθῶν τομῶν τε καὶ καύσεων καὶ τῶν ἄλλων, ὅσα διὰ τῶν χειρῶν ἐνεργεῖται, χειρουργία, καὶ τρίτη γε ἐπ' αὐτοῖς μοῖρα τῆς ἰατρικῆς ἐστιν ἡ φαρμακευτικὴ, διὰ φαρμάκων καὶ αὐτὴ δηλονότι περαινομένη. μέμφεται δὲ τοῖς ἑαυτοῦ πρόσθεν ὁ Ἱπποκράτης, ὡς οὐδὲν ἄξιον λόγου περὶ διαίτης γεγραφόσιν· τοῦτο δὲ εἶπεν, οὐχ ὡς οὐδὲν αὐτῶν συγγραψάντων διαιτητικὸν θεώρημα, [γράφουσι γὰρ] ἀλλ' ὡς οὐκ ἄξιον λόγου· δείξει δ' αὐτὸς ὁποῖόν τι τὸ ἄξιον λόγου διὰ τῶν ἐφεξῆς.

ſecundum librum primo magis medicum eſſe Hippocrates aſſerit.

V.

Sed neque de victus ratione quicquam effatu dignum veteres conſcripſerunt, quanquam magnum id praetermiſerunt.

Is qui per conſuetas materias fit curationis ductus, diaeta appellatur, quemadmodum qui per conſuetas tum ſectiones, tum uſtiones et caeteras quae manibus fiunt operationes, chirurgia, ac tertia ab his medicinae pars eſt pharmaceutice, quae nimirum medicamentis abſolvitur. Accuſat autem priſcos Hippocrates, quod de victus ratione nihil effatu dignum conſcripſerint, idque protulit, non quod nullum diaeteticum documentum conſcripſerint, (ſcripſerunt enim) ſed quod non effatu dignum. Quid autem ſit effatu dignum ſequentibus docebit.

στ'.

(39) *Τὰς μέντοι πολυτροπίας τὰς ἐν ἑκάστῃσι τῶν νούσων καὶ τὴν πολυσχιδίην αὐτέων οὐκ ἠγνόουν ἔνιοι.*

Οὐ μόνον οὐκ ἠγνόουν τὰς πολυτροπίας τῶν νοσημάτων, ἀλλὰ καὶ περαιτέρω τοῦ προσήκοντος ὑπὲρ αὐτῶν ἔγραψαν, ὡς ἐφεξῆς δείξω.

ζ'.

Ἔνιοι δὲ τοὺς ἀριθμοὺς ἑκάστου τῶν νουσημάτων σάφα ἐθέλοντες φράζειν οὐκ ὀρθῶς ἔγραψαν. μὴ γὰρ καὶ οὐκ εὐαρίθμητον ἦν, εἰ τουτέῳ τις σημαίνεται τὴν τῶν καμνόντων νοῦσον, τῷ ἕτερον τοῦ ἑτέρου διαφέρειν τι καὶ μὴ τωὐτὸ νούσημα δοκέει εἶναι, ἢν μὴ τωὐτὸ οὔνομα ἔχῃ. ἐμοὶ δὲ ἀνδάνει μὲν ἐν πάσῃ τέχνῃ προσέχειν τὸν νόον. καὶ γὰρ ὁκόσα ἔργα διήκει καλῶς, ἕκαστα χρὴ ποιέειν καὶ ὀρθῶς, καὶ ὁκόσα ἔργα ταχέως, ταχέως, καὶ

VI.

Varia tamen ſingulorum morborum genera multiplicemque eorum diviſionem non ignorarunt quidam.

Non ſolum varia morborum genera non ignorarunt, verum etiam ulterius quam deceat de iis ſcripſerunt, quemadmodum deinceps ſum demonſtraturus.

VII.

Nonnulli vero ſingulorum morborum numeros dilucide pronuntiare volentes non recte ſcripſerunt. Neque enim eos numerare facile fuerit, ſi quis ex eo aegrotantium morbum ſignis conjectet, quod alter ab altero re quadam differat, neque eundem eſſe morbum reputet, niſi idem nomen ſortiatur. Mihi vero placet in omni arte animum advertere. Etenim quae recte procedunt opera, ea quoque ſingula recte facere oportet, quae celeritatem poſtulant, ea quoque celeriter, et quae pure,

ὁκόσα καθαρίως, καθαρίως· [5] καὶ ὁκόσα ἀνωδύνως δεῖ διαχειρίζεσθαι, ὡς ἀνωδυνώτατα ποιέειν· καὶ τὰ ἄλλα πάντα τὰ τοιουτότροπα, διαφερόντως τῶν πέλας, ἐπὶ τὸ βέλτιον ποιέειν χρή· μάλιστα δὲ ἂν ἐπαινέσαιμι ἰητρὸν, ὅστις ἐν τοῖσιν ὀξέσι νουσήμασιν, ἃ τοὺς πλείστους τῶν ἀνθρώπων κτείνει, ἐν τουτέοισι διαφέρων τι τῶν ἄλλων εἴη ἐπὶ τὸ βέλτιον. ἔστι δὲ ταῦτα ὀξέα, ὁκοῖα ὠνόμασαν οἱ ἀρχαῖοι πλευρῖτιν καὶ περιπλευμονίην καὶ φρενῖτιν καὶ λήθαργον καὶ καῦσον καὶ τὰ ἄλλα νουσήματα, ὁκόσα τουτέων ἐχόμενά ἐστιν, ὧν οἱ πυρετοὶ τὸ ἐπίπαν ξυνεχέες ὄντες κτείνουσιν.

Εἶπεν ὀλίγον ἔμπροσθεν ὅτι κατ' ἀρχας εὐθέως ἔγραψαν οἱ ἀπὸ Κνίδου ἰατροὶ περὶ νοσημάτων περαιτέρω τοῦ προσήκοντος, χολῆς νοῦσοι ζ'· κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ κατωτέρω πάλιν ἀπὸ τῆς κύστεως νοῦσοι ιβ', καὶ πάλιν ἔτι κατωτέρω νεφρῶν νοσήματα δ', καὶ μετὰ τοῦτο πάλιν ἀπὸ τῆς κύστεως νοῦσοι στραγγουριῶν τέσσαρες, εἶτα

pure et quae citra dolorem adminiſtrari deſiderant, ea quammaxime ſine dolore facere; caetera quoque hujus generis omnia aliter quam proximi ad meliorem formam reducere oportet. Sed maxime medicum probavero, qui acutis in morbis, quibus plurimi homines enecantur, longe melius caeteris ſe gerat. Sunt autem hi acuti morbi, quos prisci nominarunt pleuritidem, peripneumoniam, phrenitidem, lethargum, febrem ardentem et quicunque alii morbi ad hos conſequuntur, quorum febres omnino continuae interficiunt.

Dixit paulo ante Cnidios medicos ſtatim per initia de morbis plus quam deceat ſcripſiſſe, hi ſunt bilis morbi ſeptem; ad hunc autem modum ac rurſum in partibus inferioribus veſicae morbi duodecim, in iisdem quoque partibus inferioribus renum morbi quatuor, ac poſtea iterum veſicae morbi ſtranguriae duodecim, mox etiam-

πάλιν ἐφεξῆς τέτανοι γ', καὶ μετὰ ταῦτα πάλιν ἴκτεροι δ'. εἶτα μετὰ τοῦτο φθίσιες γ'. εἰς γὰρ τὰς τῶν σωμάτων ποικιλίας ἔβλεπον ὑπὸ πολλῶν αἰτίων ἐξαλλασσομένας, παρέντες σκοπεῖσθαι τῶν διαθέσεων τὴν ταυτότητα, καθάπερ ὁ Ἱπποκράτης ἐποίησε μεθόδῳ χρησάμενος εἰς τὴν εὕρεσιν αὐτῶν, ᾗ μόνον δυνατόν ἐστιν εὑρεῖν νοσημάτων ἀριθμόν. ἐπιδέδεικται δὲ ὑφ' ἡμῶν ἡ μέθοδος αὕτη κατ' ἀρχὰς εὐθέως τῶν τῆς θεραπευτικῆς μεθόδου βιβλίων· εἴρηται δὲ κἀν τῷ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐπ' ὀλίγον· ἐν συντόμῳ δὲ λόγῳ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ἓν ἔχεις ὑπόμνημα ἡμέτερον. νυνὶ δ' ἀκολουθεῖν προσήκει ταῖς ῥήσεσιν, οὗτος γὰρ ὁ σκοπὸς τῆς ἐξηγήσεως, ὡς εἴ γέ τις ἐν ταῖς ἐξηγήσεσι τὰς ἀποδείξεις γράφοι, μακρὸν ἀνύσας λόγον ἕνεκα τῆς τῶν νοσημάτων ἰάσεως, τὸ κυριώτατον ἀφεὶς ἔσται μέρος ὅ τί περ ἂν εἰς τὴν ἴασιν τῶν ὀλεθριωτάτων νοσημάτων διαφέρει. τὸ μὲν κεφάλαιον τῆς προκειμένης ῥήσεως τοῦτό ἐστι, τὸ δὲ κατὰ μέρος τῆς λέξεως ἐφεξῆς δίειμι.

---

num deinceps tetani tres, posteaque icteri quatuor, praeterea denique tabes tres. Ad corporum enim varietates, quae multas ob causas immutabantur, respexerunt, praetermittentes affectuum identitatem perpendere, quemadmodum accurate perpendit Hippocrates, ad eorum inventionem methodo usus, qua duntaxat morborum numerum invenire conceditur. Methodus autem ipsa statim per initia librorum methodi medendi a nobis demonstrata est. Prodita quoque est paucis in libro de elementis secundum Hippocratem. Habes etiam nostrum conciso sermone unum de morborum differentiis commentarium. Sed nunc dictiones observandae sunt, is enim explicationis scopus existit. Quod si quis in explicationibus demonstrationes scripserit, longam orationem conficiens praecipuam (quae curationis morborum causa existit) partem praetermittet, quae ad maxime letalium morborum curationem praestantissima est. Summa quidem praesentis dictionis haec est, particularia vero dictionis deinceps explicabo.

η.

Ὁκόταν γὰρ μὴ λοιμώδεος νούσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλὰ σποράδες ἔωσιν αἱ νοῦσοι καὶ παραπλήσιοι, ὑπὸ τουτέων τῶν νουσημάτων ἀποθνήσκουσι πλείους ἢ ὑπὸ τῶν ἄλλων τῶν συμπάντων.

Δηλοῖ δὲ διὰ τοῦ λόγου τούτου τὰ μέν τινα πολλοῖς γίνεσθαι νοσήματα καθ' ἕνα χρόνον, ἅπερ ὅταν μὲν ὀλέθρια γένηται, λοιμὸν ὀνομάζουσιν, ὅταν δὲ ἐπιεικέστερα, ἑτέρᾳ τινὶ προσηγορίᾳ δηλοῦσιν, ἐπίδημα καλοῦντες· ὥστε εἶναι τὸ μὲν ἐπίδημον νόσημα τὸ κατὰ χρόνον τινὰ πλεονάσαν ἔν τινι χωρίῳ, τὸν δὲ λοιμὸν ἐπιδημίαν ὀλέθριον. ἔστι δὲ καὶ ἄλλο γένος νοσημάτων κοινὸν πολλοῖς, ὅπερ ἐστὶ τὸ κατὰ χώραν ἐπι- [6] γινόμενον, τὰ ἔνδημα καλούμενα. τούτοις δὲ ἀντίκεινται πᾶσιν αἱ σποράδες νόσοι, διαφερόντως ἐνοχλοῦσαι τοὺς νοσοῦντας, οὐ κατὰ τὸν κοινὸν τρόπον συνιστάμεναι. τί ποτ' οὖν ἐστι τὸ λεγόμενον ὑπ' αὐτοῦ, ἀλλὰ σποράδες ἔωσιν αἱ νοῦσοι καὶ παραπλήσιοι; τοὐναντίον

VIII.

Quum enim nullus communis pestilentis morbi modus populariter grassatus fuerit, sed sporadici morbi, ac similes fuerint, ab his morbis plures quam ab aliis omnibus moriuntur.

Declarat hac oratione morbos quosdam multis hominibus uno tempore oboriri, quos, quum perniciosi fuerint, pestem appellant, quum vero mitiores, altera quadam explicant appellatione, epidemios vocantes, ut epidemius quidem morbus sit, qui quodam tempore aliqua in regione vehementius grassatur, pestis vero, epidemia perniciosa. Est autem et aliud morborum genus multis commune, quod in regione oboritur endemiumque appellatur. His autem omnibus opponuntur sporadici morbi, qui aegrotos vehementer vexant, non communi consuetudine constantes. Sed quid est quod ab Hippocrate dicitur: *sed sporadici morbi ac similes fuerint?* Nam contrarium dicen-

γὰρ ἐχρῆν εἰρῆσθαι καὶ μὴ παραπλησίας αὐτὰς ἀλλήλαις ὑπάρχειν, ὅπερ ἐστὶ μὴ ὁμοίας, εἴ γε τῇ τῶν νοσημάτων ὁμοιότητι τὸ ἔνδημον καὶ τὸ ἐπίδημον καὶ τὸ λοιμῶδες ἐκρίνετο. δυοῖν οὖν θάτερον, ἢ βελτίονα νομιστέον τὴν τοιαύτην γραφὴν, ἀλλὰ σποράδες ἔωσιν αἱ νοῦσοι καὶ μὴ παραπλήσιοι, ἢ παραπλησίας αὐτὰς εἰρῆσθαι χρὴ δοκεῖν, οὐκ ἀλλήλαις, ἀλλὰ ταῖς ἔμπροσθεν εἰρημέναις, τουτέστι ταῖς συνήθεσιν· ἐπειδὴ σπανιώτερα μὲν ἐπιδήμιά τε καὶ λοιμικὰ γίνεται νοσήματα, τὰ δ' ὑπ' αὐτοῦ καλούμενα σποραδικὰ συνήθως· ὑπὲρ ὧν καὶ νῦν ὁ λόγος αὐτῷ γενήσεται, καθάπερ ὑπὲρ τῶν ἐπιδημίων μὲν ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις· τῶν ἐνδήμων δὲ κατὰ τὸ περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων· ἴδιον δὲ οὐδὲν ἐξαίρετον ἐποίησε σύγγραμμα περὶ λοιμῶν, ἐπειδὴ τῶν ἐπιδημίων ἓν ὑπάρχειν αὐτὸ δι' ἐκείνων ἐδίδαξεν.

θ'.

Οἱ μὲν οὖν ἰδιῶται οὐ κάρτα γινώσκουσι τοὺς εἰς ταῦτα διαφέροντας τῶν πέλας.

dum erat, *et dissimiles eos inter se esse*, quod est non similes, siquidem morborum similitudine et endemium et epidemium et pestilens judicabatur. Duorum igitur alterum, aut meliorem hanc scriptam sententiam augurandum est: *sed morbi sporadici ac non similes fuerint*, aut similes eos dictos esse censendum, non inter se, sed morbis praedictis, hoc est, consuetis, quoniam rarius quidem tum epidemii tum pestilentes morbi oboriuntur, vocati vero ab eo sporadici frequentius, de quibus et praesens liber ab ipso habetur, ut et de epidemiis in libris epidemiorum morborum, et de endemiis in libro de aquis, aëre et locis. Nullum autem proprium de peste confecit librum, quoniam ex epidemiis unum esse illam per libros epidemiorum demonstravit.

IX.

Idiotae igitur non admodum cognoscunt eos, qui in his proximis praestant.

Τοὺς εἰς ταῦτα τὰ νοσήματά φησι διαφέροντας τῶν πέλας ἰατροὺς, οὐ πάντη γινώσκειν τοὺς ἰδιώτας· δῆλον δὲ ὅτι τὰ ὀξέα λέγει, περὶ ὧν προειρήκει.

ι.

Ἑτεροίων τε μᾶλλον ἐπαινέται ἰημάτων καὶ ψέκται εἰσίν.

Οὐ τῶν προσηκουσῶν, οὐδὲ τῶν ἀξίων ἐπαινεῖσθαι θεραπειῶν διαγνωστικοὺς εἶναί φησι τοὺς ἰδιώτας, ἀλλὰ τῶν ἑτέρων μᾶλλον, ὅθεν οὐδ' ἐπαινεῖν αὐτοὺς ὀρθῶς οὐδὲ ψέγειν· εἶτ' ἐφεξῆς ὡς προστιθεὶς ἀπόδειξιν ὧν εἶπεν τάδε γράφει.

ια.

(40) *Ἔπειτα μέγα σημεῖον τόδε, ὅτι οἱ μὲν δημόται ἀξυνετώτατοι αὐτοὶ ἑωυτῶν περὶ τουτέων τῶν νουσημάτων εἰσὶν, ὥστε μελετητέα εἶναι· οἱ γὰρ μὴ ἰητροὶ ἰητροὶ*

Idiotas ait eos non omnino cognofcere medicos, qui ad hujusmodi morbos proximis praeftant. Quod autem acutos dicat, palam eft, de quibus ante differuit.

X.

Aliarumque curationum magis laudatores aut vituperatores exiftunt.

Non confentaneas, neque laudibus dignas curationes difcernere poffe idiotas enunciat, fed alienas magis, proindeque ipfos neque probe laudare neque vituperare. Deinceps tanquam eorum quae protulit demonftratione addita haec fcribit.

XI.

Deinde magnum id indicium, quod hi populares hujusmodi morborum intelligentia minime fruantur, ut quos ftudio confequi oportet. Nam qui medici non funt,

δοκέουσιν εἶναι μάλιστα διὰ ταύτας τὰς νούσους. ῥηΐδιον γὰρ τὰ ὀνόματα ἐκμανθάνειν ἐστὶν, ὁκοῖα νενόμισται προσφέρεσθαι πρὸς τοὺς τὰ τοιάδε κάμνοντας· ἢν γὰρ ὀνομάσῃ τις πτισάνης χυλὸν καὶ οἶνον τοῖον ἢ τοῖον ἢ καὶ μελίκρητον, ἅπαντα τοῖσι δημότῃσι δοκέουσιν οἱ ἰητροὶ ταὐτὰ λέγειν, οἵ τε βελτίους καὶ οἱ χείρους· τὰ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἐν τουτέοισι δὴ καὶ πάνυ μέγα διαφέρουσιν ἕτεροι ἑτέρων.

---

[7] Ἐπεὶ ταῖς αὐταῖς ὕλαις τῶν διαιτημάτων οἵ τε βελτίους ἰατροὶ καὶ οἱ χείρους χρῶνται, διὰ τοῦτο τοῖς ἰδιώταις ἀδιάγνωστός ἐστιν ὁ βελτίων, οὐκ εἰδόσι διακρῖναι τίνες μὲν ἐν καιρῷ καὶ μετὰ τῆς δεούσης ποσότητος τὰς ὕλας τῶν βοηθημάτων τοῖς κάμνουσι προσφέρουσι, τίνες δὲ ἄνευ τούτων. ἀλλ' οὖν ἐνταῦθα περιγράψας ὁ Ἱπποκράτης τὸ δεύτερον προοίμιον, ἄρχεται τῶν ἐχομένων ἐπὶ τῆς προκειμένης ῥήσεως.

---

medici eſſe videntur maxime propter hos morbos. Facile eſt enim nomina, quae apud aegrotos his morbis affectos proferri conſueverunt, ediſcere. Si quis enim ptiſanae cremorem nominaverit et vinum hoc aut illud aut etiam mulſum, haec omnia eadem plebeis tum praeſtantiores tum deteriores medici dicere videntur. At non ita ſe res habet, verum in his ſane alii ab aliis magnopere differunt.

Quandoquidem hujusmodi materiis ad victus rationem ſpectantibus medici tum praeſtantiores tum deteriores utuntur, propterea quis ſit praeſtantior, haud ab idiotis diſcernitur, qui diſcernere nequeunt, quinam tempeſtive ac decenti quantitate praeſidiorum materias aegrotantibus adminiſtrent et quinam citra haec. Verum Hippocrates hic deſcripto ſecundo prooemio, a praeſenti oratione conſequentia exorditur.

ιβ'.

Δοκέει δέ μοι ἄξια γραφῆς εἶναι ταῦτα μάλιστα, ὁκόσα τε ἀκαταμάθητά ἐστι τοῖσιν ἰητροῖσιν, ἐπίκαιρα ἐόντα εἰδέναι, καὶ ὁκόσα μεγάλας ὠφελείας φέρει ἢ μεγάλας βλάβας. ἀκαταμάθητα μὲν οὖν καὶ τάδε ἐστί· διὰ τί ἄρα ἐν τῇσιν ὀξείῃσι νούσοισιν οἱ μὲν τῶν ἰητρῶν ἅπαντα τὸν αἰῶνα διατελοῦσι πτισάνας διδόντες ἀδιηθήτους καὶ νομίζουσιν ὀρθῶς ἰητρεύειν, οἱ δέ τινες περὶ παντὸς ποιέονται ὅπως κριθὴν μηδεμίην καταπίῃ ὁ κάμνων, μεγάλην γὰρ βλάβην ἡγέονται εἶναι, ἀλλὰ δι' ὀθονίου τὸν χυλὸν διηθέοντες διδόασιν· οἱ δὲ αὖ τινες αὐτέων οὐδ' ἂν πτισάνην παχείην δοῖεν, οὔτε χυλὸν, οἱ μὲν μέχρις ἢν ἑβδομαῖος γένηται ὁ κάμνων, οἱ δὲ καὶ διὰ τέλεος ἄχρις ἢν κριθῇ ἡ νοῦσος.

Δόξει μὲν εἶναι λογικώτερον τὸ προβεβλημένον ὑπ' αὐτοῦ, δυναμένων ἡμῶν καὶ χωρὶς τῶν τοιούτων σκεμμάτων ἰατρεύειν ὀρθῶς· ἐκ γὰρ τοῦ μαθεῖν τὰ ποιητέα, τὸ καλῶς

XII.

Videntur autem mihi scripto digna esse potissimum, quae a medicis ignorantur, iis scitu necessaria, et quae magnas utilitates aut magnas laesiones adferunt. Quae itaque ignorantur, haec sunt. Curnam in acutis morbis quidam medici totum aevum ptisanas non colatas exhibentes traducunt ac sese medicinam recte facere arbitrantur? Quidam vero prae omnibus moliuntur ut nullum hordeum aeger devoret (magnae enim laesionis esse illud existimant), sed cremorem linteo colatum exhibent. Quidam praeterea ipsorum neque crassam ptisanam, neque cremorem exhibent, et hi quidem quousque ad diem septimum aeger pervenerit, illi autem assidue quoad morbus judicatus fuerit.

Quod a praeceptore propositum est, id sane logicum magis esse videbitur, quum nos etiam citra hujusmodi speculationes recte mederi possimus. *Probe namque mor-*

ἰᾶσθαι τὰς νόσους περιγίνεται τοῖς ἰατροῖς, οὐκ ἐκ τοῦ ζητῆσαι. τὴν αἰτίαν τῆς διαφωνίας τῶν διαφόρους θεραπείας γραψάντων ἐπὶ τοῖς αὐτοῖς νοσήμασιν· ἔστι δὲ κατ' ἀλήθειαν οὐ μόνον χρησιμώτατον, ἀλλὰ καὶ πρῶτον ἁπάντων ἐζητῆσθαι δεόμενον, ὡς δείξω προϊόντος τοῦ λόγου. πρότερον γὰρ, ὅτι τε ζητήσεως ἄξιόν ἐστιν ὃ προβάλλει καὶ ὅπως αὐτὸ λύει, διελθεῖν ἄμεινον. ὅτι μὲν οὖν ἄξιόν ἐστι ζητήσεως, ἐντεῦθεν μαθήσῃ. τῆς μὲν γὰρ τῶν φιλοσόφων διαφωνίας οὐδὲν ἔχομεν ἐμφανὲς τεκμήριον· οὔτε γὰρ εἰ γενητὸς ὁ κόσμος, οὔτ' εἰ φθαρτὸς, οὔτ' εἰ μὴ κενόν ἐστιν ἔξωθεν αὐτοῦ, οὔτ' εἰ ἄπειρος, οὔτ' εἰ μόνος οὗτος εἷς ἐστιν, οὔτ' εἰ πλείους, οὔτε πόσοι τὸν ἀριθμὸν, εἴπερ πλείους, οὔτ' εἰ πλῆθος ἀπερίληπτον ἢ ἄπειρον αὐτῶν, ἐναργεῖ τεκμηρίῳ χρήσασθαι δυνατόν· οὕτως δὲ καὶ ἄλλα πολλὰ τῶν κατὰ φιλοσοφίαν ζητουμένων ἔνια μὲν οὐδ' ὅλως ἐπικρῖναι δυνάμεθα, τινὰ δὲ μετὰ πολλῆς ἐπισκέψεως. περὶ δὲ τῶν ὠφελούντων τοὺς κάμνοντας ἢ βλαπτόντων οὐχ ὁμοίως ἔχει·

bis mederi ex faciendorum ſcientia ſuppetit medicis, non ex indagatione cauſae controverſiae inter eos ortae, qui pugnantes ipſorum morborum curationes ſcripſerunt. Eſt autem ſecundum veritatem non ſolum perutile, verum etiam omnium primum quaeſitu neceſſarium, ut progreſſu ſermonis ſum demonſtraturus. Primum enim quod quaeſtione dignum ſit quod proponit et quemadmodum id ſolvat, percurrere ſatius eſt. Quod igitur quaeſtione dignum ſit, hinc diſces. Nullam enim de philoſophorum controverſia evidentem habemus conjecturam. Neque enim ſi ortus ſit mundus, neque ſi interiturus, neque ſi extra ipſum non ſit vanum, neque ſi immenſus, neque ſi is ſolus unus ſit, neque ſi plures, neque quot numero, ſi plures, neque ſi horum multitudo incomprehenſibilis ſit aut infinita, manifeſta conjectura dari poteſt. Si vero et aliorum multorum, quae in philoſophia quaeruntur, nonnulla quidem judicare prorſus non poſſumus, quaedam vero non ſine multa contemplatione. Verum de aegros juvantibus vel laedentibus non ſimili modo ſe res ha-

τὸ μὲν γὰρ εὑρεῖν αὐτὰ χρόνου δεῖται μακροῦ, διαφέροντός τε τῶν πολλῶν ἀνδρός· ὅσα δὲ εὑρηκέναι τινὲς ἐπαγγέλλονται, δόξει ταῦτα ῥᾳδίαν ἔχειν τὴν κρίσιν. [8] εἰ μὲν γὰρ ὠφέλησε προσαχθέντα τοῖς κάμνουσιν, ἐπαινεῖν αὐτὰ χρὴ καὶ προσίεσθαι, βλάψαντα δὲ φεύγειν τε καὶ ἀποτρέπεσθαι, μηδὲν δὲ ἀξιόλογον εἰς βλάβην ἢ εἰς ὠφέλειαν ἐργασάμενα τῶν οὐδετέρων ὑπολαμβάνειν· ἀλλὰ καὶ τοὺς ἰατροὺς ἀφίστασθαι τῶν ἐναργῶς βλαπτόντων. ὅσα μὲν οὖν ὀλίγην ἔχει τὴν διαφορὰν, οὐδὲν θαυμαστὸν ἐπιμένειν αὐτοῖς τοὺς ὁπωσοῦν ἐξ ἀρχῆς δόξαντας· ὅσα δὲ πάμπολυ διέστηκεν, ὡς ἐπαινεῖσθαι μὲν ὑφ' ἑτέρων, ψέγεσθαι δὲ ὑπ' ἐνίων, ἐπὶ τούτων ἄν τις θαυμάσειεν ἢ τοὺς ἐπαινοῦντας τὰ μεγάλην ἔχοντα βλάβην ἢ τοὺς ψέγοντας τὰ κατὰ ἀλήθειαν ὠφέλιμα. τοῦτ' οὖν ἐστιν αὐτὸ νῦν προβαλλόμενον ὑπὸ Ἱπποκράτους, ἐφ' ἑνὸς τῶν κατὰ μέρος ὑποδειγμάτων· εἴρηται δὲ καὶ ὑπὸ Ἐρασιστράτου κατὰ τὸ πρῶτον βιβλίον περὶ πυρετῶν αὐτό τε καὶ ἡ λύσις αὐτοῦ διὰ ταχέων τε καὶ σαφῶς, ἀκολουθήσαντος αὐτοῦ τῷ Ἱπποκράτει πάντη.

bet. Nam ad ipfa invenienda longo opus eft tempore viroque fupra vulgus excellente; quae tamen fefe reperiffe quidam profitentur, ea facilem habere judicationem videbuntur. Si namque aegris adhibita profuerint, ipfa laudare oportet atque admittere, fi vero laeferint, et vitare et rejicere, quae vero nihil ad praefidium aut laefionem commemorandum attulerint, fub neutris comprehendere. Sed et medicos ab evidenter laedentibus abhorrere *oportet*. Ergo quae paucum quidem fortiuntur diffidium, nihil mirum ipfis eos immorari, qui quovis modo ab initio obfervarunt. Quae vero multopere ita differerunt, ut ab aliis quidem probentur, a nonnullis vero rejiciantur, in his eos quisque admirari poterit, aut qui magnopere laedentia probant, aut eos qui vere juvantia improbant. Id ipfum fane eft, quod nunc ab Hippocrate particulari uno exemplo proponitur. Dictum autem tum id, tum ipfius folutio ab Erafiftrato in primo libro de febribus et paucis et manifeftis, Hippocratem plane fequuto. Quum

διελθὼν γὰρ ἐν τῷ προειρημένῳ βιβλίῳ τοὺς ἐναντιωτάταις ἀγωγαῖς ἐπὶ τῶν πυρεττόντων χρωμένους ἰατροὺς, τούς τε μακραῖς ἀσιτίαις καταπονοῦντας τοὺς κάμνοντας καὶ Πετρωνᾶν τὸν κρέα τε καὶ οἶνον διδόντα, ἐπιφέρων φησὶ κατὰ λέξιν οὕτως. ἐπὶ πολλῶν μὲν οὖν πάνυ μεγάλαις πληγαῖς περιέπιπτον· εἰ δὲ πάντες κακῶς ἀπηλλάττοντο πυρέττοντες ἐν τῇ τοιαύτῃ ἀγωγῇ τῆς θεραπείας, πεπαυμένοι ἂν ἦσαν τοῦ θεραπεύειν οἱ ἰατρεύοντες οὕτως· ἀλλ᾽ ὡς ἔοικεν οὐκ ἐφαρμόζει πᾶσι τοῖς πυρετοῖς ἡ αὐτὴ ἀγωγὴ τῆς θεραπείας. ἐπαινεῖν οὖν χρὴ καὶ τὸν Ἐρασίστρατον καὶ τοὺς ἄλλους, οἳ προβάλλοντες τοῦτο τὸ ζήτημα καὶ τὴν λύσιν ἔγραψαν· ἐπαινεῖν δὲ καὶ τὸν πρῶτον αὐτὸ προβάλλοντα, καὶ γινώσκειν οὐ μᾶλλόν τι περὶ τῶν ὀξέων νοσημάτων ἢ τῶν ἄλλων ἁπάντων προβάλλεσθαι καὶ λύεσθαι τοῦτο τὸ ζήτημα· καὶ γὰρ ἡ ἀπόκρισις κοινὴ περὶ πάντων ἐστί. οὐ γὰρ ἐπὶ τῶν ὀξέων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων νοσημάτων ἐν τῇ θεραπείᾳ διεφώνησαν οἱ ἰατροὶ καὶ διὰ τοῦτο μέχρι πολλοῦ ταῖς ἑαυτῶν ἀγωγαῖς ἕκαστοι προσμένουσιν, ὅτι θεῶνταί

enim percurrit in praedicto libro tum eos, qui maxime contrarium febricitantibus victum praefcribunt, tum eos, qui longis inediis aegros conficiunt atque Petronam, qui tum carnes tum vinum exhibebat, deinde ad verbum ita loquitur: *In multis igitur maximas plagas incurrebant, fi autem omnibus male cederet febricitantibus haec curationis ratio, qui ita curabant, a curatione difceffiffent, fed, ut videtur, non febribus omnibus opem fert idem curationis modus.* Laudandi itaque cum Erafiftratus tum alii, qui quaeftionem hanc propofuerunt folutionemque fcripferunt. Laudandus quoque qui primus eam propofuit. Sciendum quoque, hanc quaeftionem non magis de acutis morbis quam de caeteris omnibus proponi folvique. Refponfio namque de omnibus communis eft. Non enim de acutis folum, verum etiam de caeteris morbis in curatione diffentanei fuerunt medici, ob idque diu finguli fuis in victus regulis permanent, quod quosdam ab

τινας ἐπ' αὐτῶν ἐναργῶς ὠφελουμένους. ἐπὶ τῶν ἄλλων οὖν ὅσοι μηδὲν ὀνίνανται, τάχα μὲν ὑπονοοῦσι καὶ τοὺς κάμνοντάς τι λαθραίως ἁμαρτάνειν· οὐ μὴν ἀλλὰ ὅπερ εἶπε καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐν τῷ περὶ ἀγμῶν ἐπὶ τῶν κακῶς ἐπιδούντων τὰ μεθ' ἕλκους κατάγματα καὶ διὰ τοῦτο βλαπτόντων (οὐ γὰρ οἴονται, φησὶ, τὴν ἐπίδεσιν αἰτίην εἶναι, ἀλλὰ ἄλλην τινὰ ἀτυχίαν) οὕτω καὶ ἐπὶ τῶν κατὰ δίαιταν εἰκὸς αὐτοὺς ὑπολαμβάνειν. ὃ δὲ εἶπε νῦν ἐν τῇ προκειμένῃ ῥήσει, πρόδηλόν ἐστιν, ἐάν τις αὐτὴν ἀναγνῷ δὶς καὶ τρὶς αὐτὸς ἐφ' ἑαυτοῦ προσέχων τὸν νοῦν· εὑρήσει γὰρ ἐπὶ μερικοῦ παραδείγματος τὸν κοινὸν διδασκόμενον λόγον, ὃν δὴ καὶ καθόλου (41) καλεῖν εἰώθασιν οὐχ οἱ φιλόσοφοι μόνον, ἀλλὰ καὶ σχεδὸν οἱ ἀπὸ πασῶν ἤδη τῶν λογικῶν τεχνῶν. ὁ μὲν οὖν Ἐρασίστρατος ἐναντιωτάτων ἀγωγῶν ἐμνημόνευσεν, ὁ δὲ Ἱπποκράτης τὰς ἀλλοκότους ἐάσας ἐπὶ τὰς μετριωτέρας ἧκεν. ἀλλόκοτοι γάρ εἰσιν ὄντως αἱ διὰ λιμαγχονίας ἐσχάτης καὶ αἱ διὰ τὸ πληροῦν ἀμέτρως, ὡς ὁ Πετρωνᾶς· μέτριαι δὲ τούτων, ὧν ἐμνημό-

his dilucide juvari conſpiciant. In caeteris autem, qui nihilo juvantur, fortaſſis quidem et clanculum aliquid aegros deliquiſſe ſuſpicantur; enimvero ut retulit et ipſe Hippocrates in libro de fracturis, de iis qui fracturas cum vulnere prave deligant, ob idque laedunt (*non enim*, ait, *deligationem cauſam eſſe exiſtimant*, *ſed aliud quoddam infortunium*) ſic et eos in victus ratione opinari par eſt. Quod autem praeſenti in oratione recenſuit *Hippocrates*, manifeſtum eſt, ſi quis ipſam apud ſe mente revolvens bis terque legerit. Nam ex particulari exemplo communem doceri ſermonem comperiet, quem et univerſalem vocare conſueverunt non philoſophi duntaxat, verum etiam prope omnes rationalium artium periti. Eraſiſtratus quidem maxime contrarias meminit victus rationes, Hippocrates vero abſurdis praetermiſſis ad moderatiores ſe contulit. Abſurdae enim revera ſunt tum quae per enecantem inediam ſummam, tum quae per repletionem immoderatam fiunt, qua Petronas utebatur. Inter has moderatae, qua-

νευσεν ὁ Ἱπποκράτης, ἐπὶ τῶν ὀξέων νοσημάτων γιγνόμεναι ὑπὸ τῶν ἀξιολόγων ἰατρῶν. ἔνιοι μὲν γὰρ τὴν κριθώδη πτισάνην ἐπ' αὐτῶν διδόασιν, ἔνιοι δὲ τὸν χυλὸν μόνον, ἔνιοι δὲ οὐδὲ τοῦτον (ἐπὶ τῶν ὀξέων νοσημάτων καὶ πρὸ τῆς κρίσεως ἔνιοι δι' ὕδατος διήτων μόνον) ἄχρις ἂν ἡ νόσος κριθῇ, διαιτῶντες ἐν τῷ μεταξὺ πόμασι μόνοις, ὕδατί τε καὶ μελικράτῳ καὶ εἰ δεήσειεν ὀξυμέλιτι. ἡ μὲν οὖν αἰτία τῆς διαφωνίας ἐστὶν, ἣν αὐτὸς ὁ Ἱπποκράτης ἐφεξῆς ποιήσεται, καὶ καλῶς ἔφην αὐτὴν ὑπ' Ἐρασιστράτου [9] κατὰ τὸ πρῶτον εἰρῆσθαι περὶ πυρετῶν· ἔστι δὲ αὕτη τὸ τινὰς τοῦ χυλοῦ μόνον δεῖσθαι τῆς πτισάνης, τινὰς δὲ καὶ τῆς κριθώδους πτισάνης, ἐνίους δὲ μηδετέρου τούτων, ἀλλ' ἐπὶ πομάτων μόνον ἄχρι τῆς κρίσεως ὠφελίμως διαφυλάττεσθαι. καὶ δείξει γε ἐφεξῆς τίνες μέν εἰσιν οἱ τῆς κριθώδους πτισάνης δεόμενοι, τίνες δὲ οἱ πτισάνης χυλοῦ, τίνες δὲ οἱ μηδετέρου τούτων.

---

rum meminit Hippocrates, in acutis morbis ab insignibus medicis praescribuntur. Nonnulli etenim hordeaceam quidem ptisanam in his administrant, nonnulli vero duntaxat cremorem; quidam neque hunc (in acutis morbis ante crisin quidam solam aquam propinant) quoad morbus judicatus sit. Interea pro victu solos potus exhibent, tum aquam, tum mulsam et si opus fuerit oxymel. Itaque controversiae causa est, quam ipse Hippocrates deinceps producturus est, eamque ab Erasistrato in primo de febribus libro enunciari probe asserebam. Est autem ea, quod quidam solo ptisanae cremore indigeant, quidam vero hordeacea ptisana et nonnulli horum neutro, sed potibus solis ad crisin usque prospere serventur. Demonstrabit autem in sequentibus, qui sint, qui hordeacea ptisana et qui solo ptisanae cremore et qui horum neutro indigent.

ιγ'.

Μάλα μὲν οὖν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθισμένοι εἰσὶν οἱ ἰητροί. ἴσως δὲ οὐδὲ προβαλλόμενα εὑρίσκεται.

Ὅτι πρῶτος αὐτός ἐστιν ὁ τὸ ζήτημα προβαλὼν τοῦτο καὶ λύσας εὔδηλόν ἐστιν ἐκ ταύτης τῆς ῥήσεως· οὐδὲ γὰρ εἴθισται, φησὶ, τὰ τοιαῦτα προβάλλεσθαι παρὰ τοῖς ἰατροῖς· εἰ δὲ καὶ προβάλλοι τις αὐτοῖς, ἴσως οὐδὲ τὴν λύσιν εὑρήσει.

ιδ'.

Καίτοι διαβολήν γε ἔχει ὅλη ἡ τέχνη πρὸς τῶν δημοτέων μεγάλην, ὡς μηδὲ δοκέειν ὅλως ἰητρικὴν εἶναι.

Καὶ κατὰ ταύτην τὴν ῥῆσιν ἐπὶ μερικοῦ παραδείγματος διδάσκει τινὰ τῶν καθόλου, πρῶτον μὲν ὡς ἡ τῶν με-

XIII.

Itaque hujusmodi quaestiones proponere non admodum medici consueverunt, neque vero fortassis si proponantur, solutae comperiuntur.

Quod primus praeceptor sit, qui quaestionem hanc proposuerit ac solverit, hac dictione innotescit, neque enim, inquit, tales quaestiones proponi a medicis consueverunt. Quod si eas aliquis proposuerit, fortassis solutionem non comperiet.

XIV.

Ac proinde calumniam adeo magnam patitur apud vulgus ars tota, ut nulla omnino ars medica esse existimetur.

Hoc quoque textu ex particulari exemplo rem quandam universalem edocet. Primum quidem, quod quale-

τιόντων ὁτιοῦν ἐπιτήδευμα διαφωνία δικαίως ὑποψίαν ἀγνοίας ἐνδείκνυται· δεύτερον οὖν πάλιν ὡς ἡ συμφωνία δικαίαν μεγάλην ἐλπίδα γνώσεως, ὅπερ μεγάλα καὶ ταῖς γραμμικαῖς ἀποδείξεσι συνετέλεσεν· οὐ μόνον γὰρ αὐτοὺς τοὺς μανθάνοντας πείθουσιν, ἀλλὰ καὶ παρὰ τοῖς ἰδιώταις δόξαν ἔχουσιν, ὡς ἀληθέσταται. γραμμικαῖς οὖν ἀποδείξεσι κεχρῆσθαί φασι τοὺς ἐναργῶς τε καὶ ἀναμφιλέκτως δείξαντας. ἐξεργάζεται δὲ τὸν περὶ τῆς διαφωνίας λόγον ἐπὶ τῆς ἐχομένης ῥήσεως.

ιε'.

Ὥστ' ἔν γε τοῖς ὀξυτάτοις τῶν νοσημάτων τοσόνδε διοίσουσιν ἀλλήλων οἱ χειρώνακτες ὥστε ἃ ὁ ἕτερος προσφέρει ἡγεύμενος ἄριστα εἶναι, ταῦτα νομίζειν ἤδη τὸν ἕτερον κακὰ εἶναι. καὶ σχεδὸν ἂν κατά γε τοῦτο τὴν τέχνην φαίην ὁμοιοῦσθαι τῇ μαντικῇ, ὅτι καὶ οἱ μάντιες τὸν αὐτὸν [10] ὄρνιθα, εἰ μὲν ἀριστερὸς εἴη, ἀγαθὸν εἶναι νομίζουσιν, εἰ δὲ δεξιὸς, κακόν· καὶ ἐν ἱεροσκοπίῃ δὲ τὰ

cunque vitae inftitutum fectantium diffenfio juftam ignorantiae fufpicionem prodat, fecundo contra confenfus juftam magnamque fcientiae fiduciam oftendat, quod nimirum linearibus *mathematicorum* demonftrationibus magnopere contulit. Non enim difcipulis folum perfuadent, verum etiam apud vulgus tanquam veriffimae difciplinae aeftimationem confequuntur. Linearibus igitur *mathematicorum* demonftrationibus ufos effe ait, qui manifefte aliquid et citra quamvis ambiguitatem demonftraverunt. Verum difceptationis rationem diligenter in fequenti oratione profequitur.

XV.

Quare acutiffimis in morbis tantopere diffentiunt inter fe artifices, ut quae alter exhibet, optima effe exiftimans, ea mala jam alter effe auguretur. Ac fere ob id artem vaticinationi fimilem effe dixerint. Quoniam et augures eundem alitem, fi finifter quidem appareat, bonum effe augurantur, fi vero dexter, malum. Sed

τοιάδε, ἄλλα ἐπ' ἄλλοισιν· ἀλλ' ἔνιοι τῶν μάντεων τὰ ἐναντία τουτέων. φημὶ δὴ πάγκαλον εἶναι τοῦτο τὸ σκέμμα καὶ ἠδελφισμένον τοῖσι πλείστοισι τῶν ἐν τῇ τέχνῃ καὶ ἐπικαιροτάτοισι.

Μαντικὴν μὲν ὠνόμασε τὴν οἰωνιστικήν· καὶ ἱεροσκοπίαν δὲ, τὴν θυτικὴν ὑπὸ τῶν πολλῶν καλουμένην, ἣν ὄντως καὶ οἱ ἄλλοι παλαιοὶ καλοῦσιν ἱεροσκοπίαν, ἐπειδὴ σκοποῦντες τὰ ἱερεῖα προλέγουσιν ἐξ αὐτῶν οἱ περὶ ταῦτα δεινοὶ τὰ γενησόμενα· ἱερεῖα δὲ ἴσμεν ὀνομαζόμενα ἅπαντα τὰ τοῖς θεοῖς εἰς τιμὴν γιγνόμενα, οἷα τὰ τῶν θυομένων ἱερείων, ὧν τὰ σπλάγχνα θεώμενοι προλέγουσιν οἱ ἱεροσκόποι. τοὺς δὲ διὰ τῆς τῶν ὀρνίθων πτήσεως μαντευομένους, οὓς οἰωνιστάς τε καὶ οἰωνοσκόπους ὀνομάζουσι, τούτους νῦν μάντεις ἐκάλεσεν ὁ Ἱπποκράτης. καίτοι τὸ τοῦ μάντεως ὄνομα καὶ ἡ μαντικὴ κατὰ πασῶν τῶν οὕτω προλεγουσῶν τεχνῶν ἐπιφέρεται· μάντεις μὲν γὰρ καλοῦνται οἵ τε ἱεροσκόποι καὶ οἱ οἰωνισταὶ καὶ οἱ γενεθλιακοὶ προσαγορευόμε-

et in haruſpicina talia ſunt, alia in aliis. Verum vaticinantium nonnulli his contraria ſentiunt. Dico vero ſpeculationem hanc eſſe tum pulcherrimam tum plurimis ac maxime in arte commodis cognatam.

Vaticinandi ſcientiam appellavit auguralem diſciplinam, haruſpicinam vero immolandi artem a multis vocatam, quam vere alii priſci etiam haruſpicinam vocant, quoniam qui hoſtias intuentur, ac in iis ſcientiis verſati ſunt, ex ipſis ventura praenunciant. Hoſtias autem ſcimus nominari omnia, quae diis ad honorem offeruntur, quales ſunt quae immolantur victimae, quarum exta inſpicientes haruſpices praedicunt. Eos vero qui ex avium volatu vaticinantur, quos augures et auſpices appellant, hos nunc vates appellavit Hippocrates, quanquam vatis nomen et vaticinationis de omnibus ita praedicentibus artibus profertur. Vates namque vocantur et haruſpices et augures et qui appellantur genethliaci et qui per notas et victi-

νοι καὶ οἱ διὰ συμβόλων καὶ οἱ διὰ ἱερείων προλέγοντες τὰ ἐσόμενα, πρὸς τούτοις τε χρησμολόγοι καὶ θεομάντεις· ἔνιοι δὲ καὶ τοὺς ὀνειροπόλους ὑπὸ τοῦ ποιητοῦ κληθέντας ἐν τοῖς μάντεσι καταλέγουσιν. ἀλλ' ὅ γε Ἱπποκράτης δῆλος ὅτι τοὺς οἰωνιστὰς μόνους ὀνομάζει μάντεις ὡσαύτως τῷ ποιητῇ· καὶ γὰρ κἀκεῖνος ἐν πολλοῖς μέρεσι τῆς ποιήσεως, ἐνδεικνύμενος τὴν οἰωνιστικὴν τέχνην πρόγνωσιν εἶναι τῶν γενησομένων, ὁμοίως ἐν ἀρχῇ τοῦ ἄλφα φησί·

Ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα,

Ἠ καὶ ὀνειροπόλον, καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν·

ἱερέα μὲν λέγων τὸν ἱεροσκόπον, ὀνειροπόλον δὲ τὸν περὶ τοὺς ὀνείρους ἔχοντα, μάντιν δὲ δηλονότι τὸν οἰωνιστήν, οὐ γὰρ δὴ παρέλιπεν αὐτὸν, εἰς τὰ μέγιστα πολλαχόθι τῆς ποιήσεως καὶ τῇ περὶ τοὺς οἰωνοὺς τέχνῃ χρώμενος. ἀλλὰ ταῦτα μὲν ἴσως καὶ πλείω τοῦ δέοντος εἴρηταί μοι περὶ τῆς τοῦ μάντεως προσηγορίας· ἐπ' αὐτὸ δὲ τὸ λεγόμενον μεταβαίνειν ἤδη καιρός. ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν· οἱ τὰς

mas futura praedicunt, praeterea et fatidici et divini vates. Nonnulli etiam somniorum interpretes a poëta vocatos, inter vaticinatores collocant. Verum ipse declarat Hippocrates, se solos haruspices appellare vates, poëtae ratione simili. Is namque in plerisque sui poëmatis partibus haruspicinam artem venturorum praenotionem esse demonstrans, simili modo in primi Iliados exordio concinit:

Ergo age quis vates vel haruspex vera rogetur,

Somnia vel prodens, etenim ab Jove somnia manant.

Vatem quidem nominat haruspicem, somniorum vero interpretem eum qui circa somnia versatur, vatem autem omnino augurem. Non enim sane ad res maximas in multis suae poëseos locis ipsum praetermisit, quum etiam augurandi arte utitur. Sed fortassis haec et quam deceat plura de vatis appellatione a nobis dicta sunt, ad id autem quod differitur jam transeundi tempus est. Quod enim profert ejusmodi est. Qui vaticinandi artes profe-

μαντικὰς τέχνας μετιόντες οὐδὲν ἧττον ἀλλήλοις διαφέρονται τῶν ἰατρῶν ἐν πολλοῖς τῶν κατὰ μέρος. ἐγὼ γοῦν ποτε διαφερομένους οἰωνιστὰς εἶδον ἐπ' αὐτῶν τούτων τῶν πτήσεων, ὧν καὶ νῦν ὁ Ἱπποκράτης ἐμνημόνευσεν, ἀριστερᾶς τε καὶ δεξιᾶς· ἦν δὲ ὁ μὲν ἕτερος αὐτῶν Ἄραψ, ὁ δὲ ἕτερος Ἕλλην ἐξ Ἀσίας τῆς ἡμετέρας. ἔλεγεν οὖν ὁ μὲν Ἄραψ τὸν δεξιὸν οἰωνὸν γυναῖκας σώζειν νοσούσας, τὸν ἀριστερὸν δὲ ἄνδρας· ὁ δὲ ἐκ τῆς Ἀσίας τὸν μὲν δεξιὸν ἐπ' ἀνδρῶν νοσούντων φανέντα τοῖς ἐρωτῶσιν, εἰ σωθήσεται, καταφάσκειν τὴν ἐρώτησιν, ἀποφάσκειν δὲ τὸν ἀριστερόν. ἠρόμην οὖν αὐτοὺς εἰ τὸν ὁπωσοῦν πετόμενον, ἀριστερὸν ἢ δεξιὸν ὄρνιθα, ταύτην ἔχειν φασὶ τὴν δύναμιν, οὐδὲν ἡγούμενοι διαφέρειν εἰ ὑψηλότατός ἐστιν ἢ προσγειότατος ἢ μεταξύ· καὶ εἰ ἐν τῷ μεταξὺ, ἐγγυτέρω ἄρα τοῦ ὑψηλοτάτου ἢ ἐν μέσῳ· ὡσαύτως δὲ καὶ περὶ τοῦ πλησίον τε καὶ πόῤῥω διεστάναι τὸν οἰωνὸν ἠρόμην εἰ μηδὲν αὐτοῖς διαφέρει. ὁ μὲν οὖν Ἄραψ ἔφασκεν ὅπως ἂν ἔχῃ τῆς εἰς

quuntur, in particularibus multis nihil minus quam medici dissentiunt. Vidi equidem nonnunquam augures his in ipsis volatibus, quos dextros et sinistros memoravit Hippocrates, diffidentes. Alter quidem ipsorum erat Arabs, alter vero Graecus ex Asia nostra. Arabs quidem dicebat dextrum alitem laborantes mulieres servare, sinistrum autem viros: Asiaticus vero dextrum alitem in viris aegrotantibus apparentem interrogantibus ipsis, si servarentur, astruere interrogationem, sinistrum vero denegare recensebat. Eos igitur interrogabam, si quomodocunque volantem aut dextrum aut sinistrum alitem eandem *auguralem* sortiri facultatem dicerent, nihilque differre autumarent, si aut celsissimus *volando* sit, aut terrae propinquissimus, aut intermedius. Quod si intermedius, an propius *regionem* celsissimam, an infimam, vel inter has mediam. Eodem modo tum de propinqua, tum de remota alitis distantia interrogabam, utrum in his nihil discreparet. Arabs itaque quomodocunque sese haberet in altitudinem

ὕψος ἢ μῆκος ἢ [11] *πλάτος ἀποστάσεως οὐδὲν διαφέρειν· ὁ δὲ Ἕλλην διωρίζετο καὶ περὶ τοῦ συμμέτρου, δεξιοῦ τε καὶ ἀριστεροῦ, καὶ γεγράφθαι ταῦτα τοῖς οἰωνισταῖς ἔλεγε, τὰς δὲ ἀμέτρους ἀποστάσεις ἐναντίας εἶναι ταῖς ἐμμέτροις ἐχούσαις· ἐδείκνυε δὲ καὶ Ἀπύλλητος καὶ Ἀθηναίου καὶ Χαιρήμονος καὶ Ἀρτεμιδώρου τοῦ Φωκᾶ ἄλλων τέ τινων οἰωνιστῶν ἐνδόξων βίβλους, αὐτῷ μαρτυρούσας. ἔγνων οὖν ἀδιόριστον μὲν τὸν Ἄραβα, διωρισμένον δὲ καὶ τεχνικὸν τὸν Ἕλληνα·* (42) *τέχνης γὰρ ἐμπειρίᾳ τὴν κρίσιν τῶν θεωρημάτων ἐχούσης ἡ διαφωνία κατὰ τὸ διωρισμένον τε καὶ ἀδιόριστον γίγνεται. καὶ τοῦτο μεμαθηκὼς ἐγὼ παρ' Ἱπποκράτους ἔκρινα τὸν Ἕλληνα τεχνικώτερον ἀποφαίνεσθαι περὶ τῆς πτήσεως τῶν οἰωνῶν· ἐξ ἐπιμέτρου δὲ τοὺς ἐνδοξοτάτους τῶν οἰωνιστῶν μάρτυρας παρεχόμενος ἔτι μᾶλλον ἦν ἀξιόπιστος. ἐπαγομένου δὲ καὶ τοῦ Ἄραβος πολλοὺς μάρτυρας, ὧν προεῖπεν ἀληθῶς νοσούντων, εἶπον αὐτῷ τῆς ὡς τὸ πολὺ γεγενημένης ἐπιτυχίας τὴν αἰτίαν· εἰ γὰρ ὁ μὲν ἔμμετρος δεξιὸς σώζει τοὺς ἄνδρας, οἱ δὲ ἄμετροι*

aut longitudinem aut latitudinem diſtantia nihil intereſſe reſpondebat. Graecus autem de *volatu* commoderato dextro ac ſiniſtro diſtinguebat dicebatque ab auguribus haec ſcripta eſſe; immoderatas vero diſtantias moderate ſe habentibus eſſe contrarias teſtesque ſibi Appolletis, Athenaei, Chaeremonis, Artemidori Phocae et quorundam aliorum clarorum augurum libros prodebat. Agnovi ſane Arabem indiſtinctum, Graecum vero tum diſtinctum tum artificem eſſe. Nam artis praeceptorum judicium per experientiam habentis diſſidentia ex diſtincta et indiſtincta re oritur. Idque ab Hippocrate edoctus, Graecum de avium volatu artis peritiorem ſententiam ferre judicavi; ex abundantia vero celebratiſſimos augurum teſtes adducens, adhuc magis fide dignus erat. Quum vero etiam Arabs plurimos aegrotantium, quibus vera praedixerat, teſtes citaret, ſuccedentis in plurimum eventi ſubſequuti cauſam ipſi pronunciavi. Si enim *ales* dexter moderatus viros ſervet, immoderatus vero foeminas, ſint autem permulti

τὰς γυναῖκας, εἰσὶ δὲ πάμπολλοι μὲν οἱ ἄμετροι, μόνος δὲ εἷς ὁ ἔμμετρος· εἰκότως ἐπὶ πολλῶν μὲν ἐπέτυχεν, ὀλιγάκις δὲ ἀπέτυχεν. ὅ γε μὴν Ἕλλην οἰνωνιστὴς καὶ ἄλλους τινὰς διορισμοὺς προσετίθει, καθ᾽ οὓς κἂν ὁ δεξιὸς ἄμετρος ᾖ, δηλώσει ποτὲ σωθήσεσθαι τὸν νοσοῦντα· τὸν γὰρ κίναιδον καὶ τὸν γυναικεῖον ἐπιτήδευμα μετιόντα, καθάπερ τὸν ἐριουργὸν, τοῖς τῶν γυναικῶν ἔφη σχήμασι σώζεσθαι, καὶ τοῦτ᾽ αὖ πάλιν ἐδείκνυε παρὰ τοῖς ἀρίστοις οἰωνισταῖς γεγραμμένον. ἔτι δὲ πρὸς τούτοις καὶ ἄλλους τινὰς διορισμοὺς προσετίθει, περὶ ὧν οὐδὲν ἐφαίνετο γινώσκειν ὁ Ἄραψ. εἴρηται δέ μοι ταῦτα διὰ τὴν ἐφεξῆς ῥῆσιν, ἣν οὐδεὶς ἐξηγήσατο προσηκόντως, ὥσπερ οὐδὲ τὴν προγεγραμμένην αὐτῆς, ἔνθα φησί· μᾶλλον μὲν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἴθισται τοῖς ἰατροῖς, ἴσως δὲ οὐδὲ προβαλλόμενα εὑρίσκεται· σαφῶς γὰρ εἰπόντος αὐτοῦ τὰ τοιάδε, ὅ ἐστι τὰ οὕτω διαφωνούμενα, τινὲς μὲν ἐπὶ τῆς πτισάνης μόνης ἤκουσαν οὐκ ὀρθῶς, ἔνιοι δὲ βραχὺ τούτων ἄμεινον ἐπὶ τῆς τῶν ὀξέων διαίτης· ἔνιοι δὲ ἐπὶ πάσης ἁπλῶς, ἔνιοι δὲ

quidem immoderati, unus autem duntaxat moderatus, jure quidem plerisque fuccellit, paucis vero praeter fpem fucceffit. Graecus autem augur et alias quasdam adjiciebat diftinctiones, quibus etiamfi dexter immoderatus fit, interdum tamen virum falvum evafurum declarabit. Nam cinaedum et muliebre munus obeuntem, veluti et lanificum, mulierum forma fervari dicebat ac rurfum id ab optimis auguribus fcriptum demonftrabat. His etiamnum quasdam adjiciebat diftinctiones, in quibus Arabs nihil intelligere videbatur. Haec autem a me dicta funt propter fequentem fententiam, quam nemo convenienter expofuit, quemadmodum neque eam quae ante fcripta eft, ubi ait: *quaeftiones fane hujusmodi proponere medicis haud confuetum eft, neque fortaffis fi proponantur, folutae reperiuntur.* Eo namque brevi dicente, *talia*, quod eft, quae ita diffident, quidam de ptifana fola non recte intellexerunt; nonnulli autem paulo his meliuscule de acutorum victu, alii de omni fimpliciter victu, alii vero de

ἐπὶ θεραπείας ἁπάσης, βέλτιον μὲν τῶν προτέρων, οὔπω δὲ οὐδ' αὐτοὶ τελέως· αἰτίαν γὰρ ὡς εἶπον ὁ Ἱπποκράτης ἐπεζήτησεν ἁπάσης διαφωνίας, ἐπὶ πάσης τέχνης τῇ πείρᾳ κριθῆναι δυναμένης. ὅτι δὲ οὕτως ἔχει τοῦτο μαθήσῃ σαφῶς διὰ τῆς ἐφεξῆς ῥήσεως.

ιστ'.

Καὶ γὰρ τοῖσι νοσέουσι πᾶσιν ἐς ὑγείην μέγα τι δύναται. καὶ τοῖσιν ὑγιαίνουσιν ἐς ἀσφαλείην καὶ τοῖσιν ἀσκέουσιν ἐς εὐεξίην καὶ ἐς ὅ τι ἂν ἕκαστος ἐθέλοι.

[12] Οὗτος ὁ λόγος ἐξελέγχει καὶ τοὺς περὶ πτισάνης μόνης οἰομένους αὐτὸν προβεβληκέναι τὴν προγεγραμμένην ῥῆσιν καὶ τοὺς περὶ διαίτης, ἤτοι περὶ τῆς ἐπὶ τῶν ὀξέων ἢ καὶ πάσης ἁπλῶς· ὡσαύτως δὲ καὶ τοὺς περὶ θεραπείας ἁπάσης ὑπειληφότας εἶναι τὸ πρόβλημα. προδήλως γὰρ ἡ νῦν ἡμῖν προκειμένη ῥῆσις ἐλέγχει τοὺς μὲν ἤτοι

curatione universa, prioribus quidem melius, sed neque adhuc absolute. Causam enim, ut dixi, totius dissidii quaesivit Hippocrates in omni arte, quae experimentis judicari possit. Quod autem id ita habeat, sequenti oratione dilucide disces.

XVI.

Etenim aegrotantibus omnibus ad sanitatem restituendam *magnum quippiam potest, et sanitate fruentibus ad sanitatem tuendam, et sese exercentibus ad bonum habitum conciliandum et ad quod quisque voluerit.*

Hic sermo tum eos arguit, qui ipsum *Hippocratem* existimant praescriptam sententiam de ptisana sola proposuisse, tum eos qui de victu acutorum aut etiam simpliciter universo; eodem vero modo et eos qui de curatione universa problema esse arbitrati sunt. Nam perspicue nunc nobis proposita oratio arguit eos aut qui de

περὶ πτισάνης ἢ τῆς ἐπὶ τῶν ὀξέων διαίτης μόνης ἢ τῆς ἐπὶ πάντων τῶν νοσημάτων οἰομένους εἶναι τὸν λόγον ἐν τῷ προσγεγράφθαι, καὶ γὰρ τοῖς γε νοσέουσι πᾶσιν ἐς ὑγίην μέγα τι δύναται· πάντες γὰρ οἱ νοσοῦντες ὑπὸ διαίτης μόνης οὐ θεραπεύονται, διὰ τὸ πολλοὺς δεῖσθαι καὶ χειρουργίας καὶ φαρμακείας, ἔτι δὲ μᾶλλον οὐδὲ ὑπὸ πτισάνης μόνης· οὔτε περὶ διαίτης μόνης ὀξέων, οὔτε περὶ διαίτης ἁπλῶς τῆς ἐπὶ πάντων τῶν νοσημάτων ὁ λόγος αὐτῷ νῦν ἐστιν, οὐδὲ περὶ τῆς ἐν τούτῳ διαφωνίας μόνης, ἀλλὰ περὶ πάσης ἁπλῶς τέχνης τῇ πείρᾳ κρίνεσθαι πεφυκυίας. ὁ γὰρ τὸ κοινὸν καὶ καθόλου κριτήριον εὑρὼν, ἐκείνῳ κρίνει τὰ κατὰ μέρος· ἓν δέ τι τῶν κατὰ μέρος ἐστὶ καὶ τὸ περὶ πτισάνης τοῖς ἰατροῖς διαπεφωνημένον, ὥσπερ γε καὶ τὸ περὶ διαίτης οὐ μόνον ἐπὶ τῶν ὀξέων, ἀλλὰ καὶ τῶν ἄλλων νοσημάτων, ἔτι τε γενικώτερον ὑπὲρ ἁπάσης θεραπείας καὶ τούτου γενικώτερον ὑπὲρ ἁπάσης προνοίας σώματος, κᾂν ἐφ' ὑγείας ὄντων γίγνηται· δέονται γὰρ καὶ οὗτοι τῆς τέχνης

ptisana aut qui de solo acutorum aut de morborum omnium victu orationem ascriptam esse opinantur. *Etenim aegrotantibus omnibus ad sanitatem restituendam magnum quippiam potest.* Qui enim aegrotant, non omnes a sola diaeta curantur, quum plerique tum chirurgia, tum pharmacia indigeant, imo vero neque a ptisana sola. Neque de diaeta sola acutorum, neque de diaeta simpliciter omnium morborum sermo praesens ipsi est, neque de sola quae de his oritur controversia, sed de omni simpliciter arte, quae experientia judicari ac probari consuevit. Qui etenim commune ac universale judicandi organum invenit, per id particularia judicat. Particulare autem unum est et quod de ptisana medicis in controversiam venit, quemadmodum et quod de victus ratione non in acutis tantum, verum etiam in morbis caeteris, praetereaque, quod generalius est, de curatione universa, et quod hoc generalius est, de omni corporis providentia, etiamsi sanitate fruentium ea fuerit: nam et

ἐπιστατούσης, οὐκ εἰς τὸ κτήσασθαι τὴν ὑγείαν, ἀλλ' εἰς τὸ φυλάττειν, ὅπερ ὁ Ἱπποκράτης εἶπε καὶ τοῖς ὑγιαίνουσιν ἐς ἀσφαλείην· τὸ γὰρ φυλάττειν ὁτιοῦν ἀσφαλείας δεῖται. χρήσιμον δ' εἶναί φησι τὸ σκέμμα καὶ τοῖς ἀσκέουσιν εὐεξίην· ὥσπερ γὰρ ἡ τῶν νοσούντων θεραπεία τοῦ προβεβλημένου νῦν ὑπ' αὐτοῦ δεῖται σκέμματος, οὕτως καὶ ἡ τῶν ὑγιαινόντων ἀσφάλεια φυλακῆς ἕνεκα τῆς ὑγείας καὶ ἡ τῶν ἀσκούντων πρόνοια κτήσεως ἕνεκα τῆς εὐεξίας. ταῦτα μὲν οὖν πάντα τῆς περὶ τὸ σῶμα τέχνης ἐστὶ, τὸ δ' ἐφεξῆς εἰρημένον ἐπὶ πᾶσαν τέχνην ἐκτείνεται. τί γάρ φησι καὶ ἐς ὅ τι ἕκαστος ἐθέλει; καὶ γὰρ ὁ οἰωνιστὴς καὶ ἱεροσκόπος καὶ μουσικὸς καὶ ῥήτωρ καὶ πᾶς τεχνίτης ἁπλῶς τῆς κατὰ τὴν ἑαυτοῦ τέχνην διαφωνίας τὴν αἰτίαν εἴσεται μίαν οὖσαν, ὅταν ἕκαστος τὸ κατὰ μέρος ἐπὶ τὸ καθόλου μεταφέρει. οὕτως οὖν καὶ τὴν τῶν οἰωνιστῶν διαφωνίαν ἔγνων γεγονυῖαν ἔκρινά τε τὸν ἀληθέστερα λέγοντα, καὶ τούτου χάριν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα τοῦ τε Ἄραβος καὶ τοῦ Ἕλληνος

hi arte indigent; non ad sanitatem consequendam instruente, sed ad tuendam, quod his pronunciavit Hippocrates: *et sanitate fruentibus ad sanitatem tuendam.* Nam ut quodvis servetur, securitate est opus. Utilem vero ait esse speculationem etiam bonum habitum exercitatione conciliantibus. Quemadmodum enim aegrotantium curatio ea nunc ab ipso proposita speculatione indiget, sic et sanitate fruentium securitas, ut sanitas conservetur, et sese exercitantium providentia, ut bonus habitus comparetur. Haec igitur omnia artis, quae circa corpus versatur, sunt; sed quod serie dicitur, ad omnem artem extenditur. Quid enim his enunciat *et ad quod quisque voluerit?* Etenim augur, haruspex, musicus, rhetor et artifex omnis simpliciter, ejus quae in sua arte est, dissensionis unam esse causam agnoscet, quum unusquisque particulare ad universale transfert. Ita sane et in auguribus obortam dissensionem deprehendi ac veriora loquentem judicavi; ob idque paulo ante augurum memini tum Arabis tum

οἰωνιστοῦ. Πάσης γὰρ τέχνης σύστασις ἐν διορισμῷ γίνεται τῶν ἰδίων ἀπὸ τῶν κοινῶν· ὁ γὰρ ταῦτα διορίσασθαι δυνάμενος ἄριστος τεχνίτης ἐστίν. ὥσπερ δὲ καὶ ἡ σύστασις, οὕτως καὶ ἡ κρίσις ἐν τῷ διορισμῷ τὴν ὕπαρξιν ἔχει· σφάλλονται γὰρ οἱ συνιστάμενοι τὰς τέχνας, ὅταν τό τινι συμβεβηκὸς ἤτοι γε ἐπὶ πάντας ἐκτείνωσιν, ἢ πλείονάς γε τοῦ προσήκοντος· τὸ μὲν γὰρ ὅλως μηδενὶ συμβεβηκὸς οὐδεὶς ἂν ἐν τέχνῃ τοιαύτῃ πείσειεν ἑαυτὸν ἀληθὲς εἶναι· κατὰ τοῦτο γὰρ ἡ ὄντως γίγνεται διαφωνία κατὰ τὸ πείθειν ἕκαστον ἑαυτὸν, οὐ κατὰ τὸ προσποιούμενον καὶ καταπλαττόμενον ἐρίζειν φιλονεικοῦντα, καθάπερ ἔνιοι περί τινων ἑτέρως ἢ ὡς κατὰ τὴν ψυχὴν διάκεινται καὶ οἱ φάσκοντες ἄδηλον εἶναι πότερον ἐγρηγόραμεν ἢ κοιμώμεθα καὶ σωφρονοῦμεν ἢ μαινόμεθα· καὶ εἰ τοῦτό γε συγχωρηθείη δῆλον εἶναι, ἀλλ' ὁπότεροί γε μᾶλλον ἀληθεύουσιν ἄδηλον ὑπάρχειν φασὶν, εἴθ' οἱ ἐγρηγορότες τῶν κοιμωμένων, εἴτε τῶν μαινομένων μᾶλλον οἱ μὴ [13] μαινόμενοι· πεπεισμένος γὰρ οὐδεὶς οὕτως οὐδὲ δοξάζων ἐν τῇ ψυχῇ τοὺς λόγους

Graeci. *Nam artis omnis conſtitutio in propriorum a communibus diſtinctione exiſtit*, qui enim haec diſtinguere poteſt, is optimus eſt artifex. Ut autem et conſtitutio, ſic et *judicatio in diſtinctione exiſtentiam habet.* Falluntur enim qui artes conſtituunt, quum quod alicui accidit, id vel in omnes vel etiam plures quam deceat extendunt, quod ſiquidem nulli prorſus accidit, id nemo in tali arte ſibi verum eſſe perſuadebit. In hoc enim vere oritur controverſia, quum unusquisque ſibi ipſi perſuadet, non quum ſimulans confingensque contentioſe litigat, quemadmodum nonnulli de quibusdam aliter quam animo ſentiebant *fecerunt*, et qui proponunt abditum eſſe utrum vigilemus aut dormiamus et ſapiamus aut inſaniamus. Quod ſi manifeſtum eſſe id concedatur, utri ſane magis vera loquantur, abditum eſſe dicunt, an vigilantes dormientibus, vel non inſanientes inſanientibus. Nullus enim ita·perſuaſus, aut ſecum animo reputans, ſed litigans his

τούτους, ἀλλ᾽ ἐρίζων ποιεῖται. κατὰ τὴν ἰατρικὴν δὲ τέχνην τινὲς μὲν ἐπεχείρησαν καινοτομεῖν, οὐ δυνάμενοι βέλτιόν τι τῶν ἔμπροσθεν εὑρηκέναι, κατανενοηκότες δὲ τὸ τῶν ἰδιωτῶν πάθος, ὅπερ Ἱπποκράτης εἶπε· τὸ γὰρ ξενοπρεπὲς οὔπω συνιέντες εἰ χρηστὸν ἐπαινοῦσι μᾶλλον ἢ τὸ σύνηθες, ὃ οἴδασιν ὅτι χρηστόν. ἔνιοι δὲ καὶ διὰ τῆς ἡδίστων διαιτημάτων ἐπαγγελίας ἀναπείθοντες προσάγονται τοὺς κάμνοντας, εἰδότες μὲν ὅτι πανουργοῦσιν, ἀλλ᾽ ἤτοι διὰ φιλοχρηματίαν ἢ διὰ φιλοδοξίαν ἐπιχειροῦντες πανουργεῖν τὰ τοιαῦτα. τῆς οὖν ἄχρι λόγου διαφωνίας, ὁποία καὶ ἡ τῶν τοιούτων ἀνδρῶν ἐστιν, ἐξῃρημένης, ἡ κατ᾽ ἀλήθειάν τε καὶ ὄντως διαφωνία γίγνεται, παρὰ τὸ μὴ διορισθῆναι τὴν ἀπόφασιν, ἀλλ᾽ ἤτοι περὶ πλειόνων ἢ προσῆκεν ἢ περὶ πάντων ὡς ὁμοίως ἐχόντων ἀποφήνασθαι. καὶ κατὰ τοῦτο ἐπαινεῖσθαι δίκαιόν ἐστι τὸν Ἱπποκράτην τῆς ὄντως διαφωνίας μνημονεύσαντα μόνης, ἣν οἱ κατ᾽ ἀλήθειαν ἐθέλοντες τέχνην τινὰ συστήσασθαι πάσχουσιν, ἐν ταῖς ἑαυτῶν ψυ-

ſermonibus utitur. Quidam autem in arte medendi res quidem novas aggreſſi ſunt, quum prioribus quid melius invenire nequirent, ſed idiotarum affectionem, quam Hippocrates dixit, intelligerent. Quod enim novum ac inuſitatum eſt, nondumque, ſi utile ſit, exploratum, hi laudant magis quam quod aſſuetum utile eſſe noverint. Nonnulli vero et ob victus ſuaviſſimi pollicitationem perſuadentes aegros alliciunt, quod doloſe quidem agant non ignari, ſed vel ob pecuniae cupiditatem, vel ob gloriae ſtudium talia doloſe committere contendunt. Sublata ergo, quae verbo tenus ſit, controverſia, qualis inter ejusmodi viros orta, illa quae et ſecundum veritatem ac revera eſt, controverſia oritur, quod enunciatio non diſtinguatur, ſed vel de pluribus quam oporteat, vel de omnibus tanquam eodem modo ſeſe habentibus enuncietur. Atque ob id Hippocratem laudare juſtum eſt, qui revera ſolius controverſiae meminit, quam qui ſecundum veritatem artem aliquam conſtituere volunt, patiuntur, ac ſuis in animis di-

χαῖς διαφόρως δοξάζοντες, οὐκ ἄχρι λόγου προσποιητῶς ὑπὸ πανουργίας διὰ φιλοδοξίαν ἢ φιλοχρηματίαν. οὐδεὶς γὰρ ὄντως τῇ πείρᾳ κρίνων τὰς ἐπινοίας ἐπὶ τὴν Πετρωνᾶ ἀγωγὴν ἀφίξεται, κρέα διδοὺς ὀπτὰ καὶ οἶνον (43) μέλανα τοῖς ὀξέως πυρέττουσιν, ὥσπερ δὲ οὐδὲ δίψει τοσούτῳ κολάζων αὐτοὺς, ὡς κοτύλης ὕδατος εἰκοστὸν μέρος διδόναι· τὰ γὰρ τοιαῦτα διαιτήματα παντάπασιν ἄτοπα καὶ δυοῖν θάτερον, ἢ διὰ τὸ ξενοπρεπὲς ἐπιτηδευόμενα πανούργοις ἀνθρώποις, ἢ δι' ἐμπληξίαν ἐσχάτην, εἴπερ ὄντως ᾤοντο μόνοι τὴν ἀλήθειαν εὑρηκέναι. τὰ δ' ὑφ' Ἱπποκράτους γεγραμμένα καὶ περὶ τοὺς ἀληθῶς σπουδάζοντας τέχνην συστήσασθαι φρονίμους ἄνδρας γίνεσθαι δύναται, διὰ τὸ μὴ φέρειν μεγίστην βλάβην, ὅταν οἷς οὐ χρὴ προσενεχθῇ. τὰ μὲν οὖν τοιαῦτα δυσδιόριστον ἔχει τὴν ἐκ τῆς πείρας κρίσιν, τὰ δὲ πολὺ διαφέροντα ῥᾳδίαν· τὴν οὖν ἐν τοῖς ὀλίγον ἀλλήλων ὑπερέχουσι κρῖναι διαφωνίαν καὶ δεῖξαι τίσι μὲν ἐπὶ πτισάνης μόνης διαιτητέον ἐστὶ τῶν ὀξέως νοσούντων, τίσι δὲ

verſe opinantur, non verbo tenus ſimulate ac ſubdole ob gloriae aut lucri cupiditatem. Nullus enim, qui animi conſilia vere experimentis judicat, ad Petronae victus rationem ſe conferet, carnes aſſas exhibens vinumque nigrum acuta febre laborantibus, quemadmodum neque in tanta ſiti eos ita temperans, ut cotulae aquae vigeſimam partem porrigat. Nam ejusmodi diaetae omnino abſurdae ſunt et quae ob duorum alterum aut ob novitatem vafris ab hominibus aut ob ſummam ſtupiditatem praeſcribuntur, ſi plane ſe ſolos veritatem reperiſſe exiſtimaverint. Quae vero ab Hippocrate ſcripta ſunt, ea in prudentibus viris vere artem conſtituere ſtudentibus reperiri poſſunt, quod non maximam laeſionem adferant, quum quibus non oporteat oblata ſint. Atque haec quidem diſtinctu difficilem ab experimentis judicationem conſequuntur, quae autem valde differunt, facilem. Controverſiam itaque in iis quae parum inter ſe exuperant judicare, et quibus ptiſana ſola in acutis morbis praeſcribenda ſit et

κριθώδους δοτέον, τίσι δ' οὐδ' ὅλως, ἀλλ' ἐπὶ ποτοῦ μόνου διαιτητέον ἄχρι κρίσεως, ἄξιόν ἐστι τῆς Ἱπποκράτους συνέσεως.

ιζ'.

Πτισάνη μὲν οὖν μοι δοκέει ὀρθῶς προκεκρίσθαι τῶν σιτηρῶν γευμάτων ἐν τουτέοισι τοῖσιν ὀξέσι νοσήμασι, καὶ ἐπαινέω γε τοὺς προκρίναντας. τὸ γὰρ γλίσχρασμα αὐτέης λεῖον καὶ συνεχὲς καὶ προσηνές ἐστι καὶ ὀλισθηρὸν καὶ πλαδαρὸν μετρίως καὶ ἄδιψον καὶ εὐέκπλυτον, εἴ τι καὶ τουτέου προσδέοι, καὶ οὔτε στύψιν ἔχον οὔτε ἄραδον κακὸν, οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίῃ, ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει, ὁκόσον ἂν πλεῖστον ἐπεφύκει διογκοῦσθαι.

[14] Τοῦτον τὸν λόγον ἀναγνῶναί μοι δοκοῦσι μόνον οἱ περὶ πτισάνης ἐπιγράψαντες τὸ βιβλίον· ὥσπερ αὖ πάλιν οἱ πρὸς τὰς Κνιδίας γνώμας τὸ πρῶτον προοίμιον· ἐδείχθη γὰρ ἐν τῷ δευτέρῳ μηκέτι πρὸς τοὺς Κνιδίους ἰα-

quibus hordeacea exhibenda et quibus nihil omnino, ſed potus ſolus ad judicationem usque exhibendus ſit, demonſtrare, Hippocratis intelligentia dignum eſt.

XVII.

Ptiſana igitur triticeis eduliis recte praelata fuiſſe mihi videtur his in acutis morbis, eosque qui ipſam praetulerunt laudo. Cremor enim ejus laevis, continuus, ſuavis, lubricus et moderate humidus, ſitim reſtinguit et ſi quid elui indiguerit, id facile eluitur, neque aſtrictionem continet, neque pravam turbationem, neque in alvo turgeſcit. Nam in elixatione, quoad maxime intumeſcere potuit, intumuit.

Orationem hanc duntaxat legiſſe mihi videntur, qui librum hunc de ptiſana inſcripſerunt, quemadmodum certe primum prooemium, qui adverſus Cnidias ſententias titulum fecerunt. Nam demonſtravit in ſecundo non ampli-

τρους τὸν λόγον ποιούμενος, ἀλλὰ προτρέπων ἐπὶ τὴν ἄσκησιν τῆς τῶν ὀξέων νοσημάτων θεραπείας. ὁ δὲ δὴ τρίτος λόγος, ὃν ἄχρι δεῦρο διῆλθεν, ἤδη αὐτῆς τῆς διαιτητικῆς τέχνης τῶν ὀξέων νοσημάτων ἐστὶν, οὐ μὴν εἰς μόνην γε αὐτὴν χρήσιμος, ἀλλ' ὑποπεπτωκὼς ἑτέρῳ γενικωτέρῳ. δέδεικται δέ μοι κἀν τοῖς περὶ ἀγμῶν καὶ ἄρθρων ἔθος Ἱπποκράτει τοὺς ὑποπεπτωκότας λόγους ἑτέροις τισὶ καθολικωτέροις ἐπισημαίνεσθαι καὶ τήν γε διδασκαλίαν τῶν καθόλου δι' αὐτῶν ποιεῖσθαι προκειμένων ὡς παραδειγμάτων· οὗτος γὰρ οὔτε ἀποχωρεῖ τοῦ προκειμένου σκέμματος οὔτε πολλαχῶς διδάσκει τὸ κοινὸν πολλῶν. ὥσπερ δὲ ἐπὶ τῆς πτισάνης τὸν λόγον ἐποιήσατο, τὴν αἰτίαν τῆς περὶ αὐτῆς διαφωνίας καὶ ζητήσας καὶ κρίνας, οὕτω καὶ περὶ διαίτης ἁπάσης τῶν ὀξέων τὴν κρίσιν ὀρθὴν ἐποιήσατο. καὶ γὰρ καὶ περὶ φλεβοτομίας καὶ περὶ καθάρσεως καὶ βαλάνου καὶ κλυστῆρος χρήσεως, ὡσαύτως δὲ καὶ περὶ καταπλασμάτων καὶ πυριαμάτων, οἴνου τε καὶ μελικράτου καὶ ὀξυμέλιτος

us contra Cnidios medicos ſe orationem habere, ſed *eos* ad curationis acutorum morborum exercitationem exhortari. Tertia autem oratio, quam huc usque percurrit, jam ad eam, quae victum morbis acutis praeſcribit, artem ſpectat. Non tamen ad eam ſolum eſt utilis, verum et alteri generaliori ſermoni ſubjecta eſt. Demonſtravimus autem et in commentariis de fracturis et articulis Hippocratem pro conſuetudine ſubjectos ſermones aliis quibusdam univerſalioribus annotare doctrinamque univerſalium ex ipſis conſtitutis tanquam exemplis efficere, ſic enim neque a propoſito inſtituto recedit, neque crebro docet quod multis eſt commune. Quemadmodum autem de ptiſana ſermonem fecit, cauſa de ipſa contentionis tum inveſtigata tum dijudicata: ſic et de omni acutorum victu rectum tulit judicium. Nam et de venae ſectione et de purgatione ac tum glandis tum clyſteris uſu, ſimili vero ratione et de cataplaſmatum, fotuum, vini, aquae mulſae, oxymelitis et balnei uſu non parva inter medicos exorta

καὶ λουτροῦ χρήσεως οὐ σμικρὰ διαφωνία γέγονε τοῖς ἰατροῖς, ὑπὲρ ὧν ἁπάντων ὁ Ἱπποκράτης ἐν τούτῳ τῷ βιβλίῳ διῆλθε, κατὰ μίαν μέθοδον ἣν ἀρτίως εἶπον, ἧς τὴν δύναμιν ἐοίκασιν ἐγνωκέναι καὶ οἱ ἐμπειρικοὺς ἑαυτοὺς ὀνομάσαντες, διορισμοῖς χωρίζοντες ἀπὸ τῶν κοινῶν τὰ ἴδια· καλεῖν δὲ εἰώθασι διαστολὰς μᾶλλον ἢ διορισμοὺς τοὺς ἀπὸ τοῦ κοινοῦ τὸ ἴδιον ἀποκρίναντάς τε καὶ χωρίζοντας λόγους. ἴδωμεν οὖν ἤδη τὰ περὶ τῆς πτισάνης εἰρημένα τῷ Ἱπποκράτει. δοκέουσιν οὖν μοι, φησὶν, οἱ πρόσθεν ἰατροὶ προκρῖναι πτισάνην ὀρθῶς τῶν σιτηρῶν γευμάτων ἐν τοῖς ὀξέσι νοσήμασι. σιτηρὰ δὲ γεύματα λέγει τὰ ἐκ σίτου γινόμενα· σῖτον δὲ ὀνομάζουσιν οἱ ἄνθρωποι μάλιστα μὲν τοὺς πυροὺς, ἤδη δὲ καὶ τὰς κριθὰς τούτοις προσνέμουσι καὶ τὰς ζειάς· ἐπὶ πλεῖον δὲ ἐκτείνοντες τὴν προσηγορίαν καὶ τὰ δημήτρια καλούμενα σπέρματα συγκαταλέγουσι, φακοὺς δηλονότι καὶ κυάμους καὶ θέρμους καὶ λαθύρους ἔλυμόν τε καὶ κέγχρον καὶ πισὸν καὶ τῆλιν καὶ βρόμον καὶ τίφας, ἐρεβίνθους τε καὶ ὅσα τἄλλα τοιαῦτα. τούτων οὖν πάντων

est controversia, de quibus omnibus hoc in libro disseruit Hippocrates, una methodo, quam nuper dixi. Cujus facultatem etiam novisse videntur qui se empiricos nominaverunt, distinctionibus propria a communibus separantes. Consueverunt autem diastolas magis quam diorismos appellare sermones eos, qui proprium a communi separant distinguuntque. Jam ergo quae ab Hippocrate de ptisana dicuntur videamus. *Videntur ergo mihi*, inquit, *priores medici triticeis eduliis ptisanam in acutis morbis recte praetulisse.* Triticea edulia intelligit quae ex tritico fiunt, triticum autem homines appellant maxime quidem frumentum, jam vero et huic tum hordeum tum zeam adjiciunt. Appellationem vero ad plura extendentes cerealia quoque vocata semina connumerant, lentes videlicet, fabas, lupinos, cicerculas, panicum, milium, pisum, foenugraecum, avenam, tipham, cicera et quaecunque id genus caetera. Horum igitur omnium triticeorum

τῶν σιτηρῶν γευμάτων τὰ μὲν ἄλλα καὶ πρὸς τῶν ἰδιωτῶν κατέγνωσται διὰ τὸ παραχρῆμα μεγάλην ἐπιφέρειν βλάβην, ἄρτος δὲ μόνος καὶ χόνδρος ἐπὶ τῶν ὀξέως νοσούντων δίδοται καὶ πρὸς ταῦτά ἐστι μόνα παραβάλλειν τὴν πτισάνην ἡ γάρ τοι φακὴ καὶ ἡ κέγχρος καὶ ἡ τῆλις ὡς φάρμακά ποτε προσφέρεται διά τινα τῶν κατὰ κοιλίαν νοσημάτων, οὐχ ὡς σιτία τροφῆς ἕνεκα. τῶν οὖν σιτηρῶν ἐδεσμάτων ὀρθῶς προκεκρίσθαι φησὶ τὴν πτισάνην, ἄρτου δηλονότι καὶ χόνδρου καὶ ζειῶν, ἐξ ὧν ὁ καλούμενος τράγος γίνεται. τοὺς γὰρ οἰομένους μηδέπω χόνδρον εἶναι κατὰ τοὺς Ἱπποκράτους χρόνους ἀγνοοῦντας ἐλέγξεις ἐκ τοῦ τῶν παλαιῶν κωμικῶν ἐνίους μεμνημονευκέναι χόνδρου, καὶ αὐτὸν δὲ τὸν Ἱπποκράτην κατὰ τὸ περὶ διαίτης ὑγιεινῆς· εἰ γὰρ καὶ μὴ Ἱπποκράτους ἐστὶν ἐκεῖνο τὸ βιβλίον, ἀλλ' Εὐρυφῶντος ἢ Φαῶντος [15] ἢ Φιλιστίωνος ἢ Ἀρίστωνος ἤ τινος ἄλλου τῶν παλαιῶν, (εἰς πολλοὺς γὰρ ἀναφέρουσιν αὐτὸ) πάντες ἐκεῖνοι τῶν παλαιῶν ἀνδρῶν εἰσι, ἔνιοι μὲν Ἱπποκράτους πρεσβύτεροι, τινὲς δὲ συνηκμακότες αὐτῷ. μνη-

eduliorum caetera quidem ab idiotis damnantur, quod quamprimum magnam laesionem inferant. Panis autem solus et alica acute laborantibus exhibentur et cum his solis ptisana est conferenda. Lens siquidem et milium et foenugraecum tanquam medicamenta ob quosdam ventris morbos interdum offeruntur et non tanquam nutritura cibaria. *Ptisanam igitur recte praelatam esse ait triticeis eduliis*, pani nimirum, chondro et zeae, ex qua fit tragus appellatus. Nam qui chondrum Hippocratis temporibus nondum fuisse existimant, eorum ignorantiam argues tum ex quibusdam antiquis comicis chondri memoribus, tum etiam ex Hippocrate ipso, qui in libro de salubri victu de chondro ipso mentionem fecit. Nam etiamsi liber is Hippocratis non sit, sed Euryphontis vel Phaontis vel Philistionis vel Aristonis vel cujusdam alterius veterum, ad multos enim hunc librum referunt, hi omnes prisci viri sunt, nonnulli quidem Hippocrate vetustiores, quidam vero ipsi coaetanei vixerunt. At nunc

μονεύω δὲ Ἱπποκράτους νῦν τοῦ Ἡρακλείδα υἱέος, οὗ τοῦτό ἐστι τὸ βιβλίον· ὁ γάρ τοι πάππος αὐτοῦ, ὁ Γνωσιδίκου υἱὸς Ἱπποκράτης, κατὰ τινὰς μὲν ὅλως οὐδὲν ἔγραψε, κατὰ τινὰς δὲ δύο μόνα, τὸ περὶ ἀγμῶν καὶ τὸ περὶ ἄρθρων. διὰ τί δὲ ὀρθῶς ἡ πτισάνη προκέκριται τῶν σιτηρῶν ἐδεσμάτων ἀποδειχθήσεται δι' ὧν ἐπιφέρει αὐτὸς λέγων· ὅσα γὰρ αὐτῇ πρόσεστιν ἀγαθὰ πρὸς τὴν τῶν ὀξέων νοσημάτων ἴασιν, οὐδενὶ τῶν ἄλλων ὑπάρχοντα εὑρήσεις· ὀρθὴ δ' ἂν σοι γένοιτο κρίσις ἐννοήσαντι τήν τε τῶν ὀξέων νοσημάτων φύσιν καὶ τὴν τῆς πτισάνης δύναμιν. ἡ μὲν οὖν τῶν ὀξέων νοσημάτων φύσις ἐστὶν, ὡς αὐτὸς εἶπεν ὀλίγον ἔμπροσθεν, ὧν οἱ πυρετοὶ τοὐπίπαν εἰσὶ συνεχεῖς· ἡ δὲ τοῦ πυρετοῦ γένεσις ἐκτροπὴ τῆς ἐμφύτου θερμασίας ἐπὶ τὸ πυρῶδές ἐστιν, ὡς ἐν ἄλλοις τέ τισιν ἔχει δεῖξαι καὶ νῦν δηλώσει λέγων ἐπ' αὐτοῦ· ἄρχεσθαι μὲν γὰρ ἐκ τοῦ θώρακος, εἰς τὴν κεφαλὴν δὲ ἀναπέμπειν τὴν φλόγα. καὶ μὲν δὴ κἀν τοῖς τῶν ἐπιδημιῶν τὸν μέγαν πυρετὸν ὀνομάζειν εἴωθε πῦρ, ὡς οὐκ ἄλλην τινὰ φύσιν ἔχοντα παρὰ τὴν τοῦ πυρὸς

memoriam facio Hippocratis Heraclidae filii, cujus hic liber est. Nam avus ipsius Gnosidici filius Hippocrates quorundam judicio nihil omnino scripsit, aliorum vero sententia duos scripsit, librum videlicet de fracturis et librum de articulis. Quare autem ptisana triticeis eduliis recte anteposita sit, demonstrabitur per ea quae ipse infert inquiens: *Quaecunque etenim ei ad acutorum morborum sanationem insunt bona, nulli alteri inesse comperies.* Rectum autem tibi fuerit judicium, si et acutorum morborum naturam et ptisanae facultatem cognoveris. Natura igitur acutorum morborum est, ut ipse paulo ante dixit, quorum febres omnino sunt continuae. Febris autem ortus caloris nativi ad igneum est conversio, ut et aliis quibusdam in locis demonstravit et nunc manifestabit, inquiens: *ex thorace quidem incipere, ad caput vero flammam mittere.* Praeterea in Epidemiorum libris febrem magnam ignem vocare consuevit, quasi non aliam naturam sortiatur, praeterquam ignis substantiam. Si igi-

οὐσίαν. εἴπερ οὖν τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα, τὸ τῶν πυρετῶν ἴδιον ἴαμα δύναμιν χρὴ ἔχειν ψύχουσάν τε καὶ ὑγραίνουσαν· τοῦτο γὰρ ὑπεναντίον ἔσται τῇ φύσει τοῦ πυρετοῦ, θερμῇ τε οὔσῃ καὶ ξηρᾷ, τοιοῦτον γὰρ τὸ πῦρ· καὶ μὲν δὴ καὶ τῶν διὰ τὴν τῶν χυμῶν σηπεδόνα γιγνομένων πυρετῶν οὐ σμικρὰν φροντίδα πεποιῆσθαι χρὴ τοῦ πεφθῆναι μὲν αὐτῶν ὅσον ἂν ἐγχωρῇ δέξασθαι τὴν πέψιν, ἐκκριθῆναι δὲ τὸ κατωπτημένον ἤδη καὶ μηκέθ' οἷόν τε πεφθῆναι. καὶ εἴπερ (44) τῶν ταῦτα ἐργάσασθαι δυναμένου σιτίου τοῖς πυρέττουσίν ἐστι χρεία, ἐὰν καὶ τὸ ῥᾳδίως πέττεσθαί τε καὶ ἀναδίδοσθαι παρῇ, πάντα ἂν ἤδη τὰ τοιαῦτα ὧν χρήζομεν ἔχοι. τίς οὖν ἐστιν ἡ τῆς πτισάνης δύναμις ἀκούσωμεν αὐτοῦ. τὸ γλίσχρασμα, φησὶ, λεῖον. τὸ λεῖον ἀντίκειται τῷ τραχύνοντι· τραχύνει δὲ τὰ δριμέα καὶ ὀξέα καὶ στύφοντα. δριμέα μὲν οὖν ἅπαντ' ἐστὶ τὰ θερμαίνοντα, καθάπερ ὄροβος καὶ τῆλις· ὀξέα δὲ τὰ μὲν ἄλλα παρείσθω, τὸ δ' ὀξύμελι μόνον ἐν λόγῳ γιγνέσθω· καθάπερ γε τῶν στυφόντων παρείσθωσαν ἀχράδες καὶ μέ-

tur contraria contrariorum remedia sint, febrium peculiare remedium facultatem tum refrigerantem tum humectantem habeat oportet: id namque febris naturae, quae tum calida tum sicca est, contrarium erit, talis siquidem naturae est ignis. Praeterea quum febres et ex humorum putredine oriantur, non parvam diligentiam moliri oportet, ut quicquid ex ipsis coqui possit, concoctionem subeat et quod jam exustum est, neque amplius concoqui possit, evacuetur. Quod si febricitantibus ipsis cibi usus sit, qui haec efficere queat, si etiam facile tum concoqui, tum distribui accedat, jam haec omnia, quibus est opus, habuerit. Quae sit igitur ptisanae facultas ex Hippocrate audiamus. Lentor, inquit, *laevis est*. Laeve exasperanti opponitur. Exasperant autem acria, acida et astringentia. Acria sane omnia calefaciunt, ut ervum, foenugraecum. Acida vero alia praetermittantur, acetum vero mulsum in oratione sit duntaxat. Praetermittantur pari modo ex acerbis pira sylvestra et mespila et quaecunque hujusmodi,

σπιλα καὶ ὅσα τοιαῦτα, τῶν δὲ σιτηρῶν ἡ φακή ἐστι καὶ τὰ τοιαῦτα. ἐκπέφευγεν οὖν ἡ πτισάνη τὴν τῶν τραχυνόντων κακίαν, ἔχουσα πρὸς τῷ κατὰ τὴν ἁφὴν λείῳ καὶ τὸ κατὰ δύναμιν λεῖον. ἔστι δὲ καὶ συνεχὴς ἡ γλισχρότης αὐτῆς, ὁμοίας ἑαυτῇ κατὰ πάντα ὑπαρχούσης τὰ μόρια διὰ τὸ τῆς ἑνώσεως ἀκριβὲς, ὅπερ οὐχ ὑπάρχει ταῖς ζειαῖς. ἔπαινος δὲ οὐ μικρὸς τῆς πτισάνης καὶ τὸ προσηνὲς, ἐναντίον ὑπάρχον τῷ ἀπηνεῖ, τουτέστι τῷ κατὰ τὴν λῆψιν ἀηδίαν τινὰ ποιοῦντι, καθάπερ ἀμέλει καὶ ὁ ἄρτος ἀηδής ἐστι λαμβανόμενος, εἰ μὴ διαβρέξειας αὐτὸν ἱκανῶς· ἀλλὰ καὶ οὕτως ἀπολείπεται τῶν κατὰ τὴν πτισάνην προσηνοῦς, ὡς ἂν μηδὲ μασήσεως δεομένης, ἀλλ' ὁμοίως τοῖς ποτοῖς καταπίνεσθαι δυναμένης. οὐ σμικρὸν δὲ πλεονέκτημα καὶ τὸ ὀλισθηρὸν αὐτῆς καὶ μάλιστα τοῦ χυμοῦ· διεξέρχεται γὰρ τὸν θώρακα, μηδαμόθι μέρος αὐτοῦ καταλιπὼν μηδὲν τῇ διόδῳ, καθάπερ τὰ δυσαπολύτως ἐμπλαττόμενα· καὶ σχεδὸν ἅπαντα τὰ γλίσχρα, πλὴν τῆς πτισάνης, [16] πέπονθε τοῦτο, ὅπου γε καὶ τὸ ἐκ τοῦ χόνδρου ῥόφημα τὸ μὲν

atque ex triticeis lens et ſimilia. Exaſperantium igitur malitiam ptiſana effugit, habetque laevorem non tactu ſolum, verum etiam facultate. Eſt vero et lentor ejus continuus, ſibi ipſi in omnibus partibus ſimilis ob exquiſitam unitatem, quod zeae non ineſt. Laus autem non parva eſt ptiſanae, quod res ſuavis exiſtat, quae rei inſuavi contraria exiſtit, hoc eſt in aſſumptione quandam inſuavitatem efficit, quemadmodum certe et panis inſuavis eſt, dum ſumitur, niſi abunde ipſum maceraveris, imo et ita ſuperatur ab ea quae in ptiſana eſt ſuavitate, ut quae mandi non indigeat, ſed potuum inſtar ſorberi poſſit. Neque parvae eſt conditionis ptiſanae lubricitas praeſertimque cremoris. Pertranſit enim thoracem, in nulla ipſius parte quippiam in tranſitu relinquens, veluti ea quae infarcta adeo obſtruunt, ut vix avelli poſſint, idque glutinoſis prope omnibus, excepta ptiſana, accidit, quum et quae ex alica conficitur ſorbitio, haec quidem glutino-

γλίσχρον ἔχει, τὸ δὲ ὀλισθηρὸν οὐκ ἔχει· πτισάνη δ' ὑπάρχει τὸ ὀλισθηρὸν καὶ τὸ ῥυπτικόν. οἱ δ' οὖν ἰατροὶ πρὸς τὸ διαῤῥύψαι γλίσχρον χυμὸν ἐμπεπλασμένον τῇ γαστρὶ τοῖς ἀπὸ τοῦ χυλοῦ τῆς πτισάνης ἐμέτοις χρῶνται καθὰ τοῖς ἀπὸ τοῦ μελικράτου, καὶ ὠμὴν δὲ λειοῦντες ἐπιχρίουσι τοῖς προσώποις οἱ ἀνδραποδοκάπηλοι, ῥύψεως ἕνεκα τῆς ἐν αὐτοῖς ἀχροίας κατὰ τὸ δέρμα συνισταμένης. τοῦτ' οὖν τὸ ῥυπτικὸν αὐτῆς καὶ πρὸς τὴν ὑποχώρησιν ἐπιτήδειον καὶ πρὸς τὴν ἀνάδοσιν, καὶ μάλισθ' ὅταν ἐκ τῶν σιμῶν τοῦ ἥπατος εἰς τὰ κυρτὰ δέῃ μεταληφθῆναι τὴν ἀναδιδομένην τροφήν· ἐνταῦθα γὰρ ἐμπλάττεται τὰ παχύχυμα καὶ κολλώδη πάντα καὶ διὰ τοῦτο χόνδρος οὐκ ἐπὶ τῶν μόνον τοῦτο τὸ σπλάγχνον πεπονθότων βλαβερώτατός ἐστιν, ἀλλὰ κἀπὶ τῶν μηδέπω μὲν ἐχόντων αὐτὸ βεβλαμμένον, ἐν δὲ τῇ φυσικῇ διαπλάσει στενόπορον· ὅσοι γὰρ οὕτω διάκεινται φύσει, τὰ κολλώδη καὶ παχύχυμα πάντα αὐτοῖς ἐμπλάττεται καὶ διὰ τοῦτο βάρους αἰσθάνονται κατὰ τὸ σπλάγχνον ἐν ταῖς ἀναδόσεσιν αὐτῶν. καὶ μὲν δὴ

ſum continet, ſed lubricum non continet; ptiſanae autem ineſt et lubricum et detergens. Quapropter medici ad detergendum glutinoſum humorem ventri infarctum vomitibus a ptiſanae cremore ut ab aqua mulſa utuntur. Crudam quoque conterunt ptiſanam puerorum mangones faciesque, ut vitioſos cutis exterant colores, illinunt. Quod igitur in ea detergens exiſtit, id et ad dejectionem eſt idoneum et ad diſtributionem, praeſertim ubi ex ſima parte hepatis ad gibbam transmeare debeat quod diſtribuitur alimentum: hic etenim infarciuntur quae craſſi ſucci et quae glutinoſa ſunt, ob idque chondrus non in affectis hoc ſolum viſcere maxime nocet, verum etiam in iis qui hocce quidem nondum laeſum, ſed naturali conſormatione meatuum anguſtia donatum habent. Qui enim ita a natura affecti ſunt, ipſis tum glutinoſa, tum craſſi ſucci omnia infarciuntur, proptereaque gravitatem eo in viſcere ſentiunt, quum haec diſtribuuntur. Praeterea *ptiſanae*

καὶ πλαδαρόν ἐστι τὸ γλίσχρασμα τῆς πτισάνης, οὐ σφοδρῶς ὡς ὕδωρ καὶ μελίκρατον καὶ πρὸς τούτοις γε τό τε ἐκ χόνδρου ῥόφημα καὶ τὰ ῥοφούμενα τῶν ὠῶν· ἅπαντα γὰρ ταῦτα τὸν στόμαχον ἐργάζεται ὕπτιον τοῖς κάμνουσιν αὐτοῖς ἐπιδήλως, ὡς ἀνατετράφθαι φάσκειν αὐτόν· ἡ δὲ πτισάνη τὸ ὑγραίνειν ἔχουσα, τὸ ἀνατρέπειν τὸν στόμαχον οὐκ ἔχει. στόμαχον δὲ ἀκουστέον νῦν, ὡς ἔθος νῦν τοῖς ἀνθρώποις λέγειν ἐστιν, οὐ μόνον τὸν πόρον, ἀλλὰ καὶ τὸ στόμα τῆς γαστρός. ὅταν οὖν ἄτονον τοῦτο καὶ ἔκλυτον γένηται, μέχρι πολλοῦ μένει κατ' αὐτὸ τὸ ἐδηδεσμένον ἐπιπολάζον αὐτῷ· τοὐναντίον δὲ συμβαίνειν πέφυκεν ὅταν ὑποστραφὲν ὑπό τινος τῶν εὐστομάχων ἐδεσμάτων ἀπώσηται τὸ περιεχόμενον· αὐτίκα γὰρ ὁ πλάδος αὐτῷ συναπέρχεται καὶ πέττεται καὶ ὑποχωρεῖ τὸ οὕτως ἀπωσθὲν, ὥσπερ ἄπεπτόν τε μένει καὶ οὐ διαχωρεῖται ταχέως τὸ κατὰ τὸ στόμα τῆς γαστρὸς ἐπιπολάζον· ὀρέγεσθαι γὰρ ἔργον οὐ πέττειν ἐστὶ τοῦδε τοῦ μορίου. τὰ μὲν οὖν στύφοντα τῶν ἐδεσμάτων ὥσπερ ἔχουσι τὸ ῥωννύειν τὸ στόμα τῆς γαστρὸς, οὕτω

lentor humens est, non vehementer, ut aqua et melicratum, ad haec quoque tum sorbitio ex chondro, tum ova sorbilia, ea namque omnia stomachum ipsis aegrotantibus ita manifeste supinant, ut ipsum subversum esse existiment. Verum ptisanae humectandi quidem est facultas, sed stomachum subvertendi non est. Stomachum autem hic intelligere oportet, prout nunc homines dicere consueverunt, non meatum duntaxat, verum etiam os ventriculi. Quum igitur id imbecillum fuerit atque exolutum, moratur diutius in eo quod manducatum est, ipsi supernatans. Sed contrarium accidere consuevit, quum ab eduliorum stomacho opitulantium aliquo reductum, quod continetur, expellit. Nam humor quamprimum ab ipso recedit et coquitur, atque quod ita amandatum est dejicitur, quemadmodum et crudum manet, neque celeriter dejicitur, quod in ore ventriculi supernatat. Nam partis hujus munus est appetere, non concoquere. Quae igitur astringunt edulia, ut os ventriculi roborant, sic et plus

καὶ ξηραίνει περαιτέρω τοῦ προσήκοντος· οὕτω δὲ καὶ ῥόφημα τὸ ἐκ χόνδρου καθάπερ ὑγραίνειν, οὕτω καὶ ὑπτιάζειν πέφυκεν. ἡ τοίνυν πτισάνη τὴν ἀρετὴν τῶν ὑγραινόντων ἔχουσα τὴν κακίαν ἐκπέφευγεν. ἐφεξῆς δὲ τί φησιν ὁ Ἱπποκράτης; καὶ ἄδιψον αὐτὴν εἶναι· μέγιστόν τε καὶ τοῦτο μαρτυρῶν, ἐν νοσήματι διακαίοντί τε καὶ ξηραίνοντι πᾶν τὸ σῶμα. κατὰ τοῦτο μὲν οὖν καὶ τοῦ μελικράτου πολὺ κρεῖττόν ἐστιν ἡ πτισάνη, καίτοι τὸ εὐέκκριτον, ὅπερ ἐφεξῆς εἶπεν ὑπάρχειν αὐτῇ, παραπλησίως τῷ μελικράτῳ κεκτημένη· καὶ εἴ γε παραβάλεις πτισάνην μελικράτῳ, πλεονεκτοῦσαν εὑρήσεις ἐπὶ τῶν ὀξέων νοσημάτων· ἀλλὰ τοῦτο μὲν ἐπὶ προήκοντι τῷ λόγῳ δείξω, τὸν δὲ περὶ πτισάνης λόγον ἐπὶ τέλος ἀγαγεῖν καιρός. εὐέκπλυτον γὰρ αὐτὴν εἶπε μετὰ τοῦ προσθεῖναι, εἴ τι καὶ τούτου προσδέοι, ὡς οὐκ ἐπὶ πάντων νοσημάτων ὀξέων χρῃζόντων ἡμῶν ἐδέσματος εὐεκπλύτου. τὰ μὲν γὰρ ἄλλα πάντα τὰ εἰρημένα τῆς πτισάνης ἀγαθὰ διὰ παντός εἰσι χρήσιμα τοῖς ὀξέσι νοσήμασι, τὸ δ' εὐέκπλυτον, ἐφ' ὧν ὑπιέναι βουλόμεθα τὴν

justo exiccant. Ita vero et quae ex chondro paratur sorbitio, ut humectat, ita et supinare consuevit. Ptisana igitur humectantium facultatem consequuta malitiam effugit. Deinde vero ipsam sitim restinguere ait Hippocrates et maximum quippiam id remedium esse in morbo totum corpus tum exurente tum siccante testatur. Hac sane ratione ptisana aqua mulsa longe melior existit, licet excernendi facilitatem, quam deinceps huic inesse ait, similiter aquae mulsae adepta fuerit. Imo si ptisanam aquae mulsae comparaveris, ipsam in acutis morbis facultatibus superiorem comperies, sed id quidem procedente ostendam sermone. Nam de ptisana sermonem ad finem perducere tempestivum est. *Ipsam* enim *facile abluere* dixit, cum adjectione, *siquid et ablui indigeat*, ac si non in omnibus acutis morbis probe nos abluente indigeamus edulio. Enimvero caetera omnia quae de ptisana dicuntur bona semper acutis morbis sunt utilia. Sed abluendi facilitas, quibus alvum subduci volumus, cibis in via re-

γαστέρα, βραδυνόντων κατὰ τὴν διέξοδον τῶν σιτίων ἐπιτήδειόν ἐστιν. οὐκ οὖν ὡς ἐναντίον τῇ διαθέσει τοῦ πυρετοῦ τὸ εὐέκπλυτον, οὐδ᾽ ὡς ἕν τι τῶν οἰκείων βοηθημάτων, [17] ἀλλ᾽ ὡς ἐπανορθούμενόν τι σύμπτωμα χρήσιμον ὑπάρχει. ἐφεξῆς δέ φησι· καὶ οὔτε στύψιν ἔχον οὔτε ἄραδον κακόν· τὸ γλίσχρασμα δηλονότι τῆς πτισάνης, οὕτω γὰρ ἤρξατο τοῦ περὶ αὐτῆς λόγου. τὸ μὲν δὴ μὴ ἔχειν στύψιν ἀγαθόν ἐστιν ἐνίοις μάλιστα· πλὴν γὰρ ἢ διὰ σύμπτωμα συγκοπτικὸν ἢ γαστρὸς ἄμετρον ῥύσιν οὐκ ἄν τις χρήσαιτο τῶν στυφόντων ἐδεσμάτων οὐδενί· συνάγει γὰρ καὶ σφίγγει τὰ σώματα καὶ μύειν ἀναγκάζει τὰς διεξόδους τῆς ἀναδόσεως καὶ τῆς τροφῆς καὶ τῆς εἰς τοὐκτὸς διαπνοῆς, ἃς ἀνεῷχθαι συμφέρει. τὸ δὲ μηδὲ ἄραδον ἔχειν, τουτέστι τὸ μηδεμίαν ἐν τῷ πέττεσθαι ταραχὴν ἐμποιεῖν, εἰς ἔπαινον καὶ αὐτὸ διαφέρει τῆς πτισάνης· ὅπερ ἐπὶ πολλῶν ἐδεσμάτων γίνεται, τῶν μὲν δακνόντων τὴν γαστέρα, τῶν δὲ φυσώντων, ἐνίων δὲ καὶ ἐκ μαχομένων ταῖς δυνάμεσι μερῶν συγκειμένων, ὅπερ ἀμέλει κἀπὶ τῆς φακῆς ἐστι καὶ τῆς

morantibus eſt idonea. Probe igitur abluere febrili affectioni non ut contrarium, neque tanquam unum quoddam familiare auxilium, utile exiſtit, ſed tanquam ſymptomatis alicujus emendatorium. Verum deinceps inquit: *ac neque aſtrictionem habet, neque pravam perturbationem excitat,* cremor ſcilicet ptiſanae, ſic enim ſermonem de ea auſpicatus eſt. Aſtrictionem certe non habere nonnullis maxime bonum eſt. Nemo ſiquidem aſtringentibus utitur cibis, niſi vel propter ſymptoma ſyncopticum vel propter immoderatum alvi profluvium. Cogunt ſiquidem conſtringuntque corpora viasque tum diſtributionis tum alimenti tum ejus quae foras fit perſpirationis occludunt, quas apertas eſſe conducit. Quod autem perturbationem non excitet, hoc eſt, nullam dum coquitur efficiat perturbationem, in laudem et id praeſtat ptiſanae. Hujusmodi autem perturbatio ex multis eduliis oritur, his quidem ventrem mordentibus, aliis vero inflantibus, nonnullis etiam pugnantibus

κράμβης· αὐτὸ μὲν γὰρ αὐτῶν τὸ στερεὸν σῶμα τῶν ἐφεκτικῶν γαστρός ἐστιν· ὁ δὲ χυλὸς τῶν ἐρεθιστικῶν τε καὶ ὑπακτικῶν. οὕτω δὲ καὶ οἱ τὸν ἐγκέφαλον ἀρτύοντες ἐλαίῳ καὶ γάρῳ τὸ σύμπαν ἐξ αὐτῶν ἀνομοιομερές τε καὶ στασιάζον ἑαυτῷ ποιοῦσι, τοῦ μὲν ἐγκεφάλου τὸ στάσιμον καὶ βραδύπορον ἔχοντος, τῶν δὲ μιχθέντων αὐτῷ πρὸς τὴν ἔκκρισιν ὁρμᾷν χρησίμων. ὡσαύτως καὶ ᾠὸν, εἴτε μετὰ μέλιτος, εἴτε μεθ' ἁλῶν, εἴτε μετὰ γάρου λαμβάνοιτο τὸ συγκείμενον ἐξ αὐτῶν, διαφόρους ἔχει τὰς δυνάμεις, οἵ τε ζωμοὶ σχεδὸν ἅπαντες. ὅθεν καὶ κατὰ τὴν ἀρχὴν τοῦ λόγου τὸ γλίσχρασμα τῆς πτισάνης ἐπαινῶν ἔφη, συνεχὲς, ὅπερ οὐκ ἂν γένοιτο χωρὶς τοῦ τὸ σύμπαν ὁμοιομερὲς εἶναι. νυνὶ δὲ τῷ ἀράδῳ καὶ τὸ κακὸν προσέγραψεν, οὐχ ἁπλῶς (45) εἰπὼν οὐκ ἔχειν ἄραδον τὴν πτισάνην, ἀλλὰ προσθεὶς τὸ κακόν· οὐδὲν γὰρ τοῦδε μᾶλλον ἐναντιοῦται πέψει σιτίων. ὥστε καὶ οἱ περὶ πέψεως γράψαντες τὴν ποικιλίαν τῶν ἐδεσμάτων, καὶ μάλισθ' ὅταν ἐξ ἐναντίων ταῖς δυνάμεσι σύγκειται, βλαβερωτάτην εἶναί φασι, κωλύουσαν τὰ ληφθέντα

facultate partibus praeditis, quod tum in lenticula, tum in braſſica reperitur; ſolidum namque ipſarum corpus ventrem ſupprimit, jus autem ipſum prorilat ſubducitque. Sic et qui cerebrum cum oleo et garo condiunt, totum ex ipſis tum diſſimilare, tum ſibi ipſi pugnans efficiunt, cerebro quidem ſtabili et tarde meante, mixtis vero ipſi ad excretionem excitare idoneis. Eodem modo et ovum ſive cum melle, ſive cum ſale, ſive cum garo aſſumatur, quod ex ipſis conſtat, differentes habet facultates, jura etiam prope omnia. Unde et circa ſermonis initia lentorem ptiſanae laudans inquit, *continuus,* quod citra totius in partibus omnibus ſimilitudinem non fit. Verum in praeſentia huic *perturbationi* adjecit *malae,* ptiſanam perturbationem non excitare haudquaquam ſimpliciter aſſerens, ſed *malam* adjiciens, nihil enim ciborum concoctioni quam haec ipſa adverſatur magis. Quare et qui de concoctione ſcripſerunt, ciborum varietatem praeſertimque ubi contrariis conſtant facultatibus, nocentiſſimam

πέττεσθαι καλῶς. φυλάττονται δὲ αὐτὸ μάλιστα καὶ οἱ γυμνασταὶ καὶ οἵ γε νομίμως ἀθλοῦντες ἐπὶ μὲν τοῦ ἀρίστου τὸν ἄρτον μόνον ἐσθίουσιν, ἐπὶ δὲ τοῦ δείπνου τὸ κρέας. ἐπὶ πλέον δ' ἂν σοι περὶ τούτων ἔλεγον, εἰ μὴ καὶ κατὰ σεαυτὸν δυνατὸς ἦσθα εὑρίσκειν αὐτὰ, ὁρμώμενος ἐκ τῶν εἰρημένων περὶ πέψεως ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν· εἰ δὲ οὐκ ἐξεμελέτησας ἐκεῖνα, μάτην καὶ τούτοις ὁμιλεῖς. διὸ περὶ μὲν ἀράδου παύομαι λέγων, ἐπὶ δὲ τὸ πάντων ὕστατον εἰρημένον ὑπ' αὐτοῦ μεταβήσομαι λέγοντος ἔτι περὶ τῆς πτισάνης. οὔτ' ἀνοιδίσκεται ἐν τῇ κοιλίῃ. γινώσκων γὰρ ὅτι μέμφονται τῆς πτισάνης πολλοὶ τὸ φυσῶδες, εἰκότως προσέθηκεν· ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει ὅσον πλεῖστον ἐπεφύκει διογκοῦσθαι· τῇ προσθήκῃ καὶ τὸ ἔγκλημα συνενδειξάμενος καὶ τὴν λύσιν εἰπὼν αὐτοῦ καὶ τὴν ἕψησιν διδάξας. γράφει δ' οὐδὲν ἧττον ἔτι κἀν τοῖς ἐχομένοις περὶ τῆς ἑψήσεως· ἀλλὰ νῦν γε τοσοῦτον προσθήσω τῷ περὶ πτισάνης λόγῳ. πτισάνην μὲν ἑψήσας

esse dixerunt, assumpta probe concoqui prohibentem. Observant id maxime tum qui luctantur, tum qui legitime certant. Prandio *siquidem* panem duntaxat edunt, in coena vero carnem. Plura de his enunciarem, nisi scirem te invenire ipsa posse, qui ex iis quae de concoctione in commentariis de facultatibus naturalibus dicuntur, sis instructus. Commentarios autem hujusmodi si neglexeris, frustra et in his versaris. Quapropter de hac perturbatione supersedens ad omnium ultimum me transferam, quod ab *Hippocrate* de ptisana adhuc loquente dicitur. *Neque in ventre tumescit.* Quum enim cognosceret multos ptisanam, quod flatulenta esset, damnare, merito adjecit: *Nam in elixatione, quoad maxime potuit, intumuit.* Qua sane adjectione objectionem simul prodidit et ipsius solutionem protulit elixationemque docuit. Scribit autem quaedam et nihilominus de coctione in sequentibus, sed nunc tantillum hoc sermoni de ptisana adjiciam. Ptisanam si plurimum coxeris, cibum flatus

ἐπὶ πλεῖστον ἄφυσον ἔδεσμα ποιήσεις. ἔτνος δὲ κυάμινον οὐδ᾽ εἰ τρισὶν ἡμέραις καθεψήσαις, ἄφυσον ἐργάσῃ ποτέ· ἐκ γὰρ τῆς οἰκείας οὐσίας ἔχει τὸ φυσῶδες, οὐχ ὥσπερ ἡ πτισάνη διὰ τὸ τῆς ἑψήσεως ἐλλιπές. εἰθισμένοι γοῦν εἰσιν οἱ ἕψοντες αὐτὴν ἀφίστασθαι θᾶττον ἤδη καὶ μάλισθ᾽ οἱ τῶν πλουσίων μάγειροι· τρίβοντες γὰρ αὐτὴν ὠμὴν ἐν θυείᾳ καὶ μετὰ ταῦτα θερμήναντες ἐπ᾽ ὀλίγον, [18] οὐ γὰρ ἑψήσαντές γε προσφέρουσι τοῖς δεσπόταις. ἀλλὰ περὶ μὲν ἑψήσεως πτισάνης, ὡς ἔφην, καὶ αὖθις εἰρήσεται· νυνὶ δὲ ἐπεὶ τὴν δύναμιν ἐδήλωσεν αὐτῆς, ἑξῆς ἐρεῖ τὸν διορισμὸν τῆς χρήσεως, ἐφ᾽ ὃν κἀγὼ μεταβήσομαι, προαναμνήσας ὅτι τὸν περὶ τῆς παραβολῆς πρός γε μελίκρατον καὶ τἄλλα τῆς πτισάνης λόγον ἐν τοῖς ἑξῆς ὑπέσχημαι τελέως ποιήσασθαι.

ιη.

Ὁκόσοι μὲν οὖν πτισάνῃσι χρέονται ἐν τουτέοισι τοῖσι νουσήμασιν, οὐδεμιῇ ἡμέρῃ κενεαγγητέον, ὡς ἔπος εἰρῆσθαι,

expertem efficies. Pulmentarium autem fabaceum neque si tribus diebus coxeris, flatus unquam expers reddideris, nam ex propria substantia flatulentum est, non ob imperfectam coctionem, quemadmodum ptisana. Sunt igitur qui ab ipsius coctione paulo ocius recedere consueverunt potissimumque divitum coqui: terunt siquidem in pila crudam eam atque deinde parum calefaciunt, non enim coctam dominis offerunt. Sed de ptisanae coctione, ut dixi, rursum quoque dicetur. Nunc autem posteaquam facultates ipsius declaravit, usus distinctiones deinceps docebit, ad quem et ego me conferam, ubi me in sequentibus absoluturum sermonem, quem de ptisanae ad aquam mulsam et alia comparatione sum pollicitus, praemonuerim.

XVIII.

Quicunque ergo ptisana hisce in morbis utuntur, nullo die, ut verbo dicam, vasa vacuanda sunt, sed ea uten-

ἀλλὰ χρηστέον καὶ οὐ διαλειπτέον, ἢν μή τι δέῃ ἢ διὰ φαρμακίην ἢ κλύσιν διαλείπειν.

Ἐντεῦθεν ἄρχεται τῆς τοῦ ζητουμένου λύσεως· ἀλλ᾿ ἐλλιπῶς χρησάμενος τῇ κατὰ τὴν λέξιν ἑρμηνείᾳ, διὰ τοῦτο ἀσαφῆ ἐποίησε τὸν λόγον. ἐγὼ τοίνυν εἰπεῖν πειράσομαι, καθ᾿ ὃν μάλιστα τρόπον ἑρμηνευθεὶς οὐδὲν ἂν ἔσχεν ἀσαφές· ἀναλήψομαι δὲ ἀπ᾿ ἀρχῆς αὐτὸν ὧδέ πως. τίς ἡ αἰτία τῆς διαφωνίας ἐστὶν, ὥστε τοὺς μὲν ταῖς κριθώδεσι πτισάναις ἐπὶ τῶν ὀξέων χρῆσθαι, τοὺς δὲ τῷ χυλῷ μόνῳ, τοὺς δὲ οὐδὲ τούτῳ μέχρι κρίσεως; τουτὶ μὲν οὖν τὸ πρόβλημα, τῆς λύσεως δὲ ἐφεξῆς ἄκουε. τῶν ὀξέως νοσούντων ἔνιοι μὲν ὑπὸ τοῦ χυλοῦ μόνου, ἔνιοι δὲ ὑπὸ τῆς πτισάνης, ἔνιοι δὲ ὑπ᾿ οὐδετέρου τούτων ὠφελοῦνται· προπετέστερον οὖν ἀπεφήνατο περὶ πάντων τῶν ὀξέως νοσούντων ἕκαστος τῶν ἰατρῶν, ἐξ ὧν οὐκ ἐπὶ πάντων ἐπειράθη· ἀλλ᾿ ἐγὼ διοριοῦμαι καὶ δείξω τίνες μὲν ὑπὸ τῆς πτισάνης ὀνίνανται, τίνες δὲ ἀπὸ μόνου τοῦ χυλοῦ, τίνες δὲ οὐδετέ-

dum neque intermittendum, nisi aut propter medicamentum aut clysterem intermittere oporteat.

Ab his quaestionis agitatae solutionem exorditur. Verum quum dictionis concisa usus sit interpretatione, ob id obscurum sermonem edidit. Ego vero quomodo maxime expositus nihil obscuritatis habuisset, referre conabor, ipsumque ab exordio ita repetam. Quae causa discordiae est, cur in acutis alii quidem ptisana hordeacea utantur, alii solo cremore, alii ne hoc quidem ad morbi usque judicationem? Hoc sane problema est, sed solutionem deinceps audi. Acutis laborantium nonnulli quidem a cremore solo, alii a ptisana, alii ab horum neutro juvantur. Petulantius sane de omnibus acuto morbo laborantibus medicorum unusquisque tulit sententiam, ex rebus quas non in omnibus expertus est. Sed ego distinguam ac demonstrabo, qui a tota ptisana juventur, qui a cremore solo et qui neutro indigeant. Tota igitur ptisana uti debent

ρου χρήζουσιν. ὅλαις μὲν οὖν πτισάναις δέονται χρῆσθαι τῶν νοσούντων ὀξέως οἵ μήτε βοηθείας ἑτέρας χρήζουσι πρότερον, ἤτοι διὰ φλεβοτομίας ἢ γαστρὸς ὑπαγωγῆς ἢ τινος τῶν τοιούτων, μήτ' οὖν ἐστιν αὐτοῖς τι κινδυνῶδες σύμπτωμα· χυλῷ δὲ οἱ τούτων ἔχοντές τι σφαλερώτερον· οὓς δ' ἤτοι διακενῶσαι διὰ φλεβοτομίας ἢ γαστρὸς ἀναγκαῖόν ἐστιν ἢ ὀδυνωμένους παῦσαι, τούτοις μὴ πρότερον δίδου πτισάνην ἢ τὸν χυλὸν αὐτῆς, πρὶν ἂν ὧν εἶπόν τι πράξῃς. ταῦτ' οὖν ἐχρῆν προγράψαντα τὸν Ἱπποκράτην τῶν κατὰ μέρος, ἀφ' ἑκάστου πάλιν ἀρξάμενον, οὕτω πεποιῆσθαι τὸν λόγον, εἴπερ ἔμελλεν ἔσεσθαι σαφής· ἐπεὶ δὲ οὐκ ἐποίησεν, εἰκότως ἀσαφὴς ἐγένετο, τὴν προσήκουσαν ἀποβαλὼν τάξιν. ἀκολουθήσαντες οὖν αὐτοῦ ταῖς λέξεσιν, ἀνάγωμεν ἑκάστην εἰς τὰ προειρημένα κεφάλαια καὶ πρώτην γε τὴν προκειμένην ῥῆσιν ἐξεργαστέον. ἄκουσον δέ μου παραφράζοντος αὐτοῦ τὴν λέξιν, ἅμα τῷ παρεντιθέναι τινὰ ῥήματα σαφηνείας ἕνεκα· ὅσοι μὲν ἄῤῥωστοι πτισάνῃ χρῶνται ἐν τούτοις τοῖς νοσήμασιν, (ἐρῶ δὲ ὀλίγον ὕστερον τίνες εἰσὶν οἱ χρη-

acuto morbo laborantes, qui neque alio prius indigent remedio, veluti venae sectione aut ventris subductione aut aliquo similium celebratur, neque etiam ipsis est periculosum symptoma, cremore vero iis, qui gravius aliquod periculum sortiuntur. Quos autem aut venae sectione aut ventris subductione vacuare necessarium est, aut etiam doloribus liberare, his ne prius ptisanam aut ejus cremorem exhibeas quam quae dixi, eorum quicquam feceris. Haec sane Hippocratem praescripsisse oportuit et ab unoquoque singularium rursus auspicatum, sic orationem condidisse, si dilucidus fore debuerat. Quoniam vero non condidit, jure obscurus abjecto decenti ordine factus est. Nos autem ipsius dictiones sequuti, *earum* unamquamque ad praedicta capita reducamus, ac imprimis praesentem etiam dictionem accurate exponamus. At me latius explicantem ipsius dictionem simulque verba quaedam perspicuitatis gratia adjicientem audito. Quicunque sane aegroti ptisana his in morbis utuntur, dicam autem paulo

σόμενοι) τούτοις μὲν οὐδεμιᾷ ἡμέρᾳ κενεαγγητέον ἐστὶν, ὡς ἔπος εἰρῆσθαι, εἰ μή τι δέοι διὰ φαρμακίην ἢ κλύσιν διαλιπεῖν. τούτοις οὖν καὶ δὶς διδοὺς, ἂν δέηση, καλῶς πράξεις καὶ πλῆθος ὅσον ἂν ἡ τοῦ σώματος δύναμις φέρη· ὑφηγήσομαι δέ σοι σκοποὺς, πρὸς οὓς ἀποβλέπων ἢ διὰ γαστρὸς ἢ διὰ φλεβὸς αὐτοὺς κενώσεις ἢ πυρίαις ἢ καταπλάσμασι χρήσῃ. ταῦτ' εἴπερ οὕτω προεῖπεν, εἶθ' ἕκαστον αὐτῶν ἐφεξῆς ἀναλαμβάνων κατὰ τὴν προσήκουσαν τάξιν ἡρμήνευσεν, οὐκ ἀσαφὴς ὁ λόγος ἐγεγόνει· νυνὶ δὲ τὸ παρεμπῖπτον ἀεὶ τελέως διεξέρχεσθαι προαιρούμενος, [19] ἄχρι πολλοῦ τὸν λόγον αἰωρούμενον ἐάσας εἰκότως ἐποίησεν ἀσαφῆ· μαθήσῃ δὲ ἀληθεύοντα, τὰς κατὰ μέρος ῥήσεις ἁπάσας εὑρίσκων σαφεῖς, τὸν δ' ὅλον λόγον ἀσυνάρτητόν τε καὶ διὰ τοῦτο ἀσαφῆ.

ιθ'.

Καὶ τοῖσι μέν γε εἰθισμένοισι δὶς σιτέεσθαι τῆς ἡμέρης.

post qui fint qui ea utantur, iis nullo die vafa, ut vebro dicam, evacuanda funt, nifi aut propter purgationem aut clyfterem intermittendum fuerit. His ergo fi bis dederis, fi opus habuerint, probe facies et copiam quandocunque ferant vires corporis, fcopos autem tibi fum explicaturus, ad quos refpiciens aut per alvum aut per venas ipfos evacuabis aut fotibus aut cataplafmatis uteris. Haec fi ita praedixiffet, deinde unumquodque ipforum ferie refumens, idoneo interpretatus effet ordine, non obfcura fuiffet ejus oratio. Nunc autem quod intercidit, femper adusque finem examinare praeoptans, ubi diutius fufpenfam orationem effe permifit, jure obfcuram fecit. At me vera loqui difces, fi fingulas omnes dictiones dilucidas inveneris, totam vero orationem incompofitam et ob id obfcuram.

XIX.

Atque bis die cibum fumere confuetis, bis ptifana *danda*

δὶς δοτέον, τοῖσι δὲ μονοσιτέειν εἰθισμένοισιν ἅπαξ δοτέον τὴν πρώτην, ἐκ προσαγωγῆς δὲ ἢν ἐνδέχηται, καὶ τουτέοισι δὶς διδόναι ἤν τι δοκέῃ προσδεῖν.

Δὶς αὐτοὺς σιτεῖσθαί φησιν, εἴπερ οὕτως εἰθισμένοι εἰσὶ διαιτᾶσθαι· χρείας δὲ οὔσης δὶς λαμβάνειν καὶ τοῖς ἅπαξ εἰθισμένοις ἐσθίειν, δὶς δώσεις τὴν πτισάνην, ἀρξάμενος μὲν ἀπὸ τοῦ ἅπαξ, κατὰ βραχὺ δὲ προελθὼν ἐπὶ τὸ δίς· τὸ γὰρ ἐκ προσαγωγῆς τοῦτο δηλοῖ καὶ γίνεται τὸν τρόπον τοῦτον· ἅπαξ μὲν δώσεις αὐτάρκες, ἐλάχιστον δὲ τὸ κατὰ τὴν ἑτέραν δόσιν, εἶτα παραυξήσεις κατὰ βραχὺ καὶ τοῦτο μέχρις ἂν εἰς ἴσον ἀμφοτέρας τὰς τροφὰς καταστήσῃς. ἡ δὲ τοῦ λόγου πίστις οὔπω σαφής ἐστι τῷ τὸ βιβλίον ἀναγινώσκοντι τοῦ Ἱπποκράτους, διὰ τὸ μὴ προδεδηλῶσθαι παρ' αὐτοῦ τίνες εἰσὶν οἱ πτισάνῃ χρώμενοι συμφερόντως. ἀλλ' ἐγὼ προειρηκὼς τοὺς μετρίως νοσοῦντας οὕτως ὑπ' αὐτοῦ διαιτᾶσθαι δείξω μικρὸν ὕστερον καὶ αὐτὸν τὸν Ἱπποκράτην τοῦτο βουλόμενον. αὕτη μέν σοι τῆς προ-

est; semel vero cibum capere solitis, semel primo die exhibenda, si paulatim ex additione admittant, his etiam bis danda, si quid adjiciendum videatur.

Bis ipsos cibandos esse pronunciat, si ita vivere consueverint. Quum vero necessitas fuerit etiam semel edere consuetis bis assumendi cibum, bis ptisanam dabis, a *semel* quidem auspicatus, sed paulatim ad *bis* ipsum progressus, nam ex additione sensim id declarat, fitque res hoc pacto. Semel quidem dabis quod satis sit, sed minimum sit quod secundo exhibeas, deinde paulatim augebis, idque efficies, donec ambas alimonias ad aequalitatem reduxeris. Sed nondum orationis fides huic patet, qui hunc Hippocratis librum praelegit, quod neque ab ipso praemonstratum est qui sint qui utiliter ptisana utantur. Ego vero quum paulo superius mediocriter aegrotantes ab ipso ita cibari praedixerim, paulo post et Hippocratem ipsum id velle demonstrabo. Atque haec tibi sit praesen-

κειμένης ῥήσεως ἡ ἐξήγησις· οἱ πλείους δὲ γράφουσιν αὐτὴν κατὰ τήνδε τὴν λέξιν· τοῖσι δὲ μονοσιτέειν εἰθισμένοισιν ἅπαξ δοτέον, τὴν πρώτην ἐκ προσαγωγῆς· ἢν δ' ἐνδέχηται, καὶ τουτέοισι δὶς διδόναι, εἰ δοκέει προσδεῖν. ἀλλ' οὐκ ἔχει νοῦν ἡ λέξις αὕτη· τὸ (46) γὰρ τὴν πρώτην ἐκ προσαγωγῆς ἀδύνατόν ἐστι γενέσθαι, τοῦ ἐν προσαγωγαῖς ἐν πλείοσι προσφοραῖς γίνεσθαι πεφυκότος, οὐχ ἅπαξ οὐδὲ εὐθέως ἐν τῇ πρώτῃ.

κ'.

Πλῆθος δ' ἀρκέει κατ' ἀρχὰς διδόναι μὴ πουλὺ, μηδὲ ὑπέρπαχυ, ἀλλ' ὁκόσον ἕνεκα τοῦ ἔθεος εἰσιέναι τι καὶ κενεαγγείην μὴ γίνεσθαι πολλήν.

Ὅσοι τοὺς νοσοῦντας ἐμπιπλάναι φασὶν Ἱπποκράτην, διὰ τὸ καθ' ἑκάστην ἡμέραν τοῖς ἀκινδύνως διάγουσι δὶς διδόναι τῆς πτισάνης, εἰ προσέσχον τῷ κατὰ τήνδε τὴν

tis hujus dictionis explicatio. At plures ipſam hac dictione ſcribunt: *ſemel vero cibum capere ſolitis, ſemel primo die exhibenda, ſi paulatim ex additione admittant, his etiam bis danda, ſiquid adjiciendum videatur.* Verum ſenſum non habet ipſa dictio. Quod enim primo detur die paulatim, id fieri non poteſt, quum ſenſim per additiones pluribus ingeſtionibus id fieri conſueverit, non ſemel neque ſtatim in prima.

XX.

Verum per initia copiam dare ſufficiat non multam, neque ultra modum craſſam, ſed quantum pro conſuetudine quicquam ingerere convenit et ne multa vaſorum inanitio oboriatur.

Qui morbo laborantes implere proferunt Hippocratem, quod his citra periculum degentibus bis quotidie ptiſanam dare jubeat, ſi quod in textu pronunciavit ani-

φῆσιν εἴρηκε, κατέγνωσαν ἂν ἑαυτῶν· τοσοῦτον γὰρ ἀξιοῖ δίδοσθαι τοῦ ῥοφήματος, ὅσον ἕνεκα τοῦ ἔθους εἰσιέναι τροφὴν τῷ σώματι καὶ μὴ πολλὴν γίνεσθαι τὴν κένωσιν. ἐὰν οὖν συγχωρήσωσιν ὀξύβαφον πτισάνης δὶς ἑκάστης ἡμέρας διδόμενον ἄχρι τῆς ἑβδόμης ἢ τῆς ἐνάτης, ἐλάττονα δύναμιν ἔχειν, ἧς αὐτοὶ τρέφουσιν ἅπαξ τροφῆς, ἡγοῦμαι παύσασθαι φλυαρεῖν αὐτούς. ἀλλὰ τοῦ- [20] τό γε μικρὸν ἂν ὕστερον δείξω· νῦν δὲ ἐξηγήσομαι τὸ κατ' ἀρχάς. οὐ τοῦτο γάρ φησιν, ὅτι κατ' ἀρχὴν τοῦ νοσήματος, ἀλλ' ἔτι γενικώτερον ἄκουε σημαινόμενον ἐκ τοῦ κατ' ἀρχάς· ὁπόταν γὰρ ἄν σοι δόξῃ πρῶτον ὁ κάμνων δεῖσθαι τῆς πτισάνης, τηνικαῦτα μὴ πολὺ μηδὲ ὑπέρπαχυ δίδου παραχρῆμα· φυλάττεται γὰρ ὁ Ἱπποκράτης τὸ κατὰ πολὺ καὶ ἐξαπίνης πληροῦν ἢ κενοῦν.

κα'.

Περὶ δὲ τῆς ἐπιδόσιος ἐς πλῆθος τοῦ ῥοφήματος, ἢν μὲν

madverterent, seipsos damnarent. Tantum enim sorbitionis adhiberi praecipit, quantum alimenti corpori et consuetudinis gratia et ne multa fiat vacuatio conveniat. Si igitur concesserint ptisanae acetabulum, quod quotidie ad septimum usque vel nonum diem exhibetur, minorem habere facultatem, quam id, quo semel ipsi cibant, nutrimentum, ii mea sententia nugari desinent. Verum et id paulo post sum demonstraturus. At nunc *verbum* hoc *per initia* explicabo. Non enim morbi principium id significat, sed etiamnum generalius ex dictione *per initia* significari percipe. Nam quum qui aegrotat, ptisana primum egere tibi videbitur, tum neque multam, neque admodum crassam quamprimum dato; a multa namque ac subitanea tum repletione tum vacuatione cavet Hippocrates.

XXI.

De sorbitionis autem ad copiam incremento, si siccior qui-

ξηρότερον ἢ τὸ νούσημα ἢ ὡς ἄν τις οἴοιτο, οὐ χρὴ ἐπιπλέον διδόναι, ἀλλὰ προπίνειν πρὸ τοῦ ῥοφήματος ἢ μελίκρατον ἢ οἶνον, ὁκότερον ἂν ἁρμόζῃ· τὸ δ' ἁρμόζον ἐφ' ἑκάστοισι τῶν τρόπων εἰρήσεται.

Ξηρότερον νόσημα πολυειδῶς γνωρίζεται, καίτοι τόν γε καθόλου καὶ κοινὸν λόγον ἔχον τὸν αὐτόν· ἡ μὲν περιπνευμονία καὶ ἡ πλευρῖτις καὶ ὅλως τὰ κατὰ τὸν πνεύμονα καὶ τὴν τραχεῖαν ἀρτηρίαν, ὅταν μηδὲν ἀπὸ τῶν πεπονθότων μορίων ἀποπτύηται· ἧπαρ δὲ προπεπονθὸς ἢ μεσάραιον ἢ τι τῶν κατὰ κοιλίαν ἢ νῆστιν ἢ ἔντερον ἢ σπλῆνα ἢ γαστρὸς ἐπεχομένης τελέως, ἢ πρὸς ἀνάγκην ἐκκρινούσης σκληρὰ καὶ ξηρὰ καὶ σπυραθώδη περιττώματα· τὰ δὲ κατὰ τὰς ἀρτηρίας καὶ τὰς φλέβας ξηρὰ νοσήματα γνωρίζεται τῇ τε τῆς γλώττης ξηρότητι καὶ τῷ τοῦ παντὸς σώματος αὐχμῷ. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπὶ τοῖς ἔξω καὶ προφανῶς ὁρωμένοις ἕλκεσιν αἱ φλεγμοναὶ γίγνονται ξηραὶ, μηδενὸς ἐξ αὐτῶν ἰχῶρος χωροῦντος. καὶ τῶν ὀφθαλμῶν δὲ πολλάκις

dem fuerit morbus quam quis existimaverit, non copiosius dare oportet, sed ante sorbitionem mulsam aut vinum, utruncunque magis congruat, propinare, quod autem singulis in modis congruat, pronunciabitur.

Morbus siccior variis modis dignoscitur, etiamsi universalem communemque rationem habeat eandem. Peripneumonia quidem et pleuritis atque omnino qui tum pulmoni tum asperae arteriae insident *morbi*, quum nihil ab affectis partibus expuitur. Jecur autem prius male affectum *proditur*, vel mesaraeum, vel aliqua pars ventris, vel jejuni, vel intestinorum, vel lienis, quum alvus plane supprimitur, aut pro necessitate excernit tum sicca, tum dura ac pilulata excrementa. Morbi sicci tum arteriarum, tum venarum dignoscuntur et linguae siccitate et totius corporis ariditate. Phlegmonae pari modo fiunt siccae in iis quae tum foris tum aperte conspiciuntur ulceribus, nulla sanie ex ipsis manante. Saepe vero et

φλεγμοναὶ ξηραὶ συνίστανται, μηδὲν ἐκκρίνουσαι· καὶ τὰ κατὰ τὸν ἐγκέφαλον ὡσαύτως πάθη μήτε διὰ ῥινῶν μήτε δι' ὑπερῴας ἐκκαθαιρόμενα ξηρὰ προσηκόντως ἂν λέγοιντο. καὶ τοῦτ' οὖν ἴσθι ἁπάντων τῶν ξηρῶν νοσημάτων ὑπάρχον γνώρισμα, τὸ μηδὲν ἐκκρίνεσθαι τῶν περιττωμάτων. προσηκόντως οὖν ὁ Ἱπποκράτης ἐπ' αὐτῶν πρὸ τῆς πτισάνης ἀξιοῖ λαμβάνεσθαί τι τῶν ὑγραινόντων, ἤτοι μελίκρατον ἢ οἶνον, ὡς μᾶλλον τούτων ὕδατος ὑγραινόντων· ἐπεὶ δὲ ἐπαγγέλλεται περὶ τῆς δυνάμεως αὐτῶν ἐρεῖν, ἀναβεβλήσθω καὶ ἡμῖν ἡ πρὸς ὕδωρ αὐτῶν παραβολὴ, γενησομένη κατ' ἐκεῖνο τὸ μέρος τοῦ συγγράμματος, ἐν ᾧ διδάσκει τὰς δυνάμεις αὐτῶν.

κβ'.

Ἢν δ' ὑγραίνηται τὸ στόμα καὶ τὰ ἀπὸ τοῦ πνεύμονος εἴη ὁκοῖα δεῖ, ἐπιδιδόναι χρὴ ἐς πλῆθος τοῦ ῥοφήματος, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι. τὰ μὲν γὰρ θᾶσσον καὶ μᾶλλον

oculis phlegmonae ficcae oriuntur, quae nihil excernunt. Cerebri fimiliter morbi, qui neque per nares, neque per palatum expurgantur, jure quoque ficci dicantur. Et fane nihil excrementorum excernere, fcito hoc conftans effe ficcorum omnium morborum indicium. Merito igitur Hippocrates in his humectantium aliquid ante ptifanam affumi jubet, vel aquam mulfam, vel vinum, quod haec quam aqua magis humectent. Sed quoniam de ipforum facultatibus fe dicturum pollicetur, ob id et nos eorum quae ad aquam eft comparationem in eam differemus libri partem, in qua eorum facultates edocet.

XXII.

Quod fi os humefcat et quae a pulmone prodeunt qualia decent, talia *extiterint, forbitionis copiam, ut in fumma dicam, adjicere oportet. Nam quae celerius magisque*

πλαδῶντα, ταχυτῆτα σημαίνει κρίσιος, τὰ δὲ βραδύτερον καὶ ἧττον βραδυτέρην σημαίνει τὴν κρίσιν.

---

[21] Ἀπὸ τοῦ γένους τῶν ξηρῶν νοσημάτων ἐπὶ τἀναντία μεταβὰς, εἶθ᾽ ἑνὸς μνημονεύσας ἄνευ τοῦ προσθεῖναι πάντα, παράδειγμα κοινὸν γενέσθαι τὸν ἑαυτοῦ λόγον ἁπάντων ὁμογενῶν οἰηθεὶς, εἰκότως ἀσάφειαν εἰργάσατο. τὸ γὰρ ὑγραίνεσθαι τὸ στόμα καὶ τὰ ἀπὸ τοῦ πνεύμονος ἀναπτύεσθαι νοσήματος οὐχ ἁπλῶς ἐστιν ὑγροῦ γνωρίσματα παντὸς ἐν παντὶ μορίῳ τοῦ σώματος, ἀλλὰ μετὰ τοῦ πεπονθέναι τι τῶν ἀναπνευστικῶν ὀργάνων διὰ τοῦθ᾽, ὡς ἔφην, ἀσαφὴς ὁ λόγος ἐγένετο· τό γε μὴν εἰρημένον αὐτῷ παντὸς μᾶλλον ἀληθέστερόν ἐστιν, ὡς τὰ μὲν ἐκκαθαιρόμενα διὰ τῶν πτυσμάτων οἵων χρὴ πτυομένων ταχέως κρίνεται, τὰ δ᾽ ἐναντία δυοῖν θάτερον, ἢ εἰς ὄλεθρον ἢ εἰς μῆκος χρόνου τελευτᾷ. διδόναι οὖν χρὴ τοῖς καλῶς ἐκκαθαιρομένοις πτισάνης, ἕνεκα τοῦ ῥωσθῆναι τὴν δύναμιν καὶ ἐξαρκεῖν ταῖς διὰ τῶν βηχῶν γιγνομέναις ἀναπτύσεσι τῶν ἐκ

madescunt, celeriorem crisin denunciant, quae vero tardius et minus, tardiorem judicationem significant.

A morborum siccorum genere ad contrarios digressus, deinde memorato citra omnium adjectionem uno, narrationem ejus commune omnium ejusdem generis exemplum productum esse arbitratus, non citra rationem obscuritatem fecit. Nam os madescere et a pulmone talia expui, qualia decet, morbi non simpliciter humidi omnis in omni corporis parte signa sunt, sed cum cujusdam spirabilium organorum affectione. Ob id, ut dixi, oratio obscura est reddita. Sed certe quod ab eo enunciatur, verius omnino est, quod quae per sputa, qualia expui oportet, expurgantur, celeriter judicentur. Contraria vero duorum alterum *subeunt*, aut in perniciem, aut in temporis diuturnitatem finiuntur. Ergo qui probe expurgantur, his ptisanam dare oportet, ut roboratae vires, iis quae per tusses ex pulmone fiunt, humidorum expuitioni-

Ed. Chart. XI. [21.] Galen. V. (46.)

τοῦ πνεύμονος ὑγρῶν· τὸ γὰρ ὁκοῖα δεῖ τὰ τῆς πέψεώς ἐστιν. ἔχοντα γνωρίσματα, περὶ ὧν τελεώτατα εἰρήκαμεν ἔν τε τοῖς περὶ κρίσεων καὶ περὶ τῶν ἐν ταῖς νόσοις καιρῶν, οἷον ἔτι δὲ ἐν ἐξηγήσει τοῦ ἀφορισμοῦ, ἔνθα διδάσκων ὁ Ἱπποκράτης ὅπως χρὴ διὰ τῶν ἐπιφαινομένων τὰς προγνώσεις ποιεῖσθαι, παράδειγμα τοῦ λόγου τὴν πλευρῖτιν ἔγραψεν, ὧδέ πως εἰπών· οἷον ἐν πλευριτικοῖσι πτύελον, ἢν μὲν αὐτίκα ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει, ἢν δ' ὕστερον ἐπιφαίνηται μηκύνει.

κγ'.

Καὶ ταῦτα μὲν καθ' ἑαυτὰ τοιάδε τὸ ἐπίπαν ἐστί· πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα παρεῖται, οἷσι προσημαίνεσθαι δεῖ, ἃ εἰρήσεται ὕστερον.

Εἶπον κἀγὼ λείπειν τῷ λόγῳ τῶν χρησίμων εἰς διορισμὸν οὐκ ὀλίγα, περὶ ὧν καὶ αὐτὸς ἐρεῖν ἐπαγγέλλεται·

bus sufficiant. Nam haec verba: *qualia esse oportet*, sunt ea quae coctionis signa prae se ferunt, de quibus absolute tum in libris de crisibus, tum in libris de morborum temporibus diximus, praeterea et in explicatione aphorismi illius, ubi Hippocrates quonam oporteat modo ex apparentibus praenotiones facere docens, orationis exemplum pleuritidem scripsit hoc pacto: *Quale in pleuriticis sputum, si statim oboriente morbo appareat, brevem morbum, si vero posterius appareat, longum fore denunciat.*

XXIII.

Atque haec quidem per se talia prorsus existunt. Sed multa quoque alia peropportuna, ex quibus signa elicienda sunt, praetermittuntur, quae postea dicentur.

Nos quoque huic orationi deesse non pauca ad distinctionem definitionemque utilia diximus, de quibus et ipse se acturum pollicetur. Nunc vero de his solum vult

νυνὶ δὲ ἀξιοῖ περὶ τῶν εἰρημένων ἀκούειν μόνον, αὐτὰ γὰρ καθ' ἑαυτὰ τοιαῦτά ἐστιν, ὁποῖα διῆλθεν αὐτός.

κδ'.

Καὶ ὁκόσῳ ἂν πλείων ἡ κάθαρσις γίγνηται, τοσῷδε χρὴ πλεῖον ἐπιδιδόναι μέχρι κρίσιος· μάλιστα δὲ κρίσιος ὑπερβολῆς δύο ἡμερέων, οἷσί γε ἢ πεμπταίοισιν ἢ ἑβδομαίοισιν ἢ ἐναταίοισι δοκέει κρίνεσθαι, ὡς καὶ τὸ ἄρτιον καὶ τὸ περιττὸν προμηθὲς ᾖ. μετὰ δὲ τοῦτο τῷ μὲν ῥοφήματι ἐς τὸ πρωῒ χρηστέον, ἐς ὀψὲ δὲ ἐς σιτία μεταβάλλειν.

[22] Κρίσιν νῦν εἴρηκεν ἤτοι τὴν τελείαν λύσιν τοῦ νοσήματος, ἤτοι τὴν εἰς τοσοῦτον ἀξιόλογον μεταβολὴν, ὡς ἤδη κινδύνου παντὸς ἐκτὸς καθεστηκέναι· ἐπιμετρεῖν δὲ ἀξιοῖ τῇ κρίσει δύο ἡμέρας, ἵνα καὶ τὰς ἐν ἀρτίαις καὶ ταῖς (47) περισσαῖς ἡμέραις περιόδους τῶν παροξυσμῶν φυλαξώμεθα· συμβαίνει γὰρ ἐνίοτε, θαρσύνοντας, ὡς λελυμέ-

intelligi, quae pronunciata ſunt. Ea namque per ſe talia ſunt, qualia ipſe diſſeruit.

XXIV.

Et quo purgatio copioſior fuerit, eo majorem copiam ad judicationem usque adjicere oportet, ſed maxime duobus ab judicatione diebus, quibus ſane aut quinto aut ſeptimo aut nono die incidere videatur judicatio, quo dierum tum par tum impar ſpectandum ſit. Poſtea vero ſorbitione mane utendum eſt, veſpere vero ad cibaria transeundum.

Criſin nunc pronunciavit vel perfectam morbi ſolutionem, vel permutationem adeo inſignem, ut jam aeger extra periculum omne tutus evaſerit. Duos autem criſi admetiri dies imperat, ut et in diebus tum paribus, tum imparibus acceſſionum circuitus obſervemus. Accidit enim interdum ut tanquam ſoluto prorſus morbo aegri confi-

νου τοῦ νοσήματος ἀκριβῶς, εἶτα διαιτηθέντας ἀμελέστερον, ἀφορμὴν ἀναμνήσεως τοῦ κατὰ περίοδον γιγνομένου παροξυσμοῦ παρασχεῖν. ἀσφαλὲς γοῦν ἐστι, κἂν ἤδη δοκῇ κεκρίσθαι τὸ νόσημα, φυλάττειν ἄχρι δυοῖν ἡμερῶν τὴν ἀκρίβειαν τῆς διαίτης, ᾗ χρώμενος ὁ κάμνων ἦν, κἂν ἤδη δοκῇ κεκρίσθαι τὸν κάμνοντα· παρελθουσῶν δὲ τῶν μετὰ τὴν κρίσιν δυοῖν ἡμερῶν ἤδη ἀσφαλὲς διαιτᾷν ἀδρότερον, οὐδὲ τότε τὴν μεταβολὴν ἀθρόως ποιουμένους, ἀλλ' ἕωθεν μὲν τῷ ῥοφήματι χρωμένους, ὕστερον δὲ προϊούσης τῆς ἡμέρας ἤδη καὶ σιτώδη τροφὴν προσφέροντας. εὔδηλος οὖν ἐστι μήτ' ἄλλο τι διδοὺς τοῖς κάμνουσι πρὸ τῆς εἰρημένης ἄρτι προθεσμίας μήτ' ἄρτον, ἀλλὰ πτισάνῃ διὰ παντὸς ἀρκούμενος, ὅπερ οὐκ ἔστιν ἐμπιπλάντος, ἀλλὰ μᾶλλον, ἐγκαλεῖν εἴ τις βούλοιτο, λεπτότερον ἢ προσήκει διαιτῶντος. ἀλλ' οὔτε λεπτότερον οὔθ' ἀδρότερόν ἐστι τοῦ προσήκοντος οὕτω διαιτᾷν, ἀλλ' ἀκριβῶς τὸ μέσον τῶν ὑπερβολῶν καὶ ἄριστον· ἀπόδειξις δὲ τοῦ μέσον ὑπάρχειν αὐτὸ καὶ ἡ τῶν ἐγκαλούντων τἀναντία φιλονεικία· τούτων γὰρ οἱ μὲν περὶ τὸν Θεσ-

dant, cibentur deinde negligentius et ejus quae per circuitum repetit accessionis occasionem praebeant. Tutum igitur est, etiamsi morbus jam videatur judicatus, ad duos usque dies accuratam victus rationem, qua aeger usus fuit, servare, etiamsi jam judicatus esse videatur aeger. Transactis autem a judicatione diebus duobus, jam securum est plenius cibare, ut ne tunc quidem mutationem confertim efficiamus, sed mane quidem sorbitionem demus, postea vero progrediente die jam et frumentacea exhibeamus alimenta. Constat igitur *Hippocratem* aegrotantibus neque aliud quippiam ante praefinitum tempus nuper dictum dare, neque panem, sed ptisana omnino esse contentum, quod aegrum replentis non est, sed potius, si quis vitio vertere voluerit, tenuius quam deceat cibantis. Verum ita cibare neque tenuius justo est, neque plenius quam deceat, sed exuperantium exacte est medium ac optimum. Quod autem id sit medium, demonstrat et contraria increpantium contentio. Ex iis enim

σαλὸν ἐγκαλοῦσιν ὡς ἐμπιπλῶντι τοὺς κάμνοντας, οἱ δὲ περὶ τὸν Ἐρασίστρατον ὡς λιμαγχονοῦντι τῷ Ἱπποκράτει. τὰ γὰρ εἰς Ἀπολλώνιον καὶ Δέξιππον τοὺς Ἱπποκράτους μαθητὰς εἰρημένα κατὰ τὸ πρῶτον περὶ πυρετῶν Ἐρασιστράτῳ τὴν διαβολὴν τῆς λιμαγχονίας εἰς Ἱπποκράτην τὸν διδάσκαλον ἀναφερομένην ἔχει. τούτοις οὖν μᾶλλόν ἐστι συγχωρητέον, ὡς εἰκότα λέγουσι· τοὺς δ' ἐμπιπλάναι φάσκοντας αὐτὸν ἀξίους εἶναι Θεσσαλοῦ νομιστέον, ἄνδρας οὔτ' ἄλλο τι τῶν Ἱπποκράτους γνόντας οὔτε τὰ περὶ διαίτης εἰρημένα.

κε'.

Συμφέρει δὲ τὰ τοιάδε ὡς ἐπιτοπολὺ τοῖσιν ὅλῃσι πτισάνῃσιν αὐτίκα χρεομένοισιν.

Ἐάν τε ὅλας ἐάν τε κριθώδεις ἐάν τε ἁπλῶς πτισάνας εἴπῃ, ἓν καὶ ταὐτὸν ἐκ τῶν τριῶν σημαίνεται λέξεων, τὰς

Thessalus tanquam aegros replentem accusat Hippocratem, Erasistratus vero tanquam fame necantem Hippocratem accusat. Nam quae ab Erasistrato in primo de febribus adversus Appollonium Dexippumque Hippocratis discipulos dicuntur, calumniam habent enecantis inediae, quae ad Hippocratem praeceptorem refertur. His itaque magis concedendum, ut qui verisimilia dicant, illos vero, qui Hippocratem aegros replere ajunt, viros Thessalo dignos esse est existimandum, qui neque aliud quicquam scriptorum Hippocratis, neque quae de victus ratione proferuntur, noverunt.

XXV.

Haec autem plerumque iis conferunt, qui statim integra ptisana utuntur.

Sive totam sive hordeaceam sive ptisanam simpliciter dixerit, unum et idem ex tribus his dictionibus significa-

ἀδιηθήτους πτισάνας δηλοῦντος. μετὰ γὰρ τὴν ἕψησιν ἐάν τις αὐτὰς διηθήσας, ἔπειτ' ἰδίᾳ τὸν χυλὸν ἀποκρίνας, ἐκεῖνον διδῷ, οὐθ' ὅλαις πτισάναις οὔτε κριθώδεσι πτισάναις οὔτε ἁπλῶς εἰρημέναις πτισάναις ὁ τοιοῦτος λεχθήσεται χρῆσθαι, χυλῷ δὲ μόνον πτισάνης. πάλιν δὲ καὶ νῦν ἀναμνήσω, τίνες εἰσὶν οἱ πτισάναις ὅλαις ἐξ ἀρχῆς δεόμενοι χρῆσθαι σύντομος δὲ ἡ ἀνάμνησις, εἰ μὴ παντάπασιν ἀργῶς ἤκουσας τῶν προειρημένων, ὅτι τῶν ἀναπτυομένων χρηστῶν ὄντων, ἐὰν μήτε φαρμακείας μήτε κλύσματος ὁ κάμνων φαίνηται δεόμενος, ἐπὶ πτισάνης αὐτὸν ἀξιοῖ διαι- [23] τᾶσθαι· καὶ τὸν λογισμὸν δὲ τῆς συμβουλῆς αὐτὸς προσέθηκεν εἰπών·

κστ'.

Αἵ τε γὰρ ὀδύναι ἐν τοῖσι πλευριτικοῖσιν αὐτίκα παύονται αὐτόματοι, ὅταν ἄρξωνται πτύειν τι ἄξιον λόγου καὶ ἐκκαθαίρεσθαι. αἵ τε γὰρ καθάρσιες πολλῷ τελεώτεραί εἰσι καὶ ἔμπυοι ἧσσον γίνονται ἢ εἰ ἀλλοίως τις διαιτῴη,

tur, ptiſanam unoquoque non colatam ſignificante. Nam a decoctione ſi quis ipſam colaverit, deinde per ſe cremorem ſeparaverit illumque dederit, is neque tota ptiſana, neque hordeacea ptiſana, neque ſimpliciter dicta uti ptiſana dicetur, ſed ſolo ptiſanae cremore. Rurſus autem et nunc commemorabo qui ſint qui ptiſana tota ab initio uti debent; conciſa vero erit commemoratio, niſi deſidioſe praedicta prorſus audieris, quod ſi quae expuuntur utilia ſint, aeger neque medicamento neque clyſtere egere videatur, ptiſana hunc cibare jubet. Atque rationem conſilii ipſe adjecit inquiens:

XXVI.

Dolores etenim in pleuriticis ſtatim ſponte deſinunt, quum aliquid effatu dignum tum expuere tum expurgari coeperint. Etenim purgationes longe perfectiores ſunt minusque purulenti fiunt quam ſi quis aliter victum in-

καὶ αἱ κρίσεις ἁπλούστεραι καὶ εὐκριτώτεραι καὶ ἧσσον ὑποστροφώδεες.

Γίνεται δὲ ταῦτα πάντα καλῶς ὑπὸ τῆς πτισάνης, διὰ τὸ ὑγραίνεσθαι καὶ τέμνεσθαι μετρίως τὰ δεόμενα τῆς ἀναπτύσεως ὑγρὰ καὶ διὰ τὸ τὴν δύναμιν ῥώννυσθαι· συνελθόντων γὰρ ἀμφοτέρων ἐκκαθαίρονται ταχέως τῶν ἀναπνευστικῶν ὀργάνων οἱ μοχθηροὶ χυμοί· ὧν τὸ μὲν ὑγραίνειν τε καὶ τέμνειν ὑπάρχει καὶ τῷ μελικράτῳ, ὁμοίως δὲ τῇ πτισάνῃ ῥωννύναι τὴν δύναμιν οὐχ ὑπάρχει· τἀναντία δ' ἄρτῳ τε καὶ χόνδρῳ, τῷ ῥωννύναι τὴν δύναμιν ἔχοντι, τὸ ὑγραίνειν καὶ τὸ τέμνειν οὐχ ὑπάρχει, καθάπερ οὐδὲ ἄλλῳ τινὶ τῶν εἰθισμένων δίδοσθαι τοῖς ἀῤῥώστοις ὑπὸ τῶν νῦν ἰατρῶν, οἷον ὠῶν καὶ ὄρχεων ἀλεκτρυόνων καὶ πτερῶν ἰχθύων τε καὶ περιστερῶν νεογνῶν, ὅσα τε ἄλλα τοιαῦτα. καὶ ὁ τὴν φακὴν διδοὺς ἰατρὸς ἐσκευασμένην δι' ὄξους ἐπὶ πλευριτικοῦ τελέως ἤδη παρηκμακότος, ὡς μηδενὸς ἄλλου δεῖσθαι ἢ ἀναπτύσεως τῶν πεπεμμένων, εἰκότως ἔδοξεν αἴτιος

ſtituat et judicationes ſimpliciores et melius judicantes ac minus redeuntes.

Probe autem haec omnia a ptiſana oboriuntur, tum quod humectet moderateque incidat quae expui debent humida, tum quod vires roboret. Concurrentibus enim utrisque continuo expurgantur ſpirabilium organorum vitioſi humores, quos quidem et humectare et incidere poteſt ptiſanae modo aqua mulſa, ſed vires roborare non poteſt. Contraria autem eſt facultas tum pani tum chondro, quod hi vires quidem roborent, non autem humectent, neque incidant, quemadmodum neque alteri cuipiam ineſt eorum', quae hodierni medici aegrotis dare conſueverunt, verbi gratia ovis, gallorum teſticulis, alis, piſcibus, junioribus columbis et quaecunque id genus ſunt caetera. Qui vero medicus lenticulam ex aceto confectam pleuritico morbo prorſus jam declinato, ut nihil aliud quam coctorum expuitionem deſideraret, exhibuit,

γενέσθαι θανάτου τῷ κάμνοντι, πνιγέντι διὰ τῆς ἐπομένης νυκτός. ἀλλὰ φακὴν οὐδ' ἄν τις δοίη τῶν ἐχόντων νοῦν· ἀπεστραμμένου δὲ μελίκρατον καὶ πτισάνην τοῦ κάμνοντος οἱ πετραῖοι τῶν ἰχθύων ἐπιτηδειότατοι, σκευαζόμενοι δι' ὕδατος καὶ πρασίου καὶ ἀνήθου καὶ ἁλῶν ἐλαίου τε συμμέτρου, τῶν δὲ μὴ πετραίων οἱ ὀνίσκοι. προδιδόναι δ' αὐτῷ ὀξύμελι, κακοστόμαχον γὰρ οὐδὲν ἔχει τοῦτο, πλὴν εἰ πεπονθότων ἐπί τινος ἀῤῥώστου τῶν νεύρων καὶ τῆς μήτρας ἐπὶ γυναικός. ἀντ' αὐτοῦ δ' εἰ βούλοιο τῶν ἄλλων τι διδόναι φαρμάκων, οἷόν ἐστι τὸ διὰ πρασίου τε καὶ ἴρεως· καὶ αὐτὴ μέν γε καθ' ἑαυτὴν ἅμα μελικράτῳ πινομένη πέττει καλῶς τὰ κατὰ τὸν θώρακα καὶ πνεύμονα περιττώματα καὶ πρὸς τὰς ἀναπτύσεις παρασκευάζει.

κζ'.

Τὰς δὲ πτισάνας χρὴ ἐκ βελτίστων τέως κριθέων εἶναι καὶ ὡς βέλτιστα ἡψῆσθαι καὶ ἄλλως ἢν μὴ τῷ χυλῷ μούνῳ μέλλῃς χρέεσθαι.

is merito aegrotanti ipsi, qui sequenti nocte suffocatus est, mortis causa fuisse est visus. Verum lenticulam nemo mente praeditus dederit. Quod si aeger aquam mulsam ptisanamque fastidierit, pisces saxatiles sunt maxime idonei, ex aqua et marrubio et anetho et sale et modico oleo parati, atque ex non saxatilibus aselli. Sed antea oxymel propinare oportet, nihil enim id habet quod stomacho noceat, nisi affectis in aegroto aliquo nervis et in muliere utero. Quod si pro eo medicamentum aliud dare volueris, *dabis* eam, quae ex marrubio et iride fit, confectionem. Nam haec etiam, si per se cum mulsa bibatur, maturat probe, quae tum in thorace, tum in pulmone sunt excrementa atque ad expuitiones praeparat.

XXVII.

At ptisanam interea ex optimo confici hordeo et quam optime coctam esse oportet, ac praesertim si non solo cremore uti debeas.

Βέλτισται κριθαὶ πρὸ μὲν τῆς πείρας κριθήσονται διὰ μόνου τοῦ πλήρεις εἶναι καὶ μηδὲν ἔχειν ἐν ἑαυταῖς ῥυσσόν· αἱ δὲ τῇ πείρᾳ κεκριμέναι διὰ τῆς ἑψήσεως, [24] ὅταν ἐπιπλεῖστον ἀνοιδίσκωνται καὶ χυλὸν ποιῶσι πλεῖστον, ὅπερ δὴ καὶ βέβαιόν ἐστι τῆς ἀρετῆς αὐτῶν γνώρισμα· τὸ γὰρ ἀπὸ τῆς εὐτροφίας οὐκ ἐπιστημονικὸν οὐδὲ διὰ παντὸς ἀληθές, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ κατορθούμενον. ἀξιοῖ δὲ τὰς πτισάνας ἀεὶ μὲν εἶναι βελτίστας, μάλιστα δὲ ἐὰν μὴ μόνον τῷ χυλῷ χρῆσθαι μέλλωμεν, ἀλλὰ καὶ ὅλαις αὐταῖς· διὰ τί δὲ τοῦτο ἀξιοῖ σαφῶς αὐτὸς ἐδήλωσεν εἰπών·

κη'.

Μετὰ γὰρ τῆς ἄλλης ἀρετῆς τῆς πτισάνης τὸ ὀλισθηρὸν τὴν κριθὴν καταπινομένην ποιέει μὴ βλάπτειν· οὐδαμῇ γὰρ προσίσχεται οὐδὲ μένει κατὰ τὴν τοῦ θώρακος ἴξιν.

Ἴσμεν δ' ὅτι τὴν ἴξιν ὡς τὸ πολὺ μὲν τὴν εὐθυωρίαν,

Optimum hordeum, priusquam experiaris, ex eo solum quod et plenum sit et nihil rugosum in se habeat, judicabitur. Sed experientia judicatum per decoctionem deprehendetur, quum plurimum intumescat et cremorem faciat plurimum, quod certum ratumque virtutis ipsius est argumentum, nam quod a plenitudine sumitur, id scientificum non est, neque perpetuo verum, sed magna ex parte bene succedit. Ptisanam autem perpetuo optimam esse jubet, sed maxime si non solo uti cremore velimus, verum et ipsa tota. Quare autem id praecipiat, manifeste ipse declaravit, quum inquit:

XXVIII.

Nam cum aliis virtutibus ptisanae lubricitas efficit ut hordeum quum devoratur, minime laedat; nusquam enim adhaeret, neque secundum thoracis rectitudinem immoratur.

Scimus *Hippocratem* rectitudinem saepiuscule qui-

ἐνίοτε δὲ καὶ αὐτὴν λέγει τὴν φοράν. ἡ δὲ διὰ τοῦ θώρακος εὐθυωρία τε καὶ φορὰ τῆς καταπινομένης πτισάνης ἄχρι τῆς γαστρὸς, εὔδηλον ὅτι διὰ τοῦ στομάχου γίνεται· καὶ ἐν τούτῳ βούλεται μηδὲν αὐτῷ προσίσχειν. ἐν γὰρ τοῖς κατὰ θώρακα καὶ πνεύμονα πάθεσι θερμασίας οὔσης πολλῆς, προσισχόμενον τοῦτο ξηραινόμενόν τε καὶ δυσαπολύτως προσπλαττόμενον ἄσην τέ τινα καὶ δίψαν ἐπιφέρει.

κθ'.

(48) Ὀλισθηροτάτη δὲ καὶ ἀδιψοτάτη καὶ εὐπεπτοτάτη καὶ ἀσθενεστάτη ἐστὶν ἡ κάλλιστα ἑφθὴ, ὧν πάντων δεῖ.

Τὴν καλῶς ἡψημένην πτισάνην οὐ μόνον ὀλισθηροτάτην τε καὶ ἀδιψοτάτην καὶ εὐπεπτοτάτην εἶναί φησιν, ἀλλὰ προσέθηκε τῷ τέλει καὶ ἀσθενεστάτην. τὸ μὲν οὖν ὀλισθηροτάτην εἶναι τὴν καλῶς ἡψημένην ἤδη προείρηται· τὸ δὲ καὶ ἀδιψοτάτην αὐτὴν ὑπάρχειν ἐνταῦθα πρόσκειται διὰ

dem rectum tramitem, interdum autem et lationem dicere. Quod autem ptisanae deglutitae per thoracem tum rectus trames tum latio ad ventrem usque per stomachum fiat, patet, vultque in ea re nihil ipsi adhaerere. Quum enim multus in thoracis pulmonisque affectionibus existat calor, quod adhaeret, id arescit atque avulsionis expers affigitur et jactationem quandam et sitim adfert.

XXIX.

Est autem maxime lubrica sitimque maxime restinguit et facillime coquitur et est infirmissima, si optime cocta fuerit, quibus omnibus opus est.

Ptisanam probe coctam non modo maxime lubricam sitimque maxime restinguentem et facillimae coctionis esse astruxit, sed sub finem infirmissimam esse adjecit. Quod itaque maxime lubrica sit, si probe cocta fuerit, jam antea enunciatum est. Sed et quod sitim maxime exple-

τὴν τῆς κριθῆς φύσιν γινόμενον· ἔστι δὲ ψυχρὰ τὴν κρᾶσιν. ὅπως δὲ χρὴ κρίνειν ψυχρὰν καὶ θερμὴν οὐσίαν ἐπὶ μὲν τῶν ζώων ἐν τοῖς περὶ κράσεων εἴπομεν, ἐπὶ δὲ τῶν ἀψύχων ἐν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων δυνάμεως. ἀλλὰ καὶ εὐπεπτοτάτην εἶναί φησι τὴν τοιαύτην πτισάνην, ὡς ἂν διαλελυμένην τε καὶ μηδὲν ἔτι σκληρόν τε καὶ δυσκατέργαστον ἔχουσαν ἄφυσόν τε γεγονυῖαν ἤδη διὰ τὸ τῆς ἑψήσεως μῆκος. ὁ δὲ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἶπεν, ὀνομάσας ἀσθενεστάτην τὴν οὕτως ἡψημένην, εἰ μηδὲν προειρήκει περὶ αὐτῆς ὡς εὐπεπτοτάτης, ἕτοιμον ἂν ἦν φάναι πρὸς τὴν ἐν τῇ γαστρὶ κατεργασίαν ἀναφέρεσθαι τὸν λόγον, ἀσθενεστάτης αὐτῆς εἰρημένης, ὡς εἰ καὶ ῥᾷστα νικωμένην εἰρήκει καὶ κατεργαζομένην ὑπὸ τῆς γαστρὸς καὶ μεταβαλλομένην· ἐπεὶ δὲ τοῦτο προείρηται, τὴν ἀσθένειαν αὐτῆς ἤτοι διότι βραχεῖαν τροφὴν τῷ σώματι [25] δίδωσιν ἀκουστέον ἐστὶν ἢ ὅτι ποιότητα μηδεμίαν ἔχει σφοδρὰν, ὡς ἤτοι τῶν νεύρων ἢ τῆς γνώμης ἅπτεσθαι, καθάπερ ὄξος τε καὶ ὁ οἶνος.

at, hic propter hordei naturam adjicitur. Eſt autem *hordeum* temperamento frigidum. Verum quo pacto ſubſtantiam tum frigidam tum calidam judicare oporteat, inter animantia quidem in libris de temperamentis diximus; inter vero inanimata in libris de ſimplicium medicamentorum facultatibus. Imo et facillimae ait eſſe coctionis ptiſanam hujusmodi, ut quae diſſoluta ſit, neque quippiam habeat, quod durum ſit et difficulter confici poſſit, atque flatus expertem jam propter longam elixationem effectam. Quod vero in dictionis fine dixit, ptiſanam ita coctam infirmiſſimam nominans, ſi nihil de facillima ipſius coctione praedixiſſet, promptum eſſet ſermonem ad eam quae in ventre ſit confectionem referendum affirmare, quaſi infirmiſſimam dixiſſet, quae in ventre et facillime vincatur et conficiatur et permutetur. Sed quoniam id praedixit, infirmitatem illam intelligere oportet, quod vel paucum praeſtet corpori alimentum, vel nullam habeat qualitatem vehementem, ut vel nervos vel mentem feriat, quemadmodum acetum vinumque.

λ'.

Ἢν μὲν οὖν μὴ προστιμωρήσῃ τις, ὁκόσον δέεται αὐτάρκης εἶναι ὁ τρόπος τῆς τοιαύτης πτισανοῤῥοφίης, πολλαχῇ βεβλάψεται.

Ἄρχεται τοίνυν τῆς διδασκαλίας ὧδε, περὶ ὧν ἐρεῖν ἐπηγγείλατο μικρὸν ἔμπροσθεν, ἡνίκ' ἔφη· πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα παρεῖται, οἷς προσημαίνεσθαι δεῖ ἃ εἰρήσεται ὕστερον. ὅτι δὲ τὸ τιμωρῆσαι παρά τε τοῖς ἄλλοις παλαιοτέροις καὶ αὐτῷ τῷ Ἱπποκράτει πολλάκις ἀντὶ τοῦ βοηθῆσαι λέλεκται καὶ κατὰ τὰ ἄλλα συγγράμματα δέδεικται διὰ τῶν γεγενημένων ἡμῖν ἐξηγήσεων εἰς αὐτά.

λα'.

Ὁκόσοισί τε γὰρ σῖτος αὐτίκα ἐγκατακέκλεισται, ἢν μή τις ὑποκενώσας τὸ ῥόφημα δοίη, τὴν ὀδύνην ἐνεοῦσαν προσπαροξύνειεν ἂν καὶ μὴ ἐνεοῦσαν εὐθὺς ἐμποιήσειεν καὶ

XXX.

Nisi igitur quis quantum deest contulerit, ut idoneus ejusmodi ptisanae sorbendae modus efficiatur, plerumque laedet.

Eorum doctrinam exorditur, de quibus paulo ante se dicturum pollicitus est, quum dixit: *sed et multa quoque alia peropportuna, ex quibus signa elicienda sunt, praetermittuntur, quae postea dicentur.* Quod autem verbum *τιμωρῆσαι* tum apud antiquos tum apud Hippocratem ipsum saepius pro *βοηθῆσαι*, *auxiliari*, dictum sit, demonstratum et in aliis libris per eas quas in ipsos confecimus enarrationes.

XXXI.

Quibus etenim statim cibus interclusus est, si quis eo non subvacuato sorbitionem dederit, dolorem si adest exacerbaverit; si non adest, statim induxerit densiorque evase-

πνεῦμα πυκνότερον γένοιτ᾽ ἄν· κακὸν δὲ τοῦτό ἐστιν· ξηραντικόν τε γὰρ πνεύμονος καὶ κοπῶδες ὑποχονδρίου καὶ ἤτρου καὶ φρενῶν.

Σῖτον εἶπε τὸ ἀπὸ τῶν σιτίων περίττωμα περιεχόμενον ἐν τοῖς ἐντέροις, ὃ δὴ καὶ σκύβαλον ὀνομάζουσι καὶ κόπρον. εἰ τοίνυν ἐγκατακεκλεισμένου τούτου, τουτέστιν ἐκ πολλοῦ χρόνου μὴ διακεχωρηκότος, ἐπὶ τὴν τῆς πτισάνης προσφορὰν ἀφίκοιτό τις, ἀναγκαῖόν ἐστι βλάβην γενέσθαι τῇ πλευρᾷ διὰ τὴν ἔμφραξιν τῶν ἐντέρων, ἣν ἐκ τῆς ἠθροισμένης ἐν αὐτοῖς ἔσχηκε κόπρου, μήτε φύσης διεξερχομένης ἐπὶ τῇ προσφορᾷ τῆς πτισάνης ἀναδόσεώς τε μοχθηρᾶς γιγνομένης ἐπὶ τὸ πεπονθὸς μέρος· ὥστε ἀναγκαῖόν ἐστι τὴν ὀδύνην, εἰ μὲν εἴη λελωφηκυῖα, παραυξηθῆναι πάλιν· εἰ δὲ πεπαυμένη, γεννηθῆναι. καὶ γὰρ ἀτμοὶ καὶ πνεῦμα φυσῶδες ἀναθυμιάσεις τε τῶν σκυβάλων ἐπὶ τὴν πλευρὰν ἀφικόμεναι τὴν ὀδύνην αὐτῆς καὶ γεννήσει καὶ παραυξήσει· ἐπὶ τούτοις δὲ καὶ ἡ ἀναπνοὴ πυκνοτέρα γενήσεται· κέκληκε δὲ

rit ſpiritus; hoc autem malum eſt, pulmonem enim exiccat, fatigatque hypochondria et imum ventrem ſeptumque transverſum.

Cibum dixit, quod ab eduliis in inteſtinis continetur excrementum, quod certe ſtercus ac merdam appellant. Si igitur incluſo eo, hoc eſt ex multo tempore non dejecto, ad ptiſanae exhibitionem quis venerit, lateri laeſionem fieri neceſſe eſt ob inteſtinorum obſtructionem, quam ex collecto in ipſis ſtercore flatuque propter oblatam ptiſanam non pertranſeunte ac demum ob pravam quae ad affectam partem fit diſtributionem conſequuta ſunt, proindeque ipſam neceſſario dolorem, ſi remiſſus fuerit, rurſum exacerbare, ſi vero ceſſaverit, procreare. Etenim vapores, flatulentus ſpiritus et exhalationes ſtercorum, ad latus accedentes, dolorem ipſi pariunt exacerbantque, ob eas autem cauſas et frequentior fiet reſpiratio. Vocavit

τὴν ὅλην ἀναπνοὴν πνεῦμα κἂν τῷ προγνωστικῷ συγγράμματι καὶ τοῖς τῶν ἐπιδημιῶν. πυκνωθεῖσα δὲ ἀναπνοὴ θερμασίαν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἐργάζεται πλείονα διὰ τὸ συνεχὲς τῆς κινήσεως, ἐφ' ᾗ θερμασίᾳ ξηραίνεται μὲν ὁ πνεύμων καὶ τὸ διάφραγμα, συνξηραίνεται δὲ καὶ συνθερμαίνεται καὶ τὰ καθ' ὑποχόνδριόν τε καὶ περιτόναιον μόρια τοῦ ζώου· πάντα γὰρ συγκινεῖται τῷ θώρακι κατὰ τὰς ἀναπνοάς. [26] τὸ δὲ ἐν ἀρχῇ τῆς ῥήσεως εἰρημένον, οἷσί τε γὰρ σῖτος αὐτίκα ἐγκατακέκλεισται, τὴν αὐτίκα φωνὴν ἐνηλλαγμένην ἔχει κατὰ τὴν τάξιν· ἀπολαβούσης δ' αὐτῆς τὴν οἰκείαν σύνθεσιν ὁ λόγος ἔσται τοιόσδε. μὴ προσβοηθησάντων δὲ ἡμῶν τῷ προειρημένῳ τρόπῳ τῆς πτισανοῤῥοφίης πολλαχόθι γενήσεται βλάβη. αὐτίκα γοῦν οἷς σῖτος ἐγκατακέκλεισται, εἰ μή τις ὑποκενώσας πρότερον αὐτὸν, οὕτω δοίη τὸ ῥόφημα, βλάβην ἐργάσεται μεγίστην.

λβ'.

Τοῦτο δὲ, ἢν ἔτι τῆς ὀδύνης τοῦ πλευροῦ συνεχέος ἐούσης

autem totam respirationem spiritum et in prognostici libro et in epidemiorum libris. Densata autem respiratio spirabilibus in organis assiduum ob motum calorem majorem efficit, quo calore siccantur tum pulmo tum septum transversum, siccanturque simul et calefiunt quae tum in hypochondrio tum in peritonaeo existunt animalis partes; omnes enim in respirationibus una cum thorace moventur. Quod autem in principio dictionis dicitur: *quibus etenim cibus statim inclusus,* vocem hanc *statim* ordine habet commutatam, quae si suam acceperit concinnitatem, dictio talis erit. Nisi praefato ptisanaceae sorbitionis modo suppetias tulerimus, frequentius orietur laesio. Statim ergo quibus cibus interclusus est, nisi quis prius subvacuato eo sorbitionem ita dederit, maximam afferet laesionem.

XXXII.

Id vero cavendum, *si lateris dolore etiamnum continuo*

καὶ πρὸς τὰ θερμάσματα μὴ χαλώσης καὶ τοῦ πτυέλου μὴ ἀνιόντος, ἀλλὰ καταγλισχραινομένου ἀσαπέως, ἢν μὴ λύσῃ τις τὴν ὀδύνην, ἢ κοιλίην μαλθάξας ἢ φλέβα ταμὼν ἢ ὁκότερον ἂν τουτέων συμφέρῃ· τὰς δὲ πτισάνας ἢν οὕτως ἔχουσι δίδως, ταχέες οἱ θάνατοι τῶν τοιουτέων γίγνονται.

Ἀναμνησθῶμεν ὅτι περὶ πλευρίτιδος ἐποιεῖτο τὸν λόγον ὡς παραδείγματος· ἐδείχθη δὲ αὕτη γιγνομένη διὰ τὴν φλεγμονὴν τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος. ἐὰν οὖν ἀκμαζούσης τῆς φλεγμονῆς πτισάνην τις διδῷ, μεγάλως βλάψει τὸν κάμνοντα. τοῦ δ' ἀκμάζειν αὐτὴν γνώρισμα τό τε συνεχὲς τῆς ὀδύνης καὶ τὸ μηδὲν ἐνδιδόναι πρὸς τὰ θερμάσματα. πρόσκειται δὲ τῷ λόγῳ καὶ ἄλλο γνώρισμα πλευρίτιδος οὐ μόνον μεγάλης, ἀλλὰ καὶ κακοήθους, τὸ γλίσχρον ἱκανῶς γιγνόμενον τὸ πτύελον εἴργεσθαι τῆς κενώσεως ἐμπλαττόμενόν τε καὶ προσισχόμενον τοῖς πεπονθόσι μέρεσι· τὸ γὰρ καταγλισχραίνεσθαι πλέον τι σημαίνει, τὴν σφοδρο-

existente neque ad calida fomenta remittente sputoque minime prodeunte, imo perquam glutinoso crudescente, nisi quis dolorem aut alvo emollita aut secta vena solverit aut horum utrumcunque contulerit; si ptisanam ita affectis dederis, his mors praeceps oborietur.

Quod de pleuritide pro exemplo sermonem fecerit in memoriam revocemus. Fieri autem *pleuritidem* ipsam propter inflammationem membranae costas succingentis ostendimus. Si igitur, vigente inflammatione, ptisanam quis dederit, aegrum graviter oblaedet. Vigentis autem inflammationis notae sunt dolor assiduus et quod nihil a calidis fomentis remittatur. Textui autem et alia adjicitur pleuritidis non solum magnae, verum et malignae nota, quod sputum abunde glutinosum ab evacuatione arceatur, affectis partibus infarctum et adhaerescens. Nam peragglutinari plus aliquid indicat, dictione maxi-

τάτην γλισχρότητα ἐνδεικνυμένης τῆς ῥήσεως ἐν τῷ προσλαβεῖν τὴν κατὰ πρόθεσιν. ἤρκει μὲν οὖν καὶ διὰ τῆς προσθήκης αὐτῆς ἀφορίσαι τὸ οὕτω γλισχραινόμενον τοῦ πεττομένου· γλίσχρον μὲν γὰρ γίνεται κᾀκεῖνο μετρίως, οὐ μὴν καταγλισχραίνεται, τουτέστιν οὐκ ἐσχάτως οὐδ' ἄκρως πάσχει τοῦτο· τοῦ δὲ μὴ παρακοῦσαί τινα, τούτου χάριν οὐκ ὤκνησε τῷ λόγῳ προσγράψαι καὶ τὸ ἀσαπῶς, ὅπερ ταὐτὸν δηλοῖ τῷ ἀπέπτως· τὸ γὰρ καταγλισχραινόμενον ἀπέπτως μοχθηρόν. ἐν τούτῳ δὴ καθεστῶτος τοῦ κάμνοντος, εἰ πτισάνην τις προσφέροι πρὶν λῦσαι τὴν ὀδύνην ἢ διὰ φλεβοτομίας ἢ διὰ κενώσεως γαστρὸς, ἀναιρήσει τὸν ἄνθρωπον. εἰρηκὼς γὰρ ἐπὶ τῆς προκειμένης κατὰ τὸν λόγον τόνδε πλευρίτιδος, ὡς οὐδὲν ἐνδι- (49) δούσης πρὸς τὰ θερμάσματα, δύο λοιπὰ τῆς ὀδύνης ἔχει τὰ αὐτίκα βοηθήματα, φλεβοτομίαν καὶ κάθαρσιν· ἡ γὰρ τῶν δι' ὀπίου καὶ ὑοσκυάμου καὶ μανδραγόρου σκευαζομένων φαρμάκων χρῆσις οὐ τὴν ὀδυνώδη διάθεσιν ἰᾶται τῆς πλευρίτιδος, ἀλλὰ τὴν αἴσθησιν νεκροῖ. νυνὶ μὲν οὖν ἁπλῶς ἐμνημόνευσε φλεβο-

mam glutinationem significante, facta praepositionis hujus *per* adjectione. Satis igitur fuerit ex ipsius additamento, quod ita glutinosum sit ab eo quod concoquitur distinxisse. Nam quod concoquitur, mediocriter glutinosum existit, non tamen peragglutinatur, hoc est neque extreme, neque summe id patitur. Et ne quis in ea re falleretur, propterea non moratus est huic verbo adverbium hoc *crude* adscribere, quod idem ac incocte significat. Nam quod incocte peragglutinatur, pravum. Aegro autem ita affecto si quis ptisanam dederit, priusquam dolorem vel secta vena vel ventris evacuatione solverit, hominem perimet. Nam in praesenti pleuritide, quum a calidis fomentis non remissum esse dolorem dixit, statim duo alia habet in dolorem remedia, venae sectionem et purgationem. Nam eorum, quae ex opio, hyoscyamo et mandragora conficiuntur, medicamentorum usus dolentem pleuritidis affectionem non sanat, sed sensum enecat. Nunc ergo tum

τομίας τε καὶ καθάρσεως κοιλίας, ἐφεξῆς δὲ διορίζεται περὶ τῆς ἑκατέρου χρήσεως.

λγ'.

[27] *Διὰ ταύτας οὖν τὰς προφάσιας καὶ ἑτέρας τοιαύτας ἔτι μᾶλλον οἱ ὅλῃσι χρώμενοι πτισάνῃσιν ἑβδομαῖοι καὶ ὀλιγημερώτεροι θνήσκουσιν, οἱ μέντοι καὶ τὴν γνώμην βλαβέντες, οἱ δὲ ὑπὸ τῆς ὀρθοπνοίης καὶ τοῦ ῥέγχους ἀποπνιγέντες.*

Ὅτι πολλάκις ὀνομάζει τὰς αἰτίας προφάσεις ἐδείχθη κἀν ταῖς τῶν ἄλλων συνταγμάτων αὐτοῦ ἐξηγήσεσι· τίνας δ' ἑτέρας προφάσεις παρὰ τὰς εἰρημένας αὐτῷ συνεπιφέρειν φησὶ τοὺς ὀλιγημέρους θανάτους, προσθεῖναι τῷ λόγῳ χρή. νῦν μὲν γὰρ εἴρηκε τήν γε τῆς πτισάνης προσφορὰν, πρὶν λῦσαι τὴν ὀδύνην καὶ τὴν ἐπὶ τῷ πυκνῷ πνεύματι γλισχρότητα τοῦ πτυέλου, δι' ἣν καὶ ἀποπνίγονται· βλαβῆναι δέ φησιν, εἰ καὶ οἴνου προσενέγκαιντο, πρὶν ὡς ὑπέθετο

ſectionis venae meminit ſimpliciter, tum alvi purgationis, ſed deinceps ſuper utriusque uſu diſtinguet.

XXXIII.

Has igitur ob cauſas et alias hujusmodi etiamnum magis, qui tota utuntur ptiſana, ſeptimo die ac celerius moriuntur, alii quidem mente laeſi, alii vero orthopnoea ſtertoreque praeſocati.

Quod plerumque cauſas occaſiones nominet et in aliorum ejus operum explicationibus demonſtratum eſt. Sed quas alias cauſas praeter ab ipſo commemoratas paucis diebus ſimul inferre mortem dicat, adjicere ſermoni oportet. Nunc ſiquidem ſumptionem ptiſanae, priusquam ſolvatur dolor, recenſuit, ſputique ob denſum ſpiritum lentorem, ob quem et ſuffocantur. Sed laedi quoque aſſerit, ſi prius, ut ſuppoſuit, quam vacuati ſint, vinum aſſum-

κενωθῆναι, καὶ μελικράτου καὶ ὀξυμέλιτος· περὶ γὰρ τῶν ἄλλων ἁπάντων οὐδὲ τοῖς ἰδιώταις ἄδηλον. εἰκότως οὖν ἔφη καὶ τὴν γνώμην βλαβέντας ἐνίους αὐτῶν ἀπόλλυσθαι, ὅπερ πέφυκεν οἴνῳ τε καὶ τοῖς οἰνώδεσιν ἀκαίρως προσενεχθεῖσι.

λδ'.

Μάλα δὲ τοὺς τοιουτέους οἱ ἀρχαῖοι βλητοὺς ἐνόμιζον εἶναι διὰ τόδε μάλιστα, οὐχ ἥκιστα δὲ καὶ ὅτι ἀποθανόντων αὐτέων ἡ πλευρὴ πελίη εὑρίσκεται ἴκελόν τι πληγῇ.

Καὶ διὰ τὸ τάχος μὲν τῆς ἀπωλείας ἡ τοιαύτη δόξα τοὺς ἀρχαίους εἰσῄει καὶ διὰ τὸ πελιδνοῦσθαι ἐπὶ τῆς πλευρᾶς ἐνίους, ἔνθα δηλονότι τῆς φλεγμονῆς ἦν ἡ ῥίζα. τοῦ γὰρ ἐπ' αὐτὴν αἵματος ἀφικνουμένου διὰ τὴν ὀδύνην, ὅσον ἐμερίσθη πρὸς τὸ δέρμα, τοῦτ' ἐν τῷ θανάτῳ ψυχθὲν ἐμελάνθη, γινόμενον ἴκελον, τουτέστιν ὅμοιον, τοῖς ἐκ πληγῆς οὕτω διατεθεῖσιν.

pſerint, aquam item mulſam et oxymel. Nam de aliis omnibus neque idiotis ipſis non conſtat. Merito igitur ait ex ipſis alios mente laeſos mori, quod contigit, ſi vinum vinoſaque intempeſtive ſumpſerint.

XXXIV.

At ſane hos antiqui ſideratos eſſe exiſtimaverunt, tum ob id maxime, tum non minime, quod mortuis latus lividum plagae ſimile deprehendatur.

Priſcos talis prehendit opinio, tum propter interitus celeritatem, tum quod nonnullorum latus affectum livore videretur, ubi ſcilicet inflammationis erat radix. Sanguine etenim in latus ob dolorem perveniente, quicquid in cute diviſum ſolutumque eſt, id in morte refrigeratum atrorem contraxit, illis factum ſimile, hoc eſt aequale, qui ita ex plaga affecti ſunt.

λέ.

Αἴτιον δὲ τούτου τόδε ἐστὶν, ὅτι πρὶν λυθῆναι τὴν ὀδύνην θνήσκουσι· ταχέως γὰρ πνευματίαι γίνονται.

[28] Ὅτι δὲ τοιοῦτον ἀναπνέουσιν αὐτὸς ἐφεξῆς ἐδήλωσεν εἰπών·

λστ'.

Ὑπὸ δὲ τοῦ πολλοῦ καὶ πυκνοῦ πνεύματος, ὡς ἤδη εἴρηται, καταγλισχραινόμενον τὸ πτύελον ἀπέπτως κωλύει τὴν ἐπάνοδον γίγνεσθαι, ἀλλὰ τὴν ῥέγξιν ποιέει ἐνισχόμενον ἐν τοῖσι βρογχίοισι τοῦ πνεύμονος· καὶ ὁκόταν ἐς ταὐτὸ ἔλθῃ, θανατῶδες ἤδη ὡς ἐπὶ τὸ πολὺ ἐστι.

Τὸ ἔμπροσθεν αὐτῷ ῥηθὲν ἀσαπὲς τοῦτο νῦν ἄπεπτον ὠνόμασε, μαρτυρῶν ἡμῖν ὅτι καλῶς καὶ τότε τὴν μετάληψιν ἐποιησάμεθα τῆς φωνῆς.

XXXV.

Rei hujus haec causa est, quod priusquam dolor solvatur, intereant, brevi siquidem anhelatores fiunt.

Quod autem hoc pacto respirent deinceps ipse declaravit inquiens:

XXXVI.

A multo autem densoque spiritu, ut jam dictum est, peragglutinatum cruditate sputum egressum fieri prohibet, imo stertorem inducit, pulmonis bronchiis impactum, quumque ad hoc devenerit, lethale jam plerunque existit.

Quod prius immaturum dixit, nunc incoctum nominavit, fidemque facit, quod et probe tunc vocis transpositionem fecimus.

λζ'.

Καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνισχόμενον κωλύει μὲν τὸ πνεῦμα εἴσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι.

Οὐ πᾶν δὲ τὸ πνεῦμα κωλύεται κατὰ τὰς τοιαύτας διαθέσεις ἔσω φέρεσθαι, τοῦτο γὰρ εἰ γένοιτο παραχρῆμα τὸν ἄνθρωπον ἀποθανεῖν ἀναγκαῖόν ἐστιν, ὡσαύτως τοῖς ἀπαγξαμένοις. ἀλλὰ τὸ συμφέρον δηλονότι τῇ χρείᾳ τῆς ἀναπνοῆς ἔσω φέρεσθαι κωλύεται, διὸ καὶ μέχρι τινὸς ἐξαρκοῦσιν, ἐν δὲ τῷ χρόνῳ τῆς ἐνδείας ταύτης αὐξανομένης ἀπόλλυνται.

λη'.

Καὶ οὕτως ἐς τὸ κακὸν ἀλλήλοισι συντιμωρέουσι. τό τε γὰρ πτύελον ἐνεχόμενον πυκνὸν τὸ πνεῦμα ποιέει· τοῦτο δὲ πυκνὸν ἐὸν ἐπιγλισχραίνει τὸ πτύελον καὶ κωλύει ἀπολισθαίνειν.

XXXVII.

Etenim ipsum sputum intus impactum spiritum quidem intro ferri prohibet, celeriter vero extra ferri cogit.

Non omnis spiritus in hujusmodi affectionibus intro ferri prohibetur. Id enim si fieret, hominem protinus interire necesse esset, eodem modo ac eos qui strangulantur. Verum quod usui nimirum respirationis confert, intro ferri prohibetur, quapropter ad tempus aliquod sufficiunt, sed tractu temporis aucta ipsa indigentia moriuntur.

XXXVIII.

Atque ita in aegri perniciem mutuas tradunt operas, nam retentum sputum densum spiritum facit, spiritusque densus existens sputum agglutinat atque defluere prohibet.

Ὅτι τῷ τιμωρεῖν ἀντὶ τοῦ βοηθεῖν οἵ τ' ἄλλοι παλαιοὶ καὶ ὁ Ἱπποκράτης κέχρηνται πολλάκις ἔμπροσθεν εἴρηται· καὶ νῦν οὖν τὸ συντιμωρεῖν ἀλλήλοις εἰς τὸ κακὸν εἶπεν, ἀντὶ τοῦ συμπράττειν καὶ λυσιτελεῖν. πῶς δὲ συμπράττει καὶ λυσιτελεῖ σαφῶς μὲν καὶ αὐτὸς ἐδήλωσεν, εἰρήσεται δὲ καὶ πρὸς ἡμῶν. τὸ πτύελον ἰσχυρῶς ἰσχόμενον ἐν τοῖς τοῦ πνεύμονος βρόγχοις στενοχωρίαν ἐργάζεται ταῖς διεξόδοις τοῦ πνεύματος καὶ διὰ ταύτην τὴν στενοχωρίαν ἧττον εἰσπνέουσιν οἱ κάμνοντες· ὅσῳ δ' ἂν ἧττον εἰσπνέουσιν, τοσῷδε μᾶλλον ἀπλήρωτον ἐργάζονται τὴν χρείαν τῆς [29] ἀναπνοῆς καὶ διὰ τοῦτο πρωϊαίτερον ἐπὶ τὴν δευτέραν εἰσπνοὴν ἀπὸ τῆς προτέρας ἥκουσιν, ὅπερ ὀνομάζουσι πυκνὸν πνεῦμα.

μ'.

Καταλαμβάνει δὲ ταῦτα οὐ μόνον ἢν πτισάνῃσιν ἀκαίρως χρέωνται, ἀλλὰ πολὺ μᾶλλον καὶ ἤν τι ἄλλο φάγωσιν ἢ πίωσιν πτισάνης ἀνεπιτηδειότερον.

Quod verbo τιμωρεῖν pro opitulari tum antiqui alii tum Hippocrates usi sint saepius ante dictum est, et nunc sane mutuas tradere operas in perniciem dixit, pro conspirare ac prodesse. At quomodo conspirent prosintque perspicue quidem et ipse ostendit, sed et a nobis dicetur. Sputum in bronchiis pulmonis vehementer adhaerens transitui spiritus angustiam efficit, atque ob eam angustiam minus aegri inspirant. Quo autem minus inspirant, eo magis inexpletum reddunt respirationis usum, atque ob id citius a priore inspiratione ad secundam properant, quod densum spiritum nominant.

XL.

Prehendunt autem haec non solum si ptisana intempestive utantur, verum etiam multo magis siquid aliud quod ptisana minus idoneum sit vel ederint vel biberint.

Εἴρηται μικρὸν ἔμπροσθεν περὶ τούτου, ἡνίκα ἔλεγε· διὰ ταύτας οὖν τὰς προφάσεις καὶ ἑτέρας τοιαύτας. ἀλλ' ἐκεῖ καὶ ἐμνημονεύσαμεν ἡμεῖς οἴνου τε καὶ μελικράτου καὶ ὀξυμέλιτος· ἐνταυθοῖ δὲ καὶ τῶν ἄλλων ἀκούειν προσήκει τῶν οὕτω διδομένων τοῖς οὕτω κάμνουσιν ὑπὸ τῶν πολλῶν ἰατρῶν, ἃ δὴ καὶ μᾶλλον ἔβλαπτε μελικράτου τε καὶ ὀξυμέλιτος καὶ οἴνου.

μα'.

Μάλα μὲν οὖν τὰ πλεῖστα παραπλήσιαί εἰσιν αἱ τιμωρίαι, τοῖσί τε ὅλῃσι τῇσι πτισάνῃσι χρεομένοισι, τοῖσί τε τῷ χυλῷ αὐτέων· τοῖσι δὲ μηδετέρῳ τουτέων, ἀλλὰ ποτῷ μούνῳ ἔστιν ὅπῃ καὶ διαφερόντως τιμωρητέον.

Αἱ βοήθειαι, φησὶ, παραπλήσιαι γίνονται τοῖς πτισάνῃ τε καὶ τῷ χυλῷ χρωμένοις αὐτῆς· τοῖς δὲ ποτῷ μόνῳ ἔστιν ὅπῃ καὶ διαφερόντως χρὴ βοηθεῖν. ποία δέ τις ἡ διαφορὰ γίνεται διὰ τῶν ἑξῆς διδάσκει.

Ea de re paulo ante dictum eſt, quando dixit: *ob has igitur cauſas atque ob alias ſimiles.* Imo illic et de vino et aqua mulſa et oxymelite mentionem fecimus, hic autem et alia intelligere eſt opus, quae ita affectis ſic a plerisque medicis exhibentur, quae ſane etiam quam aqua mulſa, vinum et oxymel magis laedunt.

XLI.

Proinde ſane ut plurimum ſimilia ſunt auxilia tum iis qui tota utuntur ptiſana tum iis qui cremore ipſius. At qui neutro horum, ſed potu ſolo utuntur, *his interdum diverſe auxiliandum eſt.*

Auxilia, inquit, ſimilia ſunt tum iis qui ptiſana tum iis qui cremore ipſius utuntur. Sed qui potione duntaxat utuntur, his interdum diverſe opitulari oportet. Sed quaenam ſit hujusmodi diverſitas, ſequentibus perdocet.

μβ'.

Χρὴ δὲ τό γε πάμπαν οὕτω ποιέειν· ἢν μὲν νεοβρῶτι αὐτέῳ ἐόντι καὶ κοιλίης μή- (50) πω ὑποκεχωρηκυίης ἄρξηται ὁ πυρετὸς, ἤν τε ξὺν ὀδύνῃ ἤν τε ἄνευ ὀδύνης, ἐπισχεῖν τὴν δόσιν τοῦ ῥοφήματος, ἔστ' ἂν οἴηται ὑποκεχωρηκέναι εἰς τὸ κάτω μέρος τοῦ ἐντέρου τὸ σιτίον.

Ἤσθηται δὲ καὶ αὐτὸς ἐσπαραγμένως κατὰ μόρια τὸν λόγον, οὐ συνεχῶς ἐφεξῆς ἐν τάξει τῇ προσηκούσῃ πεποιημένος· καὶ διὰ τοῦτο νῦν ἀναλαμβάνων αὐτὸν ἐπὶ τὴν προσήκουσαν ἀρχὴν ἀφικνεῖται. τοῦτο δὲ ἔπαθεν ἐπειδὴ τὸ περὶ διαφωνίας ζήτημα λύειν ἐπιχειρήσας ἐμνημόνευσεν ἐν τῇ λύσει θεραπευτικῶν λογισμῶν. ἀλλ' ἐχρῆν αὐτὸν αἰσθανόμενον οὗ πέπονθεν ἐξαμεῖψαι μὲν ἐκεῖνα, διελθεῖν δὲ ἑτέροις ἀπ' ἀρχῆς τὸν λόγον· οὕτω [30] γὰρ κἀμοὶ συμβαίνειν κάλλιον ἔδοξεν, ἄνωθεν ἑτέρως γράψαι περὶ τῶν αὐτῶν ἐξαμείψαντι τὰ πρότερον γεγραμμένα. πῶς οὖν ἐχρῆν αὐτὸν ἅμα τε λῦσαι τὸ προβληθὲν ὑπ' αὐτοῦ ζήτημα καὶ τάξει

XLII.

Verum hoc modo omnino facere oportet. Sive a cibo recens accepto et alvo nondum subducta febris invaserit, sive cum dolore, sive sine dolore, a sorbitione exhibenda tantisper est temperandum, quoad cibi faeces ad imam intestini partem secessisse videantur.

Sermonem in partes sectum neque continenter et convenienti digestum ordine se fecisse deprehendit Hippocrates, quapropter nunc resumens ipsum, ad accommodum perducit principium. Hoc autem ipsi accidit, quod quaestionem super medicorum controversia solvere conatus, in ea solutione de medendi rationibus mentionem fecit, qui sane re intellecta, his permutatis, sermonem ab initio aliter percurrere debuit. Nam et ita mihi aliquando felicius contingere est visum, ut iis quae ante scripta fuerant permutatis, alio modo de ipsis scripserim. Quo pacto igitur et quaestionem ab ipso propositam solvere et

διδόναι τὸν λόγον, ἐγὼ διηγήσομαι τοῖς βουλομένοις ἑρμηνεύειν τὰ τοιαῦτα σαφῶς, τὴν ὁδὸν διηγούμενος. ἤδη τοίνυν πρόσεχέ μοι τὸν νοῦν, ὡς ἐξ ἀρχῆς ἀκουσόμενος τοῦ λόγου. διὰ τί τοῖς ἀξιολόγοις ἰατροῖς ἐνίοτε διαφωνεῖν συμβαίνει περὶ τῆς θεραπείας; ὅτι τὸ πειρασθὲν ἐπί τινων ἐπὶ πάντων ᾠήθησαν ἁρμόττειν. οὕτω γοῦν κἀν τοῖς περὶ διαίτης τῶν ὀξέων νοσημάτων διεφώνησαν, ἔνιοι μὲν ἐπὶ τῷ χυλῷ πτισάνης ἄχρι κρίσεως φυλάττοντες τοὺς νοσοῦντας, ἔνιοι δὲ οὐδέτερον, ἐκ μέρους μὲν ἀληθεύοντες ἅπαντες, ἐκ μέρους δὲ σφαλλόμενοι· τινὲς μὲν γὰρ τῶν ὀξέων νοσούντων πτισάνης δέονται, τινὲς δὲ χυλοῦ, τινὲς δὲ οὐδετέρου τούτων ἄχρι κρίσεως. ἕνεκα δὲ σαφηνείας ἐφ' ἑνὸς τῶν ὀξέων ὡς ἐπὶ παραδείγματος ἐγὼ ποιήσομαι τὸν λόγον. προκείσθω δὴ πλευρίτιδος εἰπεῖν θεραπείαν· εἴπερ οὐ πρὸ πολλοῦ χρόνου τοῦ κάμνοντος ἐδηδοκότος, οὐδέπω τῆς κοιλίας ὑποκεχωρηκυίας, ὁ πυρετὸς ἄρξαιτο, μὴ διδόναι τούτῳ ῥόφημα μέχρις ἂν ἡ δοθεῖσα τροφὴ δόξῃ σοι ἐξελθοῦσα τὰ πλεῖστα τῶν ἐντέρων ἐν τοῖς ὑστάτοις

ſermoni ordinem dare debuit, exponam ego, iisque qui talia interpretari deſiderant viam dilucidabo. Jam ergo mihi animum adverte, tanquam ſermonem ab initio auditurus. Quare contingit ut interdum praeſtantes medici de curatione diffideant? quod in nonnullis expertum convenire omnibus putaverunt. Sic ſane et in victus ratione in morbis acutis fuerunt controverſi: nonnulli quidem aegros ad judicationem usque ptiſanae cremore ſervant, alii ptiſanam ipſam exhibent, alii autem neutrum; ex parte verum quidem dixerunt omnes, ſed ex parte falluntur. Nam quidam ex acute aegrotantibus ptiſana indigent, alii cremore, alii horum neutro ad judicationem uſque. Verum claritatis gratia de acuto morbo uno, tanquam exemplo, ego ſermonem faciam. Proponatur igitur pleuritidis curatio tradenda. Si aegrotante non multo ante tempore cibato, necdum alvo ſubducta, febris invaſerit, ſorbitionem huic non dabis, donec exhibitum alimentum penetralis plurimis inteſtinis ad ultima uſque eorum perveniſſe videbi-

αὐτῶν εἶναι. ταύτην τὴν ἀρχὴν τῷ λόγῳ ποιησάμενός τις εἶθ' ἑξῆς ἅπαντα κατὰ τὴν οἰκείαν τάξιν ἐπιὼν, ἐπὶ τούτων οὐκ ἂν ἀσαφῆ τὴν διδασκαλίαν ἐργάσαιτο.

μγ'.

Χρέεσθαι δὲ ποτῷ, ἢν ἄλγημά τι ἔχῃ, ὀξυμέλιτι, χειμῶνος μὲν θερμῷ, θέρους δὲ ψυχρῷ· ἐὰν δὲ πολλὴ δίψα ᾖ, καὶ μελικρήτῳ καὶ ὕδατι.

Διψώδους ὄντος τοῦ κάμνοντος, ἄλλως φυλασσόμενος ὀξύμελι πάνυ πολὺ, διὰ τοῦτο ἐφεξῆς τοῦ τε μελικράτου καὶ τοῦ ὕδατος ἐμνημόνευσεν. ὅσον μὲν γὰρ ἐπὶ τῷ πάθει μᾶλλον ὀξυμέλιτι χρηστέον· εἰ δὲ αὔταρκες αὐτοῦ λαμβάνων ἔτι διψῶν ὁ κάμνων εἴη, μελίκρατον ἐπιδοτέον· εἰ δὲ καὶ μετὰ τοῦτο διψήσει, τὸ ὕδωρ προσενεκτέον· αὐτὸ γὰρ ἐφ' ἑαυτὸ τὸ ὕδωρ πινόμενον μέμφεται· μαθήσῃ δὲ ἐν τοῖς ἐφεξῆς τὰς αἰτίας, δι' ἃς μέμφεται τὸ ποτὸν τοῦτο κατ' ἐκεῖνο τὸ μέρος τοῦ συγγράμματος, ὅταν ὁ λόγος αὐτῷ περὶ δυνά-

tur. Hoc principium ubi quispiam ſermoni fecerit, atque deinceps omnia proprio dotaverit ordine, doctrinam in his haudquaquam obſcuram pariet.

XLIII.

Utendum autem eſt in potu aceto mulſo, ſi quis dolor detinuerit, hieme quidem calido, aeſtate vero frigido, et ſi multa ſitis fuerit, etiam aqua mulſa et aqua.

Siticuloſo exiſtente aegro, alias acetum mulſum copioſiſſimum devitans, ob id deinceps tum melicrati tum aquae mentionem fecit. Nam quantum ad morbum ſpectat, oxymelite magis eſt utendum, verum ſi aeger eo copioſe accepto adhuc ſitiverit, melicratum exhibendum eſt. Quod ſi et ab hoc ſitiverit, aqua offerenda eſt, nam aqua ipſa per ſe pota improbatur. Quas vero ob cauſas aqua pota improbetur ſequentibus in ea libri parte,

μεως ὕδατος γίγνηται. νῦν δὲ ἐπισκεψώμεθα περὶ τοῦ προτεθέντος αὐτῷ ἐν τῷ προκειμένῳ λόγῳ κελεύοντος αὐτοῦ χειμῶνος μὲν χρῆσθαι θερμῷ, θέρους δὲ ψυχρῷ τῷ ὀξυμέλιτι. τοῦτο γὰρ ἡμᾶς ποδηγήσει πρὸς τὴν ἀγωνιστικῶς γινομένην ἐπὶ τῶν ὀξέως νοσούντων ὕδατος ψυχροῦ πόσιν, ἣν τελέως δοκεῖ παραλελοιπέναι. καὶ μέμψαιτο μὲν ἄν τις αὐτῷ κατὰ τοῦτο, διδασκαλίας γὰρ ἄξιος ἦν ὁ λόγος, οὐ κατὰ τὸ πάρεργον προσερῤίφθαι. ἣν μὲν οὖν γνώμην εἶχε περὶ ψυχροῦ πόσεως ὕδατος ἐκ τοῦ νῦν λόγου κατανοῆσαι δυνατόν· οὗτος γὰρ εἰ ὀξύμελι διψῶσί ποτε δίδωσι ψυχρὸν, εὔδηλον ὅτι καὶ ὕδωρ δώσει. τοῦτο γὰρ εἰ καὶ μὴ ὅλως εἰρήκει περὶ ψυχροῦ πόματος, [31] ἀκόλουθον ἦν αὐτοῦ τοῖς δόγμασι, τὸν μὲν πυρετὸν ἐκπυρουμένης τῆς ἐμφύτου θερμασίας ἡγουμένου γίγνεσθαι, τὰ δ' ἐναντία τῶν ἐναντίων ἰάματα ὑπάρχειν· θερμοῦ δὲ καὶ ξηροῦ τοῦ πυρὸς ὑπάρχοντος καὶ διὰ τοῦτο καὶ τοῦ πυρετοῦ, τὸ ὕδωρ ἐναντιώτατόν ἐστι τῇ φύσει τοῦ πυρετοῦ, ψῦχόν τε καὶ ὑγραῖνον τὸ σῶμα. καὶ τοίνυν καὶ φαίνονται σβεννύμενοι πυρετοὶ

quae de aquae facultatibus agit, perdifces. Nunc autem quod praefenti appofuit orationi, confiderabimus, qua praecipit: *oxymelite utendum, hieme quidem calido, aeftate vero frigido.* Id enim ad eam, quae in acutis morbis magno eft auxilio, nos hortatur gelidae aquae potionem, quam omnino praetermififfe videtur *Hippocrates*, atque ob eam rem a quopiam improbari poffet; res etenim doceri, non negligentius narrari debuit. Quam ergo opinionem habuit de aquae frigidae potione ex hoc fermone intelligi poteft. Hic enim fi fitientibus oxymel frigidum aliquando exhibeat, quod et aquam daturus fit, manifeftum eft. Quamvis enim non prorfus de frigidae potione id praeceperit, ejus tamen dogmatis id confentaneum fuit, qui febrem ex nativo calore ignefcente procreari exiftimet, atque contraria contrariorum effe remedia. Quum autem ignis calidus et ficcus fit, atque ob id etiam febris, aqua febris naturae maxime contraria eft, quae corpus tum refrigerat tum humectat. Et fane ab ea tempeftive data

ὑπ' αὐτοῦ παραχρῆμα δοθέντος ἐν καιρῷ. εἴρηται μὲν οὖν αὐτάρκως ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, εἰρήσεται δὲ καὶ νῦν τό γε κεφάλαιον. ὅταν οὖν ὁ πυρετὸς ᾖ, δυνάμεως οὔσης, οὐ μόνον οὐκ ἂν βλάψῃς τηνικαῦτα δοὺς τὸ ψυχρὸν, ἀλλὰ καὶ μεγάλως ὠφελήσεις. ἡ μὲν δὴ τοιαύτη πόσις τοῦ ψυχροῦ τοσαύτη τὸ πλῆθός ἐστιν, ὅσον ὁ κάμνων αὐτὸς οἷός τ' ᾖ πιεῖν τὸ ψυχρὸν ὕδωρ ἐπισπασάμενος ἀπνευστί· τὸ δ' ὀξύμελι βραχὺ διδόμενον οὐ πλέον ἡμίσεος καθ' ἑκάστην προσφοράν. οὐχ ὁμοίως οὖν ὁ τῆς δόσεως σκοπὸς ἐπὶ τούτου διὰ τὸ σβέννυσθαι βούλεσθαι τὸν πυρετὸν ἀθρόως πινομένου ψυχροῦ μέχρι τοῦ πληρωθῆναι τὸν κάμνοντα. τὸ μὲν γὰρ ὕδωρ οὕτως πινόμενον ἰάσεως ἕνεκα πίνεται, τὸ δὲ ὀξύμελι θέρους ὥρᾳ δίδοται ψυχρὸν ἕνεκα τοῦ μὴ παροξῦναι τὴν δίψαν τοῦ κάμνοντος, ἀλλά τι καὶ συντελεῖν οἷόν τε πρὸς τοὐναντίον. διὰ τοῦτο καὶ πρὶν πεφθῆναι τὴν νόσον ὀξυμέλιτος ψυχροῦ διδόναι φησὶν, ὡς ὥρᾳ θέρους οὐκ ἂν δώσοντες ὕδωρ ψυχρὸν εἰς κόρον ἐν τῇ τοιαύτῃ διαθέσει· πυκνώσει γὰρ τὴν φλεγμονὴν, ὅταν ἐπὶ φλεγμονῇ

febres protinus extingui videntur. Dictum sane abunde in libris methodi medendi, sed et nunc rei summa dicetur. Quum ergo febris fuerit, constantibus viribus, non solum non laedes si frigidam dederis, verum et magnopere proderis. Potio autem frigidae hujusmodi tanta sit copia, quantum frigidae aquae aeger ipse inspirando haurire possit. Oxymelitis vero exiguum datur, neque singulis oblationibus plus dimidio. In hoc ergo exhibitionis scopus haud est similis, quod velis febrem extinguere frigida affatim atque ad laborantis usque satietatem epota. Quae enim ita bibitur aqua, sanationis gratia bibitur, oxymel vero aestate datur frigidum, ne laborantis adaugeat sitim, imo ut adversus etiam contrarium conferre possit. Ob id etiam frigidum oxymel ante morbi coctionem dari jubet, tanquam frigidam aquam ad satietatem usque in ejusmodi affectione dare aestatis tempestate haudquaquam debeamus. Densabit enim inflammationem, si ex inflammatione febri-

πυρέττωσιν, απέπτους δὲ ἐργάσεται ψύξει τοὺς χυμοὺς, ὅταν ἐπὶ τούτοις νοσῶσιν. ἀλλὰ τότε μὲν ὀλίγον τὸ ὀξύμελι δίδομεν, ὡς ἐν τῇ κοιλίᾳ πρότερον χλιαρὸν γενησόμενον τοῦ τὴν αὐτοῦ ψύξιν μέχρι τῆς πλευρᾶς ἀναδίδοσθαι· εἰ δὲ καὶ ὀλίγον ἀναδοθῇ, ἀλλ' ὑπὸ τοῦ γε ὀξυμέλιτος ἐπανορθωθήσεται δύναμιν ἔχοντος τμητικήν· ἐναντίον γάρ ἐστι τὸ τέμνον καὶ διεξερχόμενον τῷ πυκνοῦντι καὶ συνάγοντι τὰ σώματα.

μδ'.

Ἔπειτα μέντοι ἢν μὲν ἄλγημά τι ἐνῇ ἢ τῶν ἐπικινδύνων τι ἐμφαίνηται, διδόναι τὸ ῥόφημα μήτε πολὺ μήτε παχύ· μετὰ δὲ τὴν ἑβδόμην ἢ ἐνάτην, ἢν ἰσχύῃ.

Ταύτην τὴν ῥῆσιν οἱ ἐμπιπλᾶν τοὺς πάσχοντας τὸν Ἱπποκράτην φάντες (οὕτω γὰρ αὐτοὶ κέχρηνται τῷ ῥήματι) παρελθεῖν μοι δοκοῦσιν, ὥσπερ πάλιν οἱ λιμοκτονεῖν αὐτὸν

citent; crudos frigore reddet humores, ubi ex his morbum contraxerint. Sed tunc oxymelitis parum damus, tanquam in ventriculo prius ſit evaſurum tepidum quam ejus frigiditas ad coſtam uſque diſtribuatur, quod ſi quid exiguum fuerit etiam diſtributum, illud ab ipſo oxymelite emendabitur, incidendi facultate praedito; nam quod incidit penetratque, id denſanti cogentique corpora contrarium eſt.

XLIV.

Poſtea vero ſi quis dolor inſit aut periculum quoddam impendeat, ſorbitio neque copioſa neque craſſa exhibenda, verum poſt ſeptimum aut nonum diem, ſi validus aeger fuerit.

Qui Hippocratem aegros replere dixerunt (ita enim ipſi verbo uſi ſunt) dictionem hanc praetermittere mihi videntur, ut qui fame necare ipſum dicunt, ſolam hanc

εἰπόντες ἀνεγνωκέναι μόνην φαίνονται ταύτην. εἰ δέ γε ἀμφοτέραις ἑκάτεροι προσέσχον τὸν νοῦν, ἐμνημόνευόν τε τῶν καλῶς ὑπ' αὐτοῦ λελεγμένων, ὡς φύσεις φυσίων μέγα διαφέρουσιν, ἴσως ἂν ᾐδέσθησαν ἐγκαλεῖν αὐτῷ τὰ ἐναντία, εἰ καὶ μάλιστα τῶν ἄλλων ἐμνημόνευον ὧν ἔδειξε καὶ χωρία χωρίων πάμπολυ διαφέρειν ἐπιδείξας καὶ ὥρας ὡρῶν καὶ ἡλικίας ἡλικιῶν καὶ ἔθη ἐθῶν καὶ τὴν πρὸ τοῦ νοσῆσαι δίαιταν ἑκάστῳ τῶν καμνόντων ἰδίαν [32] γεγονυῖαν. ἐὰν οὖν παραβάλλοις ἀλλήλοις τοὺς ἐναντίως ἔχοντας ἐν ἅπασι τοῖς εἰρημένοις, τὰς ἐν τῇ διαίτῃ μεγίστας διαφορὰς εὑρήσεις, ἃς καταντικρὺ τάξας ἀλλήλαιν, οὕτως ἤδη καὶ τὰς ἐν τῷ μέσῳ παμπόλλας οὔσας ἀκριβῶς θεωρήσεις. λέλεκται μὲν οὖν περὶ τῆς ἐν τούτοις διαφορᾶς τελέως ἐν τοῖς (51) τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, εἰρήσεται δὲ καὶ νῦν τὸ κεφάλαιον αὐτῶν. ὑποκείσθω δή τις φύσει ξηρὸς μὲν τὴν ἕξιν τοῦ σώματος, πυκνὸς δὲ τὴν ἐπιφάνειαν καὶ φλέβας εὐρείας ἔχων καὶ τὴν ζωτικὴν δύναμιν ἰσχυρὸς, εἰθισμένος ἐσθίειν οὐ πολλὰ, νοσεῖν ἐν χειμῶνι μὴ πάνυ ψυ-

legiſſe apparent. Quod ſi utramque utrique animadvertiſſent eorumque quae ab ipſo recte enarrata ſunt meminiſſent, naturas a naturis valde differre, forſan eos contraria Hippocrati imponere puduiſſet, et potiſſimum ſi reliqua animo volutaſſent, quae ipſe demonſtravit, regiones a regionibus magnopere differre oſtendens et anni tempeſtates a tempeſtatibus et aetates ab aetatibus et conſuetudines a conſuetudinibus et proprium aegrotantium unicuique ante morbum victum. Si ergo in omnibus enarratis contrario habentes modo inter ſe comparaveris, maximas in victus ratione comperies differentias, quas ubi e regione inter ſe ordinaveris, jam et ita permultas conſiſtere in medio accurate videbis. Sed de hujusmodi differentiis dictum quidem abſolute in libris methodi medendi, dicetur quoque et nunc earum ſumma. Proponatur igitur aliquis natura ſiccus quidem corporis habitu, ſuperficie autem denſus, latis venis praeditus, facultate vitali validus, non multis veſci aſſuetus, aegrotare hieme non ad-

χρῷ κατὰ χωρίον τοιοῦτον, πρὶν νοσεῖν ἀργότερόν τε καὶ ἀπληστότερον ἐν πολυτρόποις ἐδέσμασι διῃτημένος, ὑπαρχέτω δ᾽ αὐτῷ σὺν τούτοις ἰσχυρὸν τὸ στόμα τῆς γαστρὸς, ὅπερ καὶ στόμαχον ἔνιοι καλοῦσιν. ὁ δ᾽ ὑπ᾽ ἐναντίου τούτῳ διακείμενος ὑγρὸς μὲν καὶ μαλακὸς καὶ τὴν ζωτικὴν δύναμιν ἀσθενὴς καὶ πλείω προσφέρεσθαι σιτία μεμαθηκὼς, νοσεῖν δὲ ἐν θέρει πνιγηρῷ καὶ χωρίῳ τοιούτῳ· συνυποκείσθω δὲ τούτοις καὶ τεταλαιπωρῆσθαι πρὸ τῆς νόσου τὸν ἄνθρωπον ἐν φροντίσι καὶ πράξεσι διηνεκέσιν, ἐδηδοκέναι δὲ παρὰ τὸ ἔθος ὀλίγα λαχανώδη τε καὶ ἄτροφα καὶ τὸ τῆς γαστρὸς στόμα μὴ ἰσχυρὸν, ἀλλ᾽ ἀσθενὲς ἔχειν φύσει. καὶ τούτων οὕτως ἐχόντων ἀμφότεροι τὴν αὐτὴν νόσον ὑποκείσθωσαν νοσεῖν, εἰ βούλει, τὴν ὑφ᾽ Ἱπποκράτους προκεχειρισμένην ὡς ἐν παραδείγματι κατὰ τὸν λόγον τοῦτον πλευρῖτιν. ἆρά σοι δοκεῖ προσήκειν ἕνα κανόνα διαίτης ἐπ᾽ ἀμφοτέρων ὁρίζειν; ἢ τὸν μὲν δεύτερον εἰρημένον ἀπὸ πρώτης ἡμέρας τρέφειν, τὸν δὲ πρότερον ἄχρι τῆς ἑβδόμης ἐπὶ πομάτων μόνων διαιτᾷν, ὅταν ἐλπίζῃς μὴ προσωτέρω ταύτης

modum frigida in loco tali, atque priusquam aegrotaret magis ociosus, intemperantior ac variis eduliis nutritus, praeterea ipsi os ventris validum sit, quod et stomachum quidam vocitant. Sit autem et alter contrario modo affectus, humidus quidem et mollis et facultate vitali imbecillus et qui plures cibos assumere consuevit, aegrotet vero aestatis tempore aestuoso in regione hujusmodi, statuamusque hominem, antequam aegrotaret, tum curis tum assiduis negotiis fatigatum, pauca praeter consuetudinem edisse, tum oleracea tum minime nutrientia, ventriculi quoque os non validum, sed natura imbecillum habere. Atque his ita se habentibus, uterque eodem si volueris morbo laboret, ea pleuritide, quam Hippocrates veluti exemplum hoc in loco constituit. Utrum una tibi victus ratio in utroque definienda videtur? An posterior enarratus a prima die alendus, prior vero potu solo ad septimum usque diem cibandus, ubi morbum eo non ulterius

ἀφίξεσθαι τὴν νόσον; ἐγὼ μὲν γάρ σοί φημι, πολυχρονίῳ τῇ πείρᾳ κεκρικὼς ἀμφότερα, βελτίστην οὕτως ἔσεσθαι τὴν δίαιταν, εἰ δ' ὑπαλλάξαις ἐπὶ τἀναντία, τὸν μὲν πρῶτον εἰρημένον ἀπ' ἀρχῆς τρέφειν ἐγχειρῶν, τὸν δὲ δεύτερον ἄχρι τῆς ἑβδόμης φυλάττειν ἀμφοτέρους ἀναιρήσεις πρὸ τετάρτης ἡμέρας, τὸν μὲν ἀποπνίξας τάχιστα, τοῦ δὲ συγκόψας τὴν δύναμιν. πρόσθες οὖν, εἰ βούλει, καὶ τὴν ἡλικίαν ἐναντίαν ἑκατέρῳ, τεσσαρακοντούτην μὲν ὑποθέμενος εἶναι τὸν πρότερον, παῖδα δὲ τὸν δεύτερον· οὕτως γὰρ ἔτι καὶ μᾶλλον ἐπειχθήσεται πρὸς τὸν ὄλεθρον ἑκάτερος αὐτῶν. ἀλλὰ ταῦτά γε πάντα τὰ νῦν εἰρημένα πρὸς ἕνα σκοπὸν ἀναφέρεται τὸν ὑφ' Ἱπποκράτους ἑνὶ ῥήματι δηλωθέντα. τί γάρ φησι; διδόναι τὸ ῥόφημα μετὰ τὴν ἑβδόμην, ἢν ἰσχύῃ. ῥῆμα γάρ ἐστιν ἕν, εὑρίσκεται δὲ ἐξ ὧν εἶπον ἄρτι συμπάντων· εἰ γὰρ ἰσχύει μέχρι τῆς ἑβδόμης ἡμέρας ἐπ' ὀξυμέλιτί τε καὶ μελικράτῳ καὶ ὕδατι διαιτώμενος ἐξαρκέσαι δι' ὧν εἶπον ἁπάντων, ἐλευθερωθήσεταί τε καὶ ὑγιασθήσεται· ὡς εἴ γε τὰ μὲν

protracturum ſperaveris? Ego ſane, qui diuturna experientia utrumque probaverim, tibi optimam ita fore victus rationem aſſero. At ſi vice verſa feceris, priorem quidem propoſitum a principio nutrire aggreſſus, poſteriorem vero ad ſeptimum uſque *ſine cibo* ſervare, utrumque trucidabis ſane ante quartum diem, alterum quidem citiſſime praeſocando, alterius vero vires proſternendo. Caeterum adjice, ſi velis, aetatem utrique contrariam, priorem quidem quadragenarium conſtituens, poſteriorem vero puerum, ſic enim citius adhuc ad mortem uterque properabit. Sed ſane haec omnia nunc dicta ad unum reducuntur ſcopum, qui uno verbo ab Hippocrate eſt declaratus. Quid enim ait? *Sorbitionem dare oportet poſt ſeptimum diem, ſi validus fuerit.* Verbum ſiquidem unum eſt, ſed ex omnibus, quae nuper dicta ſunt, invenitur. Si enim viribus valido ad ſeptimum uſque diem et oxymel et melicratum et aquam dare ſatis ſit ob quae dixi omnia, tum liberabitur tum ſanabitur. Ut ſi ſane ex ipſis alia quidem

αὐτῶν παρείη, τὰ δὲ ἀπείη, τὴν δύναμιν τῶν παρόντων τῇ δυνάμει τῶν ἀπόντων ἀντιπαραβάλλων εἴσῃ πόσαις ἡμέραις ὁ κάμνων ἐξαρκέσαι δυνήσεται τῷ τοιῷδε τῆς διαίτης εἴδει. ταῦτ᾽ οὖν ἀποδεδειγμένα κατὰ τὴν ἡμετέραν πραγματείαν εἰ μὲν ἀνέγνωκας, ἀναμνήσθητι νῦν· εἰ δ᾽ οὐκ ἀνέγνωκας, ἐπ᾽ ἐκεῖνα μετάβηθι πρότερον, εἰ βούλει τὴν ἀλήθειαν τῆς Ἱπποκράτους γνώμης κατανοῆσαι. πάντα γὰρ ὑφ᾽ ἡμῶν εἴρηται κατὰ πάσας τὰς πραγματείας, ἑπομένων αὐτοῦ τοῖς δόγμασιν ἀληθεστάτοις οὖσιν. ἀλλὰ γὰρ οὐχ οἷόν τέ ἐστιν ἄνθρωπον ἕνα τὴν προσήκουσαν διδάξαι τε μέθοδον καὶ τὰ κατὰ μέρος ἐν αὐτῇ ἅπαντα. διὸ μηδὲ παρ᾽ Ἱπποκράτους ἀκούειν ἅπαντα τὰ κατὰ μέρος ἀξιώσῃς, ἀλλὰ μᾶλλον μέμφου τοῖς δέον ἐργάζεσθαι τὰ καλῶς ὑπ᾽ αὐτοῦ διδαχθέντα, διὰ φιλοδοξίαν ἑτέραν αἵρεσιν συνισταμένοις. ἀλλ᾽ ἡμεῖς τιμῶντες ἀλήθειαν ἔν τε [33] τοῖς ἄλλοις ἅπασιν ἐπαινοῦμεν Ἱπποκράτην κἀν τῷ τὸν οἰκεῖον ἑκάστῳ πράγματι διδάξαι σκοπὸν, ὡς διὰ παντὸς ἀποβλέποντά τινα πρὸς αὐτὸν ὡρισμένην ἔχειν τὴν ὁδὸν τῆς εὑρέσεως τῶν βοηθημάτων. οὕτω

praesto sint, alia vero desint, horum vires si vice versa comparaveris, quot diebus sufficere ex tali victus specie aeger possit, deprehendes. Verum haec nostris in tractationibus demonstrata si legisti, recordare nunc, si non legisti, in eas te prius transfer, si sententiae Hippocratis veritatem cognoscere volueris. Omnia siquidem in operibus omnibus dicta sunt a nobis, qui verissima Hippocratis dogmata sequimur. Sed enim fieri non potest ut homo unus convenientem methodum et singularia, quae in ea sunt, omnia doceat, ideo neque ab Hippocrate singularia omnia auditurum te existimaveris. At potius eos argue, qui quum ea, quae ab Hippocrate probe demonstrata sunt, elaborare et conficere deberent, laudis appetentia ducti sectam aliam constituunt. Verum nos, qui veritatem honoramus, laudamus Hippocratem cum in caeteris omnibus, tum quod in unoquoque opere proprium scopum ita docuerit, ut huic attentus omnino quispiam definitam certamque inventionis auxiliorum habeat viam.

γοῦν καὶ τοῦ τροφὴν προσφέρεσθαι σκοπὸν ἕνα κοινὸν ἐπὶ πάντων ἐδείξαμεν, ὑγιαινόντων τε καὶ νοσούντων. ἔστι δ' οὗτος ἡ φυλακὴ τῆς ζωτικῆς δυνάμεως, ἣν νῦν ἐνεδείξατο σαφῶς εἰπὼν, ἢν ἰσχύη. διὰ ταύτην γάρ τοι τὴν δύναμιν ἐσθίομέν τε καὶ πίνομεν ὑγιαίνοντες, ἅπαντά τε τἄλλα πράττομεν ὅσα διαφέρει πρὸς τὴν ζωήν· διὰ δὲ τὴν αὐτὴν ταύτην καὶ νοσοῦντες ἐπὶ τροφὴν καὶ πόμα παραγινόμεθα. τὸ μὲν γὰρ νόσημα αὐτὸ τῆς ἑαυτοῦ διαθέσεως ἐνδείκνυται τὰ βοηθήματα, φλεβοτομίαν καὶ κλύσμα καὶ κατάπλασμα καὶ κάθαρσιν ὀξύμελί τε καὶ μελίκρατον, ἕκαστόν τε τῶν ἄλλων· ἡ δὲ τῆς δυνάμεως φυλακὴ μόνην τὴν τροφὴν ἐνδείκνυται. εἰ μὲν οὖν μηδὲν ἔβλαπτε μηδέποτε τὴν νοσώδη διάθεσιν ἡ τροφὴ, πρὸς μόνην ἂν ἀποβλέποντες τὴν δύναμιν ὡς ἐπὶ τῶν ὑγιαινόντων ἐτρέφομεν τοὺς νοσοῦντας· ἐπεὶ δὲ βλάπτει πολλάκις, ὡς ἐδείξαμεν, ἐπισκοπούμεθα διὰ τοῦτο τῆς νόσου τὴν διάθεσιν, οὐχ ὡς ἐνδεικνυμένην ποτὲ τὴν τροφὴν, ἀλλ' ὡς κωλύουσαν. ὅταν οὖν μὴ κωλύῃ κελεύῃ τε ἡ δύναμις, τηνικαῦτα τρέφομεν. οὐδέποτε γὰρ ἡ τροφὴ κατὰ τὸν

Sic itaque et alimenti exhibendi scopum unum communem prorsus omnibus tum sanis tum aegrotis esse demonstravimus. Is autem facultatis vitalis conservatio est, quam nunc indicavit, quum dixit: *si viribus validus fuerit.* Ob eam enim sane facultatem sani edimus et bibimus aliaque omnia ad vitam spectantia obimus; propter hanc eandem et aegrotantes ad cibos potusque procedimus. Nam morbus ipse suae affectionis indicat auxilia, phlebotomiam, clysma, cataplasma, purgationem, oxymel, aquam mulsam atque aliorum unumquodque. Facultatis vero conservatio solum indicat alimentum. Si igitur affectionem nullo modo laederet unquam alimentum, nos facultati soli attendentes aegros ut sanos aleremus, sed quoniam saepius laedit, uti ostendimus, ob id morbi affectionem non tanquam cibum indicantem, sed tanquam prohibentem contemplamur. Quum ergo non prohibeat facultasque imperet, tunc nutrimus. Nunquam enim cibus morbosam affectionem sui ratione juvabit. Id sane

ἑαυτῆς λόγον ὀνίνησι τὴν νοσώδη διάθεσιν. εἶπον δὲ τοῦτο διότι πολλάκις ὕλη μία καὶ τροφῆς καὶ φαρμάκου δύναμιν ἔχει, καθάπερ ἡ τῆς πτισάνης· καθ' ὅσον μὲν γὰρ ῥώννυσι τὴν δύναμιν, ὡς τροφὴ τοῦτο ἐργάζεσθαι πέφυκεν· ἐπεὶ δὲ καὶ τέμνει καὶ ὑγραίνει τὰ τῆς ἀναπτύσεως δεόμενα, φαρμάκου λόγον ἔχει κατὰ τοῦτο. χόνδρος μὲν οὖν τροφὴ μόνον ἐστὶ πλευριτικοῦ, ὀξύμελι δὲ φάρμακον· ἀμφοτέρων δὲ ἡ πτισάνη καὶ τὴν δύναμιν ἔχει καὶ τὴν χρείαν παρέχει τοῖς κάμνουσιν, ἀλλ' ὡς μὲν τροφὴ φυλακῆς ἕνεκα τῆς δυνάμεως, ὡς φάρμακον δὲ λύσεως ἕνεκα τῆς νόσου προσφέρεται. ὅταν οὖν ἡ δύναμις ἐξαρκῇ μέχρι τῆς τοῦ νοσήματος κρίσεως, ἄνευ τοῦ ῥοφῆσαι πτισάνην ὀξύμελι καὶ μελίκρατον ἀρκεῖ· τὸ μὲν ὀξύμελι φαρμάκου μόνον δύναμιν ἔχον, τὸ μελίκρατον δὲ καὶ τροφῆς ὀλίγης τε καὶ ἀσθενοῦς. ἐὰν μὲν οὖν θᾶττον τῆς ἑβδόμης ἡμέρας ἐλπίζεις ἔσεσθαι τὴν κρίσιν, οἷον εἰ τύχοι περὶ τετάρτην ἢ πέμπτην, πολλοὺς τῶν καμνόντων εὑρήσεις ἐξαρκέσαι δυναμένους ἄνευ τοῦ ῥοφῆσαι πτισάνην· ἐὰν δὲ εἰς τὴν ἑβδόμην ἐκτείνηται, παντάπα-

dixi, quoniam plerumque materia una tum cibi tum medicamenti facultatem obtinet, ut ptifana. Nam quod facultatem roboret, id tanquam alimentum efficere nata eft, fed quoniam et incidit et humectat quae expui oportet, ideo medicamenti rationem obtinet. Alica ergo pleuritici cibus tantum exiftit, oxymel vero medicamentum. Sed et utrorumque facultatem ptifana obtinet ufumque aegrotis exhibet, fed ingeritur, virium quidem confervandarum gratia tanquam alimentum, ut vero folvatur morbus, tanquam medicamentum. Quum igitur vires ad morbi usque judicationem fine ptifanae forbitione fuffecerint, oxymel et aqua mulfa fatis funt; oxymel quidem folam medicamenti facultatem habens, aqua vero mulfa cibi pauci et imbecilli. Si igitur judicationem feptimo die citius futuram fperaveris, ut verbi gratia circa quartum aut quintum, aegros fane multos fufficere citra ptifanae forbitionem poffe comperies, quod fi ad feptimum usque protrahatur, paucos omnino, qui et vires habent

σιν ὀλίγους, ὅσοι τήν τε δύναμιν ἰσχυρὰν ἔχουσι καὶ τὴν τοῦ σώματος ἕξιν σκληρὰν καὶ δυσδιάπνευστον καὶ τοὺς χυμοὺς παχεῖς ἢ γλίσχρους, τό τε περιέχον μὴ εἴη θερμόν. εἰ μὲν γὰρ μηδὲν ἀπέῤῥει τοῦ σώματος ἡμῶν, οὐκ ἂν ἐδεόμεθα τροφῆς· ἐπεὶ δὲ ἀποῤῥεῖ, κατὰ τὴν ἀναλογίαν τοῦδε καὶ τὸ τῆς τροφῆς ποσὸν ὁριούμεθα. τοῖς οὖν ὀλίγον διαπνεομένοις ἐγχωρεῖ ἄκραν ἀσιτίαν συμβουλεύειν, ἔτι δὲ μᾶλλον πρὸς τοῦτο ἐὰν καὶ τὴν δύναμιν ἐξ ἀρχῆς ἔχωσιν ἰσχυράν· ὡς ἥ γε ἀσθενὴς ὥσπερ ἐπὶ τῶν γερόντων ἔχει, εἰ καὶ ὀλίγον διαπνέεται τὸ σῶμα, ταχέως κάμνει· διὸ καὶ μικρὸν ἔμπροσθεν ἐμνημόνευσα τῶν ἔτη τεσσαράκοντα γεγονότων, οὐ τῶν ἑβδομήκοντα.

μδ'.

Ἢν δὲ μὴ ὑπεληλύθῃ ὁ παλαιότερος σῖτος νεοβρῶτι ἐόντι, ἢν μὲν ἰσχύῃ τε καὶ ἀκμάζῃ τῇ ἡλικίῃ, [34] κλύσαι· ἢν δὲ ἀσθενέστερος ᾖ, βαλάνῳ προσχρήσασθαι, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς.

robuſtas corporisque habitum tum durum tum aegre tranſpirabilem humoresque craſſos vel glutinoſos, etiam ſi ambiens aër calidus non fuerit. Nam ſi nihil e noſtro efflueret corpore, alimento opus non eſſet, ſed quoniam effluit, *ideo* hujus proportione cibi quantitatem definimus. Quibus igitur per cuticulares meatus paucum exhalat, fieri poteſt ut his ſummam conſulamus inediam, imo etiamnum ad hoc magis, ſi vires ab initio validas habuerint; ſi enim fuerint imbecillae, quemadmodum in ſenibus ſe res habet, etſi corpus parum exhalat, celeriter tamen aegrotat. Quapropter et paulo ante quadragenarii meminimus, non ſeptuagenarii.

XLIV.

At ſi recens cibato vetuſtior cibus non ſubierit, ſi quidem tum validus ſit, tum aetate vigeat, ſubluere oportet, *ſi vero imbecillior extiterit, glande utendum, niſi ſponte probe dejecerit.*

Πάλιν καλῶς κἀνταῦθα τὴν μὲν ἔνδειξιν τοῦ βοηθήματος ἀπὸ τῆς κατὰ τὸ σῶμα διαθέσεως ἔλαβε, συνεπεσκέψατο δὲ τὴν (52) δύναμιν οὐχ ὡς ἐνδεικνυμένην ποτὲ τὴν χρῆσιν τοῦ βοηθήματος, ἀλλ' ὡς ἀντενδεικνυμένην, ἐνίοτε δὲ καὶ κωλύουσαν. οὐ γὰρ ὅτι τὴν δύναμιν ἰσχυρὸς ὁ κάμνων, διὰ τοῦτο δεῖται κλύσματος, ἀλλ' ἡ τοῦ κλύσματος ἔνδειξις ἐκ τῆς κατὰ τὴν γαστέρα διαθέσεως. ἡ δύναμις δὲ ἰσχυρὰ μὲν ὑπάρχουσα συγχωρεῖ κενοῦν, ἄῤῥωστος δὲ οὖσα κωλύει. πρόσεχε δὲ πάλιν αὐτοῦ τῷ ἔθει ποτὲ μὲν τῆς δυνάμεως μόνης ἐπὶ τῶν τοιούτων μνημονεύοντος, ὥσπερ ἐπὶ τῆς προγεγραμμένης ῥήσεως, ποτὲ δὲ καὶ τὴν ἡλικίαν προστιθέντος· κυριώτατος μὲν γὰρ ὁ τῆς δυνάμεως σκοπὸς, εἰς δὲ τὴν διάγνωσιν αὐτοῦ καὶ ἡ τῆς ἡλικίας γνῶσις συντελεῖ, ταχέως μὲν ἐπὶ τῶν παίδων καμνούσης τῆς δυνάμεως διὰ τὸ τῆς ἀποῤῥοίας πλῆθος, ἐπαρκούσης δὲ ἐπὶ πλέον ἐν τοῖς ἀκμάζουσιν. ἀλλ' ὥσπερ ἐπὶ τῶν παίδων ἡ τοῦ σώματος οὐσία μαλακή τε οὖσα καὶ ὑγρὰ διαφορουμένη αἰτία γίγνεται τοῦ καταλύεσθαι τὴν δύναμιν, οὕτως καὶ ἐπὶ τῶν χωρίων ἔχει καὶ ὡρῶν. καὶ γὰρ τούτων αἱ θερμαὶ ταχέως τε

Rursus et hic probe remediorum indicationem ab affectu corporis sumpsit, simulque consideravit vires non tanquam remediorum usum aliquando indicantes, sed tanquam contra indicantes, interdum autem et prohibentes. Non enim quod aeger validus sit viribus, ob id clysmate est opus, sed clysmatis indicatio ex ventris desumitur affectu. Si vero vires validae fuerint, vacuare concedunt, si imbecillae, prohibent. Sed rursus ad Hippocratis consuetudinem converte animum, qui in talibus aliquando de solis viribus mentionem facit, ut in praescripta dictione, interdum autem et aetatem adjicit. Praecipuus siquidem est virium scopus, sed ad ejus dignotionem confert etiam aetatis cognitio, cito quidem in pueris laborantibus ob copiam effluvii viribus, in aetate vero florentibus abunde sufficientibus. Caeterum quemadmodum in pueris corporis substantia tum mollis tum humida praecipua exolutionis virium causa efficitur, sic et in regionibus et

καὶ εὐθέως καταλύουσι τὴν δύναμιν τῷ πλήθει τῆς κενώσεως. εἰκότως οὖν ἐνίοτε ἐπὶ μόνης τῆς δυνάμεως ὁ Ἱπποκράτης ποιεῖται τὴν διδασκαλίαν τῶν τοιούτων διορισμῶν, ἐνίοτε δὲ καὶ τῶν ἄλλων τι προστίθησι συναναμιμνήσκων αὐτοῖς καὶ τὰ λοιπά.

με'.

Καιρὸν δὲ τῆς δόσιος τοῦ ῥοφήματος τόνδε μάλιστα φυλάττεσθαι κατ' ἀρχὰς καὶ διὰ παντὸς τοῦ νοσήματος. ὅταν μὲν οἱ πόδες ψυχροὶ ἔωσιν, ἐπισχεῖν χρὴ τοῦ ῥοφήματος τὴν δόσιν, μάλιστα δὲ καὶ τοῦ ποτοῦ ἀπέχεσθαι· ὅταν δὲ ἡ θέρμη καταβῇ εἰς τοὺς πόδας, τότε διδόναι· καὶ νομίζειν μέγα δύνασθαι τὸν καιρὸν ἐν ἁπάσῃσι τῇσι νούσοισι, οὐχ ἥκιστα δ' ἐν τῇσιν ὀξείῃσιν, μάλιστα δ' ἐν τοῖσι μᾶλλον πυρετώδεσι καὶ ἐπικινδυνοτάτοισιν.

Ὥσπερ ἔφην ἕνα μὲν ὑπάρχειν σκοπὸν τῆς τροφῆς, τὴν

anni tempeſtatibus res habet. Nam horum calores velociter confeſtimque vires vacuationis copia ſolvunt. Jure igitur Hippocrates ex viribus interdum ſolis diſtinctionum hujusmodi doctrinam efficit, interdum et aliquid ex aliis adjicit, una cum ipſis et caetera commemorans.

XLV.

Occaſionem autem exhibendae ſorbitionis tum per initia tum per totum morbum hanc maxime obſervare oportet. Quum quidem pedes frigidi fuerint, ſorbitionis exhibitionem prohibere oportet, maxime vero etiam a potu temperandum eſt. Quum vero calor ad pedes deſcenderit, tunc dare convenit, reputareque cum in morbis omnibus tum haud minime in acutis, ac potiſſimum in magis febrilibus ac periculoſiſſimis, hancce occaſionem plurimum poſſe.

Quemadmodum dixi unum quidem eſſe alimenti ſco-

φυλακὴν τῆς δυνάμεως, ἀναγκαῖον δὲ εἶναι συνεπισκοπεῖσθαι καὶ τοῦ νοσήματος τὴν διάθεσιν· οὕτω καὶ αὐτοῦ τοῦ καιροῦ τῆς προσφορᾶς ἡ εὕρεσις ἐκ τοῦ μὴ κωλύειν τὴν νόσον γίνεται. ὅσον μὲν γὰρ ἐπὶ τῷ πρώτῳ σκοπῷ τῆς δυνάμεως ἡ χρεία τῆς τροφῆς ἐνίοτε καὶ κατὰ τὴν ἀρχὴν τῶν ὑγιαινόντων παροξυσμῶν ἐστιν, ὥσπερ καὶ ἐπὶ τῶν ὁπότε πρῶτον ἐπὶ τῶν φυσικῶς γιγνομένων κενώσεων ἐγγύς ἐστί τις τοῦ κάμνειν, ἀναλήψεως αὐτῷ χρεία. ἐπεὶ δ' ἐν ταῖς ἀρχαῖς καὶ ταῖς ἀναβάσεσι τῶν παροξυσμῶν ἡ προσενεχθεῖσα τροφὴ βλάπτειν πέφυκε μεγάλα, διὰ τοῦτ' ἀναβαλλόμεθα τὴν δόσιν αὐτῆς, καίτοι τοῦ σώματος ἤδη δεομένου. τίς οὖν ἄριστος καιρὸς τροφῆς ἐπὶ τῶν [35] νοσούντων; ἐν ᾧ δῆλον μετριώτατα διάκειται τὰ κατὰ τὸν θώρακα καὶ τὴν γαστέρα. τίς δὲ χείριστος; ἐν ᾧ χείριστα διάκειται ταῦτα. πότε γοῦν ἔχει χείριστα; κατὰ τὰς ἀρχὰς τῶν παροξυσμῶν. πότε δὲ μετριώτατα; κατὰ τὰς παρακμάς. εὔδηλον οὖν ὅτι καιρὸς τροφῆς ἐστιν ἄριστος ἐν ταῖς παρακμαῖς τῶν νοσούντων. ἡ μὲν οὖν ἀρχὴ τῶν παροξυσμῶν

pum, virium conſervationem, neceſſario autem ſimul morbi affectionem contemplandam eſſe, ita cibi offerendi occaſio ex morbo non prohibente invenitur. Quantum ſiquidem ex primo virium ſcopo eſt, interdum et per acceſſionum initia nutriendi exiſtit neceſſitas, quemadmodum et in ſanis, ubi primum in naturalibus evacuationibus quis eo devenerit, ut prope laborare incipiat, virium inſtauratione per alimenta eſt opus. Sed quoniam in acceſſionum tum principiis tum incrementis aſſumptum alimentum laedere admodum conſuevit, ob id differimus ipſius exhibitionem, quamquam corpus ipſum jam indiget. Quae igitur optima aegrotantibus alimenti exhibendi occaſio? in qua conſtet moderatiſſime affici tum thoracis, tum ventris partes. Quae vero deterrima? in qua hae deterrime afficiuntur. Quando igitur deterrime ſe habent? In acceſſionum principiis. Quando vero moderatiſſime? in declinationibus. Conſtat igitur optimum cibi miniſtrandi tempus in aegrotantium declinationibus eſſe. Acceſſionum

γίγνεται συνελθόντος εἰς τὴν καρδίαν τε καὶ τὸν θώρακα ἐξ ὅλου τοῦ σώματος τοῦ θερμοῦ παντός· ἡ δ' ἐπίδοσις ἐκτεινομένου κατὰ βραχὺ πρὸς τὰ πέρατα τοῦ σώματος· ἡ δ' ἀκμὴ δι' ὅλου τοῦ σώματος ὁμαλῶς ἐκτεινομένου· παρακμὴ δ' ἔμπαλιν τῇ ἀρχῇ διαπνεομένης γε τῆς θερμασίας γίγνεται καὶ τὰ μέσα τοῦ σώματος ἀπολειπούσης, ὅπερ ἐδήλωσε δι' ἑνὸς ῥήματος εἰπών· ὅταν ἡ θέρμη καταβῇ εἰς τοὺς πόδας. οὐ γὰρ ταυτόν ἐστι τὸ θερμοὺς ἐκ ψυχρῶν γενέσθαι τοὺς πόδας καὶ καταβῆναι τὴν θερμασίαν εἰς αὐτούς. τὸ μὲν γὰρ καταβῆναι τὴν μετάστασιν δηλοῖ τῆς θερμασίας ἐξ ἑτέρου μέρους εἰς ἄλλο μέρος, τὸ δὲ θερμανθῆναι τοὺς πόδας ἐγχωρεῖ γενέσθαι καὶ μενούσης ἐν τοῖς μέσοις τῆς θερμασίας, ὅπερ ἐπὶ τῆς ἀκμῆς συμβαίνει.

μϛʹ.

Χρῆσθαι δὲ πρῶτον μάλιστα μὲν χυλῷ, ἔπειτα δὲ πτισάνῃ, κατὰ τὰ τεκμήρια τὰ προγεγραμμένα ἀκριβῶς θεωρῶν.

autem principium fit, calore omni universo ex corpore tum ad cor tum ad thoracem concurrente. Incrementum vero, quum paulatim ad extremas corporis partes sese expandit. Status, quum per universum corpus aequabiliter extenditur. Verum declinatio principio contraria est, quae tum perspirante calore, tum media corporis relinquente oritur, quod uno ostendit verbo, inquiens: *quum ad pedes calor descenderit.* Non enim idem est calidos ex frigidis fieri pedes et calorem in eos descendere. Nam descendere commutationem caloris ex alia parte in aliam partem prodit. Pedes autem possunt calefieri, manente etiam in corporis medio calore, quod in vigore ipso accidit.

XLVI.

Primum autem maxime quidem cremore, deinde ptisana, praescriptas conjecturas accurate consulentem, uti oportet.

Προειρηκὼς ὁπότε μὲν ἐπὶ τῷ ποτῷ μόνῳ χρὴ διαιτᾷν τοὺς κάμνοντας, ὁπότε δὲ ἐπὶ πτισάνῃ, νῦν διορίζει πότε μόνῳ χυλῷ χρηστέον ἐστὶ καὶ πότε αὐτῇ τῇ πτισάνῃ. σύντομος δὲ καὶ σαφὴς ὁ διορισμός. ὅταν γὰρ οἷς εἶπε τεκμηρίοις προσέχων, εὑρήσεις τινὰ τῶν καμνόντων δύνασθαι χρῆσθαι πτισάνῃ τὴν ἀρχὴν ἀπὸ τοῦ χυλοῦ ποιησάμενος, οὕτως ἐπ᾽ αὐτὴν μεταβήσῃ κατὰ βραχύ· λέγω δὲ κατὰ βραχὺ, πρῶτον μὲν αὐτῷ μόνῳ τῷ χυλῷ χρησάμενος, εἶτα τούτου μὲν δοὺς πλείονος, ὀλίγον δὲ τῆς πτισάνης, εἶτ᾽ ἴσον ἑκατέρου, κᾄπειτα τῆς πτισάνης πλεῖον, εἶτα μόνην αὐτήν· ἐπιστάμενος εἰς μὲν τὴν θρέψιν τοῦ σώματος καὶ ῥῶσιν τῆς δυνάμεως τὴν πτισάνην πλεονεκτεῖν, εἰς δὲ τὸ πεφθῆναί τε καὶ κατεργασθῆναι ῥᾳδίως τὸν χυλόν. ὅταν οὖν βλέπῃς προχωροῦσαν ἐπὶ τὰ βελτίω τήν τε πρὸς τοῦ νοσήματος διάθεσιν καὶ τὴν τῆς δυνάμεως ἰσχὺν, αὔξανε καὶ σὺ τὴν προσφορὰν τῆς πτισάνης.

Praenunciavit quando pro victu potu ſolo uti aegrotantes oporteat et quando ptiſana, nunc diſtinguit quando cremore ſolo et quando ptiſana ipſa utendum ſit. Conciſa vero ac conſpicua diſtinctio eſt. Quum enim ad eas, quas recenſuit, conjecturas animum convertens aegrotantium aliquem ptiſana uti poſſe comperies, a cremore ducto exordio ad ipſam paulatim te transferes. Dico autem paulatim, ut primum quidem ſolo utaris cremore, deinde cremoris quidem plus exhibeas, ptiſanae autem exiguum, deinceps aequaliter utrumque, mox ptiſanae plus, atque tandem eam ſolam, ſciens ptiſanam ipſam ad corporis nutrimentum viriumque robur exuberare, cremorem autem ad concoctionem confectionemque facilem eſſe. Quum igitur morbi affectionem viriumque robur vergere ad melius videris, auge et tu ptiſanae oblationem.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ ΝΟΣΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΚΑΙ ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ Β.

Ed. Chart XI. [36.] Galen. V. (52.)

α'.

[36] Ὀδύνη δὲ πλευροῦ ἤν τε κατ' ἀρχὰς γένηται ἤν τε ὕστερον, θερμάσμασι μὲν τὸ πρῶτον οὐκ ἀπὸ τρόπου ἐστὶ χρησάμενον πειρηθῆναι διαλῦσαι τὴν ὀδύνην.

Ὅπερ εἴρηταί μοι πολλάκις ἄμεινον ἀναμνῆσαι καὶ νῦν, ὡς ἡ μὲν ἐξήγησις ἐπὶ τῶν ἀσαφῶν γίγνεται λέξεων, οὐ μὴν

HIPPOCRATIS DE ACUTORUM MORBORUM VICTU LIBER ET GALENI COMMENTARIUS II.

I.

Lateris autem dolorem, sive is per exordia, sive postea obortus sit, tentare calidis quidem fomentis primum dissolvere, non dissentaneum est.

Quod a me plerumque enunciatum est, id ad memoriam et nunc revocare praestat, ut nimirum obscurarum

οἵ γε ἐξηγηταὶ τοῦτο μόνον ἐν τοῖς ὑπομνήμασι πράττουσιν, ἀλλὰ καὶ κατασκευάζουσι τὰ λεγόμενα διὰ τῶν συγγραμμάτων, εἰς ἃ τὰς ἐξηγήσεις ποιοῦνται. δι' οὖν τοῦτο τὸ ἔθος ἀναγκάζομαι κἀγὼ συναγορεύειν οἷς οὐκ ἀρέσκομαι, προσαποφαίνεσθαί τε τοῖς ἐξηγήσεως δεομένοις ὡς τὰ πολλὰ καὶ τὴν ἐμὴν γνώμην· οὐ μὴν τὰς ἀποδείξεις γράφω τῶν ἀληθῶν μοι δοξάντων [37] εἶναι, κατὰ τὰ τοιαῦτα ὑπομνήματα, γέγραπται γὰρ ὑπὲρ τούτων ἰδίᾳ καθ' ἕκαστον· ἀλλὰ τὰ κεφάλαια μόνα τῶν ἀποδεδειγμένων ἐν ἑτέραις πραγ- (53) ματείαις ἀναμιμνήσκω, καθάπερ καὶ νῦν ἐπὶ τῆς ὀδύνης ποιήσω. περὶ οὖν ὀδύνης γενέσεως εἴρηται μέν μοι κἀν τῷ καθ' Ἱπποκράτην στοιχείων περὶ τῶν, εἴρηται δὲ κἀν ταῖς τῶν συμπτωμάτων αἰτίαις ὡς ἐν τοῖς αἰσθητικοῖς σώμασιν ἡ ὀδύνη γίγνεται μεταβολὴν ἀθρόαν εἰς τὸ παρὰ φύσιν λαμβάνουσι, καὶ ὡς ἔστιν ἡ μεταβολὴ διττὴ, ποτὲ μὲν ἀλλοιουμένων αὐτῶν ἀθρόως τε καὶ βιαίως κατὰ ποιότητα, ποτὲ δὲ τῆς συνεχείας λυομένης. ἀλλοιοῦται μὲν οὖν ἀθρόως κατὰ τὰς δρα-

dictionum explicatio fiat, neque tamen interpretes id tantummodo in commentariis faciunt, verum etiam quae dicuntur in libris, in quos commentaria moliuntur, astruunt. Ob hunc igitur morem cogor ego et illis quos non probo consentire atque saepenumero ad ea quae explicatione egent sententiam meam prodere. Non tamen eorum, quae in hujusmodi commentariis esse vera mihi apparent, demonstrationes scribo, nam de his peculiariter in unoquoque scriptum est, sed quae caeteris in tractationibus demonstrata sunt, eorum ad memoriam revoco sola capita, ut et nunc in dolore sum facturus. De doloris ergo generatione diximus quidem libro de elementis secundum Hippocratem, diximus etiam et in libris de symptomatum caussis, quod dolor in sensibilibus fiat corporibus, mutationem repentinam in quod praeter naturam est suscipientibus et quod duplex sit haec mutatio, alias quidem dum ipsa tum repente tum violenter secundum qualitatem alterantur, alias vero dum continuitas solvitur. Alterantur autem *corpora* repente ab efficientibus qualitatibus,

στικὰς ποιότητας θερμαινόμενα καὶ ψυχόμενα καὶ ξηραινόμενα καὶ ὑγραινόμενα, διαφθείρεται δ' αὐτῶν ἡ συνέχεια τεινομένων σφοδρῶς ἢ θλιβομένων. οὕτως οὖν καὶ τῆς πλευρᾶς ὀδύνη γίγνεται κατὰ τὰ πλευριτικὰ πάθη, περὶ ὧν ὁ λόγος ἦν αὐτῷ, τῆς ἐν τούτοις τοῖς χωρίοις φλεγμονῆς καὶ τῷ πλήθει τῆς παρὰ φύσιν θερμασίας ἀνιώσης τὰ μόρια κατὰ δυσκρασίαν καὶ τῇ πληρώσει δὲ τεινούσης τὰ φλεγμαίνοντα σώματα. πρώτης οὖν ἀξιοῖ βοηθείας εἰς τὴν τῆς ὀδύνης ἴασιν ἢ παρηγορίαν ἀποπειραθῆναι τῆς διὰ τῶν θερμασμάτων· ταῦτα γὰρ εἴωθεν ἀραιόν τε τὸ δέρμα πρὸς τὰς διαπνοὰς ἐργάζεσθαι καὶ τὸ κατὰ τὴν φλεγμονὴν αἷμα λεπτύνειν τε καὶ διαφορεῖν. εἰ μὲν οὖν ταῦτα πραχθείη, κενωθήσεταί τι τοῦ αἵματος ἧττόν τε διατεινόμενα τὰ πεπονθότα μόρια πρὸς τοῦ λοιποῦ πρᾳότερον ὀδυνήσεται· μὴ γιγνομένου δὲ ἐλάττονος τοῦ κατὰ τὴν φλεγμονὴν αἵματος ἢ καὶ πνεύματος ἀτμώδους ἐκ τῆς θερμασίας γεννηθέντος αὐξάνεσθαι συμβαίνει τὴν ὀδύνην. οὐ γίγνεται δὲ ἔλαττον τὸ αἷμα διὰ τὴν ἐν τῷ παντὶ σώματι περιουσίαν τῶν χυ-

quum et calefiunt et refrigerantur et ſiccantur et humectantur, corrumpitur autem eorum continuitas, quum illa vehementer diſtenduntur vel comprimuntur. Sic igitur et dolor lateris fit in pleuriticis affectibus, de quibus ipſi ſermo eſt, dum quae illis in locis eſt phlegmone, tum multitudine caloris praeter naturam, partes per intemperiem diſcruciat, tum etiam repletione corpora phlegmone laborantia diſtendit. Primo ergo auxilio ad doloris ſanationem vel mitigationem fomentis calidis aggredi praecipit. Haec enim et cutim ad perſpirationes rariorem efficere et phlegmones ſanguinem tum tenuare tum per halitum diſcutere conſueverunt. Quae ſi facta fuerint, ſanguinis aliquid evacuabitur, minusque partes affectae diſtendentur ac deinceps moderatius dolebunt. At quum ſanguis in phlegmone non minuitur, aut etiam ſpiritus vaporus ex calore generatur, tunc dolorem augeri contingit. Sanguis autem non minuitur propter eam quae in toto corpore eſt humorum redundantiam. Nam quae

μῶν· ἐπὶ γὰρ τὸ θερμαινόμενον μέρος ἕλκεται πλέον ἢ διαφορεῖται, φύσιν ἐχόντων τῶν θερμαινόντων ὥσπερ διαφορεῖν τὸ περιεχόμενον οἷς ἂν πλησιάζῃ μορίοις, οὕτως ἕλκειν τὸ περιττεῦον ἐκ τῶν γειτνιώντων. ὅταν οὖν τὰ θερμάσματα μὴ λύῃ τὴν ὀδύνην, προκενωτέον ἐστί σοι τὸ πᾶν σῶμα διὰ κενώσεως· ἀξιόλογος δὲ κένωσις ἐπὶ τῶν ὀξέως νοσούντων ἥ τε διὰ τῆς γαστρὸς καὶ ἡ διὰ τῆς φλεβοτομίας, ὧν τὴν ἑτέραν ἀξιοῖ παραλαμβάνειν ὁ Ἱπποκράτης, διδάσκων σκοποὺς τῆς μᾶλλον ὠφελῆσαι δυναμένης. τὸ μὲν οὖν κεφάλαιον τοῦ προκειμένου λόγου τοῦτό ἐστι, τῶν δὲ κατὰ μέρος αὐτῷ λεγομένων ὅσα μὴ σαφῆ τοῖς πολλοῖς ἐστι διὰ τῶν ἐφεξῆς δηγήσομαι· τοῖς πολλοῖς δὲ εἶπον, ἐπειδὴ τοῖς προγεγυμνασμένοις ἀκούειν λέξεως παλαιᾶς ὀλίγα παντάπασιν ἀσαφῆ γίνεται. ἀλλ᾽ οὐ στοχαζόμεθα τούτων μόνον ἐν τοῖς ὑπομνήμασι.

---

pars calore afficitur plus trahit quam difcutiatur, nam quae calefaciunt, ut natura quod viciniis continetur partibus difcutiunt, fic et quod redundat ex propinquis trahunt. Quum igitur fomenta calida dolorem non folverint, corpus totum aliqua vacuatione praevacuandum. Vacuatio autem infignis in acute laborantibus aut per ventrem aut per venae fectionem fit, quarum alteram affumi praecipit Hippocrates, fcoposque ejus, quae praefidio magis effe poffit, edocet. Summa ergo praefentis narrationis haec eft. Verum quae particulatim ab eo dicuntur et quae multis obfcura exiftunt, in fequentibus explanabo. Multis dixi, quoniam iis, qui fefe in dictionibus antiquis intelligendis exercuerunt, pauca omnino obfcura funt. At in hisce commentariis mentem non eo tantum dirigimus.

β'.

Θερμασμάτων δὲ κράτιστον μὲν ὕδωρ θερμὸν ἐν ἀσκῷ ἢ ἐν κύστει ἢ ἐν χαλκῷ ἀγγείῳ ἢ ἐν ὀστρακίνῳ.

---

[38] Θερμάσματα δηλονότι καλεῖ τὰ θερμαίνοντα τὸ σῶμα καθ' ὁντιναοῦν τρόπον· ἔστιν οὖν αὐτῶν ἔνια μὲν ὑγρὰ τελέως, ἔνια δὲ ξηρὰ, τινὰ δὲ ἐξ ἀμφοῖν μικτά· δακνώδη δὲ ἄλλα ἢ ἄδηκτα καί τινα τρίτα κἀνταῦθα σύμμικτα. τὸ μὲν οὖν πρῶτον εἶδος αὐτῶν ὃ κατὰ τὴν ῥῆσιν ἔγραψεν ἄδηκτόν τέ ἐστι καὶ ὑγρὸν, τὸ δὲ δεύτερον μικτὸν ἐξ ἀμφοτέρων, ξηροῦ τε καὶ ὑγροῦ δακνώδους τε καὶ ἀδήκτου· τὸ δὲ τρίτον ξηρὸν μὲν, ἀλλ' ἤτοι δακνῶδες ἢ ἄδηκτον· εἰ δὲ καὶ τὰς διαθέσεις αὐτὸς εἰρήκει τὰς ἑκάστου τῶν εἰρημένων δεομένας, τοσούτῳ βελτίων ἂν ἦν ὁ λόγος, ὅσῳ καὶ ὠφελιμώτερος τοῖς ἀναγινώσκουσιν· ἐπεὶ δ' οὐκ εἶπεν, ἦν μὲν οὐδ' ἡμῖν ἀναγκαῖον ἀλλοτρίαν διδασκαλίαν σαφηνίζουσιν, οὐκ ἰδίαν διερχομένοις. ἐπεὶ δ' ἔμπαλιν τοῖς ἄλλοις ἐξηγη-

II.

Fomentorum autem optimum quidem eſt aqua calida in utre aut in veſica aut in vaſculo aeneo aut teſtaceo poſita.

Fomenta calida omnino vocat quae corpus quocunque modo calefaciunt. Sunt itaque ipſorum nonnulla prorſus humida, quaedam ſicca et quaedam ex utrisque mixta, mordacia praeterea alia, alia minime mordacia et alia ex iis commixta tertia. Primum igitur horum genus, quod in textu ſcripſit, minime mordax atque humidum exiſtit. Secundum ex utriſque, ſicco et humido, mordaci et minime mordaci, commixtum eſt. Tertium autem ſiccum quidem, ſed vel mordax vel minime mordax. Quod ſi et affectiones unumquodque dictorum generum poſtulantes ipſe recenſuiſſet, oratio ejus tanto melior, quanto et legentibus ipſis utilior fuiſſet. Sed quia non recenſuit, neque id recenſere neceſſarium erat nobis, qui doctrinam alterius explicamus, non noſtram perſequimur. At

ταῖς ἔχει τοὐμὸν (ἐκεῖνοι μὲν γὰρ ἐπισπείρουσιν ταῖς ἐξηγήσεσι τὰ σοφιστικὰ ζητήματα, μηδὲν εἰς τὸ τέλος τῆς τέχνης ὠφελοῦντα τοὺς μανθάνοντας· ἐγὼ δ' ἀεὶ πειρῶμαι τὰ χρησιμώτατα διεξέρχεσθαι) διὰ τοῦτο καὶ νῦν οὐκ ὀκνήσω προσθεῖναι τῇ τοῦ Ἱπποκράτους διδασκαλίᾳ τὰ παραλελειμμένα μὲν ὑπ' αὐτοῦ, τῇ δ' ὅλῃ γνώμῃ καὶ τοῖς δόγμασι καὶ τοῖς καθόλου παραγγέλμασιν ἑπόμενα. πυρία μὲν οὖν πᾶσα καθ' ὅντινα λόγον ὀνίνησι πολλάκις ὀδύνας ἔμπροσθεν εἴρηται· λέλεκται δὲ καὶ περὶ τῶν οὐδὲν ὠφελουμένων ὑπὸ πυρίας ὀδυνῶν, εἰ μὴ προκενωθείη τὸ πᾶν σῶμα. κοινῶν δ' ὄντων τούτων ἁπάσαις πυρίαις, αἱ μὲν ὑγραὶ φλεγμοναῖς ἁρμόζουσιν ὑπὸ χολωδεστέρων ὑγρῶν γεγονυίαις, αἱ δὲ ξηραὶ ταῖς ὑπὸ λεπτοῦ καὶ ὑδατώδους αἵματος· ἀεὶ γὰρ χρὴ μεμνῆσθαι τοῦ τὰ ἐναντία τῶν ἐναντίων ἰάματα εἶναι. κατὰ τοῦτον οὖν τὸν σκοπὸν αἱ μὲν ἄδηκτοι πυρίαι τοῖς δακνώδεσιν ἁρμόττουσι χυμοῖς, αἱ δὲ δακνώδεις, ἐπειδὴ λεπτύνουσι, τοῖς παχέσι καὶ γλίσχροις· ὥστε καὶ σὺ πειρῶ στοχάζεσθαι τίς

vero quoniam meum eſt contra quam interpretes caeteri agere (illi namque ſuis in explanationibus ſophiſticas quaeſtiones diſcentibus ad finem artis nihil opitulantes inſerunt, ego vero ſemper quae commodiſſima ſunt perſequi molior) ob id et nunc doctrinae Hippocratis ab eo quidem praetermiſſa, ſed toti ſententiae dogmatisque atque univerſalibus praeceptis reſpondentia, adjicere non cunctabor. Qua igitur ratione fotus omnis doloribus ſaepiuscule adjumento ſit, prius dictum eſt. Atque dictum quoque de illis eſt doloribus, qui a fotu nullo pacto, niſi prius vacuato univerſo corpore, juvantur. Verum quum haec ſotibus omnibus communia ſint, humidi quidem phlegmonis a bilioſiore humore factis idonei ſunt, ſicci vero a tenui aquoſoque ſanguine obortis. *Perpetuo enim contraria contrariorum eſſe remedia meminiſſe oportet.* Hoc igitur ſcopo fotus minime mordaces mordacibus humoribus quadrant, mordaces vero, quod attenuant, craſſis et glutinoſis. Quare tu quoque enitere conjecturis aſſe-

ἐστιν ὁ κατὰ τὸ φλεγμαῖνον μέρος ἐπικρατῶν χυμὸς ἐξ ὧν εἶπον ὁρμώμενος ἡλικίας τε τοῦ κάμνοντος καὶ φυσικῆς κράσεως ὥρας τε καὶ χώρας καὶ τοῦ προηγουμένου βίου. φαινομένης δέ σοι τῆς φλεγμονῆς κἀκ τῶν συμβεβηκότων αὐτῇ κατά τε χροιὰν καὶ μέγεθος ἀντιτυπίαν τε καὶ μαλακότητα, πλευρῖτιν δὲ καὶ περιπνευμονίαν θεραπεύων, κἀκ τῶν ἀναπτυομένων, στοχαστικῆς δὲ οὔσης, οὐκ ἐπιστημονικῆς οὐδὲ βεβαίας, τῆς εἰρημένης ἁπάσης διαγνώσεως, καὶ μάλισθ' ὅταν ἐν τῷ βάθει τοῦ σώματος ᾖ τὸ τὴν ὀδύνην ἔχον μόριον, ἄρξαι μὲν ἀπὸ τῶν δοξάντων σοι μᾶλλον ἑτέρων ὠφελήσειν, ἐὰν δὲ μηδὲν ἀνύσῃ, κἀπὶ τἄλλα μετάβαινε, μὴ παυσαμένης δὲ τῆς ὀδύνης ἐπὶ τὴν τοῦ παντὸς σώματος ἀφικνοῦ κένωσιν. φαίνεται τοιγαροῦν ὁ Ἱπποκράτης ἀπὸ τῆς ἀκινδυνοτάτης ἀρξάμενος πυρίας, ἥτις ἐστὶν ἀδηκτοτάτη τε καὶ ὑγρά· κἂν γὰρ ὠφελήσῃ μηδέν, ἀλλ' οὐ βλάψει γε μεγάλως· αἱ δὲ δι' ὄξους ἢ ὀρόβων ἢ ἁλῶν, ἐὰν μὴ τύχωσιν ἐπιτη-

qui quis in phlegmone obſeſſa parte exuperans humor ſit, ab iis quae retuli concitatus, aetate laborantis, naturali temperamento, anni tempeſtate, regione et vita antecedente. At phlegmone tibi prodita ex iis quae ipſi tum in colore, tum in magnitudine, tum in duritie, tum in mollitie acciderunt, et ſi pleuritidem vel peripneumoniam curaveris, ex iis quae ſpuendo excernuntur. Verum quum praeſata omnis dignotio conjecturalis ſit et non ſcientifica neque certa, praeſertim quum in corporis alto pars ſita ſit, quae dolore afficitur, ab iis inchoare te oportet, quae quam caetera magis auxilio eſſe tibi videbuntur. Quod ſi nihil praeſidii tuleris, ad alia etiam te transferre conveniet. Dolore autem non ſedato ad totius corporis accede evacuationem. Videtur ergo Hippocrates ab eo incepiſſe fotu, qui periculo omni vacat; is autem eſt qui et minime mordax et humidus exiſtit; nam etiamſi nihil auxilii attulerit, non tamen magnopere laeſerit. At qui ex aceto vel orobo vel ſale parantur, niſi convenientem ſortiantur affectionem, non ſolum non auxilian-

δείας διαθέσεως, οὐ μόνον οὐδὲν ὠφελοῦσιν, ἀλλὰ καὶ μεγάλως παροξύνουσι δραστήριον ἔχουσαι δύναμιν.

γ΄.

[39] *Προϋποτιθέναι δὲ χρὴ μαλθακόν τι πρὸς τὴν πλευρὴν προσηνείης ἕνεκεν.*

Ἐπειδὴ τὸ ὕδωρ ἐν ἀσκῷ ἢ κύστει ἢ ἀγγείῳ χαλκῷ ἢ ὀστρακίνῳ προσφέρειν ἠξίωσε ταῖς πλευραῖς, ὅπως ἄθλιπτός τε ᾖ καὶ τελέως ἄλυπος ἡ τῶν προσφερομένων ὁμιλία, μαλακόν τι προϋποτιθέναι κελεύει κατὰ τῶν πλευρῶν ἐπιβάλλοντας. ἔριον δ' ἂν εἴη τοῦτο τὸ μαλακὸν ἢ τὸ πολύπτυχον ἱμάτιον ἢ καί τι τῶν ἁπαλῶν ὑπαρχόντων. μικρὸν γοῦν ἐφεξῆς τῆς διὰ τοῦ σπόγγου πυριάσεως μνημονεύων οὐδὲν ἀξιοῖ προϋποτιθέναι.

δ΄.

Ἀγαθὸν δὲ καὶ σπόγγος μαλθακὸς μέγας, ἐξ ὕδατος θερμοῦ

tur, verum etiam et dolorem multopere exacerbant, efficacem sortita facultatem.

III.

Verum prius molle quidpiam ad latus lenitatis gratia subjicere oportet.

Quandoquidem in utre aut vesica aut vasculo aeneo vel testaceo positam aquam lateri admovere praecipit, prius molle aliquid subjici iis quae latus contingere debeant, ut et minime premat et prorsus minime molesta sit eorum quae admoventur applicati imperato. Cujusmodi fuerit lana mollis, vel linteum multiplex, vel quidpiam eorum quae mollia existunt. Sed paulo post de eo qui per spongiam fit fotu agens nihil prius subjici jubet.

IV.

At commode etiam spongia mollis magna ex aqua calida

ἐκπεπιεσμένος προστίθεσθαι. περιστέγειν δὲ ἱματίῳ τὴν θάλψιν χρή· πλείω τε γὰρ χρόνον ἂν διαρκέσει καὶ παραμενεῖ, καὶ ἅμα ὡς μὴ ἡ ἀτμὶς πρὸς τὸ πνεῦμα τοῦ κάμνοντος φέρηται, ἢν μὴ ἄρα δοκέῃ (54) καὶ τοῦτο χρήσιμον πρός τι εἶναι· ἔστι γὰρ ὅτε δεῖ πρός τι.

Τὰ μὲν ἄλλα τῆς ῥήσεως δῆλα, περὶ δὲ τῆς ἀτμίδος εἰπεῖν χρὴ, πολὺ τὸ ἀσῶδες καὶ ἀνιαρὸν ἐχούσης, παροξυνούσης τε τὴν δύσπνοιαν αὐξήσει τῆς θερμασίας καὶ τὴν κατὰ τὸν πνεύμονα στενοχωρίαν, ἣν ἐκ τῆς ὑγρᾶς ἀτμίδος πληρούμενος ἴσχει. μόναις οὖν ταῖς ξηραῖς καὶ ἀπτύστοις πλευρίτισιν ἐπιτήδειός ἐστιν ἡ τῆς ἀτμίδος εἰσπνοὴ πλέον ἔχουσα τοῦ βλαβεροῦ τὸ ὠφέλιμον. ἐνταῦθα μὲν οὖν ἐπιγέγραπται τὸ πρῶτον εἶδος τῆς πυριάσεως, ἐφεξῆς δὲ ἐπὶ τὸ δεύτερον μεταβαίνων ἐρεῖ·

ε'.

Ἔτι δὲ καὶ κριθαὶ ἢ καὶ ὄροβοι ἐν ὄξει κεκραμένῳ σμικρῷ

expressa admovetur. Sed fomentum linteo involvendum est; etenim longiore tempore sufficiet ac perdurabit, atque simul ut ne halitus ad laborantis spiritum efferatur, nisi fortassis et hoc ad aliquid commodum videatur esse; interdum enim ad aliquid opportunum est.

Caetera quidem textus manifesta sunt, sed de halitu differendum est, qui multam jactationem ac molestiam exhibet, spirandi difficultatem caloris incremento proritat et pulmonis angustiam, quam humido halitu oppletus patitur. Solis igitur pleuritidibus tum siccis tum expuitionis expertibus idonea est halitus inspiratio, plus auxilii quam laesionis afferens. Hic igitur scriptum est primum fotus genus. Mox ad secundum sese conferens inquit:

V.

Praeterea et hordeum et ervum in aceto temperato paulo

ὀξύτερον ἢ ὡς ἄν πίῃ τις διέντα καὶ ἀναζέσαντα εἰς μαρσύππιά τε ἀποῤῥάψαντα προστιθέναι καὶ πίτυρα τὸν αὐτὸν τρόπον.

[40.] *Καὶ κριθὰς καὶ ὀρόβους οὐχ ὁλόκληρα τὰ σπέρματα κελεύει δι' ὄξους καὶ ὕδατος ἑψεῖν, ἀλλὰ κόψαντας πρότερον· δῆλον δὲ κἀκ τοῦ λέγειν διέντα, καὶ ἄλλως δ' ἄν τις ἐξ αὐτοῦ τοῦ πράγματος διδαχθείη τοῦτο βούλεσθαι τὸν Ἱπποκράτην. καὶ γὰρ οὖν προσηνέστερον οὕτως ἔσται τὸ πυρίαμα καὶ δραστικώτερον· ἀμέλει καὶ πίτυρα κατὰ τὸν αὐτὸν δὴ τρόπον σκευάζειν κελεύει. δραστικωτέρα δὲ τῆς πρόσθεν ἡ τοιαύτη πυρία τῇ τοῦ ὄξους γίνεται δυνάμει· εἰ δὲ δι' ὀρόβων σκευάζοιτο, καὶ οὗτοι συντελοῦσιν οὐ σμικρὸν, ἱκανὴ γὰρ ἡ δύναμις αὐτῶν τέμνειν καὶ κατεργάζεσθαι καὶ διαφορῆσαι πάχος χυμῶν. διὸ καὶ παραληπτέον τὰς τοιαύτας πυρίας, ἐφ' ὧν ὑπονοοῦμεν παχεῖς ἢ γλίσχρους χυμοὺς ἠθροῖσθαι κατὰ τὸ φλεγμαῖνον μόριον· ἔσται δέ σοι δῆλον τοῦτο ἔκ τε τῆς προηγησαμένης διαίτης, εἰ τοιούτων*

acidiore quam quis bibere queat macerata, fervefacta atque in facculos confuta admovere oportet, eodemque modo furfures.

Hordeum ervumque non femina integra ex aceto et aqua concoquere praecipit, fed prius concifa; conftat autem Hippocratem velle id ex verbo *macerata*, idque aliter quis ex actione ipfa didicerit. Etenim fic tum placidior tum efficacior erit fotus; furfur fane et hoc modo parare praecipit. Fotus autem hujusmodi priore efficacior aceti facultate redditur. Quod fi ex ervo paretur, et hoc quoque non parum confert. Ipfius enim facultas craffos humores tum incidere tum concoquere tum difcutere poteft; atque ob id fotus hujusmodi admittendi funt, ubi craffos aut glutinofos humores in ea, quae phlegmone obfidetur, parte collectos effe fufpicamur. Tibi autem fane id conftabit tum ex antecedente victu, fi humores hujusmodi

χυμῶν εἴη γεννητικὴ, κἀκ τῆς τοῦ κάμνοντος κράσεως ὥρας τε καὶ χώρας καὶ ἡλικίας, ἔτι δὲ κἀκ τοῦ τὰς πραείας πυρίας, ὧν πρῶτον ἐμνημόνευσε, μηδὲν ἠνυκέναι. διορισαμένῳ γάρ σοι περὶ τοῦ κατὰ πᾶν τὸ σῶμα πλήθους, ὅταν μὴ φαίνηται μὲν τὰ τούτου γνωρίσματα, τὰ δὲ ἐπιεικῆ θερμάσματα μηδὲν ἀνύει, πάχος ἐστὶ χυμῶν εἰς ἀτμοὺς καὶ πνεῦμα φυσῶδες λυόμενον, ὃ διέξοδον οὐκ ἔχον ἀνιᾷ. καὶ τοῦτ' οὖν αὐτὸ καὶ τοὺς γεννῶντας αὐτὸ χυμοὺς αἱ εἰρημέναι πυρίαι διαλύουσι καὶ μάλιστα ἡ διὰ τῶν ὀρόβων. ἀλλὰ καὶ περὶ τῆς ἐμμέτρου κράσεως τοῦ ὄξους πρὸς τὸ ὕδωρ ἐμνημόνευσε σαφέστατά τε ἅμα καὶ κάλλιστα διελθὼν τὸν λόγον· οὕτω γὰρ αὐτὸ κεκρᾶσθαί φησι δεῖν, ὡς εἶναι μικρῷ ὀξύτερον ἢ ὡς ἂν πίῃ τις, ὅπως ἀποχωρήσῃ μὲν τοῦ δριμυτέρου διὰ τὸ δακνῶδες, ἀποστῇ δὲ καὶ τοῦ ὑδατωδεστέρου διὰ τὸ ἄπρακτον. ὅσον μὲν οὖν ἐπὶ τῷ τομῆς δεῖσθαι καὶ διαφορήσεως τοὺς παχυτέρους τε καὶ γλισχροτέρους χυμοὺς, ἐπιτηδειότερον ἂν εἴη τοῦ ὑδατώδους ὀξυκράτου τὸ δριμύτερον· ἐπεὶ δὲ οὐκ ἀνέξεται τὰ φλεγμαίνοντα τῶν τοιούτων φαρμά-

produxerit, tum aegri temperamento, tum anni temporibus et locis et aetate. Praeterea vero et si placidi fotus, quos prius memoravimus, nihil praesidii attulerint. Nam ubi de corporis totius repletione distinxeris, quum neque hujus notae apparuerint, neque mites hi fotus quidpiam juverint, humorum crassities est, quae in halitus solvitur, flatulentusque spiritus, qui ob denegatum exitum molestat. Flatum ergo hunc parientesque ipsum humores praefati discutiunt fotus et potissimum qui ex ervo parantur. Praeterea et sermonem percurrens manifestissime simul et optime, moderatam aceti ad aquam temperaturam memoravit. Id enim ita dilutum esse oportere protulit, ut paulo acidius sit quam ut quispiam biberit, ut et acrius ob mordendi facultatem et aquosius ob operandi penuriam vitemus. In incisione igitur atque discussione tum crassiorum tum glutinosiorum humorum aquoso oxycrato congruentius fuerit acrius, sed quoniam medicamenta hujusmodi non tolerant quae

κων, διὰ τοῦτο μέσην ἀμφοτέρων τῶν ὑπερβολῶν τὴν κρᾶσιν αὐτοῦ πεποίηται. τοῦτό σοι καὶ τὸ δεύτερον εἶδος τῶν πυριάσεών ἐστιν, ὧν ἐξ ἀρχῆς διεῖλομεν τριχῶς.

στ'.

Ξηρῶν δὲ θερμασμάτων ἅλες, κέγχροι πεφρυγμένοι ἐν ἐριγνέοισι μαρσυππίοισιν ἐπιτηδειότατοι· καὶ γὰρ κοῦφον καὶ προσηνὲς ἡ κέγχρος.

Ἐπὶ τὸ τρίτον εἶδος τῶν πυριάσεων, ὧν ἐξ ἀρχῆς διείλομεν μετέβη, ἁλῶν καὶ κέγχρων μνημονεύσας. ἔστι δὲ ἀμφοτέρων κοινὸν μὲν ἡ ξηρότης, ἴδιον δὲ τῶν μὲν ἁλῶν τὸ δακνῶδες, τῶν δὲ κέγχρων τὸ ἄδηκτον.

ζ'.

Μάλθαξις δὲ λύει ἡ τοιήδε καὶ τὰς πρὸς κληῖδα περαιούσας ἀλγηδόνας.

phlegmone obfidentur partes, ob id mediam utriusque exuperantiae temperiem fecit. Hoc tibi fecundum genus eft fotuum, quos ab initio trifariam feparavimus.

VI.

Siccorum autem fomentorum fal miliumque torrefacta in facculis laneis maxime idonea funt. Etenim laeve ac blandum eft milium.

Ad tertium fotuum, quos initio diftinximus, genus fefe transfert, mentionem milii et falis faciens. Eft autem communis utrique ficcitas, fed fali quidem ut mordax fit, milio vero ut morfu careat proprium eft.

VII.

Fomentum hujusmodi emolliens dolores etiam ad claviculam productos folvit.

[41] Ἐκ τοῦ προσθεῖναι τὸν καὶ σύνδεσμον ἐδήλωσεν ὅτι καὶ τὰς ἄλλας ὀδύνας λύει, τουτέστι τὰς πρὸς ὑποχόνδριον περαιούσας.

η'.

Τομὴ μέντοι γε οὐχ ὁμοίως λύει ὀδύνην, ἢν μὴ πρὸς τὴν κληῖδα περαίνοιτο ἡ ὀδύνη.

Τομὴν λέγει δηλονότι τὴν τῆς φλεβὸς, ἣν οὐχ ὁμοίως εἰπὼν λύειν συνεχώρησε καὶ αὐτὴν ὠφελεῖν. ἐπὶ πλέον δὲ περὶ τούτου τοῦ βοηθήματος ἐν τοῖς ἐφεξῆς γράφει.

θ'.

Ἢν δὲ μὴ λύηται πρὸς τὰ θερμάσματα ὁ πόνος, οὐ χρὴ πολὺν χρόνον ἐκθερμαίνειν· ξηραντικὸν γὰρ τοῦ πνεύμονος τοῦτο καὶ ἐμπυητικόν.

Ποικίλα θερμάσματα διελθὼν, τὰ μὲν ὑγρὰ, τὰ δὲ ξηρὰ,

Ex adjectione hujus conjunctionis, *etiam*, oſtendit et dolores alios ſolvere, eos nimirum qui ad hypochondria percurrunt.

VIII.

At venae ſectio non peraeque dolorem ſolvit, niſi dolor ad claviculam pertingat.

Sectionem nimirum venae dicit, quam non ſimiliter ſolvere pronuncians auxiliari et ipſam conceſſit. Sed de hujusmodi auxilio in ſequentibus fuſius ſcribit.

IX.

Verum ſi fomentis dolor non ſolvatur, non multo tempore calefacito; id enim pulmones exiccat ac ſuppuratum creat.

Fomenta varia, alia quidem humida, alia vero ſicca

τὰ δὲ ἄδηκτα, τὰ δὲ δακνώδη, μετὰ τὴν ἐπ' ἐκείνων ἀπόπειραν ἐὰν ὁ πόνος μὴ ὠφελῆται, κενώσει χρῆται παντὸς τοῦ σώματος ἀφιστάμενος τῶν θερμασμάτων, ὡς καὶ τὸν πνεύμονα ξηραινόντων καὶ τὸ καλούμενον ἐμπύημα ποιούντων. γίνεται γὰρ τοῦτο τῆς κατὰ τὴν πλευρὰν φλεγμονῆς μὴ διαφορηθείσης, ἀλλ' εἰς πῦον μεταβαλλούσης, εἶτα τούτου συῤῥέοντος εἰς τὴν μεταξὺ θώρακός τε καὶ πνεύμονος χώραν.

ι'.

Ἀλλ' ἢν μὲν σημαίνῃ ὀδύνη ἐς τὴν κληῖδα ἢ ἐς τὸν βραχίονα βάρος ἢ περὶ μαζὸν ἢ ὑπὲρ τῶν φρενῶν, τάμνειν ἀρήγει τὴν ἐν τῷ ἀγκῶνι φλέβα τὴν εἴσω καὶ μὴ ὀκνεῖν συχνὸν ἀφαιρέειν τὸ αἷμα, ἕως ἂν ἐρυθρότερον πολλῷ ῥυῇ ἢ ἀντὶ καθαροῦ τε καὶ ἐρυθροῦ πελιδνόν· ἀμφοτέροια γὰρ γίγνεται.

Κατὰ τὴν ῥοπὴν τῶν ἐργαζομένων χυμῶν τὴν φλεγμονὴν ποιεῖται τὰς κενώσεις· τὸ γὰρ ἀκτέα ᾗ ῥέπει τῶν συμ-

et alia minime mordacia, alia etiam mordacia, ubi percurreris, si ab horum experientia facta dolor non levetur, totum corpus vacuabis, a fomentis desistens, pulmonem exiccantibus et suppurationem vocatam excitantibus. Fit enim *suppuratio* hujusmodi, quum lateris inflammatio non discutitur, sed in pus transmutatur, ac pus in mediam thoracis pulmonisque regionem confluit.

X.

Quod si dolor quidem ad claviculam sui det signum, aut ad brachium aut circa mammam aut supra septum transversum sit gravitas, internam flexus cubiti venam secare juvat, neque copiosum sanguinem detrahere cunctandum est, usque dum multo rubicundior aut pro puro et rubro lividus fluat, nam utrumque contingit.

Pro humorum inflammationem parientium impetu vacuationes facit. Nam quod dicitur: *Quae educenda*

φερόντων χωρίων ἀληθέστατον. συμβαίνει δὲ ἐνίοτε [42] τοῦτο κατὰ τὴν διαφορὰν τῶν μερῶν τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος. τὰ μὲν γὰρ ἀνωτέρω μέρη τοῦδε φλεγμαίνοντα πρὸς τὴν κλεῖν καὶ τὸν βραχίονα καὶ τὸν μασθὸν ἐκτείνει τὴν συμπάθειαν, τὰ δὲ κάτω πρὸς τὰς φρένας τε καὶ τὸ ὑποχόνδριον. ἄνω μὲν οὖν τῆς συμπαθείας διασημαινούσης φλέβα χρὴ τέμνειν ἐν ἀγκῶνι, τὴν μᾶλλόν τε καὶ θᾶττον ἀπὸ τοῦ πεπονθότος μορίου δυναμένην ἀντισπάσαι τε καὶ κενῶσαι τὸ αἷμα· κάτω δὲ διὰ καθάρσεως τὴν κένωσιν ποιεῖσθαι προσήκει. εὖ δὲ εἶπε βάρος γίγνεσθαι περὶ τὸν βραχίονα καὶ οὐ πόνον· τοῦ μὲν γὰρ ἐνταῦθα μᾶλλον ἠθροῖσθαι τὸ αἷμα καὶ ῥέπειν ση- (55) μεῖόν ἐστι τὸ βάρος ἐπὶ πλήθει γιγνόμενον· αἱ δὲ τάσεις καὶ κατὰ συμπάθειαν μόνην εἰώθασι γίγνεσθαι, τῶν συνεχῶν τοῖς φλεγμαίνουσι τεινομένων ἄνευ τοῦ πλεονάζειν ἐν αὐτοῖς τὸ αἷμα· διὰ τοῦτο οὖν αὐτὸ κενοῦν κελεύει τὸ πλεονάζον αἷμα τέμνοντα φλέβα τὴν ἔνδον. εἰσὶ γὰρ ἔνδον ἐν τῇ

ſunt, quo vergunt, per loca conferentia ducere, veriſſimum exiſtit. Accidit autem id interdum ob differentiam partium membranae coſtas ſuccingentis. Superiores enim ipſius partes quum inflammantur, ad claviculam, brachium et mammam condolentiam extendunt, inferiores vero ad ſeptum transverſum et hypochondrium. Quum igitur ſuperiorum condolentia ſignum fecerit, venam in cubito ſecare oportet, quae ſanguinem ab affecta parte et magis et celerius tum revellere tum vacuare poſſit. Verum quum inferiorum, purgatione vacuationem moliri convenit. Recte autem gravitatem circa brachium eſſe et non dolorem dixit. Nam quod hic ſanguis magis acervetur repatque ſignum eſt gravitas, quae ex multitudine ſit. Tenſiones autem et per conſenſum ſolum fieri conſueverunt, quum partes partibus inflammatis continuae citra ſanguinis in eis redundantiam tenduntur. Ob id igitur ſanguinem redundantem ſecta interna vena vacuandum praecipit. Sunt enim in interna cubiti articulatione plu-

κατ' ἀγκῶνα διαρθρώσει πλείους φλέβες, ἃς τέμνειν εἰώθαμεν· εἴρηται δὲ περὶ αὐτῶν αὐτάρκως κατά τε τὸ τρίτον γράμμα τῶν ἀνατομικῶν ἐγχειρήσεων κἀν τῇ τῶν φλεβῶν τε καὶ ἀρτηριῶν ἀνατομῇ καθ' ἓν ἄλλο βιβλίον ἰδίᾳ γεγραμμένον· ἐπὶ κεφαλαίων δὲ καὶ νῦν ἀναγκαῖον εἰπεῖν, ἀπ' ἀρχῆς ἀγαγόντας τὸν λόγον. ἡ κοίλη φλὲψ ἐκ τῶν κυρτῶν τοῦ ἥπατος ἐπὶ τὸ δεξιὸν οὖς τῆς καρδίας ἀναφέρουσα τὸ αἷμα διανέμει μέν τι καὶ τοῖς μεταξὺ μορίοις ὀλίγον, αὐτῇ δὲ τῇ καρδίᾳ δίδωσι τὸ πλεῖστον· ἔπειτα ἐντεῦθεν ὡς ἐξ ἀρχῆς ὥρμητο κατ' εὐθὺ φερομένη πρὸς τὸν τράχηλον, εἰς ὀρθίας σχίζεται κατὰ τὸ τοῦ θώρακος μέρος δύο φλέβας μεγάλας, ἃς ὀνομάζουσι σφαγίτιδας· ἀποφύσεις δὲ αὐτῆς, πρὶν ἐπὶ τὴν καρδίαν ἀφικέσθαι, μεγάλων μὲν φλεβῶν εἰς τὸ διάφραγμα, σμικρῶν δὲ εἰς τὸ τοῦ θώρακος αὐτοῦ κάτω μέρος τῶν ὀκτὼ πλευρῶν, ὃ ὑπὸ μιᾶς ἀζύγου τρέφεται φλεβὸς, ἐπὶ μὲν ἐνίων ζώων ἀνωτέρω τῆς καρδίας ἀποφυομένης, ἐπ' ἐνίων δ' ὥσπερ καὶ ἐπ' ἀνθρώπων, καθ' ὃ μέρος ἤδη

res, quas secare consuevimus, venae; de his autem abunde quidem in tertio de administrationibus anatomicis libro atque in alio libro, qui seorsum de venarum arteriarumque dissectione scriptus est, diximus, sed nunc quoque de ipsis summatim agemus, ab initio ducentes orationem. Vena cava ex gibbis hepatis sursum ad dextram cordis aurem sanguinem ferens partibus quidem interjacentibus quid exiguum distribuit, sed cordi ipsi plurimum elargitur. Deinde ab eo tanquam ab initio progressa ad cervicem recta via fertur, atque in duas rectas scinditur in thoracis parte venas magnas, quas jugulares nominant. Propagines autem ipsius, priusquam ad cor perveniat, insignium quidem venarum ad septum transversum, exilium autem ad inferiorem thoracis ipsius partem octo costis constantem *perrepunt*. Pars autem haec ab una caelibe nutritur vena, in quibusdam animantibus supra cor procedente, in quibusdam vero, ut et in hominibus, per eam partem qua jam cordis auriculam vena cava tangit; hinc enim

ψαύει τοῦ τῆς καρδίας ὠτὸς ἡ κοίλη φλέψ. ἐντεῦθεν γὰρ ἀποφυομένη ταπεινοτέρα φέρεται διὰ τῆς καρδίας ἐπὶ τὴν ῥάχιν κατακαμπτομένη. αὕτη μὲν οὖν ἡ φλέψ εἰς τὰ κάτω μέρη τοῦ θώρακος μερίζεται ταῖς ὀκτὼ πλευραῖς ἑκατέρωθεν ἄχρι τοῦ διαφράγματος· αἱ δ' ὑπόλοιποι τοῦ θώρακος ὑψηλαὶ πλευραὶ τέσσαρες ὑπὸ συζυγίας ἄλλης τρέφονται φλεβῶν, ἀποφυομένων τῆς κοίλης πρὶν εἰς τὰς σφαγίτιδας σχισθῆναι. τούτων οὖν τῶν δύο φλεβῶν ἀκολούθως ἐφεξῆς εἰσιν αἱ εἰς τὰς χεῖρας ἀφικνούμεναι διὰ τῶν μασχαλῶν· αἱ δ' ὠμιαῖαι καλούμεναι μετὰ τὸ σχισθῆναι εἰς τὰς σφαγίτιδας τὴν κοίλην ἀφ' ἑκατέρας μία πεφύκασιν ἐκτὸς ἤδη τοῦ θώρακος, ἔχουσι δὲ τὰς ῥίζας κοινὰς ταῖς ἐπιπολαίοις σφαγίτισιν. ἀπὸ μὲν οὖν τῶν ἐπιπολῆς σφαγιτίδων τὰ ἐπιπολῆς σχεδὸν ἅπαντα μόρια τὰ κατὰ τὸν τράχηλον καὶ τὴν κεφαλὴν τρέφεται, καθάπερ γε καὶ τὰ διὰ βάθους ἀπὸ τῶν διὰ βάθους σφαγιτίδων πάντα. τὰ δὲ κατὰ τὰς ὠμοπλάτας τε καὶ τὸν ἐν τῷ τραχήλῳ νωτιαῖον ἐκ τῶν κάτω μερῶν τῆς εἰρημένης ῥίζης κοινῆς ἔχει τὰς φλέβας ἀνερχομένας ἐπ' αὐτά· λέγω δὲ κοινὴν ῥίζαν ἣν ἀρτίως εἶπον εἶναι

procedens humilius per cor defertur, in ſpinam deflectens. Ipſa igitur vena ad inferiores thoracis partes utrinque coſtis octo ad ſeptum uſque tranſverſum diſtribuitur. Caeterae autem ſublimes thoracis coſtae quatuor ab alio venarum nutriuntur conjugio, a vena cava propagatarum priusquam ea in jugulares ſcindatur. Ab his igitur duabus venis deinceps ſunt quae ad manus per axillas pertingunt. Verum humerariae vocatae, poſtquam cava in jugulares ſiſſa eſt, ab utraque una extra jam thoracem extenduntur, habent autem radices externis jugularibus communes. Ab externis itaque jugularibus partes fere omnes tum cervicis tum capitis ſuperficiariae nutriuntur, quemadmodum et a jugularibus internis partes omnes in alto ſitae. Verum quae tum in ſcapulis tum dorſali cervicis medulla exiſtunt partes, venas habent ex inferioribus praeſatae radicis communis partibus ad ipſas aſcendentes. Communem vero dico radicem, quam

ταῖς τε ἐπιπολαίοις σφαγίτισι καὶ ταῖς ὠμιαίαις. εἰκότως οὖν ἡ μὲν ὠμιαία τὰ τῶν κλειδῶν ἄνωθεν μέρη κενοῖ θᾶττόν τε καὶ μᾶλλον, ὅσα κατὰ τράχηλόν τέ ἐστι καὶ κεφαλήν· ἡ δὲ διὰ τῆς μασχάλης τὰ κατὰ τὸν θώρακα καὶ τούτων αὐτῶν μᾶλλον τὰ ὑψηλὰ καὶ μάλιστα ἐπὶ τῶν ἀνθρώπων· [43] ἐπειδὴ τὰ ταπεινὰ πάντα μία φλὲψ ἑτέρα τρέφει κατωτέρω τῆς καρδίας ἀποφυομένη τῆς κοίλης φλεβός. ταύτης δὲ τῆς τὰ ταπεινὰ τοῦ θώρακος τρεφούσης παρὰ τὰς ῥίζας τῶν πλευρῶν κατάντους φερομένης ἐκ τῶν ἀριστερῶν μερῶν ἄχρι τοῦ διαφράγματος, αἱ καθ' ἕκαστον μεσοπλεύριον, ἀριστερόν τε καὶ δεξιὸν, ἀπονεμήσεις γίγνονται· καὶ μέντοι καὶ τὸ λείψανον αὐτῆς διεκπίπτει πρὸς τὸ διάφραγμα τοῖς πρώτοις μετ' αὐτὸ διανεμόμενον σώμασιν. αἱ δὲ διὰ τῶν μασχαλῶν ἐπὶ τὰς χεῖρας φερόμεναι τὰς ῥίζας ἔχουσιν ἐγγυτάτω ταῖς τρεφούσαις φλεψὶ τὰς ὑψηλὰς τοῦ θώρακος τέτταρας πλευρὰς, οὐκ ὀλίγῳ μείζους οὖσαι τῶν κατὰ τὸν ὦμον εἰς τὰς χεῖρας ἡκουσῶν. ἐπιβαίνουσι δὲ κατὰ τὴν ἔνδον χώραν ἑκατέρου βραχίονος, φέρονται δὲ δι' αὐτῶν κατάν-

paulo ante dixi tum externis jugularibus tum humerariis communem esse. Merito igitur humeraria partes supra claviculas sitas, quae et in cervice et capite existunt, tum magis tum celerius evacuat. Axillaris vero thoracis partes et inter eas magis sublimes praesertimque in hominibus, deinde demissas omnes vena una altera nutrit, quae sub corde a vena cava procedit. Ex sinistra autem parte venae illius infernas thoracis partes nutrientis, quae ad costarum radices prona fertur adusque septum transversum, singulis intercostalibus spatiis, tum sinistris tum dextris, rami distribuuntur. Verum hujus reliquum septum transversum penetrat primisque ab eo corporibus distribuitur. Sed quae per axillas ad manus feruntur *venae*, proximas venis sublimes quatuor thoracis costas alentibus radices habent, suntque quam quae per humerum ad manus contendunt non paulo majores. Ascendunt autem ad internam regionem brachii utriusque atque per ipsam

τεις, ἀπονεμήσεις μεγάλας διδοῦσαι τοῖς ἐνταῦθα μυσίν. ἐπειδὰν δὲ πλησίον ἑκατέρα γένηται τῆς κατ' ἀγκῶνα διαρθρώσεως, ἀποφύει τὰς ἔνδον τοῦ βραχίονος φλέβας παρὰ τὸν ἐνταῦθα κόνδυλον αὐτοῦ τοῦ πήχεος ὀστοῦ· τῷ δ' ἄλλῳ παντὶ δίχα σχισθέντι φέρεται διὰ τῆς κατ' ἀγκῶνα καμπῆς, ἐπιπολῆς μὲν ἐργαζομένη τὴν τεμνομένην ἐνταῦθα φλέβα, διὰ βάθους δὲ πολλοῦ τὴν κατασχιζομένην τῇ ἀρτηρίᾳ. τέμνεται δὲ καὶ ἄλλη φλὲψ ἡ ἐν ἀγκῶνι λοξὴ, καθάπερ ἤδη καθ' ἑκατέραν χεῖρα μία, τῆς ὠμιαίας οὐ σμικρὸν μόριον· διεξελθοῦσα γὰρ αὕτη κατὰ τὸν βραχίονα προφανὴς ὑπὸ τῷ δέρματι σχίζεται καὶ αὕτη κατὰ τὴν ἐν ἀγκῶνι διάρθρωσιν, ἐν τοῖς ὑψηλοτάτοις μέρεσιν αὐτῆς, ἐσχηματισμένης δηλονότι τῆς χειρὸς, ὡς Ἱπποκράτης ἐδίδαξεν ἐν τῷ περὶ ἀγμῶν. ὅσον μὲν οὖν μετὰ τὴν σχίσιν αὐτῆς ὑψηλὸν μέρος ἐπὶ τὰ τοῦ πήχεος ἐκτὸς φέρεται, τοῦτο παρὰ τὴν σχίσιν αὐτὴν τέμνεται, κατ' εὐθὺ μάλιστα κείμενον τῇ πρώτῃ ῥίζῃ τῆς φλεβὸς, διὸ καὶ τάχιστα κενοῖ τὰ τῶν κλειδῶν ὑψηλότερα χωρία· τὸ δ' εἰς τὴν καμπὴν φερόμενον λοξὸν ἧττον μὲν

pronae feruntur et musculis ibi positis notabiles dispensant ramos. Verum quum ad cubiti articulum prope utraque venerit, venas brachii internas ad ipsius cubiti ossis condylum hic positum producit. Quicquid vero reliquum est, bifariam scissum per cubiti flexum defertur, parte quidem superficiaria venam hic divisam efficiente, profundiore vero eam quae cum arteria dividitur. Secatur quoque et alia vena in cubito obliqua, veluti et haec in utraque manu una, humerariae non exigua portio. Ipsa namque *humeraria* per brachium subter cutem conspicue percurrens ad ipsum cubiti articulum, in sublimibus ejus partibus, figurata scilicet, ut Hippocrates in libro de fracturis docuit, manu, dividitur. Quae igitur sublimior venae ipsius a propagine portio per externa cubiti loca defertur, ea apud propaginem ipsam secatur, qua primae venae radici e directo maxime respondet, ob id et sublimiora clavicularum loca citissime evacuat. Portio

τοῦδε, μᾶλλον δὲ τῶν ἄλλων κενοῖ ταῦτα. τὸ δὲ ἀπὸ τῆς ἔνδον τῆς μεγάλης φερόμενον καὶ αὐτὸ λοξὸν, ἥκιστα μὲν τὰ προειρημένα κενοῖ μόρια, μάλιστα δὲ τὰ τοῦ θώρακος ἄνω, διὰ τὰς ῥίζας καὶ τῆς διὰ τῆς μασχάλης πρὸς τὴν χεῖρα φερομένης καὶ τῆς τὰ τοῦ θώρακος ἄνω τρεφούσης ἐγγυτάτω ὑπαρχούσας. ταύτην οὖν ἀξιοῖ τέμνειν πρὶν εἰς ταὐτὸν ἀφικέσθαι καὶ συμφῦναι τῇ τῆς ὠμιαίας ἀπεσχισμένῃ. μὴ φαινομένης δ' ἐνίοτε ταύτης, ἀντ' αὐτῆς τέμνομέν τινα τῶν ἔνδον, ἃς ἐπὶ τὸ τοῦ πήχεος ὀστοῦν κατ' ἴξιν καταφέρεσθαι μεμαθήκαμεν· μὴ φαινομένοιν δὲ μηδὲ τούτων ἐπὶ τὴν γιγνομένην ἐκ τῆς συμφύσεως τῶν εἰρημένων δύο φλεβῶν τῶν λοξῶν ἀφικνούμεθα· δυναμένης δὲ ποτε καὶ ταύτης μὴ φαίνεσθαι, τῆς δ' ὠμιαίας φαινομένης καὶ ἐκείνην τέμνε, γινώσκων τὰς κενώσεις ὅθεν ἂν γένωνται ἀναδιδομένας μὲν εἰς τὸ σῶμα τῶν ζώων ὅλον οὐ, μὴν οὔτε ταχέως οὔθ' ὁμοίως ἐξ ἁπάσης φλεβός· ἡμεῖς δὲ καὶ ταχέως καὶ μᾶλλον τῶν ἄλλων μορίων κενῶσαι σπεύδομεν τὸ φλεγμαῖνον καὶ μάλιστ' ἐπὶ τῶν ὀξέων νοσημάτων· ὅπερ ἡ ἔσω φλὲψ ἡ ἐν

autem quae in cubiti flexum oblique fertur, minus quidem ea, fed caeteris magis eas evacuat partes. Pars vero quae ab interna magna *vena* oblique etiam fertur, minime quidem praedictas vacuat partes, verum maxime thoracis fuperiores, ob radices tum ejus, quae per axillam ad manum fertur, tum ejus quae fuperiores thoracis alit partes, admodum vicinas. Hanc igitur fecare jubet *Hippocrates* priusquam in idem venerit et humerariae propagini inferatur. Haec fi aliquando non comparuerit, pro ea fecamus aliquam ex internis, quas in os cubiti e directo deferri didicimus. Quod fi neque hae confpiciantur, accedimus ad eam, quae ex praedictarum duarum venarum obliquarum propagine gignitur. Verum et quum ea interdum non apparere poffit, humeraria vero apparente, hanc etiam feca, qui vacuationes unde fiant noveris per univerfum animalium corpus effufas, quanquam neque celeriter neque fimiliter ex omni vena fiunt. Nos vero partem phlegmone laborantem tum celeriter tum quam caeteras

ἀγκῶνι ποιεῖ, καὶ πολὺ μᾶλλον, ὅταν τὴν ῥοπὴν ἄνω τὸ πλεονάζον αἷμα φαίνηται ποιούμενον ἢ καὶ τὰ τοῦ θώρακός ἐστιν ὑψηλὰ πεπονθότα· τηνικαῦτα γάρ τοι τὸ βάρος μᾶλλον ἐν βραχίονι γίγνεται καὶ κατὰ τὸν μαστόν. αἱ δ' ἐν τοῖς κάτω μέρεσι τοῦ θώρακος φλεγμοναὶ, πλησίον οὖσαι τοῦ διαφράγματος, εἰς ὑποχόνδριον εἰκότως διαπέμπουσι τὰς ὀδύνας· οὔκουν αὐτὰς ὀνίνησι μεγάλως ἡ ἀπ' ἀγκῶνος κένωσις ἐν τῷ μεταξὺ τῆς καρδίας κειμένης· ἤκουσας γὰρ ἄρτι τὴν τὰ κάτω τοῦ θώρακος τρέφουσαν φλέβα [44] κατωτέρω τῆς καρδίας ἀποφύεσθαι. ταῦτα μὲν εἴρηταί μοι περὶ τοῦ καλῶς ὑπ' αὐτοῦ γεγράφθαι τέμνειν τὴν φλέβα τὴν ἐν ἀγκῶνι, τὴν εἴσω· τῆς δὲ κενώσεως τοῦ αἵματος ὅρον αὐτοῦ θεμένου τὴν μεταβολὴν τῆς χροιᾶς, ἐφεξῆς ἂν εἴη καὶ περὶ τοῦδε ῥητέον. ὅσον μὲν οὖν ἐν τῇ φλεγμονῇ αἷμά ἐστι, τοῦτο διὰ τὸ πλῆθος τῆς θερμασίας ὑπαλλάττεται τῇ χροιᾷ, τὸ δ' ἄλλο παραπλήσιον ἐν ἅπασι τοῖς μορίοις διαμένει· ὥστε τοῦ μὲν ἐν ὅλῳ τῷ σώματι φλεγματικωτέρου τυγχάνοντος, ἐρυ-

partes magis, in acutis praefertim morbis vacuare contendimus, quod interna cubiti vena facit, multoque magis, quum fanguis redundans ad fuperiora impetu ferri videtur, aut etiam fuperiores thoracis partes affectae funt. Tunc enim gravitas magis in brachio et circa mammam fit. Verum quae partes thoracis inferiores prope feptum transverfum afficiunt phlegmonae, merito dolores ad hypochondrium tranfmittunt. Non igitur ipfos magnopere juvat a cubito vacuatio, corde medium occupante, nam venam inferiores thoracis alentem partes infra cor emergere nuper audivifti. Dicta quidem mihi haec funt fuper eo quod ab Hippocrate probe fcriptum eft, de fecanda interna cubiti vena. Sed quum vacuandi fanguinis terminum coloris mutationem pofuerit, deinceps de eo differendum eft. Quicquid fane fanguinis eft in phlegmone, id caloris abundantia colore permutatur, reliquum in partibus omnibus fimile permanet. Quare fanguine per totum corpus pituitofiore exiftente, rubicundior fane erit

θρότερον ἔσται τὸ κατὰ τὴν φλεγμαίνουσαν πλευράν· ἐκείνου δ' ὄντος ἐρυθροῦ κατοπτώμενον τοῦτο πρὸς τὸ μέλαν ἐκτραπήσεται· τῆς δ' εἰς τὸ μέλαν ἐξ ἐρυθροῦ μεταβολῆς ἐν τῷ μεταξὺ τὸ πελιδνόν ἐστι. σημεῖον οὖν ἱκανόν ἐστι τῆς (56) ἐκ τοῦ φλεγμαίνοντος μέρους μεταλήψεως τοῦ αἵματος ἡ τῆς χροιᾶς ὑπαλλαγή. τὸ μὲν οὖν οἰκεῖον τῷ πάθει μέτρον τῆς κενώσεως εἴρηται· τῆς δυνάμεως δέ ποτε κωλυούσης ἄχρι τοσούτου κενοῦν, εἰδέναι μὲν χρὴ τὴν ὠφέλειαν ἥττονα ἐσομένην τῷ φλεγμαίνοντι μορίῳ, μᾶλλον δὲ ἀπέχεσθαι προσήκει τοῦ καταλῦσαι τὴν δύναμιν ἢ κενῶσαι τὸ πλεονάζον αἷμα.

ια΄.

Ἢν δὲ ὑπὸ τὰς φρένας ᾖ τὸ ἄλγημα, ἐς δὲ τὴν κληῗδα μὴ σημαίνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίην ἢ μέλανι ἐλλεβόρῳ ἢ πεπλίῳ· μέλανι μὲν δαῦκον ἢ σέσελι ἢ κύμινον ἢ ἄνισον ἢ ἄλλο τι τῶν εὐωδέων μίσγοντα, πεπλίῳ δὲ ὀπὸν σιλφίου· ἀτὰρ καὶ μισγόμενα ἀλλήλοισιν ὁμοιότροπα ταῦ-

lateris phlegmone laborantis ſanguis. Illo vero rubro exiſtente, hic affatus in atrum permutabitur. Lividus autem ex rubro ad atrum tranſmutationis medium obtinet. Idoneum igitur ſignum eſt ſanguinis ex parte inflammata excepti coloris permutatio. Neceſſarium igitur affectui evacuationis metrum enarratum eſt. Quum autem interdum vires quantum oporteat vacuare prohibeant, parti phlegmone obſeſſae minus quidem futurum auxilium ſcire oportet, ſed ſatius cautione congruit vires non exolvere quam ſanguinem redundantem vacuare.

XI.

Si vero ſub ſepto fuerit dolor, neque ſui ad claviculam ſignum praebeat, alvum aut nigro veratro aut peplio emollire oportet; veratro quidem nigro, ſi daucum aut ſeſeli aut cuminum aut aniſum vel aliud quidpiam boni odoris admiſceas, peplio vero laſeris ſuccum, ſed et haec inter ſe mixta congeneris ſunt facultatis. Sed

τά ἐστιν. ἄγει δὲ μέλας μὲν κάλλιω καὶ κρισιμώτερα πεπλίου, πέπλιον δὲ μέλανος μᾶλλον φυσέων καταῤῥηκτικώτερόν ἐστιν. ἄμφω δὲ ταῦτα ὀδύνην παύει· παύει δὲ καὶ ἄλλα πολλὰ τῶν ὑπηλάτων, κράτιστα δὲ ταῦτα ὧν ἐγὼ οἶδά ἐστιν. ἐπεὶ καὶ τὰ ἐν τοῖσι ῥοφήμασι διδόμενα ὑπήλατα ἀρήγει, ὁκόσα μὴ ἄγαν ἐστὶν ἀηδέα λύειν διὰ πικρότητα, ἢ δι' ἄλλην τινὰ ἀηδίην ἢ διὰ πλῆθος ἢ χροιὴν ἢ ὑπεροψίην τινά.

Ὅτι τὰ καθαρτικὰ φάρμακα διὰ τῆς πείρας εὑρίσκεται τίνα τε καθαίρει χυμὸν καὶ εἰ ὅλως καθαίρει, μεμάθηκας ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως· ὅτι μέντοι χρεία καθάρσεώς ἐστιν, εἰ ῥέπουσιν οἱ πλεονάζοντες χυμοὶ κάτω καὶ τῷ λόγῳ μὲν ἐπενοήθη, τὴν μαρτυρίαν δὲ καὶ βεβαίωσιν ἐκ τῆς πείρας ἔσχεν. αὐτὸς οὖν ὁ Ἱπποκράτης ἐδίδαξέ σε τὰς δυνάμεις ὧν δίδωσι φαρμάκων ἐν τοῖς τοιούτοις πάθεσι, τὸν μέλανα ἐλλέβορον ἐκκενοῦν εἰπὼν κρισι-

veratrum quidem nigrum tum melius tum ad judicationem commodius quam peplium alvum ducit, peplium vero flatus magis excutit. Sed haec ambo dolorem sedant. Sedant autem et alia multa, quae alvum subducunt, medicamenta. Verum quae novi ego, haec sunt optima. Quandoquidem etiam quae in sorbitionibus dantur alvum subducentia medicamenta, opitulantur, quaecunque vel propter amaritudinem vel aliam quandam insuavitatem aut copiam aut colorem aut fastidium aliquod, non admodum ingrata existunt.

Quod medicamenta purgantia per experientiam inveniantur et quem purgent humorem et si omnino purgent, in libris de simplicium medicamentorum facultatibus didicisti. Quod vero purgationis necessitas sit, si redundantes humores deorsum repant, ratione quoque statutum est, sed testimonium ac certitudinem ob experientia obtinuit. Ipse vero te docuit Hippocrates facultates medicamentorum, quae in hujusmodi affectibus exhibet, veratrum quidem nigrum ad judicationem

μώτερα, τὸ δὲ πέπλιον φυσῶν εἶναι καταῤῥηκτικώτερον. εἴη δ' ἂν αὐτῷ κρισιμώτερα λεγόμενα τὰ μᾶλλον κρίσιν ποιοῦντα τοῦ νοσήματος, ὅπερ ἐστὶ [45] δυνάμει ταὐτὸν τῷ ὠφελιμώτερα. ἁπάντων δὲ τῶν καθαιρόντων φαρμάκων κακούντων τὴν γαστέρα καὶ μάλιστα ταύτης τὸ στόμα, διότι νευρωδέστατόν τε καὶ αἰσθητικώτατόν ἐστιν, ἡ μίξις ἐπενοήθη τῶν εὐωδῶν, ὅπως μὴ μόνη μηδ' ἀκραιφνὴς ἡ δύναμις τῶν καθαιρόντων φαρμάκων ἅπτηται τοῦ στόματος τῆς γαστρός. μιγνύμενα δ' ἀλλήλοις τὸ πέπλιον καὶ τὸ ἐλλέβορον ὁμοιότροπά φησιν εἶναι, τουτέστιν ὁμολογεῖν ταῖς δυνάμεσι καὶ κατὰ μηδὲν στασιάζειν. ἡ γάρ τοι στάσις ἐν ταῖς μίξεσι τῶν καθαιρόντων γίνεται φαρμάκων, οὐχ ὅταν αὐτῶν τὸ μὲν χολῆς, εἰ τύχη, τὸ δὲ φλέγματος ᾖ κενωτικὸν (ἀμφότερα γὰρ ἐκκενοῦσθαι δύναται κατὰ τὸν αὐτὸν χρόνον) ἀλλ' ὅταν τὸ μὲν εὐθέως, τὸ δὲ μετὰ πολὺ τῆς προσφορᾶς πεφύκῃ κινεῖν τὴν κάθαρσιν· ἀνώμαλος γὰρ οὕτως ἡ κένωσις γίγνεται προσενεχθέντων ἅμα. λέγω δὲ ἀνώμαλον ὅταν ἤδη φαίνε-

commodius vacuare, peplium vero flatus magis excutere affirmans. Sunt autem, quae ab eo *ad crisin commodiora* dicuntur, quae morbi judicium faciunt magis, quod facultate ac magis conferentia idem exiſtit. At quum purgantia omnia medicamenta ventrem praeſertimque os ipſius, quod maxime tum nervoſum tum ſenſile ſit, laedant, odoratorum mixtio excogitata eſt, ut ne ſola meraque purgantium medicamentorum facultas os ventriculi tactu laedat. Permixta autem inter ſe tum peplium tum elleborum congeneris ait eſſe facultatis, hoc eſt facultatibus convenire et in nullo diſſidere. Nam in purgantium medicamentorum permixtione diſſidium oritur, haud quum eorum aliud quidem bilem, ſi contigerit, aliud vero pituitam evacuat, nam eodem tempore utraque vacuari poteſt, ſed quum aliud quidem quamprimum, aliud vero longe a propinatione purgationem movere natura conſueverit. Sic enim inaequalis ſimul aſſumptorum fit vacuatio. Inaequalem dico, quum jam videtur quidem

σθαι δοκούσης, ἀρχὴ πάλιν ἑτέρας κενώσεως γίνεται· τὸ γάρ τοι θᾶττον εἰωθὸς καθαίρειν φάρμακον συνεκκενοῖ τι καὶ ἐκ θατέρου, ὥστ' ὀλίγον αὐτοῦ καταλειπόμενον ἀσθενέστερον γιγνόμενον ἔτι καὶ μᾶλλον ὀψιαίτερον τῆς οἰκείας καθάρσεως ἄρχεται. τῇ γοῦν προθεσμίᾳ τῆς κενώσεως ὁμοιότροπόν ἐστι τῷ ἐλλεβόρῳ τὸ πέπλιον, ὑπάγειν τε καὶ αὐτὸ πέφυκε παραπλησίως ἐλλεβόρῳ μέλανα χυμόν. τὰ δ' ἄλλα καὶ τῆσδε τῆς ῥήσεως καὶ τῶν ἐφεξῆς δῆλα. γινώσκειν μὲν οὖν αὐτὰ χρὴ καὶ μεμνῆσθαι, χρῆσθαι δὲ οὐ διὰ παντὸς ἐπὶ τῶν πλευριτικῶν, ἀναμιμνησκομένους ἐκείνου τοῦ ἀφορισμοῦ, καθ' ὃν φησιν, ἐν τοῖς ὀξέσι πάθεσιν ὀλιγάκις καὶ ἐν ἀρχαῖς χρηστέον εἶναι ταῖς φαρμακείαις. ὅταν οὖν, φησὶ, μὴ μόνον ὀξὺ τὸ πάθος ᾖ, καθάπερ ἐστὶν ἡ πλευρῖτις, ἀλλὰ καὶ μετὰ πυρετοῦ σφοδροτάτου, πολλῷ μᾶλλον εὐλαβητέον ἐστὶ τὴν δόσιν τοῦ καθαίροντος φαρμάκου καὶ διὰ φλεβοτομίας κενωτέον μᾶλλον, εἰ καὶ πρὸς ὑποχόνδριόν ἐστιν ἡ ὀδύνη περαινομένη, μικροτέρας μὲν ὠφελείας ἢ τῆς διὰ καθάρσεως ἑπομένης, ἀσφαλεστέρας δὲ μακρῷ, μᾶλλον δὲ κίνδυνον μὲν

desinere, altera vero incipit. Nam quod citius purgare consuevit medicamentum, etiam ex alio quidpiam simul evacuat, quare quod paucum ipsius relinquitur, imbecillius redditur et longe tardius adhuc suam inchoat purgationem. Praefinita igitur vacuationis lege simile est elleboro peplium, potestque elleboro similiter nigrum subducere humorem. Caetera tum dictionis hujus tum sequentium patent. Haec igitur nosse atque meminisse oportet, sed non perpetuo in pleuriticis his uti, hujus aphorismi memores, quo dicit: *in acutis morbis raro et per initia purgantibus medicamentis utendum.* Quum igitur, inquit, non solum acutus morbus sit, ut est pleuritis, sed et cum febre vehementissima, multo magis vitanda est purgantis medicamenti exhibitio, atque per sectionem venae vacuandum magis, etiamsi ad hypochondrium dolor perducatur. Nam minus quidem auxilium quam per purgationem sequitur, securius tamen multo existit. Imo nullum ex

οὐδ' ὁντιναοῦν τῆς διὰ φλεβοτομίας ἐχούσης, μεγίσταις δὲ ἀποτυχίαις τῆς διὰ καθάρσεως περιπιπτούσης, καὶ μάλισθ' ὅταν ἀπείρως τις ἔχῃ τῆς τοῦ κάμνοντος φύσεως. ἔνιοι μὲν γάρ εἰσι φύσει δυσκάθαρτοι, τινὲς δ' ἐπὶ βραχείᾳ φαρμάκου πόσει δαψιλῶς καθαίρονται. ὅσοις δ' εὔλογόν ἐστι διδόναι, τὸ πλῆθος τοῦ φαρμάκου τοσοῦτον ἔστω, ὅσον ἐπὶ τῶν πλείστων οἶσθα καὶ πεπείρασαι συμμέτρως κενοῦν. ἀγνοοῦντα δ' ὅπως ἔχει φύσεως ὁ ἄνθρωπος κίνδυνος ἢ πλείονα κένωσιν ἐργάσασθαι τῆς προσηκούσης ἢ οὐδ' ὅλως κινῆσαι τὴν κάθαρσιν, ἢ κινῆσαι μὲν, οὐ μὴν ἱκανῶς κεκενῶσθαι. ταῦτα δὲ πάντα μεγίστας βλάβας φέρει τοῖς ὀξέως νοσοῦσιν, οὐχ ὥσπερ ἐπὶ τῶν ἀπυρέτων ἐπανορθοῦται ῥᾳδίως. ὅταν οὖν ὁ πυρετὸς ᾖ μὴ σφοδρὸς, ἔμπειρός τε ᾖς τῆς τοῦ κάμνοντος φύσεως, ἐς τὴν τοῦ καθαίροντος φαρμάκου δόσιν ἀφίξῃ χρώμενος ἤτοι τοῖς ὑπὸ Ἱπποκράτους εἰρημένοις ἢ καὶ τισιν ἄλλοις τῶν ὁμοιοτρόπων, ὧν ἐστὶ καὶ τὸ διὰ τῆς κολοκυνθίδος, ἱερὰν δ' αὐτὴν ἤδη συνήθως ὀνομά-

eo quod per venae fectionem fit, periculum impendet, eo difcrimen maximum fubeunte, quod per purgationem tentatur, ac potiffimum quum laborantis naturam expertus quis non fuerit. Nonnulli namque difficulter natura purgantur, quidam modico affumpto medicamento purgantur copiofe. Quibus autem dare rationi confentaneum eft, tanta fit medicamenti quantitas, quantum in plurimis mediocriter vacuare tum novifti tum es expertus. Si enim hominis naturam non noveris, metus eft ne quam deceat uberiorem vacuationem moliaris, aut nullam prorfus purgationem moveas, aut fi moveris, non tamen fufficienter vacues. Haec autem omnia maximas in morbis acutis pariunt laefiones, quae non facile, ut in minime febricitantibus, emendantur. Quum igitur febris vehemens non fuerit naturamque laborantis expertus fueris, ad medicamenti purgantis potum te conferes, aut iis quae ab Hippocrate dicta funt, vel etiam quibusdam aliis facultate fimilibus ufus, quorum eft et ex colocynthide medicamentum, quod jam hieram pro confuetudine vocant. Quum

ζουσι. ποικίλως δ' αὐτῆς σκευαζομένης ἡ τὸν ἐλλέβορον μὲν εἰληφυῖα, τὴν σκαμμωνίαν δ' οὐκ ἔχουσα κάλλιστόν ἐστι φάρμακον ἐπὶ τῶν δυναμένων ὅλως λαβεῖν φάρμακον ὑπήλατον.

ιβ'.

[46] *Τὴν μέντοι πτισάνην ὁκόταν πίῃ τὸ φάρμακον, ἐπιῤῥοφεῖν αὐτίκα χρὴ διδόναι, μηδὲν ἔλασσον ἀξίως λόγου ἢ ὁκόσον εἴθισται.*

Καὶ ἄλλως μὲν χρὴ προνοεῖσθαι τοῦ στόματος τῆς γαστρὸς, ὃ δὴ καὶ στόμαχον ὀνομάζουσιν, ὡς διαμένειν ἀβλαβὲς ἐν ταῖς τῶν καθαιρόντων φαρμάκων πόσεσιν, μάλιστα δ' ὅταν ἐπὶ τῶν πυρετῶν δίδωταί τι τοιοῦτον. μία δὲ τοῦ μὴ βλαβῆναι φυλακὴ τὸ μὴ μόνον εἶναι τὸ καθαῖρον φάρμακον, ἄκρατόν τε καὶ ἄμικτον ἑτέρων τῶν ἀμβλύνειν αὐτοῦ τὴν κακίαν πεφυκότων. ἐναντία γάρ ἐστιν ἡ φύσις ἁπάντων τῶν καθαιρόντων φαρμάκων ταῖς τῶν καθαιρομένων

autem haec variis paretur modis quae elleborum quidem accipit, fcammonium vero non continet, medicamentorum iis qui fubducens alvum medicamentum omnino affumere queunt optimum eft.

XII.

Enimvero ptifanam, quum epotum eft medicamentum, infuper forbendam ftatim dare oportet, neque admodum pauciore quam confuetum eft copia.

Et maxime quidem ventris ori, quod et ftomachum vocant, ut in ipfis purgantium medicamentorum potibus illaefum maneat, confulere oportet, praefertimque ubi febrientibus tale quidpiam propinatur. Verum praecipua ne laedatur cautio eft ut medicamentum purgans purum non fit, fed cum aliis malitiam ipfius obtundere natura valentibus temperatum mixtumque. Nam purgantium omnium medicamentorum natura corporum quae purgan-

σωμάτων καὶ ὡς ἂν εἴποι τις ὀλέθριός τε καὶ δηλητήριος αὐτῶν. ὥσπερ δὲ ὀποῦ μήκωνος μανδραγόρου τε καὶ ὑοσκυάμου καὶ ἄλλων πολλῶν τοιούτων φαρμάκων ἐναντίων ταῖς τε οὐσίαις καὶ ταῖς δυνάμεσιν ὄντων ἡμῶν καὶ φθείρειν πεφυκότων τὰ σώματα, βραχύ τι μέρος λαμβάνοντες ἀπολαύομεν ἐξ αὐτῶν μεγάλης ὠφελείας, οὕτω καὶ τῶν καθαρτικῶν ἐναντίας οὔσης τῆς φύσεως τῇ τῶν ἡμετέρων σωμάτων, ὀλίγον τι τῆς οὐσίας μέρος ἀποτεμνόμενοι πρὸς ὠφέλειαν χρώμεθα. καθάπερ δὲ ἐν αὐτῷ τῷ πίνειν αὐτὰ μίγνυταί τινα τῶν εὐωδῶν σπερμάτων, (57) ἃ καὶ τὴν κακίαν πέφυκεν ἀμβλύνειν καὶ τὴν ἐνέργειαν αὐτῶν μὴ κωλύειν, λεπτυντικῆς τε καὶ τμητικῆς ὄντα δυνάμεως, ὡς καὶ τοὺς παχεῖς χυμοὺς τέμνεσθαι καὶ τὰς ὁδοὺς αὐτῶν δι᾽ ὧν ἐκκενοῦνται διοίγειν τε καὶ ἀναστομοῦν, οὕτω καὶ μετὰ τὸ ληφθῆναι συμφέρει τῆς πτισάνης ἐπιῤῥοφεῖν. αὐτὸ μὲν γὰρ τὸ καθαρτικὸν φάρμακον, ὡς ἂν ὀλίγον ὄν, εἰς τὸν πυθμένα τῆς κοιλίας ἀφικνεῖται· κατὰ δὲ τὴν δίοδον ὁ στόμαχος, ὅσον τε ὑψηλότερον τῆς γαστρὸς, οὐ μόνον τῆς ποιότητος τοῦ καθαί-

tur naturis contraria eſt, atque ut quispiam dixerit, letalis ac deleteria. Quemadmodum autem ſucci papaveris, mandragorae, hyoſcyami atque aliorum hujusmodi multorum, quae nobis et ſubſtantia et facultatibus contraria corpus perimere conſueverunt, portionem ex ipſis exiguam aſſumentes magnam percipimus commoditatem, ſic et purgantium medicamentorum, quorum natura corporibus noſtris adverſaria eſt, exiguam aliquam partem praecidentes, ad auxilia utimur. Vt vero in horum medicamentorum potu quaedam odorata ſemina miſcentur, quae et malitiam obtundere valeant et actionem ipſorum non prohibeant, tenuandi incidendique facultatem obtinentia, ita ut et craſſos incidant humores et vias ipſorum quibus vacuatio fiat aperiant patefaciantque, ſic et a ſumpto medicamento ptiſanam ſorbere confert. Id enim purgans medicamentum quantumvis exiguum ad ventris quidem fundum pervenit, ſed in tranſitu ſtomachus et quaecunque ventris ſublimior pars, non modo qualitatem medi-

ροντος φαρμάκου, ἀλλὰ καὶ τῆς οὐσίας προσιζούσης ἐν τῇ διόδῳ, μεταλαμβάνων μεγάλως βλάπτεται· χρήσιμος οὖν ὁ χυλὸς τῆς πτισάνης ἐπιῤῥοφούμενος, ὡς ἂν ἀποῤῥύψαι μὲν καὶ κατασῦραι κάτω τὸ προσπεπλασμένον ἐν τῇ διόδῳ δυνάμενος, ἐπικεράσαι δὲ καὶ ὑπαλλάξαι τὴν ἐνιζηκυῖαν τοῖς μορίοις ποιότητα τοῦ φαρμάκου. διὰ ταῦτα μὲν οὖν ἐπὶ τῇ τοῦ καθαρτικοῦ πόσει κελεύει πτισάνης ἐπιῤῥοφεῖν, ἀρξαμένης δὲ γίνεσθαι τῆς καθάρσεως οὐκέτι βούλεται δίδοσθαι τῆς πτισάνης, εὐλαβούμενος ἐκλυθῆναι τὴν ἐνέργειαν τοῦ καθαίροντος φαρμάκου καὶ διὰ τοῦτό φησιν·

ιγ'.

Ἐπεὶ καὶ κατὰ λόγον ἐστὶ μεσηγὺ τῆς καθάρσεως μὴ διδόναι ῥοφήν. ὁκόταν δὲ λήξῃ ἡ κάθαρσις, [47] τότε ἔλασσον ῥοφεέτω ἢ ὁκόσον εἴθισται· μετὰ δὲ τοῦτο ἀναγέτω ἀεὶ ἐπὶ τὸ πλεῖον, ἢν ἥ τε ὀδύνη πεπαυμένη εἴη καὶ μηδὲν ἄλλο ἐναντιῶται.

camenti purgantis, verum et substantiae quae in transitu haeret aliquid assumens, magnopere laeditur. Ptisanae igitur cremor supersorptus est utilis, ut quod et detergere et deorsum trahere, quod viae adhaeret et qualitatem medicamenti his adhaerentis partibus tum contemperare tum permutare potest. Ob eas igitur causas a purgantis medicamenti potu ptisanam superforberi praecipit, sed ubi purgatio fieri coepit, ptisanam non amplius exhiberi vult, purgantis medicamenti actionem exolvi veritus, atque ob eam rem ait:

XIII.

Quandoquidem rationi consentaneum est, media in purgatione sorbitionem non exhibere. Quum autem cessaverit purgatio, tunc parciorem copiam quam pro consuetudine sorbeat, postea vero ad uberiorem perpetuo adducatur, si etiam dolor sedatus fuerit nihilque aliud repugnet.

Ἐναντίως ἐγίνωσκε περὶ τούτου τοῖς πολλοῖς τῶν νῦν ἰατρῶν ὁ Ἱπποκράτης. οὗτοι μὲν γὰρ ὅταν κενώσωσι, τρέφουσι δαψιλῶς· ὁ δ' Ἱπποκράτης ἔλασσον ἀξιοῖ δίδοσθαι τῆς πτισάνης μετὰ τὴν κάθαρσιν. ἡ γάρ τοι τῶν καθαρθέντων σωμάτων δύναμις ἐν τῇ καθάρσει κεκμηκυῖα φέρειν οὐ δύναται τὴν τροφὴν, οὐδὲ κατεργάζεσθαι καλῶς, εἰ μὴ παντελῶς εἴη βραχεῖα. τοσοῦτον οὖν τοῖς καθαρθεῖσι διδόναι τοῦ χυλοῦ χρὴ τὴν πρώτην, ὅσον κρατῆσαι δύνανται· εἶτ' εὐθὺς κατὰ βραχὺ παραυξάνειν, ἐὰν ἥ τ' ὀδύνη, φησὶ, παύσηται καὶ μηδὲν ἄλλο κωλύῃ. τὸ μὲν οὖν τῆς ὀδύνης πρόδηλόν ἐστι, τὸ δὲ μηδὲν ἄλλο κωλύειν ἀκουστέον ἐπὶ τοὺς προειρημένους διορισμοὺς ἀναφέροντα, ἐν οἷς ἐδίδαξεν ὁπηνίκα χρὴ διαιτᾷν τοὺς ὀξέως νοσοῦντας ἄνευ ῥοφημάτων. ἔστι δ' αὐτῶν τὸ κεφάλαιον, ὅταν ἤτοι προκριθήσεσθαι τὴν νόσον ἐλπίσωμεν ἄνευ τοῦ δεηθῆναι ῥοφήματος ἢ ἐφ' ὧν παντελής ἐστιν ἡ ἀπεψία τοῦ κατὰ τὴν φλεγμονὴν χυμοῦ.

Contra quam plerique hujusce temporis medici hac de re decrevit Hippocrates. Hi namque, quum vacuaverint, copiose nutriunt: Hippocrates vero a purgatione ptisanae minus dari jubet. Nam corporum purgatorum vires purgatione prostatae alimentum ferre nequeunt, neque probe conficere, nisi omnino paucum fuerit. Purgatis igitur tantum cremoris primo exhibendum, quantum evincere possint, deinde paulatim adaugere oportet, si et dolor, inquit, cessaverit et nihil aliud prohibuerit. Quod de dolore dicitur manifestum est, sed nihil aliud prohibere intelligendum est, si ad praedictas referas distinctiones, in quibus demonstravit quo pacto acute laborantes absque sorbitionibus alere oporteat. Summa vero horum est, quum vel morbum ante judicationem nulla sorbitione indigere sperabimus, vel in quibus summa est humoris phlegmonen facientis cruditas.

ιδ.

Ὡυτὸς δέ μοι λόγος ἐστὶ καὶ ἢν χυλῷ δέῃ πτισάνης χρέεσθαι.

Παραπλήσιον τῇ τε πτισάνῃ καὶ τῷ χυλῷ τὸν καιρὸν τῆς δόσεως ἔφησεν εἶναι καὶ διὰ τῶν ἔμπροσθεν, ἑνὶ μόνῳ τὴν διαφορὰν αὐτῶν ἀφορισάμενος, τῷ τὴν ἀρχὴν τῆς δόσεως ἀπὸ τοῦ χυλοῦ ποιεῖσθαι.

ιε.

Φημὶ γὰρ ἄμεινον εἶναι αὐτίκα ἄρξασθαι τὸ ἐπίπαν ῥοφεῖν, μᾶλλον ἢ προκενεαγγήσαντα ἄρξασθαι τοῦ ῥοφήματος ἢ τριταῖον ἢ τεταρταῖον ἢ πεμπταῖον ἢ ἑκταῖον ἢ ἑβδομαῖον, ἤν γε μὴ προκριθῇ ἡ νοῦσος ἐν τουτέῳ τῷ χρόνῳ.

Ὁ κατὰ τοὺς ἀφορισμοὺς ἔγραψε, τούτῳ καὶ νῦν ἀκολουθεῖ, βουλόμενος ἐν πάσῃ νόσῳ τὸ λεπτότατον τῆς διαι-

XIV.

Eadem autem mihi ratio eſt, ſi et ptiſanae cremore utendum ſit.

Tempus exhibendi tum ptiſanam tum cremorem et antea ſimile eſſe demonſtravit, re una differentiam horum definiens, nimirum a cremore principium exhibitionis facit.

XV.

Melius enim eſſe dico ſtatim omnino per morbi exordia ſorbere, potius quam praevacuatis vaſis aut tertio aut quarto aut quinto aut ſexto aut ſeptimo die a ſorbitione inchoare, niſi hocce tempore morbus prius judicatus fuerit.

Quod in aphorismis ſcripſit, id et nunc perſequitur, dum in omni morbo tenuiſſimum victum in morbi vigore

τῆς ἐν τῇ τοῦ νοσήματος ἀκμῇ παραλαμβάνεσθαι. ἐὰν οὖν αὕτη τῇ πέμπτῃ τῶν ἡμερῶν μέλλῃ γίνεσθαι καὶ μὴ δύνηται τοῖς πόμασι μόνοις χρώμενος ὁ κάμνων ἐξαρκέσαι, βέλτιον εἶναί φησιν εὐθέως ἀπ' ἀρχῆς αὐτῷ δίδοσθαι τῆς πτισάνης, οὐ κατὰ τὴν τρίτην ἢ τὴν τετάρτην ἡμέραν ἄρξασθαι τῆς δόσεως. οὕτως οὖν καὶ τοὺς ἐν τῇ ε' τῶν ἡμερῶν ἢ τῇ στ', ἢ τῇ ζ' τοῦ ῥοφήματος ἀρχομένους ἁμαρτάνειν φησὶν, ἐάν γε μὴ τύχῃ προκριθὲν ἐν τούτῳ τῷ χρόνῳ τὸ νόσημα, τῆς κρίσεως, ὡς ἔφην, ἀκουομένης οὐ μόνον τῆς τελείας ἀπαλλαγῆς, ἀλλὰ καὶ τῆς ἀξιολόγου μεταβολῆς.

ιστ'.

[48] *Αἱ δὲ προπαρασκευαὶ καὶ τουτέοισι παραπλήσιοι ποιητέαι, ὁκοῖαί περ εἴρηνται. περὶ μὲν οὖν ῥοφήματος προσάρσιος οὕτω γινώσκω.*

Καὶ οἷς ἀπ' ἀρχῆς μέλλεις διδόναι τὸ ῥόφημα, τὴν προπαρασκευὴν ὁμοίως ἀξιοῖ γενέσθαι, τουτέστιν εἴτε φλεβοτο-

aſſumi imperat. Si igitur quinto die morbi vigor futurus ſit et aeger ſolo uſus potu ſufficere non poſſit, melius eſſe ait protinus ab initio ptiſanam dari, non tertio die aut quarto ejus exhibitionem auſpicari. Sic ſane et eos, qui aut quinto aut ſexto aut ſeptimo ſorbitionem inchoant, aberrare pronunciat, ſi hocce tempore morbus non fuerit judicatus. Per judicationem intelligo, ut dixi, non perfectam duntaxat *morbi* mutationem, verum etiam effatu dignam tranſmutationem.

XVI.

Praeparationes autem et his conſimiles, quales dictae ſunt, faciendae. De ſorbitionis igitur exhibitione ita ſentio.

Et quibus a principio ſorbitionem daturus ſis, praeparationem ſimiliter fieri praecipit, hoc eſt ſive ſectionis

μίας ἐστὶν, εἴτε κλύσματος ἢ βαλάνου χρῆσις, ἐκεῖνο πράττειν κελεύει πρότερον.

ιζ'.

Αὐτὰρ καὶ περὶ ποτοῦ, ὁκοῖον ἄν τις μέλλῃ πίνειν τῶν γραφησομένων, ὡυτός μοι λόγος ὡς ἐπίπαν ἐστί.

Κἂν χωρὶς πτισάνης ἐπὶ τῶν πομάτων μόνων διαιτῴης τὸν κάμνοντα, τὰς εἰρημένας προπαρασκευὰς ἀξιοῖ ποιεῖσθαί σε, τουτέστιν ἢ φλεβοτομεῖν ἢ κλύζειν ἢ βαλάνῳ χρῆσθαι.

ιη'.

Οἶδα δὲ καὶ τοὺς ἰητροὺς τὰ ἐναντιώτατα ἢ ὡς δεῖ ποιέοντας· βούλονται γὰρ ἅπαντες ὑπὸ τὰς ἀρχὰς τῶν νούσων προταριχεύσαντες τοὺς ἀνθρώπους ἢ δύο ἢ τρεῖς ἡμέρας ἢ καὶ πλείονας οὕτω προσφέρειν τὰ ῥοφήματα καὶ τὰ ποτά. καὶ ἴσως τι καὶ εἰκὸς δοκέει αὐτέοισιν εἶναι, μεγάλης τῆς μεταβολῆς γενομένης τῷ σώματι, μέγα τι κάρτα

venae, ſive clyſmatis, ſive balani neceſſitas fuerit, illud prius faciendum imperat.

XVII.

Quin et de potu, qualemcunque tandem ex deſcribendis quis potaturus ſit, eadem omnino mihi eſt ratio.

Si laborantem potu ſolo citra ptiſanae ſorbitionem cibaveris praedictas praeparationes te facere jubet, hoc eſt aut venam ſecare aut clyſtere aut balano uti.

XVIII.

At vero novi medicos his quae deceant maxime contraria moliri. Volunt enim omnes, ubi ſub initia morborum homines, aut duos, aut tres aut etiam plures dies inedia praemaceraverint, ita tum ſorbitiones tum potus exhibere. Et fortaſſis aliquid etiam conſentaneum eſſe videtur, magna mutatione oboriente corpori, magnam

καὶ ἀντιμεταβάλλειν· τὸ δὲ μεταβάλλειν μὲν εὖ ἔχει μὴ ὀλίγον, ὀρθῶς μέντοι μεταβιβαστέη καὶ ἡ μεταβολὴ καὶ ἔκ γε τῆς μεταβολῆς ἡ πρόσαρσις τῶν γευμάτων ἔτι μᾶλλον.

Μέμφεται τοὺς ἰατροὺς ὅσοι ταῖς πρώταις ἡμέραις ἐν ἀσιτίᾳ παντελεῖ φυλάξαντες τοὺς κάμνοντας ἀθρόως μετάγουσιν, ἔνιοι μὲν ἐπὶ τὴν τῶν ῥοφημάτων προσφορὰν, ἔνιοι δὲ ἐπὶ τὴν τῶν ποτῶν. οὐ μὴν ἐμνημόνευσέ γε τῶν ἔτι καὶ τούτων αὐτῶν τροφὰς ἰσχυροτέρας διδόντων πρὸ τοῦ πεφθῆναι τὴν νόσον· εἴωθε γὰρ, ὥσπερ καὶ πρόσθεν ἔφην, ἐνίοτε τὰ μέγιστα τῶν διαμαρτημάτων ἀνεξέλεγκτα καταλείπειν, ἐξ ὧν τὰ μικρότερα διέβαλλε καὶ τὴν (58) ἀπ' ἐκείνων ἐνδεικνύμενος βλάβην. ὅσοι δ' οὕτω μεταβάλλουσιν, ἴσως οἴονται, φησὶ, κατὰ λόγον μεταβάλλειν ἐπὶ μεγάλῃ τῇ τοῦ σώματος μεταβολῇ, ἀξιόλογον καὶ τὴν τῆς διαίτης ὑπαλλαγὴν ποιούμενοι. τοῦτο μὲν οὖν αὐτὸ καλῶς ὑπειληφέναι φησὶν αὐτοὺς, οὐ μὴν ἅπασάν γε μεταβολὴν, ἀλλά τινα οἰητέον

etiam quandam mutationem contra objicere, commutare quidem bene habet non parum, recte tamen mutatio transferenda et ex mutatione ciborum exhibitio etiamnum magis.

Medicos arguit, qui primis diebus aegrotos in integra inedia servant, tum nonnulli quidem eos derepente ad sorbitionum, alii vero ad potuum exhibitionem deducunt. Non tamen eorum etiamnum meminit, qui cibos validiores ante morbi concoctionem ministrant. Consuevit enim, ut antea dixi, interdum maximos errores non evictos praetermittere, ex quibus minores defert et ex illis ortam laesionem demonstrat. Qui vero ita commutant, fortassis, inquit, cum ratione se transmutare arbitrantur, in magna corporis transmutatione effatu dignam victus permutationem facientes. Id sane ipsum bene eos existimasse ait, non tamen transmutationem omnem, sed aliquam augurandum esse, de qua partim praedixit et

εἶναι, περὶ ἧς τὸ μέν τι προείρηκε, τὸ δέ τι καὶ λέξει κατασκευάζων τῷ λόγῳ, φυλάττεσθαι τὰς ἀθρόας μεταβολάς.

ιθ'.

[49] *Μάλιστα μὲν οὖν βλάπτοιντο ἂν, ἢν μὴ ὀρθῶς μεταβάλλοιεν, οἱ ὅλῃσι τῇσι πτισάνῃσι χρεόμενοι· βλάπτοιντο δ' ἂν καὶ οἱ μούνῳ τῷ χυλῷ χρεόμενοι· βλάπτοιντο δ' ἂν καὶ οἱ μούνῳ τῷ ποτῷ χρεόμενοι, ἥκιστα δὲ οὗτοι.*

Τὴν εἰρημένην ὀλίγον ἔμπροσθεν ἀθρόαν μεταβολὴν τῆς διαίτης, καθ' ἣν ταῖς πρώταις ἡμέραις ἐν ἀσιτίᾳ παντελεῖ φυλάξαντες τοὺς κάμνοντας ἄρχονται τρέφειν περὶ τετάρτην ἡμέραν, μάλιστα μὲν βλάπτειν φησὶν, ἐὰν ἐπὶ τὴν ὅλην πτισάνην μεταβάλλωσιν, ἔλαττον δ' ὅταν ἐπὶ τὸν χυλόν· ἥκιστα δὲ, τουτέστιν ἐλάχιστα βλάπτειν τοὺς ἐπὶ μόνα τὰ ποτὰ παραγινομένους. κατὰ γὰρ τὸ μέγεθος τῆς δυνάμεως τοῦ προσφερομένου καὶ τὸ τῆς βλάβης γίνεται μέγεθος.

partim eſt dicturus, ſermone aſtruens vitandas eſſe repentinas mutationes.

XIX.

Plurimum igitur laedentur, qui tota utuntur ptiſana, niſi recte mutationem fecerint, laedentur etiam, qui ſolo utuntur cremore, quanquam minus, *laedentur praeterea et qui ſolo utuntur potu, ſed hi minime.*

Dictam paulo ante repentinam victus mutationem, qua primis diebus in integra inedia ſervatos aegrotantes circa diem quartum nutrire incipiunt, maxime quidem laedere ait, ſi in ptiſanam totam transferantur, minus vero, ſi in cremorem, minime denique, hoc eſt pauciſſime, eos laedi, qui ad ſolos procedunt potus. Nam ex magnitudine facultatis eorum, quae offeruntur, laeſionis oritur magnitudo.

κ'.

Χρὴ δὲ καὶ τὰ μαθήματα ποιέεσθαι ἐν τῇ διαίτῃ τῶν ἀνθρώπων ἔτι ὑγιαινόντων, οἷα ξυμφέρει· εἰ γὰρ δὴ τοῖσί γε ὑγιαίνουσι φαίνονται διαφέροντα μεγάλα τὰ τοῖα ἢ τοῖα διαιτήματα, ἐν ἄλλῳ τινὶ που καὶ ἐν τῇσι μεταβολῇσι, πῶς οὐχὶ καὶ ἐν τῇσι νούσοισι διαφέρει μεγάλα καὶ τουτέων ἐν τῇσιν ὀξυτάτῃσι μάλιστα;

Ἀποδεικνύειν ἤρξατο τὴν προειρημένην ὑπ' αὐτοῦ περὶ τῆς διαίτης δόξαν, ἐλέγχων ἅμα καὶ τοὺς ἐναντίως διαιτῶντας· ἵνα δὲ σαφὴς ὁ λόγος γένηται, τὸ κεφάλαιον αὐτοῦ σύμπαν ἄμεινόν μοι δοκεῖ προειπεῖν. ἔστι δὲ τῶν εἰς αὐτὸ λαμβανομένων λημμάτων τὸ μὲν ἕτερον ἀξίωμα καθόλου τοιοῦτον· ἐὰν τοῖς ὑγιαίνουσι βλάβην φέρουσιν αἱ ἀθρόαι τῆς διαίτης ἐπὶ τἀναντία μεταβολαὶ, πολὺ μᾶλλον τοῖς νοσοῦσιν· ὃ καὶ πολυειδῶς ἐστιν ἑρμηνεύειν, ἄλλοτε εἰς ἄλλην λέξιν μεταλαμβάνοντας, οἷον οὕτως· ἐπὶ τῶν κατὰ δίαιταν

XX.

Oportet autem et ex ſanorum adhuc hominum victu quae conferant addiſcere. Etenim ſane ſi ſanis quibusdam talis vel talis victus magnopere inter ſe differre videatur, cum in aliis quibusdam, tum in mutationibus, quomodo et in morbis maximeque in acutiſſimis non multum differet?

Incipit praedictam a ſe de victu ſententiam demonſtrare, arguens una et eos qui contrario modo victum inſtituunt. Sed ut dilucidus evadat ſermo, ſummam ipſius totam praefari melius eſſe mihi videtur. Eſt autem earum, quae in eam rem aſſumuntur, ſumptionum altera, ſententia univerſalis haec. *Si bene valentibus laeſionem afferant repentinae victus ad contraria mutationes, multo magis aegrotantibus ipſis*, quod variis etiam modis poſſumus interpretari, aliud in aliam tranſſumentes dictionem,

ἀθρόων μεταβολῶν οἱ ὑγιαίνοντες ἧττον βλάπτονται τῶν νοσούντων· ἢ οὕτως, οἱ νοσοῦντες βλάπτονται μᾶλλον τῶν ὑγιαινόντων· ἢ οὕτως, τὰ βλαβερὰ τοὺς ὑγιαίνοντας ἧττον βλάπτει τῶν νοσούντων· καὶ ἔτι γενικώτερον τοῦδε· τοὺς ἰσχυροτέρους ἧττον βλάπτει, τοὺς δ' ἀσθενεστέρους μᾶλλον τὰ βλαβερά· ἔξεστι δὲ καὶ ἄλλως ἑρμηνεύειν τὴν αὐτὴν τοῦ λόγου δύναμιν, ἤτοι τὸ καθ' αὑτὸ καὶ πρώτως χρήσιμον εἰς τὸ ἀποδεικνύμενον ἢ διά τινος τῶν περιεχόντων ἀξιωμάτων ἢ λημμάτων αὐτό. τοιοῦτον μὲν δή σοι τὸ ἕτερον τῶν λημμάτων ἐστὶν ἐξ αὐτοῦ πιστὸν, ἅπερ δὴ καὶ καλεῖν ἔθος ἐστὶν ἀξιώματα τοῖς περὶ τὸν Ἀριστοτέλην· [50] τὸ δὲ ἕτερον ἐξ ἐμπειρίας ἐγνωσμένον ἐφεξῆς ἄκουε· καὶ τοὺς ὑγιαίνοντας ἡ ἀθρόα μεταβολὴ τῆς διαίτης βλάπτει. τούτοις δ' ἀμφοτέροις τοῖς λήμμασιν ἕπεται τὸ συμπέρασμα, τὸ βλάπτεσθαι μειζόνως τοὺς νοσοῦντας ὑπὸ τῆς ἀθρόας ἐν τῇ διαίτῃ μεταβολῆς καὶ πολὺ δὴ μᾶλλον ἔτι τοὺς ὀξέως νοσοῦντας. αὕτη μὲν ἡ τοῦ λόγου δύναμις· ὁ δὲ Ἱπποκράτης τὸ μὲν ἕτερον τῶν λημμάτων ἐξ ἑαυτοῦ πρότερον πιστότερον ὂν ἄντικρυς λαμβάνει χωρὶς κατασκευῆς· τὸ δὲ ἕτερον ἐκ τῶν

ut ſic: *in repentinis victus mutationibus ſanitate fruentes aegrotantibus minus laeduntur*, vel ſic: *aegri ſanis magis laeduntur*, vel hoc modo: *laeſiones ſanos minus quam aegros afficiunt*, et adhuc generalius: *robuſtiores minus laedunt, imbecilliores magis, noxiae.* Licet et aliter vim ipſam ſermonis interpretari, aut ex eo quod per ſe et primum utile ſit ad quod demonſtratur, aut ex aliqua continentium ipſum vel ſententiarum vel ſumptionum. Talis quidem tibi ſit per ſe credibilis altera ſumptionum, quas ſane vocare conſuevit Ariſtoteles axiomata. Sed et alteram ab experientia cognitam deinceps audi: *ſanos etiam repentina victus mutatio laedit.* Has vero utrasque ſumptiones ſequitur concluſio, aegrotos a repentina victus mutatione laedi magis, ſed multo magis acute laborantes. Haec eſt vis ſermonis. Verum Hippocrates alteram ex ſumptionibus per ſe prius credibiliorem confeſtim citra probationem accipit, alteram vero iis, quae particulatim

διὰ τῆς ἐμπειρίας κατὰ μέρος ἑωραμένων πιστοῦται, καὶ τοῦτο αὐτὸ δηλοῖ καὶ ὁ ἐφεξῆς λόγος.

κα'.

Ἀλλὰ μὴν εὐκαταμάθητόν γέ ἐστιν ὅτι φαύλη δίαιτα βρώσεως καὶ πόσεως αὐτὴ ἑωυτῇ ἐμφερὴς ἀεὶ ἀσφαλεστέρη ἐστὶ τὸ ἐπίπαν ἐς ὑγείην ἢ ἐάν τις ἐξαπίνης μέγα μεταβάλλοι εἰς ἄλλο κρέσσον.

Τὸ ἕτερον τῶν εἰς τὴν ἀπόδειξιν τοῦ προκειμένου λόγου διαφερόντων λημμάτων ἤρξατο νῦν κατασκευάζειν ἐκ πολλῶν τῶν κατὰ μέρος παραδειγμάτων, εἰς ἓν κεφάλαιον ἀθροίζων αὐτοῦ τὴν πίστιν· ἔστι δὲ τοῦτο τοῖς ὑγιαίνουσι τὰς παρὰ τὸ ἔθος ἐξαπίνης μεγάλας μεταβολὰς, οὐ μικρὰν ἐργάζεσθαι βλάβην. ὁ λόγος μὲν οὖν οὗτος ὑπάρχει σαφὴς, ὅμως δ' εἴ τι παρεμπίπτειν δόξειεν ἐξηγήσεως δεόμενον τοῖς ἀγυμναστοτέροις περὶ τὴν ἐν τούτοις ἀκολουθίαν, οὐκ ὀκνήσομεν ἐξηγήσασθαι. καὶ τοῦτο γὰρ ὑπόμνημα φιλανθρω-

per experientiam nofcuntur, fide aftruit. Atque id ipfum fequens declarat oratio.

XXI.

Atqui quod vitiofus victus cibi et potus fui femper fimilis ad fanitatem tutior omnino fit, quam fi quis fubito ad alium meliorem magnam mutationem faciat, facile addifcitur.

Alteram fumptionum, quae ad praefentis fermonis demonftrationem praeftant, nunc ex multis particularibus exemplis aftruere incipit, fidem ipfius in unam colligens fummam, quae talis eft: *Magnae et repentinae praeter confuetudinem mutationes non parvam fanis afferunt laefionem.* Quanquam fermo hic confpicuus eft, tamen fi quid quod explanatione indigeat, intercidere videbitur iis qui exercitati non funt in fequenti ferie, explanare non cunctabor. Nam hic commentarius liberalior ac huma-

πότερόν ἐστι, τῷ ἐστοχάσθαι μὴ μόνον τῶν γεγυμνασμένων ἐν λόγοις, ἀλλὰ καὶ τῶν ἀγυμναστοτέρων· εἰ δέ τις ἀμαθὴς καὶ ἄπειρός ἐστι τῶν προειρημένων μαθημάτων, ἄλλο τι πραττέτω.

κβ'.

Ἐπεὶ καὶ τοῖσι δὶς σιτεομένοισι τῆς ἡμέρης καὶ τοῖσι μονοσιτέουσιν αἱ ἐξαπίναιοι μεταβολαὶ βλάβας καὶ ἀῤῥωστίην παρέχουσι. καὶ τοὺς μέν γε μὴ μεμαθηκότας ἀριστᾷν, ἢν ἀριστήσωσιν, εὐθέως ἀῤῥώστους ποιέει καὶ βαρέας ὅλον τὸ σῶμα καὶ ἀσθενεῖς καὶ ὀκνηρούς· ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, ὀξυρεγμιώδεας, ἐνίοισι δὲ ἂν καὶ σπατίλη γένοιτο, ὁκόταν παρὰ τὸ ἔθος ἀχθοφορήσῃ ἡ κοιλίη εἰθισμένη ἐπιξηραίνεσθαι καὶ μὴ δὶς διογκοῦσθαι μηδὲ δὶς ἕψειν τὰ σιτία.

Οὐ μόνον ὅτι βλάπτονται μεγάλα κατὰ τὰς τῶν ἐθῶν ἐξαιφνιδίους μεταβολὰς, ἀλλὰ καὶ τίνες αἱ βλάβαι [51] γί-

nior est, si non eos modo qui in rationibus sunt exercitati, sed etiam qui non sunt exercitati, spectet. Quod si quis praedictas disciplinas neque didicerit neque expertus fuerit, aliud quidpiam agat.

XXII.

Quandoquidem tum bis die tum semel cibum assumentibus repentinae mutationes laesiones et morbos invehunt. Et sane qui prandere non consueverunt, si prandeant, statim infirmos efficiunt et corpore graves et imbecilles ac desidiosos. Quod si praeterea coenaverint, acidum eructant, nonnullis etiam alvi liquida dejectio oboritur. Quum praeter consuetudinem ventriculus pondere gravetur, resiccari consuetus, non bis intumescere, neque bis cibos coquere.

Non solum quod in repentinis consuetudinum mutationibus magnopere laedantur, verum etiam et quae laesi-

νονται γράφων, τίνα δὲ τρόπον ἐπανορθωτέον ἑκάστην ἐστὶν, εἰς μῆκος ἐκτείνει τὸν λόγον· ὡς εἴ γε μόνον ὅτι βλάπτονται μεγάλα κατὰ τὰς τῶν ἐθῶν ἐξαιφνιδίους μεταβολὰς ἐπεδείκνυε, βραχὺς ἂν αὐτῷ ὁ πᾶς λόγος ἐγεγόνει. πρώτη μὲν οὖν ἐστι μεταβολὴ ἡ νῦν προκεχειρισμένη, τοῦ ἔθους ἐπὶ τῶν ἀηθῶν μὲν ἀριστᾷν, ἀριστησάντων δέ ποτε· φησὶ γὰρ ἀῤῥώστους τε καὶ βαρεῖς ὅλον τὸ σῶμα γίγνεσθαι καὶ ἀσθενεῖς καὶ ὀκνηρούς. συμβαίνει δὲ αὐτοῖς ταῦτα βαρυνομένης τῆς δυνάμεως ὑπὸ τῆς τροφῆς ὡς ὑπὸ φορτίου· οὐ γὰρ δὴ κατά γε τὸν ἴδιον λόγον ἀῤῥωστούσης, ὡς ἐπὶ τῆς ἐνδείας εἴωθε γίγνεσθαι. διὰ τοῦτο οὖν ἐνταῦθα μὲν προσέθηκε τῷ λόγῳ, τὸ βαρέας ὅλον τὸ σῶμα γίγνεσθαι καὶ ὀκνηροτέρους τοὺς δὶς διαιτηθέντας· ἐπὶ δὲ τῶν εἰθισμένων ἀριστᾷν, οὐκ ἀριστησάντων δὲ, τὴν μὲν ἀσθένειαν τῆς δυνάμεως ἔγραψε, τὸ δὲ βάρος οὐ προσέγραψε· κατὰ γὰρ τὸν ἑαυτῆς λόγον ἡ δύναμις ἐν ταῖς τοιαύταις (59) μεταβολαῖς ἀῤῥωστεῖ. καὶ μέντοι καὶ ὀκνηροὺς εἰπὼν γενέσθαι κατὰ τὴν νῦν ἡμῖν προκειμένην μεταβολὴν τῆς διαίτης, ἐπὶ τῆς ἐναντίας εἶπε

ones fiant et quonam modo fingulas emendare oporteat fcribens in prolixitatem fermonem extendit; nam fi duntaxat, quod in repentinis confuetudinum mutationibus laedantur, oftenderet, fermo illi totus brevis foret. Prima igitur confuetudinis mutatio nunc expofita eft, de prandere non affuetis, qui pranfi aliquando funt. Ait enim tales et infirmos et toto corpore graves fieri, imbecilles quoque et defidiofos. Haec autem ipfis accidunt, gravata ab alimento, tanquam a pondere, facultate, neque enim certe imbecilla ea redditur propria ratione, veluti in cibi penuria fieri confuevit. Ob eam igitur caufam hic fermoni adjecit, totum corpus gravari iis, qui bis cibati funt, eosque fieri defidiofiores. Verum in affuetis prandere et non pranfis, imbecillitatem quidem virium fcripfit, fed gravitatem non adfcripfit. Nam per fe vires in ejusmodi mutationibus imbecilles evadunt. Praeterea quum defidiofos fieri in praefenti victus mutatione afferat, in

δειλοὺς, ὡς πᾶν ἔργον μισεῖν, ὡς εἰ καὶ φοβουμένους τῶν ἔργων ἅψασθαι εἰρήκει· οὕτως γὰρ ἔχει καὶ κατ᾽ ἀλήθειαν, αἰσθανομένων τῆς κατὰ δύναμιν ἀσθενείας τῶν οὕτως ἐχόντων καὶ διὰ τοῦτο μὴ τολμώντων ἐνεργεῖν ἃς ἐνήργουν ἔμπροσθεν ἑτοίμως ἐνεργείας. ἀλλὰ μὴν καὶ ἐκκρεμᾶσθαι δοκεῖν τὰ σπλάγχνα τοῖς ἐνδεῶς διαιτηθεῖσί φησι καὶ οὐρεῖν θερμόν τε καὶ χλωρόν· θερμὸν μὲν λέγων δηλονότι τοῦ συνήθους θερμότερον, χλωρὸν δὲ κατά τι τῶν ἐπὶ τῆς Ἀσίας Ἑλλήνων ἔθος, ὅ ἐστι καὶ νῦν διασωζόμενον. ὠχροὺς γάρ τινας ἰδόντες ἐρωτῶσι τὴν αἰτίαν, δι᾽ ἣν οὕτω γεγόνασι χλωροὶ, μηδὲν διαφέρειν ἡγούμενοι χλωρὸν εἰπεῖν καὶ ὠχρόν· ἑωρακέναι τε τόνδέ τινα χλωρότερον ἑαυτοῦ φασι, τὸν ὠχρότερον οὕτω δηλοῦντες. ἔστι δὲ τὸ ὠχρὸν χρῶμα κατ᾽ ἀλήθειαν τοιοῦτον, οἷόν περ καὶ τὸ τῆς καλουμένης ὤχρας ὀξυνομένης κατὰ τὴν προσηγορίαν τῆς πρώτης συλλαβῆς· καὶ γίγνεται τοιοῦτον ἐπιμιγνυμένης τῷ ὑδατώδει περιττώματι τῆς ὠχρᾶς τε καὶ πικρᾶς καὶ ξανθῆς ὀνομαζομένης χολῆς· ὅσον γὰρ τοῦ ἐρυθροῦ χρώματος ἐπὶ τὸ λευκότερον

contraria timidos esse dixit, velut si opus omne perosos ac opus aggredi veritos diceret. Sic enim se vere res habet. Atque quum ita se habeant, virium imbecillitatem sentiunt, atque ob id eas, quas ante promptius obibant, obire non audent actiones. Quin etiam et iis qui parcius cibantur viscera videri pendere ait, eosque tum calidum tum viride meiere. Calidum quidem inquiens, id est solito calidius, viride vero juxta morem quendam Asiaticorum Graecorum, qui et nunc observatur; pallidos enim quosdam videntes, causam cur ita virides facti sunt, interrogant, viride et pallidum nihil differre existimantes, conspectumque quendam se ipso viridiorem dicunt, pallidiorem ita significantes. Est autem color pallidus revera talis, qualis ignis et ochrae vocatae, ὤχρας, cujus nominis prima syllaba acuitur. Fitque talis color permixta aquoso excremento pallida et amara et flava appellata bile. Quantum enim flavus color a rubro in albiorem

ἀποκεχώρηκε τὸ ξανθὸν, τοσοῦτον τούτου τὸ ὠχρόν. ἔγραψε δέ τινα καὶ ἄλλα συμπτώματα, γιγνόμενα τοῖς οὕτω διατεθεῖσι, περὶ ὧν ὅταν ἀφικώμεθα ἐπὶ τὴν ῥῆσιν, ἐπισκεψόμεθα· νυνὶ δὲ τὴν προκειμένην ῥῆσιν ἐξεργαστέον. οἷς ἔφη συμβαίνειν ἐπὶ τῶν ἀήθως ἀριστησάντων, ἔτι καὶ τοῦτο προσέθηκεν· ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, ὀξυρεγμιώδεες. ἐμάθομεν δὲ ὅτι διά τε τὴν ψύξιν τῆς γαστρὸς αἱ ὀξυρεγμίαι γίνονται καὶ διὰ φλέγμα πολλάκις ἠθροισμένον ἐν αὐτῇ καὶ διὰ πλῆθος σιτίων ἢ καὶ συμμέτρων μὲν ὄντων, ἀλλὰ ψυχρῶν τῇ δυνάμει. πάντων δὲ τῶν προειρημένων κοινόν ἐστι τὸ νικᾶσθαι τὴν ἔμφυτον θερμασίαν τῆς γαστρὸς ὑπὸ τῶν σιτίων, οὐ νικᾷν οὐδὲ κρατεῖν οὐδὲ κατεργάζεσθαι δυναμένην καλῶς αὐτά· καθάπερ εἰ καὶ φλογὶ μικρᾷ πλῆθος ἐπισωρεύσαις ξύλων, ἢ καὶ χωρὶς πλήθους ἐπιτιθείης χλωρὰ καὶ ὑγρά. τισὶ δὲ τούτων τῶν οὕτω διαιτηθέντων καὶ σπατίλην φησὶ γίνεσθαι, τουτέστιν ὑγρὰν διαχώρησιν· ἐν πολλοῖς δὲ τῶν ἀντιγράφων οὐ σπατίλην γεγραμμένην εὑρήσεις,

fecedit, tantum a flavo pallidus. Scripfit autem et alia quaedam fymptomata, quae ita affectis fiunt, de quibus quum ad propriam enarrationem pervenerimus, agemus. Nunc autem praefentem textum abfolvamus. Quae in non affuetis prandere contingere ait, iis adhuc et hoc adjecit: *fi autem fupercoenaverint, acidum eructant.* Quod autem ructus acidi fiant et propter ventriculi frigiditatem et propter pituitam faepius in eo acervatam et propter ciborum multitudinem, aut etiam fi moderati quidem fint, poteftate tamen frigidorum, didicimus. Omnium autem praedictorum commune eft calorem ventris infitum vinci a cibis, non eos vincere, neque fuperare, neque probe conficere poffe, ut fi modicae flammae lignorum multitudinem fuperacervaveris, aut et citra multitudinem tum viridia tum humida fuperpofueris. Quibusdam ita cibatis diarrhoeam, hoc eft liquidam dejectionem fieri ait. Verum multis in exemplaribus non dejectionem liquidam fcriptam invenies, fed inquietudinem, ut videlicet

ἀλλ' ἄσην, ἵν' ἀκούσωμεν δηλονότι τὸν ῥιπτασμὸν τοῦ σώματος, ἀσωμένου διὰ τὸ πλῆθος τῆς τροφῆς τοῦ διαιτηθέντος οὕτως καὶ δυσφοροῦντος ἐν τῇ κατακλίσει καὶ μεταβάλλοντος ἑαυτόν. ἐπὶ δὲ τῆς τελευταίας ῥήσεως ἀπεφήνατο σαφῶς ὅτι δεῖ τὴν πέψιν εἶναι παραπλησίαν ἑψήσει, ὡς ὑπὸ θερμοῦ γιγνομένην, οὐ ξηροῦ καὶ αὐχμώδους, ὁποῖόν ἐστι τὸ τῶν πυρετῶν, ἀλλ' ὑγροῦ καὶ ἀτμώδους οἷον τὸ κατὰ φύσιν ἐν τοῖς ζώοις ἐστίν.

κγ'.

[52] *Ἀρήγει οὖν τουτέοισιν ἀνασηκῶσαι τὴν μεταβολήν. ἐγκοιμηθῆναι γὰρ χρὴ ὥσπερ νύκτα ἀγαγόντα μετὰ τὸ δεῖπνον, τοῦ μὲν χειμῶνος ἀριγέως, τοῦ δὲ θέρεος ἀθαλπέως· ἢν δὲ καθεύδειν μὴ δύνανται, βραδεῖαν συχνὴν περίοδον πλανηθέντα μὴ στασίμως, δειπνῆσαι μηδὲν ἢ ὀλίγα καὶ μὴ βλαβερὰ, ἔτι δὲ ἔλασσον πιεῖν καὶ μὴ ὑδαρές. ἔτι δὲ μᾶλλον ἂν πονήσειεν ὁ τοιοῦτος, εἰ τρὶς σιτέοιτο τῆς ἡμέρας ἐς κόρον, ἔτι δὲ μᾶλλον, εἰ πλεονάκις· καί-*

jactationem intelligamus corporis ita cibati, ut alimenti copia jactetur molesteque in lecto jaceat et sese permutet. At circa textus finem concoctionem elixationi similem esse oportere manifeste ostendit, tanquam quae a calido fiat, non sicco squalentique, quale febrium est, sed humido et vaporoso, quale in animalibus secundum naturam existit.

XXIII.

Iis igitur auxiliatur aequabilem mutationem rependere. Dormire siquidem oportet, tanquam noctem a coena agentes, hieme quidem citra frigus, aestate vero citra calorem. Quod si dormire nequeant, ubi multam lentamque ambulatiunculam oberraverint non stando, nihil coenent, aut pauca et innoxia, minus praeterea neque aquosum bibant. Is praeterea etiam magis afficietur, si ter die ad satietatem cibum acceperit, ac etiamnum

τοιγε πολλοί εἰσιν, οἳ εὐφόρως φέρουσι τρὶς σιτεόμενοι τῆς ἡμέρης εἰς πλῆθος, οἳ ἂν οὕτως ἐθισθῶσιν.

Οὐκ ἦν ἀναγκαῖον εἰρῆσθαι νῦν ταῦτα, προὔκειτο γὰρ αὐτῷ διδάξαι τὰς ἐξαπιναίας μεταβολὰς τῶν ἐθῶν βλάπτειν ἡμᾶς, οὐχ ὅπως χρὴ τὰς τοιαύτας βλάβας ἐκθεραπεύειν· ἐπεὶ δὲ καὶ τοῦτο ἔδοξεν αὐτῷ πρᾶξαι, καὶ ἡμεῖς ἀκολουθήσωμεν οἷς ἔγραψε, μάλιστα μὲν ἐπὶ πλέον κοιμηθῆναι κελεύων, εἰ δὲ καθεύδειν μὴ δύναιντο περιπατῆσαι σχολαίως συχνὴν περίοδον, ὡς μὲν οἱ πλεῖστοι τῶν ἐξηγουμένων λέγουσι, μετὰ τὸ δεῖπνον, ὡς δὲ ἡ διάνοια τῶν εἰρημένων βούλεται, μετὰ τὸ ἄριστον· τὸ γὰρ ὥσπερ νύκτα ἀγαγόντα περὶ τῶν ἡμερινῶν ὕπνων, οὐ τῶν ἐν τῇ νυκτὶ προσήκει λέγεσθαι. καὶ μέντοι τὸ γεγραμμένον ἐφεξῆς ἔνθα φησίν· ἢν δὲ καθεύδειν μὴ δύνανται, βραδεῖαν συχνὴν περίοδον πλανηθέντα μὴ στασίμως, δειπνῆσαι μηδὲν ἢ ὀλίγα· μαρτυρεῖ τῷ μετὰ τὸ ἄριστον αὐτὸν ἀξιοῦν κοιμηθῆναι. δυοῖν οὖν θάτερον ἢ ἐπανορθωτέον ἐστὶν ὡς ἡμαρτημένην μὲν τοιαύτην

magis, si saepius; quanquam multi sunt sane, qui ter die copiosum cibum facile ferunt, quod ita assueti sint.

Haec nunc referre non erat necessarium. Nam docere proposuerat repentinas consuetudinum mutationes nos laedere, non autem quomodo tales laesiones curare oporteat. Verum quoniam ipsi hoc agere visum est, nos quoque quae scripsit persequamur. Maxime quidem dormire ipsos plurimum jubet, et si dormire nequeant, multae ac lentae ambulationis circuitum conficere, ut quam plurimi interpretes ajunt, post coenam, verum ut eorum quae dicuntur sensus praecipit, post prandium. Nam oratio haec: *tanquam noctem agant,* de somnio meridiano, non de nocturno dici expostulat. Enimvero, quod continuata est scriptum serie, ubi inquit: *Si vero dormire nequeant, ubi multam lentamque ambulationem non stando confecerint, nihil coenent aut pauca,* testatur *Hippocratem* velle eos a prandio dormire. Duorum igitur alterum, aut emendanda

γραφὴν καὶ οὕτω γραπτέον· ἐγκοιμηθῆναι γὰρ χρὴ ὥσπερ νύκτα ἀγαγόντα, μετὰ τὸ ἄριστον, τοῦ μὲν χειμῶνος ἀριγέως, τοῦ δὲ θέρεος ἀθαλπέως· ἢ εἴπερ φυλάττοιμεν τὴν μετὰ τὸ δεῖπνον, οὕτως ἀκουστέον τῆς λέξεως· ἐγκοιμηθῆναι γὰρ χρὴ ὥσπερ μετὰ τὸ δεῖπνον ἐκοιμᾶτο πρόσθεν, οὕτω νῦν μετὰ τὸ ἄριστον ὥσπερ νύκτα ἀγαγόντα. τοῦ δὲ κελεύειν αὐτὸν ἤτοι μηδὲν ὅλως ἢ ὀλίγα καὶ κοῦφα δειπνῆσαι, πρόδηλος ὁ λογισμός· ἡσυχάσαι γὰρ βούλεται τὴν γαστέρα καὶ ἀνακτήσασθαι τὸν κάματον, ὃν ἔκαμνε βαρυνθεῖσα διὰ τὸ παρὰ τὸ ἔθος ἀριστῆσαι τὸν ἄνθρωπον. ἀκόλουθον δὲ τούτῳ καὶ τὸ πιεῖν μὲν ἧττον, οὐ μὴν ὑδαρές γε· τόν τε γὰρ κλύδωνα καὶ τὴν ὑγρότητα καὶ ψύξιν φυλάξασθαι χρὴ βεβαρημένης τῆς γαστρὸς ὑπὸ τοῦ πλήθους τῶν σιτίων· αὐτὸ δὲ τὸ διδόμενον πόμα μὴ ὑδαρὲς, ἀλλ' ἐκθερμαῖνόν τε καὶ ῥωννύον εἶναι τὴν γαστέρα. τὰ δὲ ἄλλα τὰ συνεχῆ τῇ ῥήσει δῆλα.

---

eſt tanquam erronea ſcriptio, atque ita ſcribendum: *Dormire ſiquidem eos oportet poſt prandium, tanquam noctem agant, hieme quidem citra frigus, aeſtate vero citra calorem.* Vel ſi ſervare volumus orationem hanc *a coena*, ſic intelligenda eſt dictio, dormire ſiquidem eos oportet, ut a coena ante dormiebant, ſic et nunc poſt prandium tanquam noctem agant. Quod autem velit Hippocrates eos aut nihil omnino, aut parce et leviter coenare, ſenſus eſt manifeſtus. Ventrem enim vult requieſcere laboreque, quo gravatus afficiebatur, levari, quod praeter conſuetudinem pranſus homo fuerat. Hinc ſequens eſt et minus bibere, ſed non aquoſum. Etenim fluctuationem, humiditatem et reſrigerationem vitare oportet, ubi a ciborum multitudine venter gravatus fuerit. Potum autem, qui exhibetur, non aquoſum eſſe convenit, ſed qui ventrem facultate tum caleſaciat tum roboret. Caetera quae textu continuantur ſunt manifeſta.

κδ΄.

[53] Ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτεῖσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν, ἀσθενέες καὶ ἄῤῥωστοί εἰσι καὶ δειλοὶ εἰς πᾶν ἔργον καὶ καρδιαλγέες. κρεμᾶσθαι γὰρ δοκέει τὰ σπλάγχνα αὐτέοισι καὶ οὐρέουσι θερμὸν καὶ χλωρὸν καὶ ἡ ἄφοδος ξυγκαίεται· ἔστι δ᾽ οἷσι καὶ τὸ στόμα πικραίνεται καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται καὶ οἱ κρόταφοι πάλλονται καὶ τὰ ἄκρα διαψύχεται.

Ταύτης τῆς ῥήσεως τὰ μὲν ἄλλα διὰ τῆς παραβολῆς, ὧν τοῖς ἀριστήσασι παρὰ τὸ ἔθος συμβαίνειν ἔφησεν, ἐξήγημαι· περὶ δὲ τῶν ὑπολοίπων νῦν ἐρῶ. τὴν ἄφοδον αὐτῶν, τουτέστι τὸ ἀποπάτημα, συγκαίεσθαί φησιν, ὑπὸ τῆς θερμασίας δηλονότι κατοπτώμενον· ξηρότερόν τε γὰρ ἑαυτοῦ καὶ πυρωδέστερον γίνεται τὸ σῶμα, τοῖς ἐκ- (60) λείπουσι τὸ εἰθισμένον ἄριστον. ἐνίοις δὲ καὶ τὸ στόμα πικρὸν γίγνεσθαί φησιν· εἰσὶ δ᾽ οὗτοι χολωδέστεροι φύσει, καὶ οἱ ὀφθαλμοὶ κοῖλοι γίγνονται τοῖς τοιούτοις ξηραινόμενοι κατὰ τὴν αὐτὴν αἰτίαν τὴν συγκαίουσαν τὸ διαχώρημα. διὰ

XXIV.

Quin etiam qui bis die cibum ſumere conſueverunt, ii niſi pranſi fuerint, imbecilles ac infirmi ſunt et ad quodcunque opus timidi et cor dolentes. Iis enim viſcera pendere videntur, calidum meiunt et cum virore pallidum ſtercusque exuritur. Quibusdam etiam os amareſcit, oculi cavantur, tempora palpitant et extrema perfrigerantur.

Caetera quidem hujus textus eorum collatione, quae praeter conſuetudinem pranſis accidere protulit, explicavimus, ſed de reliquis nunc dicam. Stercus ipſorum, hoc eſt dejectionem, exuri profert, a calore ſcilicet aſſatam. Aridius etenim fit corpus igneumque magis iis, qui conſuetum relinquunt prandium. Nonnullis et os amareſcere ait (ſunt vero hi natura bilioſiores) hisque concavi fiunt oculi et ab eadem qua dejectio aduritur cauſa ſicceſcunt.

δὲ τὴν ἐπὶ τὸ πυρῶδες ἐν ταῖς πικροχόλοις φύσεσιν ἐκτροπὴν τῆς ἐμφύτου θερμασίας καὶ οἱ κρόταφοι πάλλονται, τουτέστιν αἱ κατὰ τοὺς κροτάφους ἀρτηρίαι σφύζουσιν ἐπιφανῶς· καὶ τὰ τοῦ σώματος ἄκρα ψυχρότερα γίγνεται, χολωδῶν ἰχώρων ἐμπιπλαμένης τῆς γαστρὸς, ὑφ' ὧν δακνομένη τε καὶ ἀνιωμένη καταλύει τὴν δύναμιν καὶ καταψύχει τὰ ἄκρα τοῦ σώματος.

κε'.

Καὶ οἱ μὲν πλεῖστοι τῶν ἀνηριστηκότων οὐ δύνανται κατεσθίειν τὸ δεῖπνον· δειπνήσαντες δὲ βαρύνουσι τὴν κοιλίην καὶ δυσκοιτέουσι πολὺ μᾶλλον ἢ εἰ καὶ προηριστήκεισαν.

Οἱ πικρόχολοι φύσει παρὰ τὸ ἔθος ἀνάριστοι μείναντες ἀποστρέφονται τὰ σιτία κακωθείσης αὐτοῖς τῆς γαστρός· ὅσοι δ' ἂν βιασάμενοι λάβωσι, βαρύνονταί τε καὶ διὰ τοῦτο δυσκοιτοῦσιν, ὡς αὐτὸς εἶπεν, ὅπερ ταὐτὸν σημαίνει τῷ μοχθηρῶς ἔχοντας αὐτοὺς ἐν τῇ κοίτῃ διατελεῖν.

At in biliofis naturis ob innati caloris in igneum digreffionem etiam tempora palpitant, hoc eft temporum arteriae evidenter pulfant. Praeterea corporis extrema frigidiora funt, quod venter biliofo fero repletus fit, cujus morfu atque moleftia affectus vires diffolvit corporisque extrema perfrigerat.

XXV.

Ac plurimi quidem impranfi coenam edere nequeunt, coenati vero ventriculum gravant multoque difficilius in lecto decumbunt quam fi prius etiam pranfi fuiffent.

Biliofi natura amarulenti, praeter confuetudinem impranfi manentes cibos averfantur, ventriculo ipfis male affecto. Verum qui coacti cibum fumpferint, et gravantur et ob id difficile in lecto decumbunt, ut ipfe protulit, quod idem eft ac male ipfos habentes in lecto permanere.

κστ'.

Ὁκότ' οὖν ταῦτα τοιαῦτα γίγνεται τοῖσιν ὑγιαίνουσιν ἕνεκεν ἡμίσεος ἡμέρης διαίτης μεταβολῆς παρὰ τὸ ἔθος οὔτε προσθεῖναι λυσιτελέειν φαίνεται οὔτε ἀφελέειν.

[54] *Μεταξὺ* δὲ πάλιν τῆς διηγήσεως τῶν συμβαινόντων τοῖς ὑγιαίνουσιν, ὅσοι γε τὸ ἔθος ὑπήλλαξαν ἀθρόως τὸ κεφάλαιον τοῦ λόγου παρενέθηκεν, οὗ χάριν ταῦτα πάντα διηγεῖται τὰ τοῖς ὑγιαίνουσι συμβαίνοντα. δῆλον γὰρ ὡς εἴπερ τοῖς ὑγιαίνουσιν ἡ τῆς ἡμίσεος ἡμέρας μεταβολὴ τῆς διαίτης εἰς τοσοῦτόν ἐστιν ἀνιαρὰ, πῶς οὐχ ἥδε πολλή γε τοῖς νοσοῦσιν; ἐφεξῆς δὲ πάλιν ἐπὶ τὴν διήγησιν τῶν συμβαινόντων τοῖς ὑγιαίνουσιν ἐπανέρχεται κατὰ τὴν ἐχομένην ῥῆσιν ἔχουσαν οὕτως·

κζ'.

Εἰ τοίνυν οὗτος ὁ παρὰ τὸ ἔθος μονοσιτήσας, ὅλην τὴν ἡμέρην κενεαγγήσας, δειπνήσειεν ὁκόσον εἴθιστο εἰκὸς αὐ-

XXVI.

Quum igitur talia haec ob dimidiatae diei victus a consuetudine mutationem sanis contingant, neque apponere quicquam, neque detrahere commodum esse videtur.

Rursus autem in eorum explicatione, quae bene valentibus oboriuntur, iis nimirum qui derepente consuetudinem permutarunt, sermonis summam inseruit, cujus gratia omnia haec exponit, quae sanis contingunt. Nam ut constat, si bene valentibus victus dimidiati diei permutatio adeo molesta sit, quomodo haec non admodum aegrotantibus molesta erit? deinde rursus ad explicationem eorum, quae sanis accidunt, revertitur in sequenti textu, qui ita habet:

XXVII.

Qui igitur praeter consuetudinem semel cibum acceperit et toto die evacuatis vasis quantum consuevit coena-

τὸν, εἰ τότε ἀνάριστος ἐὼν ἐπόνεε καὶ ἠῤῥώστει, δειπνήσας δὲ τότε βαρὺς ἦν, πολὺ μᾶλλον βαρύνεσθαι· εἰ δέ γε ἔτι πλείονα χρόνον κενεαγγήσας ἐξαπίνης μεταδειπνήσειεν, ἔτι μᾶλλον ἂν βαρύνοιτο.

Ὃ λέγει τοιοῦτόν ἐστιν. εἰ ὁ παρὰ τὸ ἔθος ἀναρίστητος μείνας, εἶτα δειπνήσας τῶν εἰθισμένων ἐλάττω τῆς νυκτὸς ἐβαρύνθη, πολὺ μειζόνως βαρυνθήσεται ὁ πλείω ἢ ὅσα εἴθιστο δειπνήσας· ὁ δ' ἐπὶ πλείονα χρόνον κενεαγγήσας, εἰ ἐξαπίνης μεταδειπνήσειεν, ἔτι μᾶλλον ἂν βαρυνθείη. τῶν γὰρ ἀναριστήτων μενόντων παρὰ τὸ ἔθος ἔνιοι μὲν ἐπ' ἐλάττονα χρόνον ἐκτείνουσι τὴν ἀσιτίαν, ἔνιοι δὲ ἐπὶ πλείονα· τούτους οὖν φησιν ἔτι μᾶλλον βαρυνθήσεσθαι.

κη'.

Τὸν μὲν οὖν παρὰ τὸ ἔθος κενεαγγήσαντα συμφέρει ταύτην τὴν ἡμέρην ἀντισηκῶσαι ὧδε, ἀῤῥιγέως καὶ ἀθαλ-

verit, si tunc impransus doluerit ac aegrotaverit, atque coenatus tum gravatus fuerit, multo magis eum gravari par est. Quod si etiamnum longiore tempore evacuatis vasis repente post coenaverit, magis adhuc gravabitur.

Quod docet hujusmodi est. Si qui praeter consuetudinem impransus manens minus consueto coenaverit, nocte gravetur, multo magis gravabitur qui solito plura est coenatus. Qui autem plusculo tempore exinanitis vasis repente coenaverit magis adhuc gravabitur. Nam qui impransi praeter consuetudinem morantur, horum alii ad minus temporis inediam protendunt, alii ad longius intervallum, hos igitur gravari adhuc magis pronunciat.

XXVIII.

Cui igitur praeter consuetudinem vasa evacuata sunt, ei hunc diem sic rependere confert, citra frigus, calorem

πέως καὶ ἀταλαιπώρως· ταῦτα γὰρ ἅπαντα βαρέως ἂν ἐνέγκοι. καὶ τὸ δεῖπνον συχνῷ ἔλασσον ποιήσασθαι ἢ ὅσον εἴθιστο καὶ μὴ ξηρὸν, ἀλλὰ τοῦ πλαδαρωτέρου τρόπου· καὶ μετὰ ταῦτα πιεῖν μὴ ὑδαρὲς μήτε ἔλασσον ἢ κατὰ λόγον τοῦ βρώματος· καὶ τῇ ὑστεραίᾳ ὀλίγα ἀριστῆσαι, ὡς ἐκ προσαγωγῆς ἀφίκηται εἰς τὸ ἔθος.

Ὥσπερ τῶν ἀριστησάντων οὐκ εἰθισμένως ἐπηνώρθου τὴν βλάβην, οὕτως καὶ τοὺς παρὰ τὸ ἔθος κακωθέντας ἐκ μονοσιτίας ἀξιοῖ πρῶτον μὲν θάλπους καὶ ψύχους καὶ ταλαιπωρίας ἀπέχεσθαι· ταῦτα γὰρ ἂν, φησὶ, πάντα βαρέως ἐνέγκοιεν· ἔτι τε ἀξιοῖ ἐπ᾽ ἔλαττον ἢ ὅσον ἦσαν εἰθισμένοι δει- [55] πνῆσαι. καίτοι τούτου ἐναντιώτατον οἱ πολλοὶ ποιοῦσι· κωλυθέντες γὰρ ὑπό τινος ἀσχολίας ἀριστῆσαι κατὰ τὸ δεῖπνον ἀξιοῦσιν ἀπολαμβάνειν καὶ τὴν παραλελειμμένην ἐπὶ τοῦ ἀρίστου τροφὴν, οὐκ εἰδότες ὅτι δεῖται μὲν ὄντως τὸ σῶμα τῆς παραλελειμμένης τροφῆς, οὐ δύναται δὲ αὐτὴν ἡ γαστὴρ κατεργάσασθαι, βεβλαμμένη διὰ τὴν

et laborem. Haec enim omnia graviter tulerit. Et coenam quam consuevit multo parciorem faciat eamque non siccam, sed quodammodo humentiorem, postea bibat neque aquosum neque minus quam pro cibi ratione, posteroque die pauca prandeat, quo accessione facta ad consuetudinem redeat.

Quemadmodum praeter consuetudinem impransorum laesionem emendavit, sic et unico in die pastu praeter consuetudinem male affectos vult in primis tum calorem tum frigus tum labores fugere, haec enim omnia moleste ferri ait. Praetereaque pauciore coena quam consueverint ipsos uti imperat, quanquam plerique maxime contrarium agunt. Nam prandere ob negocium aliquod prohibiti volunt in coena omissum in prandio alimentum assumere, haud scientes quod eget quidem vere corpus omisso alimento, sed ipsum conficere non potest ventricu-

μακροτέραν ἀσιτίαν. ἀλλ' ὅ γε Ἱπποκράτης ὥσπερ ἐλάττονα κελεύει δοθῆναι τὴν τροφὴν, οὕτως καὶ ὑγροτέραν· αὕτη γὰρ οἰκεῖον ἴαμα τῇ τε γαστρὶ καὶ παντὶ τῷ σώματι γενήσεται κατεξηρασμένοις. ἐπιῤῥῶσαι δὲ αὐτῶν βούλεται τὴν γαστέρα καὶ τῇ τοῦ οἴνου πόσει, μήθ' ὑδαρὲς μήτ' ἔλαττον τῆς κατὰ τὴν τροφὴν ἀναλογίας κελεύων πιεῖν. τὸ μὲν γὰρ ὑδαρὲς ἐκλύσει τὸν τόνον τῆς γαστρός· τὸ δ' ἔλαττον ἀνεπιτήδειον τῇ ἐξηρασμένῃ. καὶ κατὰ τὴν ὑστεραίαν δ' ἔτι προνοήσασθαι τῆς διαίτης ἀξιοῖ τὸν οὕτω βλαβέντα, τροφῆς τῆς συνήθους ἐλάττονα προσενεγκάμενον, ὅπως ἐκ προσαγωγῆς, τουτέστι κατ' ὀλίγον, εἰς τὸ παλαιὸν ἔθος ἐπανέλθοι.

κθ'.

Αὐτοὶ μέντοι σφῶν αὐτῶν δυσφορώτερον δὴ τὰ τοιαῦτα φέρουσιν οἱ πικρόχολοι τὰ ἄνω.

Εἶπον ἤδη κἀγὼ πρὸ μικροῦ περὶ τῶν πικροχόλων ὡς

lus ob longiorem inediam laesus. Quin etiam Hippocrates, ut alimenti minus imperat exhiberi, ita et humidius. Id enim exiccatis tum ventri tum corpori universo peculiare remedium erit. Roborare praeterea et ventrem ipsorum jubet vini potu, neque dilutum neque minus quam cibi proportio exigit potandum praecipiens. Dilutum enim ventris robur exolvit, minus vero ventri arefacto incommodum existit. Postero etiam die ita laesum victui prospicere jubet, qui cibum consueto parciorem assumpsit, ut ex accessu, hoc est paulatim, in pristinam redeat consuetudinem.

XXIX.

Ista tamen eorum quidam molestius certe ferunt, sursum picrocholi.

Jam et ego paulo ante dixi biliosos repentinam a

δυσφορώτεροι γίγνονται τῶν φλεγματωδῶν ἐν τῷ μεταβάλλειν ἀθρόως τὴν δίαιταν ἐπὶ τὴν ἔνδειαν· ἐκχολοῦται γὰρ αὐτοῖς θᾶττον ἥ θ' ὅλη τοῦ σώματος ἕξις καὶ ἡ κατὰ τὴν γαστέρα. διὰ τί δὲ οὐχ ἁπλῶς εἶπεν οἱ πικρόχολοι, ἀλλὰ προσέθηκε τὰ ἄνω; ὅτι τῆς ξανθῆς χολῆς, ἣν δὴ καὶ ὠχρὰν καὶ πικρὰν ὀνομάζουσιν, ἐπιπολαζούσης μὲν τῇ ἄνω γαστρὶ πικροχόλους εἰκότως ἐροῦμεν εἶναι τὰ ἄνω τοὺς τοιούτους, ὑπιούσης δὲ δι' ἕδρας πικροχόλους τὰ κάτω. Παύλῳ μὲν γὰρ τῷ ῥήτορι φλεγματώδη τὴν ὅλην ἕξιν τοῦ σώματος ἔχοντι καθ' ἑκάστην ἡμέραν ἐπεπόλαζεν ἡ ξανθὴ χολὴ καὶ πρώτην αὐτὴν ἤμει μετὰ τὸ λουτρὸν οὐκ ὀλίγην. Εὐδήμῳ δὲ τῷ φιλοσόφῳ χολώδει τὴν κρᾶσιν ὄντι διὰ τῆς ἕδρας ὑπήει κάτω καὶ σπανίως ποθ' οὗτος ἤμει χολὴν (61) ὠχράν· ἦν δ' ὥσπερ τῷ Παύλῳ τὰ διαχωρήματα χολῆς ὀλίγον ἔχοντα, οὕτοι τῷ Εὐδήμῳ πάμπολυ. τοῖς οὖν ἐκλείπουσι παρὰ τὸ ἔθος τὸ ἄριστον, ἐὰν μὲν τήν τε ὅλην ἕξιν τοῦ σώματος ὦσι πικρόχολοι, τήν τε ἄνω γαστέρα συμβαίνειν ἀναγκαῖόν ἐστι πάνθ' ὅσα προεῖπεν ὀλίγον ἔμπροσθεν·

victu ad inediam digreſſionem pituitoſis difficilius ferre. Bileſcit enim celerius his totus tum corporis tum ventris habitus. Cur autem non ſimpliciter dixit *picrocholi*, ſed *ſurſum* addidit? quod quum flava bilis, quam ſane et pallidam et amaram nominant, ſuperiori ſupernatat ventriculo, jure optimo tales parte ſuperiore picrocholos dicimus, quum vero per ſedem demittitur, deorſum picrocholos *aſſerimus*. Paulo ſiquidem rhetori, toto corporis habitu pituitoſo, diebus ſingulis ſupernatabat flava bilis primamque ipſam vomebat a lavacro non paucam. Eudemo autem philoſopho, temperamento birioſo exiſtenti, per ſedem deorſum ferebatur, raroque is bilem vomebat pallidam. Erant autem ut Paulo excrementa quae bilis exiguum habebant, ita et Eudemo quae plurimum. Qui igitur praeter conſuetudinem prandium reliquerunt, ſi et toto corporis habitu et ſuperiore ventre picrocholi fuerint, his accidere neceſſarium eſt quaecunque paulo ante

ὅσοις δὲ τὴν ἄνω γαστέρα μόνην ὑπάρχει πικροχόλοις εἶναι, τὰ μὲν τῆς δυσφορίας συμβήσεται ὁμοίως, τὰ δὲ ἄλλα συμπτώματα τινὰ μὲν οὐδ' ὅλως ἔσται, τινὰ δὲ μετριώτερα. προειρήκει δὲ τοὺς ἐκλείποντας τὸ ἄριστον παρὰ τὸ ἔθος δειλοὺς ἐς πᾶν ἔργον γίγνεσθαι καὶ καρδιαλγέας καὶ κρεμᾶσθαι δοκεῖν αὐτοῖς τὰ σπλάγχνα καὶ οὐρεῖν θερμὸν καὶ χλωρὸν καὶ τὴν ἄφοδον συγκαίεσθαι· τισὶ δ' αὐτῶν καὶ τὸ στόμα πικρὸν γίγνεσθαι καὶ τοὺς ὀφθαλμοὺς κοίλους καὶ τοὺς κροτάφους πάλλεσθαι καὶ τὰ ἄκρα διαψύχεσθαι. τούτων δὲ τινὰ μὲν τοῖς ὅλην τὴν ἕξιν πικροχόλοις μᾶλλον συμβαίνει, τινὰ δὲ τοῖς τὴν ἄνω γαστέρα. καὶ διὰ τοῦτο καὶ ἡ πρὸς τὰς ἐνεργείας ἀτολμία καὶ ἡ τῶν ἄκρων ψύξις [56] τό τ' οὐρεῖν θερμόν τε καὶ χλωρὸν καὶ τὰ διαχωρήματα συγκαίεσθαι καὶ τοὺς ὀφθαλμοὺς κοίλους γίγνεσθαι καὶ τοὺς κροτάφους πάλλεσθαι, τοῖς τὴν ὅλην ἕξιν πικροχόλοις, ἀμφοτέροις δὲ τό τε δοκεῖν κρεμᾶσθαι τὰ σπλάγχνα καὶ τὸ στόμα πικραίνεσθαι. διὰ μὲν γὰρ τὴν παρὰ τὸ ἔθος ἔνδειαν αἴσθησιν ἴσχουσιν ἀστηρίκτων τῶν σπλάγχνων, διὰ δὲ τὴν ἐπικράτειαν τῆς χολῆς πικρὸν γίγνεσθαι τὸ στόμα τοῖς

praedixit omnia. At qui ventre duntaxat fuperiore picrocholi exiftunt, his tolerantiae difficultas fimiliter continget, fed ex reliquis fymptomatis alia quidem prorfus non erunt, alia vero moderatiora. Praedixit autem eos qui praeter confuetudinem prandium omittunt, timidos ad quodvis opus fieri, cardialgiis affici, pendentia videri ipfis vifcera, calidum et viride meiere exurique ftercus, quibusdam eorum et os amarefcere, oculos cavari, tempora palpitare et extrema perfrigerari. Sed horum alia toto habitu picrocholis magis accidunt, alia autem fuperiore duntaxat ventre *biliofis.* Atque ob id ad functiones timiditas, extremorum perfrictio, mictus calidus viridifque, dejectionum aduftio, cavatio oculorum et temporum faltus, toto habitu picrocholis eveniunt. Utrisque autem pendentium vifcerum opinio et oris amaritudo. Nam ob infuetam inediam fufpenfa percipiunt vifcera, verum ob

τὸ πᾶν σῶμα πικροχόλοις, οὐχ ὡς τοῦ παθήματος ἐν τῷ στόματι γιγνομένου μᾶλλον, ἀλλ᾽ ὅτι τῆς αἰσθήσεως αὐτὸ μόριον ἡ φύσις ἐποίησε χυμῶν ἰδέας διαγνωστικόν. ἡ δὲ γαστὴρ συγκαίεται μᾶλλον μὲν οἷς ἡ ἐξ ἥπατος εἰς αὐτὴν καταῤῥέουσα χολὴ τὸ ἐπιπολάζον ἔσχηκεν, ἧττον δὲ οἷς ὑπέρχεται κάτω· τούτοις μὲν γὰρ ἐρεθίζει τὸ ἔντερον εἰς ἀπόκρισιν, ἐκείνοις δὲ τὸν στόμαχον ἀδικεῖ· διὸ καὶ ὁ Εὔδημος ἑκάστης ἡμέρας διεχώρει δὶς, ἔστι δ᾽ ὅτε καὶ τρὶς, ὁ δὲ Παῦλος ἐνίοτε οὐδ᾽ ὅλως ἐξέκρινεν. εἰ μὴ γὰρ ἐρεθίζοιτο πρός τινος δάκνοντος ἢ τῷ πλήθει τῆς κόπρου βαρύνοιτο τὰ ἔντερα, προθυμίαν ἐκκρίσεως οὐ λαμβάνει. τούτων δ᾽ οὐδέτερον τοῖς παραλείπουσι τὸ ἄριστον· οὔτε γὰρ δάκνονται τὰ ἔντερα, τῆς χολῆς ἐπὶ τὸ στόμα ἐνηνεγμένης, οὐκ ἐκεῖνα δακνούσης καὶ ἀνιώσης· οὔτε βάρος ἐγγίνεται τοῖς μηδὲ ὅλως ἐδηδοκόσι.

λ΄.

Τὴν δέ γε ἀσιτίην τὴν παρὰ τὸ ἔθος οἱ φλεγματίαι τὰ ἄνω

bilis exuperantiam os amarescit toto corpore picrocholis, non quod affectio in ore magis fiat, sed quod ipsam sentiendi partem natura fecerit, quae speciem humorum dignosceret. Venter autem magis quidem iis exuritur, quibus ex hepate in eum bilis effusa supernatat, minus autem quibus deorsum subit. Nam his quidem intestinum proritat ad excretionem, illis vero stomachum mordet. Ob eam rem Eudemus diebus singulis bis et interdum ter dejiciebat. Paulus autem interdum nihil prorsus excernebat. Nisi enim intestina a mordente aliquo irritarentur vel copioso excremento gravarentur, excretionis promptitudinem non acciperent. Neutrum autem horum impransis contingit, neque enim mordentur intestina, bile in os ascendente, non illa mordente vexanteque, neque gravitas his fit qui nullo pacto comederunt.

XXX.

Non consuetam autem cibi abstinentiam facilius omnino

εὐφορώτερον φέρουσι τὸ ἐπίπαν· ὥστε καὶ μονοσιτίην τὴν παρὰ τὸ ἔθος εὐφορώτερον οὗτοι ἂν ἐνέγκοιεν.

Ἔμπροσθεν μὲν εἰρήκει τοὺς πικροχόλους τὰ ἄνω δυσφορώτερον φέρειν τὴν μονοσιτίην, νυνὶ δὲ πρὸς τοὺς φλεγματώδεις μεταβὰς ἀντὶ τῆς μονοσιτίας πρότερον ἐμνημόνευσε τῆς ἀσιτίας, ἐκ τοῦ σαφεστέραν ἔχοντος τὴν βλάβην τὴν μετάβασιν ἐπὶ τὸ βλάπτον ἧττον ποιησάμενος ἐξ ἀναλογίας. εἰ γὰρ δὴ μᾶλλον μὲν εἰκὸς βλάπτεσθαι τοὺς ὅλην τὴν ἡμέραν ἀσιτήσαντας παρὰ τὸ ἔθος, ἧττον δὲ τοὺς ἐκλείποντας τὸ ἄριστον, εὐφορώτερον δὲ τῶν πικροχόλων οἱ φλεγματώδεις φέρουσι τὴν μονοσιτίαν, εὔδηλον ὡς καὶ τὴν ἀσιτίαν εὐφορώτερον οἴσουσιν. ἡ δὲ αἰτία τοῦ ῥᾷον φέρειν τὴν μονοσιτίαν τοὺς φλεγματώδεις ἐκ τῶν προειρημένων ἐπὶ τοῖς χολώδεσι πρόδηλος. ὁ μὲν γὰρ τῆς χολῆς χυμὸς ἐν ταῖς ἀσιτίαις ἑαυτοῦ γίνεται πικρότερος, ὁ δὲ τοῦ φλέγματος ἐν τῷ χρόνῳ πεπτόμενος γίνεται αἷμα, τῶν χολῶν οὐδε-

ferunt, qui ſuperioribus partibus pituitoſi ſunt. Quare aſſumptum praeter conſuetudinem ſemel die cibum hi facilius etiam tulerint.

Prius quidem parte ſuperiore picrocholos aſſumptum ſemel die cibum difficilius tolerare dixit, nunc autem ad pituitoſos digreſſus pro unico cibatu prius inediae meminit, ex re habente manifeſtiorem laeſionem, ad minus laedentem translationem ex proportione faciens. Nam ſi magis quidem laedi eos, qui cibo abſtinentes totum diem praeter conſuetudinem traduxerunt, conſentaneum ſit, minus autem prandium deſerentes et pituitoſi picrocholis cibatum die unicum facilius ferant, quod ſane et inediam facilius ferant perſpicuum eſt. Cauſa autem cur pituitoſi facilius cibatum die unicum ferant, ex iis quae antea de bilioſis dicta ſunt evadit conſpicua. Nam bilis humor in ipſis inediis amarior redditur, pituitae vero *humor* temporis proceſſu coctus ſanguis efficitur, neutra

τέρας ἐπανελθεῖν εἰς αἵματος οὐσίαν δυναμένης, ἐπειδὴ τοῦ μὲν αἵματος ἐν αὐτῷ θερμανθέντος ἐπὶ πλέον ἡ ξανθὴ γεννᾶται χολὴ, τούτου δ' αὐτοῦ κατοπτηθέντος ἢ καὶ τοῦ παχέος αἵματος ἡ μέλαινα· τοῦ δὲ φλέγματος ἡ γένεσις ἐν τοῖς φλεγματώδεσιν ἐδέσμασιν ἀεὶ προηγεῖται τοῦ αἵματος καὶ διὰ μέσης τῆς τούτου γενέσεως ἡ εἰς αἷμα μεταβολὴ γίνεται τοῖς σιτίοις. καὶ τοῦτο συμβέβηκεν οὐ μόνον τοῖς μοχθηροτέροις ἐδέσμασιν, ἀλλὰ καὶ τῶν πάνυ δοκούντων ἐνίοις ὑγιεινῶν εἶναι, καθάπερ ἄρτῳ τε καὶ χόνδρῳ καὶ σεμιδάλει. ἐγὼ μὲν οὖν ἐξήγημαι τὴν ἀρίστην εἶναί μοι δοκοῦσαν γραφήν· αὐτό τε γὰρ καθ' [57] αὑτὸ τὸ ἐν αὐτῇ διδασκόμενον ἀληθές ἐστι καὶ τοῖς προηγουμένοις ἀκόλουθον, οἵπερ εἰσὶ σκοποὶ τῆς ἀρίστης ἐξηγήσεως· οὐ μὴν ἐν ἅπασί γε τοῖς ἀντιγράφοις εὑρήσεις τὴν τοιαύτην γραφὴν, ἀλλ' ἐναντίως μὲν καὶ ἀλλήλοις, ἑτέρως δὲ ἐν ἅπασι σχεδόν τι τοῖς βιβλίοις ἐστὶν εὑρεῖν ἐγγεγραμμένην τὴν ῥῆσιν ταύτην καὶ ψευδοῦς γιγνομένου τοῦ λόγου καὶ τοῖς προειρημένοις οὐδεμίαν ἀκολουθίαν σώζοντος.

---

bile in ſanguinis ſubſtantiam redire valente, quandoquidem ex ſanguine quidem in ſe plus calefacto flava bilis procreatur, ex eodem vero aſſato, vel etiam ex craſſo ſanguine, atra. Pituitae autem generatio in pituitoſis eduliis ſanguinem perpetuo antecedit, atque generatione ipſius media cibi in ſanguinem commutantur. Neque hoc deterioribus tantum cibis contingit, verum et quibusdam eorum, qui ſalubres admodum eſſe videntur, ut pani, halicae, ſiligini. Ego ſane eam, quae mihi optima eſſe videtur, enarravi deſcriptionem. Etenim quod in ea docetur, per ſe verum eſt atque antecedentibus conſentaneum, qui optimae explicationis ſunt ſcopi. Non tamen in exemplaribus omnibus conſimilem invenies deſcriptionem, ſed in aliis et aliis pugnantem. Verum aliter in libris fere omnibus reperitur dictio haec inſcripta, falſo ſermone reddito nullamque praedictis conſequentiam ſervante.

λα'.

Ἱκανὸν μὲν οὖν καὶ τοῦτο σημεῖον ὅτι αἱ μέγισται μεταβολαὶ τῶν περὶ τὰς φύσιας ἡμῶν καὶ τὰς ἕξιας συμβαινόντων μάλιστα νοσοποιέουσιν.

Πολλὰ μὲν οὖν σημαίνει παρ' αὐτῷ τὸ τῆς φύσεως ὄνομα, νῦν μέντοι τὴν κρᾶσιν ἄν τις ὑπολάβοι δηλοῦσθαι, καθάπερ γε καὶ τὴν αὐτῶν τῶν μορίων κατασκευὴν ἕξιν ὠνομάσθαι νῦν, ἐν ᾗ κατασκευῇ καὶ τὸ ἐπιπολάζειν ἄνω τὴν χολήν ἐστι καὶ ὑποχωρεῖν κάτω καὶ τὸ κρεμάμενα μᾶλλον ἔχειν ἢ ἐστηριγμένα τὰ σπλάγχνα. μεγάλη μὲν γὰρ οὖσα φύσει ἡ γαστὴρ στηρίζει τὰ σπλάγχνα, κἂν κενὴ ἡ γαστὴρ σιτίων ᾖ· σμικρὰ δ' ὑπάρχουσα σιτίων μὲν πληρωθεῖσα στηρίζει, κενωθεῖσα δὲ καταλείπει συνιζάνουσα, κἀντεῦθεν αἴσθησις αὐτοῖς γίγνεται τοῦ κρεμᾶσθαι τὰ σπλάγχνα. περὶ δὲ τοῦ τὴν ξανθὴν χολὴν ἐπιπολάζειν τισὶν ἄνωθεν πρόσθεν εἴρηται, τοῦ καταφέροντος αὐτὴν εἰς τὴν τῆς γαστρὸς ἔκφυσιν ἐξ ἥπατος πόρου διαφέρουσαν ἴσχοντος τὴν

XXXI.

Satis igitur idoneum et hoc argumentum quod eorum quae circa naturam noſtram habitumque contingunt maximae mutationes maxime morbos efficiunt.

Multa quidem apud Hippocratem naturae nomen ſignificat, ſed hoc in loco temperamentum ſignificari quispiam exiſtimaverit, veluti et partium ipſarum ſtructuram habitum appellari, qua in ſtructura continetur et bilis ad partes ſuperiores fluctuatio et ad inferiores dejectio et viſcerum tum ſuſpenſio tum ſtabilitas. Nam quum venter natura magnus exiſtit, viſcera ſtabilit, etiamſi venter cibis vacuus fuerit. Verum quum parvus eſt, cibis quidem repletus fulcit, vacuatus vero ſubſidentia relinquit, hinc ſenſus eſt ipſis ſuſpenſa eſſe viſcera. Quod autem quibusdam bilis flava ſurſum fluctuet ante dictum eſt, meatu ipſam ex hepate ad ventris duodenum deſerente, ſtructuram differentem habente. Nam interdum quibus-

κατασκευήν. ἔσθ᾽ ὅτε γάρ τισιν ἀπ᾽ αὐτοῦ εἰς τὴν γαστέρα παραγίνεται μόριον· τούτοις μὲν οὖν ἐπιπολάζει τὸ χολῶδες περίττωμα, τοῖς δ᾽ ἄλλοις ὑπέρχεται κάτω πᾶν.

λβ'.

Οὐδὲ δὴ οἷόν τε παρὰ καιρὸν οὔτε σφοδροτάτας κενεαγγείας ποιέειν οὔτε ἀκμαζόντων τῶν νουσημάτων καὶ ἐν φλεγμασίῃ ἐόντων προσφέρειν, οὔτ᾽ ἐξαπίνης οἷόν τε ὅλῳ τῷ πρήγματι μεταβάλλειν, οὔτε ἐπὶ τὰ οὔτ᾽ ἐπὶ τά.

Ἀτάκτως ἡ ῥῆσις αὕτη γέγραπται, συνῆφθαι γὰρ αὐτὴν ἐχρῆν τῇ πρὸ αὐτῆς γεγραμμένῃ, ἵνα ὁ σύμπας λόγος γένηται τοιοῦτος· αὐτοὶ μέντοι σφῶν αὐτῶν δυσφορώτερον δὴ τὰ τοιαῦτα φέρουσιν οἱ πικρόχολοι τὰ ἄνω· τὴν δέ γε ἀσιτίαν τὴν παρὰ τὸ ἔθος οἱ φλεγματίαι τὰ ἄνω εὐφορώτερον φέρουσι τὸ ἐπίπαν, ὥστε καὶ τὴν μονο- (62) σιτίην τήν γε παρὰ τὸ ἔθος εὐφορώτερον ἂν οὗτοι ἐνέγκαιεν·

dam portio aliqua ab ipso ad ventrem procedit. His quidem supernatat biliosum excrementum, caeteris vero deorsum omnino voluitur.

XXXII.

Neque sane intempestivas neque vehementissimas vasorum vacuationes moliri fas est, neque vigentibus morbis et in inflammatione consistentibus cibos exhibere, neque derepente huc aut illuc in toto negocio quicquam mutare licet.

Dictio haec praeter ordinem scripta est. Copulari siquidem ipsam oportebat cum ea, quae ante scripta est, ut tota oratio talis esset. *Talia vero molestius ferunt qui parte superiore picrocholi existunt. At non assuetam cibi abstinentiam facillime omnino ferunt, qui parte superiore sunt pituitosi, quo fit ut unicam die cibationem insuetam facilius etiam ferant. Non igitur intempestive*

οὐδὲ οἷόν τε παρὰ καιρὸν οὔτε σφοδρὰς τὰς κενεαγγείας ποιέειν, οὔτ' ἀκμαζόντων τῶν νοσημάτων καὶ ἐν [58] φλεγμασίῃ ἐόντων προσφέρειν. συμπληρώσας γὰρ τὸν λόγον ἐν ᾧ τὰς μεγάλας μεταβολὰς τῆς διαίτης ἐδείκνυε καὶ αὐτοὺς τοὺς ὑγιαίνοντας βλαπτούσας, οὐχ ὅπως τοὺς νοσοῦντας εἰκότως ἐπήνεγκεν, οὗ χάριν ἐμνημόνευσεν ἁπάντων τούτων εἰπών· οὐδ' οἷόν τε παρὰ καιρὸν οὔτε σφοδρὰς τὰς κενεαγγείας ποιέειν. ἀποδεδειγμένου δ' ἱκανῶς αὐτῷ τοῦ προκειμένου καὶ διὰ τῶν εἰρημένων, ὅμως φαίνεται μεταβαίνων καὶ ἐφ' ἕτερον λόγον ἀποδεικνύντα ταῦτα, ἐκ περιουσίας χρώμενος ταῖς πίστεσιν. ἀρχὴ τοίνυν ἐστὶν εἰκότως τοῦ δευτέρου λόγου τούτου ἡ ῥῆσις ἥδε· ἱκανὸν μὲν οὖν καὶ τοῦτο σημεῖόν ἐστιν, ὅτι αἱ μέγισται μεταβολαὶ τῶν περὶ τὰς φύσιας ἡμῶν καὶ τὰς ἕξιας συμβαινόντων νοσοποιέουσιν· ᾧ λόγῳ συνεχὴς ἂν εἴη καὶ ἀκόλουθος οὗτος· πολλὰ δ' ἄν τις ἠδελφισμένα τούτοισι τῶν εἰς τὴν κοιλίην καὶ ἄλλα εἴποι. ταύτην μὲν οὖν τὴν ῥῆσιν ἐξηγήσομαι, νυνὶ δὲ ἐπὶ τὴν προκειμένην ἐπανήξω, τήνδε τὴν διάνοιαν ἔχουσαν·

neque vehementes vaſorum vacuationes moliri, neque quum morbi vigent et cum inflammatione ſunt, cibum dare licet. Nam peracto ſermone, quo magnas victus mutationes prodidit, ſanos ipſos, non modo aegrotantes, laedere, jure intulit, cujus gratia mentionem de his omnibus fecit, inquiens: *non igitur intempeſtivas, neque vehementes vaſorum vacuationes moliri licet.* Quanquam autem et inſtitutum etiam per relata ſatis demonſtravit, videtur tamen et ad alterum tranſire ſermonem, qui haec commonſtret, ex abundanti teſtimoniis uſus. Principium igitur ſequentis ſermonis jure cenſetur hic textus. *Satis idoneum ſane et hoc argumentum, quod maximae mutationes eorum, quae circa naturam noſtram habitumque contingunt, maxime morbos concitent.* Cui quidem orationi continua fuerit, quae ita ſequitur: *Multa autem his cognata eorum, quae ventri contingunt, atque alia quis retulerit.* Textum ſane hunc ſum explicaturus, ſed nunc ad praeſentem revertar, qui hunc ſenſum habet. Non

οὐχ οἷόν τέ ἐστι παρὰ καιρὸν οὔτε σφόδρα λιμαγχονεῖν οὔτ' ἐν ταῖς ἀκμαῖς τῶν νοσημάτων μεταβάλλειν τὴν δίαιταν ἐξ ἐνδείας ἐπὶ προσφορὰν, ὥσπερ οὐδ' ἐπὶ τοὐναντίον ἀθρόως· οἷς ἕπεται δηλονότι τὸ τοιαύτην ποιεῖσθαι τὴν δίαιταν οἵαν οὗτος ἐκέλευσε· κεφάλαιον δὲ αὐτῆς ἐστι πεφυλάχθαι τὰς ἀθρόας μεταβολὰς ἐπὶ τἀναντία.

λγ'.

Πολλὰ δ' ἂν τις ἠδελφισμένα τούτοισι τῶν ἐς κοιλίην καὶ ἄλλα εἴποι· ὡς εὐφόρως μὲν φέρουσι τὰ βρώματα ἃ εἰθισμένοι εἰσὶν, ἢν καὶ μὴ ἀγαθὰ ᾖ φύσει, ὡσαύτως δὲ καὶ τὰ ποτά· δυσφόρως δὲ φέρουσι τὰ βρώματα, ἃ μὴ εἰθισμένοι εἰσὶν, ἢν καὶ μὴ κακὰ ᾖ, ὡσαύτως δὲ καὶ τὰ ποτά.

Τὰ ὁμοιούμενα καὶ ὡς ἂν εἴποι τις ἱκανῶς συγγενῆ καλεῖν ἠδελφισμένα σύνηθες αὐτῷ, διότι τῶν συγγενῶν οἰκειότατοί τέ εἰσι καὶ συγγενέστατοι πάντων οἱ ἀδελφοί· καὶ

intempestive, neque vehementer fame necare, neque in morborum vigore victum ex inedia ad cibi oblationem permutare licet, quemadmodum neque derepente ad contrarium. Ex quibus scilicet sequitur, talem instituendam victus rationem, qualem is praecepit. Summa autem horum est, declinandas esse repentinas ad contraria permutationes.

XXXIII.

Multa vero eorum, quae ad ventrem spectant, atque alia his cognata referre quis possit, quod quidem cibos, quibus assueverunt, facile ferant, etiamsi natura non boni sint, eodem modo et potus. Moleste autem ferunt cibos, quibus non assueti sunt, quamvis mali non sint, consimili modo et potus.

Quae similia et ut quispiam dixerit vehementer cognata sunt, ea fraterna vocare ipsi consuetum est, quod congenerum et consanguineorum tum familiarissimi tum

γὰρ αἱ ἄλλαι συγγένειαι τούτων εἰσὶν ὕστεραι, θεῖοί τε καὶ θεῖαι καὶ ἀνεψιοὶ καὶ ἀνεψιαὶ καὶ ἄλλα ὅσα τοιαῦτα. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα, δεικνύντος αὐτοῦ τὸν αὐτὸν λόγον, ὃν ἀπ' ἀρχῆς ἐδείκνυε, κεφάλαιον ἔχοντα, μέγιστα μέντοι δύνασθαι τὰ ἔθη, τὴν δ' ἀθρόαν μεταβολὴν οὐ σμικρὰ βλάπτειν τὰ σώματα.

λδ'.

Καὶ ὁκόσα μὲν κρεηφαγίη πολλὴ παρὰ τὸ ἔθος βρωθεῖσα ποιέει ἢ σκόροδα ἢ σίλφιον ἢ ὀπὸς ἢ καυλὸς ἢ ἄλλα ὁκόσα τοιουτότροπα μεγάλας δυνάμιας ἔχοντα ἰδίας, ἧσσον ἄν τις θαυμάσειεν, εἰ τὰ τοιαῦτα πόνους ἐμποιέει τῇσι κοιλίῃσι μᾶλλον τῶν ἄλ- [59] λων· ἀλλ' εἰ καταμάθῃς ὁκόσον μᾶζά τε ὄχλον καὶ ὄγκον καὶ φῦσαν καὶ στρόφον τῇ κοιλίῃ παρέχοι, παρὰ τὸ ἔθος βρωθεῖσα τῷ ἀρτοφαγέειν εἰθισμένῳ, ἢ ὁκοῖον ἄρτος βάρος καὶ τάσιν κοιλίης τῷ μαζοφαγέειν εἰθισμένῳ, ἢ αὐτός γε ὁ ἄρτος

genere omnium junctiffimi fint fratres. Etenim propinquitates caeterae his pofteriores funt, ut avunculi, amitae, confobrini et confobrinae et quae hujus generis funt alia. Caetera dictionis clara funt, quum is demonftret fermonem eundem, quem ab initio demonftravit, cujus fumma eft, maxima quidem poffe confuetudines, repentinas vero mutationes corpora non parum laedere.

XXXIV.

Et quaecunque multus quidem carnis efus praeter confuetudinem affumptus facit, aut allia, aut lafer, aut ejus fuccus, aut caulis, aut ejusmodi alia infignibus praedita facultatibus propriis, minus utique miretur quis, fi quae funt ejusmodi, dolores ventriculis quam alia magis inducunt. At jure miraberis, fi didiceris quantam maza et turbationem et tumorem et flatum et tormina ventri afferat praeter morem comefta ab eo, qui pane vefci folet, aut qualem panis gravitatem et tenfionem ventris mazam edere folito, vel qualem panis ipfe calidus devoratus

θερμὸς βρωθεὶς οἵην δίψην παρέχει καὶ ἐξαπιναίην πληθώρην, διὰ τὸ ξηραντικόν τε καὶ βραδύπορον· καὶ οἱ ἄγαν καθαροί τε καὶ ξυγκομιστοὶ παρὰ τὸ ἔθος βρωθέντες διαφέροντα ἀλλήλων ποιέουσι· καὶ μᾶζά τε ξηρὴ παρὰ τὸ ἔθος ἢ ὑγρὴ ἢ γλίσχρη· καὶ τὰ ἄλφιτα οἷόν τι ποιέει τὰ ποταίνια τοῖσι μὴ εἰωθόσι καὶ τὰ ἑτεροῖα τοῖσι τὰ ποταίνια εἰωθόσι· καὶ οἰνοποσίη καὶ ὑδροποσίη παρὰ τὸ ἔθος εἰς θάτερα μεταβληθέντα ἐξαπίνης, καὶ ὑδαρής γε οἶνος καὶ ἄκρητος παρὰ τὸ ἔθος ἐξαπίνης ποθείς· ὁ μὲν γὰρ πλάδον τε ἐν τῇ ἄνω κοιλίῃ ἐμποιήσει καὶ φῦσαν ἐν τῇ κάτω, ὁ δὲ παλμόν τε φλεβῶν καὶ καρηβαρίαν καὶ δίψην· καὶ λευκός τε καὶ μέλας οἶνος παρὰ τὸ ἔθος μεταβάλλοντι, εἰ καὶ ἄμφω οἰνώδεες εἶεν, ὅμως πολλὰ ἂν ἑτεροιώσειαν κατὰ τὸ σῶμα, ὡς δὴ γλυκύν τε καὶ οἰνώδεα ἧσσον ἄν τις φαίη θαυμαστὸν εἶναι μὴ τωὐτὸ δύνασθαι ἐξαπίνης μεταβληθέντα.

ſitim inducat et repentinam plethoram, tum quod exiccet, tum quod tarde deſcendat. Et quam diverſas inter ſe affectiones efficiant puriſſimi confuſaneique panes in cibo praeter conſuetudinem aſſumpti, itemque maza praeter morem arida aut humida aut lenta, et quale quid polentae efficiant recentes non aſſuetis, aliaeque iis qui recentibus aſſueti ſunt et vini potus et aquae potus praeter conſuetudinem in oppoſita derepente permutatus et aquoſum vinum et meracum derepente praeter conſuetudinem epotum. Illud enim in ſuperiore ventre humiditatem excrementitiam et in inferiore flatum inducit, hoc vero ſpectabilem venarum pulſum, capitis gravitatem et ſitim. Tum etiam vinum album et nigrum ſi quis praeter conſuetudinem immutet, etiamſi ambo vinoſa fuerint, multa tamen in corpore alterarint, ut minus mirum eſſe quis dixerit, dulce et vinoſum vinum, ubi repente permutata fuerint, non idem poſſe.

Τὴν ὅλου τοῦ λόγου τοῦδε διάνοιαν εἰπὼν πρότερον, οὕτως ἐπὶ τὰς κατὰ μέρος ἐν αὐτῇ λέξεις ἀφίξομαι. διάνοια μὲν οὖν ὅλου τοῦ λόγου τοιαύτη τίς ἐστι. τὴν μὲν οὖν εἰς τὰ μεγάλην ἔχοντα δύναμιν ἐδέσματά τε καὶ πόματα, μεταβολὴν τῆς διαίτης οὐκ ἄν τις θαυμάσειε βλάπτουσαν ὁρῶν τὰ σώματα· περὶ δὲ τῆς εἰς τὰ μικρὰ μεταβολῆς οὐδ᾽ αὐτῆς ἀβλαβοῦς γινομένης, εἰκότως ἄν τις θαυμάσειε. τοιαύτη μὲν ἡ τοῦ παντὸς λόγου διάνοια· κατὰ μέρος δὲ τῆς ὅλης ῥήσεως ἡ ἀρχὴ τῶν ἰσχυρὰν δύναμιν ἐχόντων σιτίων ὀνομαστὶ μέμνηται, κρεηφαγίης τε καὶ σκορόδων καὶ σιλφίου καὶ ὀποῦ καὶ καυλοῦ, δηλονότι τοῦ σιλφίου· καὶ γὰρ ὅλον τὸ σίλφιον ἰσχυρὰν ἔχει δύναμιν καὶ κατὰ μέρος ὁ ὀπὸς αὐτοῦ καὶ ὁ καυλός. ἀλλὰ ταῦτα μὲν ἁπλῶς εἶπεν· ἐπὶ δὲ τῆς κρεηφαγίας προσέθηκε καὶ τὸ πολλή· μεγάλην γὰρ οὕτως ἕξει δύναμιν, οὐκ ἔχουσα μεγάλην, εἰ σύμμετρος ᾖ. ἡ δ᾽ ἐφεξῆς τῇσδε λέξις ἐπὶ τὰ σμικρὰν ἔχοντα δύναμιν ἐδέσματα μεταβαίνει, μᾶζαν καὶ ἄρτον θερμὸν ἢ ψυχρὸν ἢ

Orationis totius ſenſu prius aperto, ſic ad particulares quae in ea ſunt dictiones perveniemus. Orationis igitur totius ſenſus talis eſt. Victus mutationem in eos, qui inſigni praediti ſunt facultate, tum cibos tum potus, nemo qui laedentem corpora viderit, admirabitur, verum eam mutationem quae fit neque ſine laeſione in cibaria facultatibus parva jure quis admirabitur. Talis quidem eſt ſermonis totius intelligentia. Sed ut particulatim dicam, orationis totius principium meminit ciborum habentium vehementem facultatem, nominatimque eſus carnium, alliorum, laſeris, ſucci ejusdem videlicet et caulis. Etenim laſer totum vehementem habet facultatem ſigillatimque ſuccus ipſius et caulis. Verum haec quidem ſimpliciter dixit. Sed quum eſus carnium meminit, adjecit hoc verbum, *multus*, nam ſi magnam habebit facultatem, commoderatus vero non magnam. Quae huic ſuccedit dictio, ad eos accedit cibos, qui perexigua conſtant facultate, mazam et panem, calidum vel frigidum, purum vel con-

καθαρὸν ἢ συγκομιστόν. ὅτι δὲ τὸν μὴ καθαρὸν ὀνομάζει συγκομιστὸν, εὔδηλόν ἐστι κἀκ τῆς πρὸς τὸν καθαρὸν ἀντιθέσεως· οἵ γε μὴν νῦν ἄνθρωποι τὸν τοιοῦτον ἄρτον αὐτόπυρον ὀνομάζουσιν, οὐ διακρινομένου τοῦ πιτυρώδους ἀλεύρου κατ' αὐτὸν, συναναφυρομένου δὲ τῷ καθαρῷ. τούτοις ἐφεξῆς καὶ τῆς ἐν τοῖς ἀλφίτοις διαφορᾶς ἐμνημόνευσε, τὰ δὲ πρόσφατα ποταίνια κέκληκε τῇ τῶν Ἰώνων φωνῇ καὶ τῇ τῶν παλαιοτέρων· οἰνοποσίας τε καὶ ὑδροποσίας παρὰ τὸ ἔθος ὑπαλλαττομένων, ἀκρατεστέρου καὶ ὑδαρεστέρου πόματος. ἐφ' ὧν καὶ προσέθηκεν ὡς ὁ μὲν ὑδαρὴς οἶνος πλάδον ἐν τῇ ἄνω κοιλίᾳ, τουτέστιν ὑγρότητα, καὶ ἀτονίαν ἐμποιήσει καὶ φῦσαν ἐν τῇ κάτω, ὁ δ' ἄκρατος (63) παλμὸν κροτάφων καὶ καρηβαρίαν καὶ δίψος· [60] οὗτος μὲν τῇ θερμότητι ταῦτα ἐργαζόμενος, ὁ δ' ὑδαρὴς τῇ θ' ὑγρότητι καὶ τῇ ψύξει τἀναντία. καὶ τῶν οἴνων δ' αὐτῶν ἐμνημόνευσε τῆς διαφορᾶς, ἐξ ἁπάντων τούτων ἀθροίζων τὸ προκείμενον ἐξ ἀρχῆς αὐτῷ καθόλου, πᾶσαν ἐξάλλαξιν ἔθους ἀθρόως γινομένην οὐ μικρὰν βλάβην κατὰ τὸ σῶμα ἐργάζεσθαι.

---

fufaneum. Quod vero panem non purum confufaneum appellet, conftat et ex ea, quae ad purum eft oppofitione. Panem hunc fane homines hujus temporis cibarium appellant, non feparato ex fefe furfure, fed una cum pura farina fubacto. Poft haec de polentarum differentia mentionem fecit, recentesque vocavit potaenias, Ionum et antiquiorum voce. *Memoravit* et vini et aquae potationes praeter confuetudinem immutatas, meraciorem item et dilutiorem potum, quibus adjecit dilutius vinum in ventre fuperiore excrementitiam humiditatem facere, hoc eft pravum humorem, ac infirmitatem flatumque in inferiore. Meracum vero afpectabilem temporum pulfum, capitis gravitatem et fitim, idque calore haec efficit, dilutum autem contraria, tum humiditate tum frigore. Mentionem quoque et de vinorum ipforum differentia fecit, ex his omnibus colligens univerfum ab initio ipfi propofitum, omnem confuetudinis permutationem derepente factam non parvam corpori laefionem efficere.

λε'.

Τιμωρητέον μέντοι τοιόνδε τι μέρος τῷ ἐναντίῳ λόγῳ, ὅτι ἡ μεταβολὴ τῆς διαίτης τουτέοισιν ἐγένετο, οὐ μεταβάλλοντος τοῦ σώματος οὔτε ἐπὶ τὴν ῥώμην, ὥστε προσθέσθαι δεῖν σιτία, οὔτ' ἐπὶ τὴν ἀῤῥωστίην, ὥστ' ἀφαιρεθῆναι.

Τὸ μὲν τιμωρητέον δηλωτικόν ἐστι τοῦ βοηθητέον· ἡ βοήθεια δ' οὐκ ἂν ἄλλη τις εἴη τῷ λόγῳ παρὰ τὴν συνηγορίαν ὡς ἀληθεύει. δυοῖν γὰρ τοῖν λόγοιν τοῦ μὲν ἀρέσκοντος αὐτῷ, τοῦ δὲ ἐναντιουμένου τούτῳ, συνηγόρησε μὲν ἄχρι τοῦδε τῷ ἀρέσκοντι, νυνὶ δὲ καὶ πρὸς τὴν θατέρου συνηγορίαν ἐτράπετο, καθ' ὃν εἰκὸς εἶναι φήσειεν ἄν τις ὠφελεῖσθαι τοὺς νοσοῦντας ὑπὸ τῆς ἐν τῇ διαίτῃ μεταβολῆς μεγάλως, ἐπειδὴ καὶ ἡ τοῦ σώματος ὑπήλλακται διάθεσις εἰς τοὐναντίον, οἷς γε πρόσθεν μὲν ὑγίαινε, νυνὶ δὲ νοσεῖ. ἀλλά γε πρὸς τοῦτον τὸν λόγον καὶ ἔμπροσθεν μὲν εἶπεν ἐν τῷ καθόλου· τὸ δὲ μεταβάλλειν μὲν εὖ ἔχει μὴ

XXXV.

At sane pars haec operis contraria quadam ratione astruenda est, quod his sanis victus mutatio facta sit, corpore neque ad robur, ut cibos adjicere, neque ad infirmitatem, ut cibos demere oporteat, non immutato.

Astruendum idem ac auxiliandum significat. Auxilium autem non quid aliud sermoni huic fuit praeter patrocinium, ut vere loquitur. Nam quum ex duobus sermonibus unus ipsi placuerit, alter vero huic adversetur, ei quidem qui placuit, huc usque est patrocinatus, nunc etiam ad alterius patrocinium descendit, quo aequum esse quivis dixerit, aegrotantes ab insigni victus mutatione juvari, quum et corporis affectio in contrarium his quidem qui antea sani vivebant, nunc vero aegrotant, permutata sit. Sane et in hujus sermonis gratiam universaliter antea est loquutus *his verbis: commutare quidem bene habet*

ὀλίγον, ὀρθῶς μέντοι γε μεταβιβαστέη καὶ ἡ μεταβολή. καὶ τί ποτ' ἐστὶ τὸ ὀρθῶς ἐδήλωσε διὰ πλειόνων, ὃ συγκεφαλαιούμενος εἶπεν· οὐ δὴ οἷόν τε παρὰ καιρὸν οὐδὲ σφοδρὰς τὰς κενεαγγείας ποιεῖν, οὔτ' ἀκμαζόντων τῶν νοσημάτων καὶ ἐν τῇ φλεγμασίῃ ἐόντων προσφέρειν, οὔτ' ἐξαπίνης οἷόν τε ὅλῳ τῷ σώματι μεταβάλλειν, οὔτ' ἐπὶ τὰ οὔτ' ἐπὶ τά. ὥστ' ἤδη φθάνει λελυκέναι ἀμφιβολίαν, ἣν εἶπεν ἄρτι συναγορεύων τῷ λόγῳ, προσθήσει δ' αὐτῇ τι καὶ νῦν λέγων· προστεκμαρτέα δὴ καὶ ἡ ἰσχὺς καὶ ὁ τρόπος τοῦ νοσήματος ἑκάστου καὶ τἄλλα ὅσα τούτοις ἐφεξῆς εἶπεν, ἃ κατὰ τὴν ἐφεξῆς ῥῆσιν διηγήσομαι.

λϛ'.

Προστεκμαρτέα δὴ καὶ ἡ ἰσχὺς καὶ ὁ τρόπος τοῦ νουσήματος ἑκάστου καὶ τῆς φύσιος τοῦ τε ἀνθρώπου καὶ τοῦ ἔθεος καὶ τῆς διαίτης τοῦ κάμνοντος, οὐ μόνον σιτίων, ἀλλὰ καὶ ποτῶν.

non parum, recte tamen mutatio transferenda. Et quid recte ſit, non paucis oſtendit, ſed ad ſummam colligens dixit: *Neque ſane intempeſtivas, neque vehementes vaſorum vacuationes moliri fas eſt, neque vigentibus morbis et in inflammatione conſiſtentibus cibos exhibere, neque repente huc aut illuc in toto negotio quicquam mutare licet.* Quare et ambiguitatem ſolvere jam anticipat, quam nuper enunciavit ſermoni conſentiens. Adjicietque ipſi in praeſentia aliquid, quum inquiet: *Conjicere autem oportet et robur et morbi cujusque modum,* et caetera quae his ſuccedunt, quae in ſequenti dictione explanabo.

XXXVI.

Ad haec autem et virium robur conjectandum eſt et morbi cujusque modus et hominis natura et aegrotantis in victu conſuetudo, non in cibis ſolum, verum etiam in potionibus.

[61] Εἰς τὸ προσηκόντως ἐπὶ τῶν ὀξέως νοσούντων καταστήσασθαι τὴν δίαιταν, ὡς ἐδίδαξε, προστιθέναι κελεύει τήν τε τῆς ἰσχύος ἐπίσκεψιν καὶ τοῦ νοσήματος τὸν τρόπον, ἔτι δὲ τὴν φύσιν τοῦ ἀνθρώπου καὶ τὸ ἔθος αὐτοῦ. τὸ μὲν γὰρ κεφάλαιόν ἐστιν, ὃ κατασκευάζει μὴ μεταβάλλειν τὸ τῆς διαίτης εἶδος, πρὸ τοῦ γενέσθαι σαφῆ τὰ τῆς πέψεως σημεῖα· τοῦτο δὲ ἔσται προγνόντος σου πόσαις ἡμέραις τὸ νόσημα πρὸς τὴν ἀκμὴν ἀφίξεται. δυναμένης δὲ τῆς διαίτης, ἣν ἐξελέγξω, κατὰ τὸ μᾶλλόν τε καὶ τὸ ἧττον ἐξαλλάττεσθαι, διὰ τὸ καὶ τοὺς κάμνοντας ἀλλήλων διαφέρειν κατά τε ῥώμην καὶ ἀῤῥωστίαν τῆς δυνάμεως καὶ τὴν φυσικὴν κρᾶσιν καὶ τὸν τρόπον τοῦ νοσήματος καὶ τὸ προγεγονὸς ἔθος, εἰς ταῦτα ἀποβλέποντά σε τεχνικῶς ὑπάρξει στοχάζεσθαι τοῦ τε μᾶλλον καὶ ἧττον τοῦ τῆς διαίτης εἴδους, εἰ ἐπ' ὀξυμέλιτος ἢ μελικράτου τὸν κάμνοντα χρὴ διαιτᾶν ἢ ὕδατος μόνου διδόναι πιεῖν ἄχρι τῶν τῆς πέψεως γνωρισμάτων, ἢ πτισάνην δοτέον ἢ μόνον τὸν χυλὸν αὐτῆς, εἴτ' οὖν δὶς εἴτε καὶ ἅπαξ τῆς ἡμέρας. τὸ δὲ μᾶλλόν τε καὶ ἧττον ἐν τῇ διαίτῃ προστεκμαίρεσθαι χρὴ δι' ὧν εἶπε

Victus rationi acute laborantibus decenter praescriptae, ut docuit, et roboris considerationem et morbi modum, praeterea et hominis naturam consuetudinemque ipsius adjicere imperat. Nam quam summam astruit, haec est: *non permutandam esse victus speciem, priusquam signa coctionis manifesta sint.* Id autem fiet, si quot diebus ad vigorem morbus venturus sit, praecognoveris. Verum quum victus, quem manifestabo, pro majoris minorisve ratione permutari possit, quod laborantes inter se differant virium tum robore, tum infirmitate, naturali item temperamento et morbi modo, atque antecedente consuetudine, si ad ea respexeris, poteris artificiose tum magis, tum minus in specie victus conjicere, si oxymelite vel melicrato aegrum cibare debeas, aut solam aquam bibendam adusque coctionis notas dare, aut ptisanam aut ejus solum cremorem, et an bis, an semel die. In victu ergo tum magis tum minus per ea quae jam dixit conji-

νῦν. οὐ δήπου γὰρ ἐὰν εὕρῃς τὸν κάμνοντα χυλοῦ δεόμενον, ἤδη γινώσκεις ὁπόσον τούτου δοτέον ἐστί· ὡσαύτως δὲ καὶ ἐπ' ὀξυμέλιτός τε καὶ μελικράτου καὶ ὕδατος· ἀλλ' ὥσπερ εἰς τὴν εὕρεσιν τοῦ τῆς διαίτης εἴδους ἐδεήθης διαγνῶναι, πότερον ἄῤῥωστος ἢ εὔρωστός ἐστιν ἡ δύναμις τοῦ κάμνοντος, ἐν πόσαις τε τῶν ἡμερῶν ἡ πέψις ἔσται τοῦ νοσήματος, οὕτω καὶ νῦν προσεπισκεπτέον μέχρι πόσου τὰ τῆς ἰσχύος ἢ τὰ τῆς ἀσθενείας αὐτῇ συμβέβηκε· παμπόλλη γὰρ ἡ διαφορὰ καὶ κατ' αὐτὴν τὴν ἰσχὺν τῆς δυνάμεως, ἐπεὶ καὶ κατὰ τὴν ἀσθένειαν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. οὕτως δὲ καὶ ἡ τοῦ νοσήματος διαφορὰ προστεκμαρτέα· χρὴ γὰρ οὐ μόνον ὅτι πλευρῖτις ἢ περιπνευμονία γινώσκειν, ἀλλὰ καὶ ποία τίς ἐστιν αὕτη, κατά τε τὰς ὀδύνας καὶ τοὺς πυρετοὺς καὶ τὰ πτυόμενα. καὶ γὰρ τῶν ὀδυνηρῶν πλευριτίδων αἱ μὲν μᾶλλον, αἱ δὲ ἧττόν εἰσι τοιαῦται, καὶ τὸν σφοδρὸν πυρετὸν ἧττόν τε καὶ μᾶλλον ἔχουσι τοιοῦτον αἱ κατὰ μέρος πλευρίτιδες. ἐν δὲ τοῖς πτυομένοις οὐ σμικρὰ διαφορὰ, καθότι κἀν τῷ προγνωστικῷ λέλεκται. ποικιλλο-

cere oportet. Nam ſi aegrum ptiſanae cremore indigere comperias, nondum cognoſcis quantum de eo ſis propinaturus, conſimili modo de oxymelite, melicrato et aqua. Verum quemadmodum ad ſpeciei victus inventionem dignoſcere, an robuſtae vel infirmae ſint laborantis vires, opus tibi fuerit, quot item diebus morbi coctio futura ſit, ſic et nunc conſiderandum, quousque viribus robur aut imbecillitas accidit. Multa namque differentia eſt inter ipſum virium tum robur, tum etiam imbecillitatem, majoris et minoris ratione. Sic morbi quoque differentias conjicere oportet. Non enim ſolum cognoſcere oportet, quod pleuritis aut peripneumonia ſit, ſed et qualis ea ſit in dolore, febre et ſputis. Etenim pleuritidum quae cum dolore ſunt, aliae quidem magis, aliae vero minus tales exiſtunt, febremque vehementem habent tum magis, tum minus particulares pleuritides. Sed non parva quoque eſt in iis, quae expuuntur, differentia, ut in progno-

μένων οὖν τῶν κατὰ μέρος ἀῤῥώστων ἐν ταῖς εἰρημέναις διαφοραῖς οὐχ οἷόν τε κατὰ τὰς τῶν ἐμπειρικῶν ὀνομαζομένας συνδρομὰς ποιήσασθαι τὴν διδασκαλίαν· οὐδὲ γὰρ οὐδὲ γράψαι δυνατόν ἐστι τὰς διαφορὰς τῶν κατὰ δύναμιν ὑπεροχῶν, ἢ τὰς τῶν σφοδροτήτων τοῦ πυρετοῦ καὶ τὸ ποσὸν ἐν τοῖς πτύσμασι καὶ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τοῖς κατὰ μέρος χρώμασιν ἢ ἀνομοιοτρόποις ἀναγωγαῖς, ἀλλ' ἑκάστου πράγματος ἀκηκοότα τὴν δύναμιν, ἰδίᾳ καὶ κατὰ μέρος αὐτὸν χρὴ παραβάλλειν γε πάσας ἀλλήλαις, ἀθροίζειν δέ τι κεφάλαιον ἓν ἐξ αὐτῶν. ἐν τούτῳ γάρ ἐστι καὶ τὸ βελτίονας καὶ χείρονας γίγνεσθαι τοὺς ἰατροὺς, εἰ καὶ τὰ αὐτὰ μεμαθηκότες εἶεν· οἱ γὰρ ὀξύτεροι τὸν λογισμὸν τῶν ἀμβλυτέρων, οἵ τε φιλοπονώτεροι τῶν ῥαθυμοτέρων, οἵ τε τριβακώτεροι τῶν ἀπειροτέρων, οἵ τε μνημονικώτεροι τῶν ἀμνημονεστέρων. ἄμεινον οὖν ἐκ τῆς τῶν κατὰ μέρος πάντων δυνάμεως ἀθροίζειν εἰς ἓν κεφάλαιον ὅλον τὸ σχῆμα καὶ τὸ καθ' ἑκάστην τροφὴν ποσόν. ἡ μὲν γὰρ ἀσθένεια πλεονάκις μὲν, ἀλλὰ κατ' ὀλίγον διδόναι τὴν τροφὴν ἐνδεί-

ſtico dictum eſt. Quum igitur particulatim in dictis differentiis diſtinguantur aegri, non datur in empiricorum appellatis ſyndromis doctrinam conſtitui. Neque enim eorum qui in viribus comperiuntur exceſſuum differentiae ſcribi poſſunt, neque febris vehementia, neque ſputorum quantitas, neque in particularibus coloribus diſſimilibusque eductionibus magis minusque. Verum cujusque rei facultate intellecta, omnes inter ſe ſingillatim comparare ſummamque unam ex ipſis colligere oportet. Hac enim in re licet tum meliores tum deteriores haberi medicos, quanquam eadem didicerint. Nam acutiores ratiocinio hebetioribus *evadunt probatiores*, laboris amantiores ſegnioribus, exercitatiores minus exercitatis, atque memoria valentiores, memoria minus valentibus. Ex particularium igitur omnium facultatibus colligere in unam ſummam, univerſam *victus* formam, ſingulorumque ciborum quantitatem, commodius eſt. Nam imbecillitas ſaepius quidem, ſed paulatim, alimentum exhibendum eſſe

κνυται· συνεπιμαρτυρεῖ δὲ τούτῳ καὶ τὸ δὶς ἐσθίειν εἰθίσθαι τὸν κάμνοντα. τοὐναντίον δὲ πάλιν ἡ ῥώμη τῆς δυνάμεως ἐὰν ἐπ' ἀνθρώπου μονοσιτεῖν εἰθισμένου φαίνηται, θρεπτέον ἅπαξ τοῦτον· ἐνδείκνυται δὲ ἄμφω τὰ τεκμήρια. οὕτω δὲ καὶ τὸ μὲν εὐδιαφόρητον σῶμα [62] πρὸς τὸ διδόναι τροφὴν παρορμᾷ, τὸ δὲ δυσδιαφόρητον ἐπὶ τἀναντία ἄγει· καὶ τὸ μὲν λεπτοὺς ἔχον τοὺς χυμοὺς ἐπὶ τὸ διδόναι τροφὴν, τὸ δὲ μὴ τοιοῦτον ἐπὶ τἀναντία· καθ' ἕκαστόν τε τῶν εἰρημένων τὸ μᾶλλόν τε καὶ ἧττον ἀνάλογον ἑαυτῷ καὶ τὴν τοῦ βοηθήματος χρῆσιν αὔξάνει τε καὶ ἀνίησι. λέλεκται δὲ περὶ τῶν τοιούτων ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ πάνθ' ἑξῆς κατὰ τάξιν, ὡς μαθεῖν τε δύνασθαι τάχιστα καὶ μνημονεῦσαι ῥᾷστα· δι' ἑνὸς γὰρ βιβλίου τοῦ νῦν ἡμῖν προκειμένου πάντα καλῶς εἰπεῖν τὸν Ἱπποκράτην καὶ κατὰ τάξιν διδάξαι τῶν ἀδυνάτων ἦν καὶ μάλιστα αὐτοῦ πρώτου τὴν εὕρεσιν αὐτῶν ποιουμένου· τῷ δὲ παρ' αὐτοῦ μὲν αὐτὰ μαθόντι διεστραμμένως τε καὶ ἀτάκτως, ὅλον τε τὸν ἑαυτοῦ βίον ἀναθέντι πρὸς τὴν ἐξ

indicat, fidemque rei huic facit, quod aeger bis edere consueverit. Contrarium autem rursus robur virium *indicat*, si in homine semel cibari assueto videatur, semel ipsum cibare oportet, quod indicant ambae conjecturae. Sic vero et quod corpus facilis est discussionis ad cibationem stimulat, quod aegre discutitur, ad contraria agit. Quod item tenues habet humores, id cibandum indicat, quod his non constat, contraria. Atque in singulis quae dicta sunt, magis minusque proportionaliter sibi et auxiliorum usum tum auget, tum remittit. Sed de hujusmodi omnia in methodo medendi deinceps et ordine ita exarata sunt, ut tum citissime condiscere, tum facillime ad memoriam revocare possis. Fieri siquidem nequit, ut libro uno praesenti bene omnia scribat Hippocrates, atque ordine doceat, praecipueque quum ipse primus horum inventionem sit molitus. Qui tamen haec ab eo tum transverse, tum inordinate *scripta* didicerit, totamque suam vitam in id quod ex operibus docetur, studium devove-

ἔργων ἄσκησιν διδαχθεῖσαν οὐκ (64) ἀδύνατον καὶ σαφήνειαν καὶ τάξιν τῇ διδασκαλίᾳ προσθεῖναι· ἐὰν δὲ καὶ διὰ πλειόνων βιβλίων ὑπάρξῃ τοῦτο πρᾶξαι, δῆλόν ἐστι πόση γίγνεται τῆς σαφηνείας τῶν διδασκομένων ὑπερβολή. μὴ τοίνυν ἀθυμείτω τις ἐὰν ἐντεῦθεν συγχεῖται περικλυζόμενος ἀθρόως τῷ πλήθει τῶν σκοπῶν· ἀλλ' ἐννοήσας ὅτι κατὰ μέρος ἕκαστον τούτων δέδεικται πρὸς ἡμῶν ἐν τῇ θεραπευτικῇ πραγματείᾳ, μεταβὰς ἐπ' ἐκείνην ἐκμαθέτω φιλοπόνως ἕκαστον, αὐτά τε τὰ νῦν ἀτάκτως λεγόμενα σαφῶς εἴσεται καὶ τὴν θεωρίαν ἐν τοῖς τῆς τέχνης ἔργοις ἀσκῶν, ἐπαινέσει τὴν ἀλήθειαν αὐτῆς.

λζ'.

Πολλῷ δὲ ἧττον ἐπὶ τὴν πρόσθεσιν ἰτέον· ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκέειν μέλλει ὁ κάμνων, μέχρις ἂν τῆς νούσου ἡ ἀκμὴ πεπανθῇ.

---

rit, is et lucem et ordinem doctrinae adjicere poterit. Quod si et pluribus libris fecerit, quanta futura sit claritatis eorum quae docentur exuperantia, liquido patet. Nemo ergo animo despondeat, si hoc in loco confundatur scoporum multitudine affatim circumseptus. Verum quum quod particulatim horum unumquodque a nobis in methodo medendi demonstratum sit, intellexerit, ad illam translatus sedulo singula discat et sane quae nunc inordinate dicuntur, liquido cognoscet, speculationemque in ipsis artis operibus exercens veritatem ipsius laudabit.

XXXVII.

Multo autem minus ad ciborum *additionem procedendum. Quandoquidem ipsos detractione omnino subducere saepenumero conducit, ubi suffecturus est aeger, donec morbi vigor mitescat.*

Ἐπεὶ τοῦ καθ' ἑκάστην δίαιταν εἴδους ἐξ ὧν εἶπεν ἔμπροσθεν εὑρισκομένου προστεκμαίρεσθαι χρὴ τὰ κατὰ τὴν προγεγραμμένην ῥῆσιν εἰρημένα, χάριν τοῦ τὸ ποσὸν εὑρίσκειν ἐν ἑκάστῃ διαίτῃ, διὰ τῆς νῦν προκειμένης λέξεως (πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον, ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει) γιγνώσκων ὅτι τὸ ποσὸν ἑκάστου βοηθήματος στοχασμοῦ δεῖται τεχνικοῦ, στοχάζεσθαι δὲ τεχνικῶς ἀνδρός ἐστιν ἐκμεμαθηκότος τάς τε δυνάμεις ἁπάντων τῶν κατὰ τὴν τέχνην καὶ μεμνημένου καὶ φιλοπόνως ἐπὶ τῶν ἔργων τετριμμένου τοιοῦτοι δὲ ὀλίγοι παντάπασίν εἰσιν εἰκότως προσέγραψε ταυτὶ τὰ νῦν εἰρημένα κατὰ τὴν ἐνεστῶσαν λέξιν, τό τ' ἐπὶ τὸ ἔλαττον ἐπὶ τῇ ποσότητι μᾶλλον, ὅταν τις ἁμαρτάνῃ τοῦ προσήκοντος μέτρου, παραγίγνεσθαι παραινῶν ἤπερ ἐπὶ τὸ πλέον. τὸ μὲν γὰρ πλέον ἀνεπανορθώτους ἐνίοτε τὰς βλάβας ἐργάζεται, τὸ δ' ἔλαττον εὐεπανόρθωτόν ἐστι, δυναμένων ἡμῶν, ἐὰν ἡ δύναμις ὀκλάζειν φαίνηται, τροφῆς ὀλίγου ἐπιδιδόναι· τῆς δὲ φθασάσης εἰς τὴν γαστέρα καταπεπόσθαι τὸ περιττὸν ἀφε-

Quoniam victus cujusque ſpecies ex iis, quae antea dixit, invenitur, et quae in ante ſcripto textu dicuntur conjicere oportet, ut in unoquoque victu quantitas reperiatur; praeſenti dictione, *ciborum autem adjectioni intendendum multo minus, quandoquidem ſubductione eos prorſus detrahere, ſaepenumero conducit,* cognoſcens praeſidiorum ſingulorum quantitatem artificioſa egere conjectura, artificioſe autem conjicere viri eſſe, qui facultates omnium quae in arte ſunt, didicerit, memoriae mandaverit atque ſtudioſe ſeſe in operibus artis exercuerit, paucosque tales exiſtere. Jure hic quae praeſenti textu dicuntur, adſcripſit, in quantitate ad quod minus magis quam ad quod exuberat, quum quis a juſto modo aberret, procedendum eſſe admonens. Nam quod plus eſt, noxas interdum inemendabiles facit, quod vero minus eſt, facile emendatur. Nam ſi vires deficere videantur, cibi exiguum miniſtrare poſſumus, verum eo in ventrem abſorpto

λεῖν, οὔτ' ἄλλως ῥᾴδιον καὶ πολὺ μᾶλλον ἐν τοῖς ὀξέσι νοσήμασιν. ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκεῖν μέλλει ὁ κάμνων, μέχρις ἂν τῆς νόσου ἡ ἀκμὴ πεπανθῇ. τῆς προγεγραμμένης ῥήσεως τοῦτο τὸ μέρος αὖθις ἀνέλαβεν, ἀναμνῆσαι βουλόμενος τοῦ συνήθους αὐτοῦ σκοποῦ κἀνταῦθα καὶ κατὰ τοὺς ἀφορισμούς· [63] ἐὰν γὰρ φαίνηται δυνάμενος ὁ κάμνων ἄνευ τροφῆς ἐξαρκέσαι τῇ τοῦ νοσήματος ἀκμῇ, διὰ πανελοῦς ἀσιτίας αὐτὸν ἐπὶ τὸν ποτὸν μόνον διαιτήσεις ὅπου περ ἂν εἶναί σοι δόξει χρεία.

λη'.

Ἐν ὁκοίοισιν δὲ τὸ τοιόνδε ποιητέον γεγράψεται.

Δῆλός ἐστι προῃρημένος μετὰ τὸ διδάξαι τὴν καθόλου δίαιταν ἐν τῷδε τῷ βιβλίῳ, μεταβῆναι πρὸς τὰ ἄλλα σύμπαντα τὰ ὀξέα· οὐ μὴν εὑρίσκεταί γε τοιοῦτον τοῦτο σύγγραμμα. τὰ δὲ προκείμενα ἐν τούτῳ τῷ βιβλίῳ μετὰ

ſuperfluum non alias, multo magis in acutis morbis, tollere eſt facile. *Nam prorſus ſubtrahere ſaepenumero conducit, ubi aeger ſufficere poſſit, donec morbi vigor maturuerit.* Rurſum praeſcriptae dictionis partem hanc aſſumpſit, nos familiaris hujus ſcopi admonens, qui tum hic tum in aphoriſmis habetur. Nam ſi aeger ad morbi uſque vigorem ſine cibo ſufficere poſſe videatur, in omni ciborum abſtinentia eum potu ſolo moderaberis, cum tibi videbitur neceſſitas.

XXXVIII.

In quibus autem hoc faciendum ſit, ſcribetur.

Quod ſtatuerit, demonſtrata univerſali victus ratione hoc in libro, ſe tranſiturum ad caeteros omnes acutos morbos, declarat. Veruntamen id opus hujusmodi non reperitur. Sed quae hoc in libro poſt balneum propoſita

τὸ λουτρὸν, εἰ μὲν ὡς ἐν τύπῳ τις ὑπ᾽ αὐτοῦ γεγραμμένα, ταῦτα παρασκευάσαντος εἰς ἀνάμνησιν ἑαυτῷ, εὑρὼν ἐπὶ τῆς οἰκίας ἐξέδωκε μετὰ θάνατον τοῦ ἀνδρὸς, ἴσως ἄν τινα λόγον ἔχοι· ὡς σύγγραμμα δ᾽ οὐκ ἔστιν ἄξιον τῆς Ἱπποκράτους δυνάμεως· ὥσπερ οὐδὲ τὰ περὶ νόσων τε καὶ περὶ παθῶν ἐπιγραφόμενα, καίτοι πολλὰ καλῶς ἐν αὐτοῖς εἴρηται· διοριούμεθα δὲ τὸ αὐτὸ καὶ διακρινοῦμεν ἐν ταῖς εἰς αὐτὰ γεγραμμέναις ἐξηγήσεσι.

λθ'.

Πολλὰ δ᾽ ἄν τις καὶ ἄλλα ἠδελφισμένα τοῖσιν εἰρημένοισι γράφοι.

Πάλιν ἐπὶ τὸν αὐτὸν λόγον ἐπανῆλθεν, ὃν διὰ πολλῶν παραδειγμάτων ἐπιστώσατο, δεικνὺς τὴν τοῦ ἔθους μεταβολὴν βλάπτειν τοὺς νοσοῦντας· ἀλλ᾽ ἐπειδήπερ ἀπὸ τῶν ὑγιαινόντων μετέβαινεν ἐπ᾽ αὐτοὺς, διὰ τοῦτ᾽ εἶπεν ἠδελφισμένα τὰ ὅμοια καλῶν. ὃ δὲ ἐφεξῆς ἐρεῖν μέλλει, μαρτύριόν ἐστι

sunt, si quis veluti in typo ab Hippocrate scripta, qui sibi haec ad commemorationem praeparaverat, in domo reperiens post viri mortem deprompsit, fortassis rationem aliquam habuit. At tanquam opus dignum Hippocratis facultatibus non est, quemadmodum neque ea quae de morbis et affectibus inscripta sunt, quanquam multa in iis probe scripta sunt. Id autem in scriptis super ea explicationibus definiemus ac distinguemus.

XXXIX.

Multa vero etiam alia productis consimilia quis scribere potuerit.

Rursus ad eum reversus est sermonem, quem multis exemplis confirmavit, mutationem consuetudinis aegrotantes laedere demonstrans. Verum quoniam a sanis in eos transiit, ob id quae similia sunt, cognata vocat. Quod autem postea dicturus est, sermonis hujus testimonium

τοῦ λόγου τούτου· καίτοι οὐκ ἔστι παραπλήσιον, οὐδ' ὅμοιον οὐδ' ὡς αὐτὸς ὀνομάσειεν ἄν, ἠδελφισμένον, ἀλλὰ τὸ ζητούμενον αὐτό. σαφὴς δ' ἡ γνώμη τοῦ ἀνδρὸς ἔσται σοι κατὰ τὴν ἐξήγησιν τῆς ἐχομένης ῥήσεως.

μ'.

Τό γε μὴν κρέσσον μαρτύριον· οὐ γὰρ ἠδελφισμένον μόνον ἐστὶ τῷ πρήγματι, περὶ οὗ πλεῖστός μοι λόγος εἴρηται, ἀλλ' αὐτὸ τὸ πρῆγμα ἐπικαιρότατόν ἐστι διδακτήριον. οἱ μὲν γὰρ ἀρχόμενοι τῶν ὀξέων νούσων ἔστιν ὅτε οἱ μὲν [64] σιτία ἔφαγον αὐθημερὸν, ἠργμένοι ἤδη, οἱ δὲ καὶ τῇ ὑστεραίῃ, οἱ δὲ καὶ ἐῤῥόφεον τὸ προστυχὸν, οἱ δὲ καὶ κυκεῶνα ἐῤῥόφεον· ἅπαντα δὲ ταῦτα κακίω μέν ἐστιν ἢ εἰ ἑτεροίως τις διαιτηθείη, πολλῷ μέντοι ἐλάσσω βλάβην φέρει ἐν τούτῳ τῷ χρόνῳ τὰ ἁμαρτηθέντα ἢ εἴ τις τὰς μὲν πρώτας ἡμέρας δύο ἢ καὶ τρεῖς κενεαγγήσειε τελείως, τεταρταῖος δὲ ὢν τοιάδε διαιτηθείη ἢ καὶ

existit, quanquam non aequale neque simile, neque germanum, ut ipse appellarit, sed id ipsum quod indagatur. Patebit autem tibi mens viri in sequentis dictionis explicatione.

XL.

Hoc tamen melius est testimonium. Non enim solum rei, de qua plurimus a me sermo habitus est, cognatum existit, sed res ipsa opportunissimum est documentum. Nam quidam per morborum acutorum exordia, nonnunquam quo tum laborare *coeperunt die, cibos comederunt, quidam etiam postridie, nonnulli quoque quidvis sine delectu, alii etiam moretum sorpserunt. Sane haec omnia deteriora quidem sunt, quam si quis aliter victus rationem instituerit. Multo tamen leviorem laesionem inferunt qui hoc tempore errores fiunt, quam si quis primis quidem duobus vel tribus diebus omnino vasa exinanierit, mox quarto aut quinto talem cibum*

πεμπταῖος. ἔτι μέντοι κάκιον εἰ ταύτας πάσας τὰς ἡμέρας προκενεαγγήσας ἐν τῇσιν ὕστερον ἡμέρῃσιν οὕτω διαιτηθείη, πρὶν ἢ πέπειρον γενέσθαι τὴν νοῦσον· οὕτω μὲν γὰρ θάνατον φέρει φανερῶς τοῖσι πλείστοισιν, εἰ μὴ παντάπασί τις εὐήθης ἡ νοῦσος εἴη· αἱ δὲ κατ' ἀρχὰς ἁμαρτάδες οὐχ ὁμοίως ταύτῃσιν ἀνήκεστοί εἰσιν, ἀλλὰ πολλῷ εὐακεστότεραι.

Ἔμπροσθεν μὲν ἀπὸ τῶν τοῖς ὑγιαίνουσι συμβαινόντων ἐν τῇ μεταβολῇ τῶν ἐθῶν ἐπὶ τοὺς νοσοῦντας μετήει καθ' ὁμοιότητα· μεταβήσεσθαι δὲ μέλλει καὶ νῦν καὶ αὐτὸ δείξειν ἄντικρυς οὕτως ἔχειν τὸ προκείμενον. τί δ' ἦν τοῦτο; τὸ μὴ ἐξ ἀρχῆς, μηδ' ἐν ταῖς πρώταις ἡμέραις προταριχεύσαντα τοὺς νοσοῦντας, ὅταν ἤδη πλησίον ἥκωσι τῆς ἀκμῆς ἐμπιπλάναι. δι' ὧν οὖν εἶπε καθ' ὅλην τὴν ῥῆσιν, ἐπιδεῖξαι βούλεται μείζονα γιγνομένην βλάβην τοῖς νοσοῦσιν ἐπὶ τοῖς αὐτοῖς ἁμαρτήμασιν, ὅταν ἐγγὺς ἤδη τῆς ἀκμῆς ἁμαρτηθῇ ἢ ἐν ταῖς ἀρχαῖς τῶν νοσημάτων. φησὶ γάρ·

exhibuerit. Deterius etiamnum tamen eſt, ſi quis totis his diebus vaſis praevacuatis, poſterioribus deinceps diebus ita victum inſtituerit, priusquam morbus concoctus ſit. Sic enim aperte plurimis mortem adfert, niſi mitis quidam omnino morbus extiterit. Quae vero per initia errata committuntur, his non ſimiliter incurabilia exiſtunt, ſed multo facilius curantur.

Ante quidem ab iis quae valentibus ex conſuetudinis mutatione oboriuntur, ad aegrotantes per ſimilitudinem tranſit. Tranſiturus autem et nunc, atque ipſum, quod nunc inſtituitur, plane ita habere eſt demonſtraturus. Sed quidnam id fuit? quod neque a principio, neque primis diebus fame exiccatos aegros, quum jam prope vigorem pervenerint, replere oportet. Dictis ſane toto textu vult oſtendere majorem aegris laeſionem oboriri ex iisdem erroribus, quum jam prope vigorem erratum ſit, quam in morborum principiis. Dicit enim: *multo tamen leviorem*

πολλῷ (65) μέντοι ἐλάσσω βλάβην φέρει ἐν τούτῳ τῷ χρόνῳ τὰ ἁμαρτηθέντα ἢ εἴ τις τὰς μὲν πρώτας ἡμέρας δύο ἢ καὶ τρεῖς κενεαγγήσειε τελείως, τεταρταῖος δὲ ὢν τοιάδε διαιτηθείη ἢ καὶ πεμπταῖος· ἔτι μέντοι κάκιον εἰ ταύτας πάσας τὰς ἡμέρας προκενεαγγήσας ἐν τῇσιν ὕστερον ἡμέρῃσιν οὕτω διαιτηθείη, πρὶν ἢ πέπειρον γενέσθαι τὴν νόσον. εὔδηλον δ' ὅτι πέπειρον ὀνομάζει τὴν πεπεμμένην. εὐήθεις δὲ νόσους εἴρηκεν οὐ τὰς κακοήθεις, ἀλλὰ τὰς εὐτρέπτους· ἴσμεν γὰρ ὅτι οὕτως κέχρηνται τῇ λέξει πολλοὶ τῶν παλαιῶν, καὶ οὕτως ὁ Ἱπποκράτης πολλάκις, ὡς ἐν ἑτέροις δέδεικται.

μα'.

Τοῦτ' οὖν ἡγεῦμαι μέγιστον διδακτήριον, ὅτι οὐ στερητέαι αἱ πρῶται ἡμέραι τοῦ ῥοφήματος ἢ τοίου ἢ τοίου, τοῖσι μέλλουσιν ὀλίγον ὕστερον ῥοφήμασιν ἢ τοίοις ἢ τοίοις χρέεσθαι.

laesionem inferunt qui hocce tempore errores fiunt, quam si quis primis quidem duobus vel tribus diebus omnino vasa exinanierit, mox quarto aut quinto talem cibum exhibuerit, deterius etiamnum tamen est, si quis totis his diebus vasis praevacuatis, posterioribus deinceps ita victum instituerit, priusquam morbus concoctus sit. Quod maturum appellet concoctum manifestum est. Morbos praeterea mites ac benignos dixit, non malignos, sed qui facile submoventur. Scimus enim veterum multos ita uti dictione, ita quoque et Hippocratem multoties, ut alibi demonstratum est.

XLI.

Hoc igitur maximum reor esse documentum, quod primi dies hac vel illa sorbitione non sint privandi in his qui paulo post his aut illis sorbitionibus usuri sunt.

Κἀνταῦθα τὸν αὐτὸν λόγον πάλιν εἶπεν, ὃν πολλάκις ἔμπροσθεν ἀπεφήνατο, τρέφειν ἐξ ἀρχῆς κελεύων τοὺς μὴ δυναμένους ῥοφήμασιν ἐξαρκέσαι μέχρι τῆς ἀκμῆς ἄνευ τοῦ λαβεῖν τῆς πτισάνης· ξυμβήσεται γὰρ ἡμῖν ἀναγκασθῆναι τρέφειν αὐτοὺς ἐγγὺς τῆς ἀκμῆς, ὁπότε ἐχρῆν, εἰ καὶ ἔμπροσθεν ἁδρότερον διῃτῶντο, μεταβαίνειν πρὸς τὸ λεπτότερον εἶδος τῆς διαίτης.

μβ'.

[65] *Πυθμενόθεν μὲν οὖν οὐκ ἴσασιν οὐθ' οἱ τῇσι κριθώδεσι πτισάνῃσι χρεόμενοι, ὅτι αὐτέῃσι κακοῦνται ὁκόταν ῥοφέειν ἄρξωνται, ἢν προκενεαγγήσωσι δύο ἢ τρεῖς ἡμέρας ἢ καὶ πλείους· οὔτ' αὖ οἱ τῷ χυλῷ χρεόμενοι γινώσκουσιν, ὅτι αὐτέοισι βλάπτονται ῥοφέοντες, ὁκόταν μὴ ὀρθῶς ἄρξωνται τοῦ ῥοφήματος· τότε μὴν φυλάσσουσι καὶ γινώσκουσιν ὅτι μεγάλην τὴν βλάβην φέρει, ἢν πρὶν πέπειρον γενέσθαι τὴν νοῦσον, κριθώδεα πτισάνην ῥοφήσῃ ὁ κάμνων εἰθισμένος χυλῷ χρέεσθαι. πάντ' οὖν ταῦτα*

Hic ſermonem rurſus eundem dixit, quem ſaepius antea enunciavit, nutrire ſorbitionibus ab initio praecipiens eos, qui ad vigorem uſque ſufficere citra ptiſanae ingeſtionem non poſſunt. Accidet enim nobis ut eos prope vigorem nutrire cogamur, quum ad tenuiorem victus ſpeciem, etiamſi antea plenius cibati fuerint, tranſeundum ſit.

XLII.

Funditus igitur ignorant, qui hordeacea ptiſana utuntur, quod ab ea male habeant quum duobus aut tribus, aut etiam pluribus diebus antea exinanitis vaſis, ſorbere coeperint, neque etiamnum qui cremore utuntur, quod ſorbentes laedantur, intelligunt, ubi non recte ſorbitionem inchoaverint. Hoc tamen cavent et agnoſcunt magnam adferre laeſionem, ſi aeger, priusquam morbus coctus fuerit, ptiſanam hordeaceam ſorpſerit, cremore uti aſſuetus. Omnia igitur haec magna teſtimonia

μεγάλα μαρτύρια, ὅτι οὐκ ὀρθῶς ἄγουσιν εἰς τὰ διαιτήματα οἱ ἰητροὶ τοὺς κάμνοντας· ἀλλ' ἐν ᾗσί τε νούσοισιν οὐ χρὴ κενεαγγέειν τοὺς μέλλοντας ῥοφήμασι διαιτᾶσθαι, κενεαγγέουσιν· ἐν ᾗσί τε οὐ χρὴ μεταβάλλειν ἐκ κενεαγγείης εἰς ῥοφήματα, ἐν ταύτῃσι μεταβάλλουσι.

Πυθμενόθεν μὲν ἤτοι τὸ παντελῶς, ἢ τὸ ἐξ ἀρχῆς αὐτῷ δηλοῖ· φησὶ γὰρ ἀγνοεῖν τοὺς ἰατροὺς ὁπότε χρὴ πρῶτον ἤτοι πτισάνην ἢ χυλὸν διδόναι τοῖς κάμνουσιν, ἐπίστασθαί γε μὴν αὐτοὺς πρὸ τοῦ πεφθῆναι τὸ νόσημα εἰ κριθώδη πτισάνην δώσουσι βλαβήσεσθαι τὸν κάμνοντα. τὴν δὲ ἐχομένην τῆσδε τῆς ῥήσεως ὑπὲρ τῶν αὐτῶν ἀποφαινομένην τὰ αὐτὰ τοῖς πολλάκις εἰρημένοις ἑκὼν ὑπερβήσομαι διὰ σαφήνειαν.

μγ'.

Καὶ ὡς ἐπιτοπολὺ ἀπάρτι, ἐνίοτε δὲ ἐν τοῖσι τοιούτοισι καιροῖσι μεταβάλλουσιν ἐς τὰ ῥοφήματα ἐκ τῆς κενεαγγείης,

ſunt, quod medici non recte aegrotantes ad cibos adducant, ſed et in quibus morbis vaſa exinaniri non oportet et in quibus ſorbitionibu sutendum ſit, vaſa evacuant, et in quibus ex vaſorum inanitione ad ſorbitiones transeundum non ſit, in his tranſeant.

Funditus quidem aut omnino, aut ab initio ipſi indicat. Nam medicos ignorare ait quando primum vel ptiſanam vel cremorem aegrotis dare oporteat, bene tamen eos ſcire, ſi ante morbi coctionem ptiſanam hordeaceam dederint, ſe aegrum laeſuros. Sequentem autem dictionis hujus ſeriem, quae eadem de eisdem ſaepius dictis oſtendit, de induſtria ob claritatem tranſgrediar.

XLIII.

Et plerumque abſolute, interdum autem hiſce temporibus ex vaſorum inanitione ad ſorbitiones diſcedunt, quibus

ἐν οἷς πολλάκις ἀρήγει ἐκ τῶν ῥοφημάτων πλησιάζειν τῇ κενεαγγείῃ, ἢν οὕτως τύχῃ παροξυνομένη ἡ νοῦσος.

Τὸ ἀπάρτι καὶ παρὰ τοῖς Ἀττικοῖς συγγραφεῦσιν ἐπὶ τοῦ ἀπηρτισμένως εἴρηται καὶ παρ' αὐτῷ τῷ Ἱπποκράτει. καὶ νῦν οὖν αὐτῷ κέχρηται βουλόμενος δηλοῦν ἐν ἐκείνῳ μάλιστα τῷ καιρῷ τοὺς ἰατροὺς μεταβάλλειν τὴν δίαιταν ἐκ τῆς ἀσιτίας εἰς τὰ ῥοφήματα, ἐν ᾧ συμφέρει πλησιάζειν τῇ ἀσιτίᾳ· σαφέστατα κἀνταῦθα δηλῶν, ὁκόταν ἀκμάζῃ τὸ νόσημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

μδ'.

Ἐνίοτε δὲ καὶ ὠμὰ ἐπισπῶνται ἀπό τε κεφαλῆς καὶ τοῦ περὶ θώρακος τόπου χολώδεα, ἀγρυπνίαι τε συμπί- [66] πτουσιν αὐτέοισι, δι' ἃς οὐ πέσσεται ἡ νοῦσος, περίλυποί τε καὶ πικροὶ γίγνονται καὶ παραφρονέουσι καὶ μαρμαρυγώδεα σφέων τὰ ὄμματα καὶ αἱ ἀκοαὶ ἤχου μεσταὶ καὶ ἀκρωτήρια κατεψυγμένα καὶ οὖρα ἄπεπτα καὶ πτύσματα

ſaepe a ſorbitionibus ad vaſorum inanitionem accedere prodeſt, ſi ita morbum exacerbari contigerit.

Hoc *abſolute* et apud auctores Atticos et apud ipſum Hippocratem pro perfecte ac exquiſite dicitur. Eoque nunc ſane eſt uſus, demonſtrare volens medicos in illo maxime tempore permutare victus rationem ex abſtinentia cibi ad ſorbitiones, quo ad abſtinentiam accedere confert, atque hinc maniſeſtiſſime oſtendens, quum morbi vigor adeſt, tunc tenuiſſimo victu uti neceſſarium eſſe.

XLIV.

Interdum autem et cruda tum a capite tum a thoracis regione bilioſa attrahuntur, vigiliaeque his accidunt, ob quas non coquitur morbus, pertriſtes et amarulenti evadunt, delirant, ipſorum oculi fulguriunt, aures ſonitu implentur et extrema perſrigeſcunt, urinae incoctae, ſputa tenuia ſiunt, ſalſa, colore ſincero tincta et pauca,

λεπτὰ καὶ ἄλυκα καὶ κεχρωσμένα ἀκρήτῳ χρώματι σμικρὰ καὶ ἱδρῶτες περὶ τὸν τράχηλον καὶ διαπορήματα καὶ πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ, πυκνὸν ἢ μέγα λίην· ὀφρύες δεινώσιος μετέχουσαι, λειποψυχώδεα πονηρὰ καὶ τῶν ἱματίων ἀποῤῥίψιες ἀπὸ τοῦ στήθεος καὶ χεῖρες τρομώδεες, ἐνίοτε δὲ χεῖλος τὸ κάτω σείεται.

Ταῦτα πάντα συμβαίνειν φησὶ τοῖς κακῶς διαιτηθεῖσιν ὑπὸ τῶν ἰατρῶν, ὅσοι προταριχεύσαντες ἐν ταῖς πρώταις ἡμέραις τοὺς κάμνοντας ἤτοι κατὰ τὴν γ' ἢ δ' ἢ ε' ἢ τὴν στ', ἐπὶ σιτία μετέβησαν ἀθρόως, οὐδέπω τῆς ἀκμῆς τοῦ νοσήματος γεγονυίας, ὡς εἰ γέγονε, προσηκόντως αὐτοὺς ὑπηλλαχέναι φησὶ τὴν δίαιταν. ὅπερ οὖν ἔλεγεν ὅτι μεταβάλλειν μὲν δεῖ τὴν δίαιταν τῶν ὑγιαινόντων ἐν ταῖς νούσοις, οὐ μὴν ὡς ἔτυχέ γε τοῦτο ποιητέον, ἤδη νομίζω γέγονε σαφὲς ἐκ τῶν προειρημένων. οὔσης γὰρ καταστάσεως τοῦ σώματος μιᾶς μὲν τῆς ὑγιεινῆς, ἑτέρας δὲ τῆς ἐν ἀρχῇ τοῦ νοσήματος ἄχρι τῆς ἀκμῆς, εἶτ' ἄλλης ἄχρι τῆς

ſudores circa cervicem et jactationes et ſpiritus collidens in ea quae ſurſum fit latione, denſus aut magnus valde, ſupercilia gravitatem ſortiuntur, pravae animi defectiones, veſtium a pectore rejectationes, manus tremulae, interdum vero labium inferius concutitur.

Haec omnia prave cibatis a medicis oboriri profert, qui primis diebus exhauſtos aegros aut die tertio aut quarto aut quinto aut ſexto repente ad edulia, non peracto morbi vigore, permutaverunt, quaſi peracto *morbi vigore*, convenienter eos victum permutaſſe dicat. Quod igitur dicebat, permutare quidem oportet ſanorum victum in morbis, non tamen temere id agendum, jam patere ex praedictis arbitror. Quum enim unus quidem corporis ſtatus ſalubris ſit, alter qui a morbi initio ad vigorem uſque extenditur, mox et tertius qui ad perfectam uſque morbi ſolutionem ſeſe prorogat, deinde et quartus, qui

παντελοῦς λύσεως καὶ μετ' αὐτὴν τῆς ἀναλήψεως ἄχρι τῆς καθ' ἕξιν ὑγείας, ἐν ἑκάστῃ τῶν τεττάρων καταστάσεων οὐ χρὴ ποιεῖσθαι μεγάλας μεταβολὰς τῆς διαίτης, πρὶν εἰς ἕτερον εἶδος ἀφικέσθαι καταστάσεως. οἱ τοίνυν τοὺς κάμνοντας ἐν ἀρχῇ τῶν νοσημάτων ἐν ἀσιτίᾳ παντελεῖ φυλάττοντες, εἰ μὲν ἄχρι τῆς ἀκμῆς δύναιντο διαφυλάξαι τὸ τοιοῦτον τῆς διαίτης εἶδος, οὐκ ἄν τις αὐτοῖς μέμψαιτο· μὴ δυνάμενοι δὲ πρᾶξαι τοῦτο διὰ τὸ καταλύεσθαι μεταξὺ τὴν δύναμιν τῶν νοσούντων, εὔδηλον ὅτι κακῶς ἐχρῶντο ταῖς ἀσιτίαις, προταριχεύσαντες τοὺς κάμνοντας. ἐνδείκνυται δὲ ἐναργῶς διὰ τῆσδε τῆς προσηγορίας τὴν ἀκαιρίαν τῆς ἀσιτίας καταξηραίνουσαν τὸ σῶμα περαιτέρω τοῦ προσήκοντος· ὅπου γὰρ ἐν ᾧ χρὴ καιρῷ λεπτότερον διαιτᾷν, ἐγγὺς (66) οὔσης τῆς ἀκμῆς, ἐν τούτῳ προσφέρειν ἠναγκάσθησαν σιτία, πρόδηλόν ἐστι κατεξηράνθαι διὰ τῆς ἀσιτίας ἀμέτρως τοὺς κάμνοντας, ὅπερ ὠνόμασται ταριχεύεσθαι. διὰ τοῦτ' οὖν φησιν ἕπεσθαι συμπτώματα τῷ τοιούτῳ τρόπῳ τῆς διαίτης πολλὰ καὶ μοχθηρὰ, καταλέγει δὲ ἐφεξῆς αὐτὰ πάντα τὴν ἀρχὴν ἀπὸ χολωδῶν ὠμῶν ποιησάμενος·

totius convalefcentiae tempus ad ufque fanitatis habitum occupat, in nullo horum quatuor ftatuum permutationes victus infignes facere oportet, nifi prius in alteram ftatus fpeciem perventum fit. Qui igitur aegros per morborum exordia in omni ciborum abftinentia fervant, fi ad vigorem ufque talem victus fpeciem fervare poffint, nemo eos culpaverit, quod fi facere nequeant ob interlabentes aegrorum vires, quod male inedia utantur exiccantes aegros palam eft omnibus. Hoc autem verbo inediae immoderationem plus jufto corpus exiccare evidenter demonftrat. Ubi enim quo tempore prope vigorem tenuius cibandum fuit, in eo cibum dare coacti funt, aegros inedia immoderate exiccatos effe, quod vocatur fame confectos, manifeftum eft. Ob id igitur huic cibandi rationi fuccedere ait fymptomata multa et prava, quae omnia continuata recenfet ferie, a biliofis crudis ducto exordio. Haec enim ita nominavit, quoniam et excrementorum coctionem ap-

ὠνόμασε γὰρ οὕτως αὐτὰ, διότι καὶ τὴν τῶν περιττωμάτων ὀνομάζει πέψιν, εἰ καὶ μὴ δυνατὸν μεταβληθέντα θρέψαι τὸ σῶμα, καθάπερ αἱ χολαὶ καὶ οἱ ἰχῶρες· ἀλλ' ὅμως ἐπειδὴ κρατεῖ καὶ τῶν τοιούτων ἡ φύσις, εἴωθεν ὀνομάζειν πεπεμμένα μὲν τὰ κρατηθέντα τῶν τοιούτων περιττωμάτων ὑπὸ τῆς φύσεως, ἄπεπτα δὲ τὰ μὴ κρατηθέντα. διὰ τοῦτο καὶ τὸ πῦον ἐπὶ ταῖς πεπτομέναις φλεγμοναῖς γίγνεσθαί φησι, καίτοι μηδενὸς μορίου τὴν ἐκ πύου θρέψιν ἀναλαμβάνοντος ὥσπερ τὴν ἐκ τῶν ὠμῶν ὀνομαζομένων χυμῶν καὶ τοῦ φλέγματος, ἅπερ ἀναδεξάμενα τὸ λεῖπον τῆς κατεργασίας καὶ πεφθέντα τελείως τρέφειν δύναται τὸ ζῶον. οὕτως οὖν καὶ τῶν χολωδῶν πέψις χυμῶν ἐστιν, ὥσπερ καὶ τοῦ κατὰ φλεγμονὴν αἵματος εἰς πῦον μεταβάλλοντος, κατὰ τὸ γενικώτερον σημαινόμενον τῆς πέψεος ἀκουόντων ἡμῶν τῆς προσηγορίας· γενικώτερον δ' ἐστὶν, ὅταν ἡ φύσις τῶν αἰτίων ἰσχυροτέρα ᾖ καὶ μεταβάλλῃ αὐτὰ κατὰ τὴν ἑαυτῆς ἰσχύν· τὰ δ' ὡς ἐν ἀψύχῳ σώματι σηπόμενα, μηδὲν συντελούσης αὐτοῖς τῆς ἐμφύτου θερ- [67] μότητος εἰς τὴν ἀλλοίωσιν, ἐκπέπτωκε τοῦ πέττεσθαι. τοῦτ' οὖν ἐνίοτε καὶ τοῖς ὑδατώδεσιν ἰχῶρσι

pellat, quanquam mutata corpus nutrire non possunt, ut bilis utraque et serum. Veruntamen quoniam et talia evincit natura, cocta quidem vocare consuevit excrementa hujusmodi, quae a natura ipsa evicta sunt, cruda vero, quae non sunt evicta. Ob id et pus in phlegmonis, quae concoquuntur, fieri ait, quanquam pars nulla ex pure alimentum accipit, quemadmodum *accipit* ex crudis appellatis humoribus et pituita, quae reliquum perfectionis assequuta et prorsus cocta, animal nutrire possunt. Sic igitur biliosorum humorum concoctio existit, ut et sanguinis phlegmones in pus migrantis, intelligentibus nobis coctionis nomen in suo universaliore significato. Est autem universalius, quum natura causis fortior fuerit permutaveritque eas pro suis viribus. Quae igitur tanquam in corpore inanimato putrescunt, nihil ad mutationem conferente ipsis innato calore, a concoctionis ratione degenerant. Hoc sane aliquando contingit etiam aquosis iis

συμβαίνει δι' οὔρων ἐκκενουμένοις καὶ διὰ τοῦτο καὶ οὖρα τὰ ἄπεπτα πέττεσθαί φαμεν, καίτοι μὴ δυναμένου τοῦ σώματος ἐκ τῶν πεπεμμένων οὔρων τρέφεσθαι. τῷ δὲ γενικῷ τούτῳ σημαινομένῳ τῆς πέψεως χρώμεθα, ἐπειδὰν κατάῤῥουν, ἢ κόρυζαν ἢ τοὺς ἐκ τούτων ῥέοντας ἰχῶρας ἢ τοὺς ἐν ταῖς ὀφθαλμίαις ἤτοι γε ἀπέπτους ἢ πεπεμμένους εἶναι λέγωμεν. οὕτως γοῦν καὶ χολὴν ἢ ὠμὴν ἢ ἄπεπτον ἢ πεπεμμένην εἶναί φαμεν. ἡ μὲν γὰρ ὠμὴ ξανθή τέ ἐστιν ἱκανῶς καὶ δριμεῖα καὶ δυσώδης, ἡ πεπεμμένη δὲ ὠχροτέρα τε καὶ ἥκιστα δυσώδης. ἄπεπτον οὖν χολὴν φησιν εἰς γαστέρα συῤῥεῖν ἀναγκάζεσθαι, διὰ τὴν κακήν τε δίαιταν ἔκ τε τῆς κεφαλῆς καὶ τοῦ θώρακος ἑλκομένην· καθ' ἕτερον μὲν καιρὸν, ἐν ᾧ λιμαγχονοῦσιν, οὐδενὶ χρηστῷ παραμυθούμενοι τὴν γαστέρα, καθ' ἕτερον δὲ καιρὸν, καθ' ὃν ἀκαίρως μεταβαίνουσιν ἐκ τῆς ἀσιτίας εἰς ἰσχυρὰ σιτία πλησίον τῆς ἀκμῆς. ἐφεξῆς δὲ καὶ ἄλλα συμπτώματα καταλέγει διὰ τὴν μοχθηρὰν δίαιταν γινόμενα· πρώτας μὲν τὰς ἀγρυπνίας, ἑπομένας δηλονότι ἀσιτίαις μακραῖς καὶ τρο-

ichoribus, qui per urinas excernuntur, atque ob id incoctas urinas concoqui dicimus, quanquam corpus ex coctis urinis ali non poteſt. Generali praeterea hoc concoctionis ſignificato utimur, quum aut catarrhum aut coryzam aut fluentes ex his ichoras, aut eos qui in lippitudinibus manant, aut incoctos aut coctos eſſe dicimus. Sic igitur et bilem vel crudam, vel incoctam, vel coctam eſſe pronunciamus. Cruda quidem et flava admodum eſt et acris et male olens, cocta autem et pallidior et minimum male olens. Bilem igitur incoctam ait ad ventrem de neceſſitate confluere, quae ob pravam victus rationem tum ex capite tum ex thorace trahitur, alio quidem tempore, quo fame aegros enecant, nullo utili ſolatium ventri praeſtantes, alio vero tempore, quo ab inedia ad validos cibos prope vigorem intempeſtive tranſeunt. Recenſet autem deinceps et ſymptomata alia, quae pravam ob victus rationem oriuntur. In primis quidem vigilias, quae nimirum longas inedias cibosque intempeſtivos conſequun-

φαῖς ἀκαίροις, ἅπερ ἀμφότερα μέμφεται τῆς διαίτης τῶν ἰατρῶν. ὅτι δὲ ταῖς ἀγρυπνίαις ἡ ἀπεψία τοῦ νοσήματος ἕπεται πρόδηλον, εἴ γε καὶ τοῖς ὕπνοις ἡ πέψις. ἀλλὰ καὶ περίλυποι, φησὶ, γίγνονται· κατ' ἀμφότερα δηλονότι, τήν τε μακρὰν ἀσιτίαν καὶ τὴν ἰσχυρὰν τροφὴν τὴν ἐξαίφνης, ὑφ' ἧς ἡ γαστὴρ βαρύνεται, βαρυνομένη δὲ καὶ δυσθύμους τε καὶ λυπηροὺς ἀπεργάζεται τοὺς κάμνοντας. ἀλλὰ καὶ πικροὺς αὐτοὺς ἔφη γίγνεσθαι, δηλονότι παραπλήσιόν τι τῷ προειρημένῳ. καθάπερ γὰρ ἔνιοι δυσθυμοῦνται μελαγχολικῶς, οὕτως ἕτεροί τινες ὀξυθυμοῦνται πολλάκις, ὡς ἀθροιζομένης αὐτῆς τῆς χολῆς κατὰ τὸν στόμαχον· ἢ καὶ τὴν ἐν τῷ στόματι γιγνομένην αὐτοῖς ἐκ τῆς τοιαύτης χολῆς πικρότητα δηλοῖ, διὰ τὸ φάναι πικροὺς αὐτοὺς γίγνεσθαι. αἱ παραφροσύναι δὲ καὶ ἐπὶ ταῖς ὀξυθυμίαις καὶ τῇ πικρᾷ χολῇ κατὰ τὸν στόμαχον ἢ τὸν ἐγκέφαλον ἀθροιζομένῃ πεφύκασιν ἕπεσθαι. τὰ δ' ὄμματα μαρμαρυγώδη γίγνεται, διά τε τὴν ἀπὸ τῆς γαστρὸς ἀναθυμίασιν καὶ διὰ πλῆθος αἵματος ἐπὶ τὴν κεφαλὴν ἀναφερομένου. τούτων δὲ τὸ μὲν πρότερον ἐπ' ἀκαίροις ἐνίοτε γίγνεται προσφοραῖς τῆς τροφῆς,

tur, quae utroque tempore medicorum victus rationem culpant. Quod autem vigilias morbi cruditas consequatur, patet, si somnos concoctio *sequi debeat.* Deinde pertristes, inquit, fiunt, utroque videlicet tempore, tum ob longam inediam, tum ob validum repentinum alimentum, quo gravatur venter, gravatus vero tristes aegros reddit ac moestos. Imo etiam amaros ipsos fieri ait, quid praedicto omnino consimile astruens. Ut enim nonnulli ex melancholia moerent, sic alii saepe excandescunt, tanquam collecta in stomacho ipsa bile. Vel etiam quum amaros fieri ait, eam quae in ipsorum ore ex tali bile fit, amaritudinem indicat. Deliria vero et excandescentias et bilem amaram in stomacho vel cerebro collectam comitari consueverunt. Oculi vero coruscantes evadunt, tum propter eam, quae a ventre fertur, exhalationem, tum propter sanguinis ad caput elati copiam. Horum autem prius quidem ex intempestiva interdum sit ciborum oblatione,

τὸ δὲ δεύτερον ἢ δι' αἱμοῤῥαγίαν κρίσιμον, ἢ παραφροσύνην ἐφεδρεύουσαν. ὡσαύτως δὲ καὶ τὰ ὦτα πληροῦται τοῦ ἤχου διά τε τοὺς ἐκ τῆς γαστρὸς ἀναφερομένους ἀτμοὺς καὶ διὰ πνεῦμα φυσῶδες ἐν αὐτῇ τῇ κεφαλῇ γιγνόμενον. τὰ δ' ἀκρωτήρια τοῦ σώματος, ἅπερ ἐστὶ πόδες τε καὶ χεῖρες, ἴσμεν ἑτοίμως καταψυχόμενα κακοπαθοῦντος τοῦ στόματος τῆς γαστρὸς, ὅταν ἤτοι διὰ μακρὰν ἀσιτίαν δάκνηται σφοδρῶς ὑπὸ δακνωδῶν ἰχώρων, ἢ διὰ πλῆθος ἄκαιρον τροφῆς βαρύνηται. πάσχει δ' ἀμφότερα κατὰ τὴν προειρημένην δίαιταν, ἐν ᾗ προταριχεύσαντες ἐν ταῖς πρώταις ἡμέραις τοὺς κάμνοντας οἱ ἰατροὶ μεταβαίνουσιν ἀθρόως ἐπὶ σιτώδεις τροφὰς, ἐν ᾧ καιρῷ ἐχρῆν αὐτοὺς λεπτότερον διαιτᾷν. κατὰ δὲ τὸν αὐτὸν λόγον οὐδ' οὖρα πέττεται, διαιτωμένων οὕτως· ἐν μὲν τῷ προταριχεύειν ἄνευ τοῦ προσφέρειν ἢ χυλὸν πτισάνης ἢ μελίκρατον ἢ ὀξύμελι τοῦ αἵματος ἐπιχολουμένου διὰ τὸ μὴ καθαίρεσθαι· διὰ δὲ τὴν ἀθρόαν μεταβολὴν ἐπὶ σιτία βαρυνθείσης μὲν τῆς γαστρὸς, συγκαμνούσης δ' αὐτῇ καὶ τῆς ζωτικῆς δυνάμεως· ὡς αἱ στομαχικαὶ καλούμεναι

alterum autem vel propter criticam sanguinis eruptionem, vel delirium imminens. Consimiliter autem et aures sonitu implentur, tum propter elatos a ventre sursum vapores, tum propter flatulentum spiritum in capite ipso oborientem. Corporis extrema, quae sunt tum pedes tum manus, prompte perfrigerari, male habente ventriculi orificio, novimus, quum vel propter longam inediam vehementer a mordentibus mordetur ichoribus, vel ob ineptam cibi multitudinem gravatur. Patitur autem utrunque ex praedicta victus ratione, qua medici aegros primis diebus ubi fame exiccaverint, quo tempore tenuiter cibandum fit, ad frumentacea repente transeunt edulia. Ob eandem rationem neque eorum qui ita cibantur urinae concoquuntur. Nam in ea quae citra vel cremoris ptisanae vel melicrati vel oxymelitis oblationem fit exiccatione, sanguis quod non purgetur bilescit, propterque repentinam ad esculenta permutationem venter, compatiente ipsi facultate vitali, gravatur adeo, ut stomachicae appel-

Ed. Chart. XI. [67. 68.] Galen. V. (66.)
συγκοπαὶ σαφῶς ἡμῖν ἐνδείκνυνται τὴν συμπάθειαν τῆς ζωτικῆς δυνάμεως πρὸς τὸ τῆς γαστρὸς στόμα· τοῦτο γάρ ἐστι τὸ μᾶλλόν τε καὶ πρῶτον ἐν ταῖς ἀκαίροις ἀσιτίαις τε καὶ προσφοραῖς κακούμενον. [68] διὰ τοῦτο οὖν καὶ τὰ πτύσματα λεπτὰ καὶ ἁλυκὰ καὶ σμικρὰ καὶ κεχρωσμένα χρώμασιν ἀκράτοις γίγνεσθαί φησι καὶ ἱδρῶτας περὶ τράχηλον μόνον ἀπορίαν τε καὶ δύσπνοιαν· ἄπεπτον γὰρ μένει τὸ νόσημα δι' ἑκατέραν τὴν ὑπερβολὴν, ἀσιτίαν τε μακρὰν καὶ τροφῆς προσφορὰν ἄκαιρον· τῇ δ' ἀπεψίᾳ συνέπεται καὶ τὰ καταλελεγμένα πτύσματα· καθάπερ καὶ οἱ περὶ τράχηλον ἱδρῶτες καὶ διὰ λιμαγχονίαν καταλυομένης τῆς δυνάμεως καὶ διὰ τροφὴν ἄκαιρον βαρυνομένης. ὡσαύτως δὲ καὶ ἡ ἀπορία κοινὸν ἀμφοῖν ἐστι σύμπτωμα καὶ διὰ μακρὰν ἀσιτίαν ἐμπιπλᾶσαν ἰχώρων τὴν γαστέρα καὶ διὰ τροφὴν ἄκαιρον βαρύνουσαν. ἥ γε μὴν δύσπνοια, καθ' ἣν τὸ πνεῦμα προσπταίει, διὰ τροφὴν ἄκαιρον γίνεται μᾶλλον ἢ δι' ἔνδειαν· ἔστι γὰρ στενοχωρίας τε καὶ σπασμοῦ γνώρισμα, προσκόπτειν τε καὶ οἷον ἵστασθαι τὸ πνεῦμα κατὰ τὴν ἐκ-

latae syncopae manifesto nobis indicent facultatis vitalis ad os ventris sympathiam. Hoc siquidem tum magis tum primum ex intempestivis tum inediis tum ciborum oblationibus vitiatur. Ob id igitur sputa tenuia et salsa et pauca et sinceris coloribus colorata fieri ait et sudores circa cervicem duntaxat et anxietatem et spirandi difficultatem. Incoctus enim manet morbus propter excessum utrumque, tum longam inediam tum intempestivam cibi oblationem. Cruditatem autem consequuntur sputa commemorata, ut et circa cervicem sudores, viribus et ob enecantem inediam succumbentibus et ob cibum intempestivum gravatis. Eodem modo et anxietas commune est utrisque symptoma et ob longam inediam, quae ventrem ichoribus replet et propter cibum intempestivum gravantem. Verum spirandi difficultas, qua spiritus colliditur, ob cibum intempestivum magis quam ob indigentiam oritur. Nam spiritum inter exspirandum et collidi et quasi sisti tum angustiae tum convulsionis est nota. La-

πνοήν· ἡ γὰρ ἄνω φορὰ τὴν ἐκπνοὴν ποιεῖται. τῷ τοιούτῳ δὲ πνεύματι τὸ ἐναντίον ἐν τῷ δευτέρῳ καὶ ἕκτῳ τῶν ἐπιδημιῶν αὐτὸς διῆλθεν, εἰπών· διπλῆν εἴσω ἐπανάκλησιν οἷον ἐπεισπνέουσιν. ὅτι δὲ διὰ τὴν ἄκαιρον τροφὴν, οὐ διὰ τὴν ἔνδειαν ἡ τοιαύτη γίγνεται δύσπνοια, δῆλόν ἐστι κἀκ τοῦ φάναι τὸν Ἱπποκράτην πυκνὸν ἢ μέγα λίην τοῖς κακῶς διαιτηθεῖσι γίγνεσθαι τὸ πνεῦμα. καὶ γὰρ τὸ πυκνὸν καὶ τὸ μέγα στενοχωρουμένου τοῦ διαφράγματος ὑπὸ τῆς ἐν τῇ κοιλίᾳ περιεχομένης γίνεται τροφῆς, ὅταν μὴ κρατουμένη μηδὲ κατεργαζομένη καλῶς ὑπὸ τῆς γαστρὸς, ἐργάσηται πνευμάτωσιν· ἀναγκαῖον γάρ ἐστι τηνικαῦτα διά τε τὴν στενοχωρίαν τοῦ διαφράγματος ἔλαττον εἰσπνεῖσθαι τὸ πνεῦμα, καίτοι διαστολὴν διαστελλομένου τοῦ θώρακος ἢ πρόσθεν διεστέλλετο. τοῦτ' οὖν ὅσον λείπεται τὸ νῦν πνεῦμα τοῦ πρότερον, ἐνδεῆ τὴν χρείαν τῆς ἀναπνοῆς ἐργάζεται καὶ διὰ ταύτην τὴν ἔνδειαν ἤτοι μείζονα τὴν ἀναπνοὴν ἀναγκάζει (67) ποιεῖσθαι τὸ ζῶον ἢ πυκνοτέραν ἢ ἀμφότερα. λέλεκται δὲ περὶ πασῶν δυσπνοιῶν ἐπὶ πλεῖστον ἐν τοῖς περὶ

tio etenim quae ſurſum ſit expirationem facit. Tali autem ſpiritui contrarium tum in ſecundo tum in ſexto epidemiorum ipſe percurrit, inquiens: *Duplex intro revocatio, veluti ſuper inſpirantibus.* Quod autem ob cibum intempeſtivum, non propter penuriam talis fiat ſpirandi difficultas, patet ex ſermone Hippocratis, ſpiritum denſum vel magnum valde prave cibatis fieri aſſerentis. Etenim fit denſus magnusque, coarctato ſepto transverſo ab eo quod in ventre continetur alimento, quum neque victum, neque probe a ventre confectum inflationem parit. Neceſſarium enim eſt tunc ob ſepti tranſverſi anguſtiam minus aëris inſpirari, quanquam diaſtole thoracis ſeſe quo prius explicantis dilatetur. Ergo quantum nunc ſpiritus deeſt priori, id deficientem reſpirationis uſum facit, atque ob eam penuriam animal reſpirationem facere majorem cogitur, vel denſiorem vel utramque. Dictum autem abunde de ſpirandi difficultatibus omnibus in libris de ſpirandi difficultate, in quibus tum harum tum

δυσπνοίας, ἐν οἷς καὶ τούτων καὶ τῶν ἄλλων δυσπνοιῶν τὰς αἰτίας σὺν ταῖς οἰκείαις ἀποδείξεσιν ἐγράψαμεν· ἀλλ' εἴς γε τὸ παρὸν ἀρκεῖ ταῦτα. φησὶ δὲ τῆς κακῆς διαίτης καὶ τὰς ὀφρῦς γίγνεσθαι δεινώσιος μετεχούσας. γέγραπται δὲ διασῶς, ἐν τισι μὲν τῶν ἀντιγράφων κατὰ τὸν ἑνικὸν ἀριθμὸν, ὀφρὺς δεινώσιος μετέχουσα, καθ' ἕτερα δὲ πληθυντικῶς, ὀφρύες δεινώσιος μετέχουσαι. δηλοῦται δὲ ἐκ τῆς λέξεως τὸ παρεσπάσθαι πως αὐτὰς ἢ ἀνεσπάσθαι· καὶ γίνεται τοῦτο ποτὲ μὲν ἀμφοτέρων τεινομένων σπασμωδῶς, ἢ τῆς ἑτέρας μόνης, ποτὲ δὲ τῆς ἑτέρας παραλελυμένης. εἶτ' ἐφεξῆς φησι λειποψυχώδεα πονηρὰ, τὸν λόγον ἀναφέρων ἐπὶ τὰ συμπτώματα, καθ' ἃ καὶ τῶν ἱματίων ἀποῤῥίψεις γίνονται, διακαιομένων τῶν καμνόντων· ἐνίοτε δὲ καὶ χεῖρες ὅλαι τρομώδεις, ἐπὶ πλέον αὐξανομένου τοῦ κακοῦ. τὸ δὲ κάτω χεῖλος σειόμενον ἐνδείκνυται δῆξιν εἶναι σφοδρὰν ἐν τῷ στόματι τῆς γαστρὸς, διὸ καὶ σημεῖόν ἐστιν ἐμέτου δριμέων χυμῶν τὸ τοιοῦτον σύμπτωμα.

---

aliarum difficultatum ſpirandi cauſas cum propriis demonſtrationibus ſcripſimus, verum quantum ad praeſens attinet, haec ſufficiunt. Ait praeterea et ex pravo victu ſupercilia gravitatem ſortiri. Verum id biſariam ſcriptum invenitur, in quibusdam ſane exemplaribus ſingulari numero: *ſupercilium gravitatem ſortitur*, in caeteris vero pluraliter: *ſupercilia gravitatem ſortiuntur*. Significatur autem ex ea dictione ſupercilia ipſa quodam modo evelli vel retrahi, ſitque illud interdum quidem ambobus convulſive intentis, aut altero ſolo, interdum autem et altero reſoluto. Deinceps ait deliquia animi prava, ſermonem ad ſymptomata referens, per quae et veſtium rejectiones fiunt, ardentibus aegris. Interdum autem et manus totae tremulae fiunt, plus aucto malo. Concuſſio autem labri inferioris morſum in ore ventris vehementem ſignificat, idcirco tale ſymptoma vomitus acrium humorum etiam ſignum eſt.

με'.

Ταῦτα δὲ ἐν ἀρχῇσιν ἐπιφαινόμενα παραφροσύνης εἰσὶ δηλωτικὰ σφοδρῆς καὶ ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν.

---

[69] *Τά εἰρημένα, φησί, συμπτώματα κατὰ τὴν ἀρχὴν τῶν νοσημάτων γιγνόμενα, παραφροσύνης εἰσὶ δηλωτικὰ σφοδρᾶς, ἀρχὴν δὲ νόσου νῦν ἀκούειν σε χρὴ τὸν χρόνον ἐκεῖνον ὅλον, ἐν ᾧ μηδέπω πέψεώς εἰσι γνωρίσματα. εἴρηται γὰρ ἐν τοῖς περὶ κρίσεων, ὅτι τε πλείω σημαίνει τὸ τῆς ἀρχῆς ὄνομα, καὶ ὅτι τὸ νῦν εἰρημένον σημαινόμενον τῆς ἀρχῆς ἐστι κατὰ τὴν τοιαύτην διαίρεσιν γιγνόμενον, ἐν ᾗ τοὺς τοιούτους καιροὺς τῶν νοσημάτων διαιρούμενοι λέγομεν ἐξ ἀρχῆς αὐτὰ καὶ ἀναβάσεως καὶ ἀκμῆς καὶ παρακμῆς συγκεῖσθαι. τῶν οὖν εἰρημένων ἄρτι συμπτωμάτων, ὅταν ἐγγὺς τῆς ἀκμῆς φαίνηται, κρίσιν ἐσομένην προδηλούντων, ἐν περιεστηκόσι δηλονότι νοσήμασιν· ὅταν ἐν ἀρχῇ γένηται, κρίσιν μὲν οὐ δηλοῖ, κριθῆναι γὰρ ἐν ἀρχῇ οὐδὲν δύναται, παραφροσύνης δ' ἐστὶ γνωρίσματα. καὶ γέγρα-*

XLV.

Haec autem in principiis comparentia vehementis delirii ſunt indicia et plerumque intereunt.

Dicta, inquit, ſymptomata per morborum initium oborta delirii vehementis ſunt indicia. Morbi autem principium te nunc intelligere oportet totum illud tempus, in quo nondum exiſtunt concoctionis notae. Nam in libris de judicationibus dictum eſt nomen principii et plura ſignificare et ſignificatum quod nunc dictum eſt ſecundum eam eſſe diviſionem, qua morborum tempora dividentes, *morbos* ipſos conſtare ex principio, incremento, vigore et declinatione aſſerimus. Ergo quum nuper dicta ſymptomata, ubi prope morbi vigorem apparent, judicationem futuram obſidentibus nimirum in morbis ſignificant, ſi in principio fiant, judicationem quidem non denunciant, nihil enim in principio judicari poteſt, ſed delirii notae exiſtunt. Scriptum au-

πται περὶ αὐτῶν ἱκανῶς ἐν τοῖς περὶ κρίσεων· ἐξ ἐκείνων οὖν καὶ σὺ μάνθανε τὸν ὅλον ὑπὲρ αὐτῶν λόγον. ἔστι γὰρ μακρότερος ἢ ὡς νῦν ἅπαντα διελθεῖν αὐτόν· ἀλλ' ἀρκέσει, καθάπερ ἐπὶ τῶν ἄλλων, οὕτω κἀπὶ τούτων τὸ κεφάλαιον εἰπεῖν, ὡς ἐπειδὰν ἡ φύσις ἐπείγηται πρὸς ἔκκρισιν, ἀξιόλογος ἐν τῷ σώματι γίνεται ταραχὴ, δι' ἣν τὰ τοιαῦτα φαίνεται συμπτώματα μετὰ τῶν τῆς πέψεως σαφεστάτων σημείων· χωρὶς δὲ τοῦ παρεσκευάσθαι τὴν φύσιν εἰς τὴν τῶν λυπούντων ἔκκρισιν ὁμοία ταραχὴ γιγνομένη κινδυνωδέστατόν ἐστι σημεῖον. εἴρηται δὲ καὶ δι' ἄλλων ὑπομνημάτων ἤδη περὶ κρισίμων συμπτωμάτων, ὁποία τέ τις ἡ φύσις αὐτῶν ἐστι καὶ ὅπῃ διαφέρει τῶν ἐπιφαινομένων καλουμένων, ἐν οἷς ἔσται καὶ τὰ τῆς πέψεως σημεῖα. τό τε γὰρ προγνωστικὸν καὶ τὸ περὶ χυμῶν καὶ τοὺς ἀφορισμοὺς ἤδη προεξηγήμεθα πρὸ τοῦδε τοῦ βιβλίου· μακρολογοῦντος οὖν ἐστιν ἀεὶ περὶ τῶν αὐτῶν λέγειν τὰ αὐτά.

---

tem et de his abunde in libris de judicationibus, ex illis ſane et tu totum qui de his eſt ſermonem perdiſces; eſt enim longior quam ut nunc omnino ipſum percurrere oporteat. Sed ut in caeteris, ita in his ſummatim dicere ſatis erit. Ergo quoties natura ad excretionem properat, eſſatu digna in corpore ſit perturbatio, ob quam ſymptomata hujusmodi cum manifeſtiſſimis coctionis ſignis apparent. Verum quum perturbatio efficitur ſimilis, nullo a natura ad infeſtantium excretionem facto apparatu, tunc perieuloſiſſimum eſt ſignum. Dictum vero jam et caeteris in commentariis de judicatoriis ſymptomatis qualis ſit ipſorum natura et quo pacto ab apparentibus vocatis differant, in quibus erunt et ipſa coctionis ſigna. Nam et prognoſticum et librum de humoribus et aphoriſmos jam ante hunc librum expoſuimus. Sane ſemper de his eadem dicere ad eum ſpectat, qui prolixioribus utitur ſermonibus.

μστ'.

Οἱ δὲ διαφεύγοντες, ἢ μετὰ ἀποστήματος ἢ αἵματος ῥύσιος ἐκ τῆς ῥινὸς, ἢ πῦον παχὺ πτύσαντες διαφεύγουσιν, ἄλλως δὲ οὔ.

Ἐπειδὴ θνήσκειν αὐτοὺς εἶπεν, οὐχ ἁπλῶς, ἀλλὰ προσέγραψεν, ὡς ἐπὶ τὸ πολὺ, διὰ τοῦτο ἀκόλουθον ἦν εἰπεῖν ὅπως ἐξ αὐτῶν ἔνιοι σώζονται. τούτους οὖν νῦν διεξέρχεται, καί φησιν ἢ δι' αἱμοῤῥαγίας ἢ δι' ἀποστήματος ἢ διὰ πύου πτύσεως ἱκανῶς πεπεμμένου σώζεσθαί τινας ἐξ αὐτῶν, συνενδεικνύμενος ἐξ ὧν εἶπε, διὰ πλῆθος τοῖς τοιούτοις περιπίπτειν συμπτώμασι τοὺς κάμνοντας.

μζ'.

Οὐδὲ γὰρ τῶν τοιουτέων ὁρέω ἐμπείρους τοὺς ἰητροὺς, ὡς χρὴ διαγιγνώσκειν τὰς ἀσθενείας ἐν τῇσι νούσοισιν, αἵ [70] τε διὰ κενεαγγείην ἀσθενέονται, αἵ τε δι' ἄλλον τινὰ ἐρεθισμὸν, αἵ τε διὰ πόνον καὶ ὑπὸ ὀξύτητος τῆς

XLVI.

Qui vero effugiunt, aut cum abscessu, aut sanguinis e naribus profluvio, aut puris crassi expuitione evadunt, aliter autem minime.

Quum mori ipsos dixit, non simpliciter, sed *ut plurimum* ascripsit, quapropter quo pacto quidam ex ipsis serventur, dicere sequens erat. Hos igitur nunc percurrit, atque quosdam ex ipsis servari ait aut per sanguinis eruptionem, aut per abscessum, aut puris abunde cocti expuitionem, simul ex iis, quae retulit, aegros in hujusmodi symptomata incidere propter multitudinem significans.

XLVII.

Neque enim horum ita peritos video medicos, qui ut oportet dignoscant in morbis virium imbecillitates et quae ob vasorum evacuationem et quae ob aliud quoddam irritamentum et quae ob dolorem et ab acumine

νούσου, ὁκόσα τε ἡμέων ἡ φύσις, καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ πάθεα καὶ εἴδεα παντοῖα, καίτοι σωτηρίην ἢ θάνατον φέρει γινωσκόμενα ἢ ἀγνοούμενα τὰ τοιαῦτα.

Ἐπεὶ περί τε τῆς ἰσχύος τοῦ κάμνοντος πεποίηται καὶ περὶ τῆς ἀσθενείας λόγον, ταῦτα δ' εἰσὶ τῶν ἐκ τῆς διαίτης σκοπῶν οὐχ οἱ φαυλότατοι, διὰ τοῦτο νῦν ἀναλαμβάνει τὸν ὑπὲρ αὐτῆς λόγον τῆς κατὰ τὴν δύναμιν ἀσθενείας, ὥτινι τρόπῳ γίγνεται διαγνωστικοὺς λέγων δεῖν εἶναι τοὺς ἰατρούς· ὅτι ἔνιαι μὲν τῶν ἀσθενειῶν διὰ τὴν τῶν ἀγγείων κένωσιν ἀποτελοῦνται, (τοῦτο γὰρ ἡ κενεαγγεία σημαίνει κυρίως τε καὶ πρώτως καὶ διὰ τοῦτο ἡ ἀσιτία κενεαγγεία πολλάκις εἴρηται, ὡς τῷ τοῦ γένους ὀνόματι καὶ ἐπὶ τοῦ εἴδους συνηθέστατα χρωμένων ἁπάντων τῶν ἀνθρώπων) ἔνιαι δὲ διὰ πόνον, ἤτοι τὸν ἰδίως λεγόμενον, ὅσπερ ἐστὶν ὁ αὐτὸς ταῖς ὀδύναις, ἢ τὴν ὡς ἂν εἴποι τις κακοπάθειαν, ἣ κακοπαθοῦσιν οἱ κάμνοντες ἐν ταῖς ὀξείαις νόσοις. ἐνίας δὲ καὶ δι' ἄλλον τινὰ γίγνεσθαί φησι ἐρεθισμόν. εἰ μὲν γὰρ δὴ

morbi oboriantur, quosque affectus ac diversas eorum species natura nostra et habitus singulis pariat, quamvis haec cognita aut ignorata salutem aut mortem adferant.

Quoniam de aegri robore imbecillitateque sermonem fecit, qui victus scopi sunt non contemnendi, ob id nunc sermonem de ea quae virium est imbecillitate repetit, quibus haec fiat modis, medicos dignoscere debere asserens; quod quaedam fiant imbecillitates ob vasorum vacuationem, (etenim vasorum vacuatio hoc et proprie et primum significat, atque ob id inedia vasorum vacuatio saepius dicitur, tanquam nomine generis etiam in specie homines omnes uti consueverint) alia autem ob laborem vel proprie dictum, qui idem est doloribus, vel ut quis dixerit, malam affectionem, qua in acutis morbis aegri male afficiuntur. Aliam praeterea *virium imbecillitatem* ob aliud

τὴν δῆξιν ἐρεῖ ἤτοι γε τῆς γαστρὸς ἢ τῶν ἐντέρων, δόξειεν ἂν ὑποπεπτωκέναι τὸ σύμπτωμα τοῦτο ταῖς ὀδύναις· εἰ δὲ ἀγρυπνίαν ἤ τι τοῦ στόματος τῆς κοιλίας πάθος, οὐ κυρίως ἂν δόξειεν ἑρμηνεύειν. ἥ γε μὴν δύναμις ὁρᾶται καταλυομένη, διά τε κένωσιν ἐξ αἱμοῤῥαγιῶν ἢ ἐμέτων ἢ διαχωρημάτων ἢ ἱδρώτων καὶ δι' ἀσιτίαν μακροτέραν τοῦ προσήκοντος καὶ δι' ἄλγημά τι καὶ ἀγρυπνίαν ἐξαναστάσεις τε συνεχεῖς ἀποπατήσεως ἕνεκα καὶ πρὸς τούτοις ὅταν ποτὲ πάθῃ τὸ στόμα τῆς γαστρὸς οὕτως, ὡς ἐναπειλεῖν συγκοπάς· τοῦτο μέν γε καὶ διὰ τροφῆς πλῆθος βαρυνούσης, ἤ τινα τῶν ἀνιαρῶν αὐτῆς ποιοτήτων, αὐτή τε κάμνει καὶ συγκαταλύει τὴν δύναμιν ἑαυτῇ τάχιστα. πᾶσαι μὲν οὖν αὗται διὰ φανερῶν αἰτιῶν γίγνονται αἱ βλάβαι τῆς δυνάμεως· ἕτεραι δέ εἰσιν ἀφανεῖς, ὥσπερ ὅταν ἄνευ κενώσεως φανερᾶς ἢ ἀγρυπνίας ἢ λιμαγχονίας ἢ καὶ τῆς κατὰ τὸ στόμα κοιλίας αἰσθήσεως οἱ κάμνοντες εἰς τοιαύτην ὑποσύρωνται τοῦ σώματος διάθεσιν, οἵαν ἐν τῷ προγνωστικῷ κατὰ τὴν ἀρχὴν (68) αὐτὸς ἔγραψε λέγων· ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι,

quoddam fieri ait irritamentum. Nam sane si morsum dixit vel ventriculi vel intestinorum, symptoma hoc sub dolorum nomine intellexisse est visus. Verum si vel vigilias vel aliquam oris ventriculi affectionem dixit, non proprie interpretari visus est. Caeterum vires exolvi videntur et ob evacuationem, quae fit vel sanguinis eruptione vel vomitu vel dejectionibus vel sudoribus, et ob longiorem quam par sit inediam et propter tum dolorem aliquem, tum vigilias, tum assiduas ventris purgandi gratia exsuscitationes, atque etiam quum os ventriculi ita affectum fuerit, ut syncopas minetur, atque etiam propter gravantis alimenti copiam, aut molestam quandam ipsius qualitatem et ipse laborat et vires secum celerrime dissolvit. Omnes igitur hae virium laesiones ex manifestis quidem fiunt causis, sed aliae ex non manifestis, ut quum absque manifesta vacuatione vel vigiliis vel inedia vel oris ventriculi sensu aegri ad talem subtrahuntur corporis affectionem, quam in prognostico in principio scripsit

κρόταφοι συμπεπτωκότες, ὅσα τε τούτοιν ἐφεξῆς. αὕτη γὰρ τοῦ σώματος ἡ κατάστασις γίνεται μὲν καὶ δι' ἀγρυπνίαν καὶ δι' ἔκκρισίν τινα πολλὴν καὶ λιμαγχονίαν· γίνεται δὲ καὶ χωρὶς τούτων, ὅταν οἵ τε ἐν τῷ σώματι χυμοὶ λεπτοὶ τυγχάνουσιν ὄντες ἥ τε τοῦ πυρετοῦ θερμασία δριμεῖα· διαφοροῦνται γὰρ οἱ οὕτως λεπτυνόμενοι κατὰ τὸ ἄδηλον. ἐνίοις δὲ καὶ κατὰ τὴν δυσκρασίαν μιᾶς τῶν ἀρχῶν παθούσης ἀσθενὴς ἡ δύναμις γίγνεται· πρώτη μὲν οὖν ἡ πρώτως παθοῦσα κάμνει, κατὰ συμπάθειαν δὲ καὶ αἱ λοιπαὶ δύο. μεμάθηκας γὰρ ἄλλην μὲν εἶναι κατὰ τὰ νεῦρα δύναμιν, ἀρχὴν ἔχουσαν τὸν ἐγκέφαλον· ἄλλην δὲ κατὰ τὰς ἀρτηρίας, ἧς ἡ ἀρχὴ καρδία· καὶ τρίτην κατὰ τὰς φλέβας, ἐξ ἥπατος ὁρμωμένην· ἐνίοτε γοῦν τῶν μορίων ἑνὸς οὑτινοσοῦν δυσκρασία τὴν οἰκείαν δύναμιν ἐκάκωσεν, ἧ συνεπάθησαν αἱ λοιπαὶ δύο δυνάμεις. τάχισται μὲν οὖν ἀπώλειαι γίγνονται τῆς καρδίας παθούσης, ἐφεξῆς δὲ τοῦ ἐγκεφάλου, βραδεῖαι δὲ αἱ ἀπὸ τοῦ ἥπατος. ὥσπερ γὰρ ταῦτα τὰ μό-

ipſe, inquiens: *nares acutae, oculi concavi, collapſa tempora* et quae deinceps ſunt. Nam haec corporis conſtitutio fit quidem et ob vigilias et ob excretionem quandam copioſam et ob gravem inediam, fit quoque et absque his, quum corporis humores tenues fuerint et febris calor acris. Nam exhauriuntur qui ita extenuantur, per inſenſibilem evacuationem. Nonnullis autem et ob intemperiem principis unius partis affectae imbecilles redduntur vires. Primo ſiquidem affecta prima laborat, deinde per conſenſum et reliquae duae. Didiciſti enim aliam quidem eſſe in nervis facultatem, quae principium habet cerebrum, alteram vero in arteriis, cujus principium eſt cor, tertiam denique in venis, quae ex hepate oritur. Ergo partis unius, quaecunque fuerit, intemperies propriam interdum facultatem vitiavit, cui conſenſerunt affectae reliquae duae facultates. Celerrimi igitur fiunt affecto corde interitus, deinde *affecto* cerebro, tardi ab hepate *prodeunt.* Ut enim partes hae intemperie affectae maximam

ρια κατὰ δυσκρασίαν παθὸν- [71] τα μεγίστην βλάβην βλάπτεται τῆς οἰκείας ἕκαστον δυνάμεως, οὕτως ἔνια πλησίον ἑκάστης ἀρχῆς κείμενα κατὰ δυσκρασίαν ἰσχυρῶς νοσήσαντα τὰς ἀρχὰς τῶν δυνάμεων εἰς συμπάθειαν ἑαυτοῖς ἄγει, τινὰ δὲ, κᾂν μὴ πλησίον ᾖ κείμενα, διὰ τὴν κατὰ γένος κοινωνίαν, ἤ τινα διαθέσεως ἰδιότητα, τὰ τὰς ἀρχὰς τῶν δυνάμεων ἔχοντα βλάπτει μόρια. τὸ μὲν οὖν στόμα τῆς γαστρὸς ὅταν μὲν ζωτικὴν δύναμιν εἰς συμπάθειαν ἄγῃ, συγκοπὰς ἐπιφέρει, ὅταν δὲ τὴν ἰδίως ψυχικὴν ὀνομαζομένην, παραφροσύνας ἢ σπασμούς· ἡ δὲ μήτρα ποτὲ μὲν ἀπνοίας, ποτὲ δὲ συντάσεις νεύρων. ἀλλὰ συμπληρωθέντα μὲν ἕκαστα τούτων ἁπλῶς γνώριμα, συνιστάμενα δὲ καὶ αὐξανόμενα κατὰ βραχὺ λανθάνει τοὺς πολλοὺς τῶν ἰατρῶν. χρὴ δὲ οὐχ ὅταν ὑπὸ μεγέθους ἀβοήθητα γένηται, τότε γνωρίζειν αὐτὰ τοῖς ἰδιώταις ὡσαύτως, ἀλλὰ ἀρχόμενά τε καὶ γιγνόμενα, τοῦτο γὰρ κάλλιστον· εἰ δὲ μὴ, ἀλλ᾽ αὐξανόμενά γε πάντως. ἅπαντα οὖν τὰ τοιαῦτα δοκεῖ μοι δηλῶσαι διὰ τῆσδε τῆς λέξεως ὁ Ἱπποκράτης, ἐν ᾗ φησιν· ὅσα τε ἡμέων

facultatis unaquaeque suae laesionem incurrunt, sic partes aliae principio unicuique propius appositae, si vehementer intemperie laborent, facultatum principia ad sympathiam agunt. At quaedam quamvis propius appositae non sint, ob generis tamen communitatem vel quandam affectionis proprietatem, partes facultatum principia continentes laedunt. Os igitur ventriculi quum vitalem facultatem ad sympathiam agat, syncopas infert, quum vero proprie animalem appellatam, deliria vel convulsiones. Uterus interdum quidem et apnoeas, interdum vero et nervorum contentiones. Verum singula haec completa, ab omnibus cognoscuntur, quum vero fiunt et paulatim increscunt, medicos plerosque latent. Haec autem non quum ob magnitudinem auxilio carent, tunc cognoscere oportet, quod vulgo contingit, sed et quum incipiunt et fiunt, hoc siquidem optimum est. Quod si fieri non possit, sed omnino quum increscunt, *dignoscere necesse est.* Sane haec omnia Hippocrates hocce textu significasse mihi vi-

ἡ φύσις καὶ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ πάθεα καὶ εἴδεα παντοῖα· καὶ νῦν φύσιν λέγει τὴν κρᾶσιν, ἕξιν δὲ αὐτοῦ τοῦ σώματος τὴν κατασκευήν. οἱ μὲν γὰρ ἀραιότεροι φύσει διαφοροῦνται καὶ συγκόπτονται ῥᾳδίως, οἱ δὲ πυκνότεροι χρονίζουσιν ἐν ταῖς νόσοις. οὕτω δὲ καὶ μόρια τὰ μὲν ἔχουσί τινες ψυχρότερα, τὰ δὲ θερμότερα, καὶ τὰ μὲν ξηρότερα, τὰ δὲ ὑγρότερα· ἅπασι δὲ οἰκεῖον τῇ κράσει τὸ νόσημα.

μη΄.

Μεῖζον μὲν γὰρ κακόν ἐστιν, ἢν διὰ τὸν πόνον καὶ τὴν ὀξύτητα τῆς νούσου ἀσθενέοντι προσφέρῃ τις ποτὸν ἢ ῥόφημα πλεῖον ἢ σιτίον, οἰόμενος διὰ κενεαγγείην ἀσθενέειν. ἀεικὲς δὲ καὶ διὰ κενεαγγείην ἀσθενέοντα μὴ γνῶναι καὶ πιέζειν τῇ διαίτῃ. φέρει μὲν γάρ τινα κίνδυνον καὶ αὕτη ἡ ἁμαρτὰς, πολλῷ δὲ ἧσσον τῆς ἑτέρης· καταγελαστοτέρη δὲ πολλῷ αὕτη μᾶλλον ἡ ἁμαρτὰς τῆς ἑτέρης. εἰ

detur, quo dicit: *quosque affectus ac diversas eorum species natura nostra et habitus singulis pariat*, ubi naturam temperamentum vocavit, habitum autem ipsius corporis structuram. Nam qui rariores natura sunt, exhauriuntur et in syncopen facile incidunt, qui vero densiores, in diuturniores morbos ruunt. Sic autem et partes nonnulli habent, alias quidem frigidiores, alias calidiores, alias ficciores et alias humidiores, sed omnibus pro temperamento peculiaris morbus.

XLVIII.

Majus siquidem malum est, si quis ob laborem et acumen morbi debilitato potum aut sorbitionem copiosiorem aut cibum exhibeat, ob vasorum vacuationem imbecillum esse arbitratus. Indecorum autem est et ob vasorum vacuationem imbecillum non cognoscere et victu opprimere. Periculum siquidem aliquod adfert et hic error, multo tamen minus quam alter, sed multo magis altero risu dignior hic error est. Nam si medicus alius

γὰρ ἄλλος ἰητρὸς ἢ καὶ ἰδιώτης ἐσελθὼν καὶ γνοὺς τὰ ξυμβεβηκότα δώῃ καὶ φαγεῖν καὶ πιεῖν ἃ ὁ ἕτερος ἐκώλυσεν, ἐπιδήλως ἂν δοκέῃ ὠφεληκέναι. τὰ δὲ τοιάδε μάλιστα καθυβρίζεται τῶν χειρωνακτέων ὑπὸ τῶν ἀνθρώπων, δοκέει γὰρ αὐτέοισιν ὁ ἐσελθὼν ἰητρὸς ἢ ἰδιώτης ὥσπερ εἰ καὶ τεθνειότα ἀναστήσας.

Διὰ τὰς ὀδύνας πολλάκις οἱ κάμνοντες ἄσφυκτοι γίγνονται καὶ λειποψυχοῦσι καὶ κίνησιν οὐδεμίαν οἷόν τε κινηθῆναι, κατὰ ταῦτα δὲ καὶ διὰ τὴν ὀξύτητα τῆς νόσου· τινὲς δὲ οὐ διὰ τοῦτα κάμνουσι τὴν δύναμιν, ἀλλὰ διὰ κένωσιν ἀγγείων ὁπωσοῦν γεγονυῖαν, εἴτ' οὖν δι' ἔκκρισιν πρόδηλον αἰσθήσει, εἴτε διαφόρησιν, εἴτε καὶ διὰ λιμαγχονίαν. οὗτοι μὲν οὖν δέονται τροφὴν προσάρασθαι ὅτι τάχιστα· τοὐναντίον δὲ ἂν οἱ δι' ὀδύνην ἢ δι' ὀξύτητα τῆς νόσου, κενώσεως [72] ἐνίοτε χρῄζουσι μᾶλλον ἢ πληρώσεως. ἀλλὰ τούτοις μὲν ὁ τροφὴν διδοὺς μέγιστόν τι κακὸν ἐργάζεται· τοὺς δὲ διὰ κενεαγγείην ἀσθενοῦντας εἰ πιέζει διαίτῃ λεπτῇ,

ut plebejus accesserit et quae contigerunt cognoverit dederitque tum cibos, tum potus, quos alter prohibuit, aperte auxilium attulisse videatur. Atque ista maxime artifices apud homines infamant. Videtur enim ipsis qui accessit medicus aut plebejus, hunc tanquam mortuum suscitasse.

Ob dolores saepe aegri pulsus expertes evadunt, ac in lipothymiam incidunt, nulloque motu queunt moveri, ad haec autem et ob morbi acumen. Quidam vero non ob haec viribus aegrotant, sed ob vasorum quamcunque factam evacuationem, sive ob evacuationem sensui manifestam, sive etiam ob discussionem, sive ob diuturnam inediam. Ita affecti igitur cibari quam celerrime expostulant. Contra autem qui ob dolorem aut morbi acumen, vacuatione interdum magis quam repletione indigent. At qui cibum his exhibet, maximum affert damnum. Verum qui ex vasorum vacuatione imbecilles sunt, hos si quis

βλάψειεν, οὐχ ὁμοίως δὲ ἐπιφανῶς ἢ ὀξέως· αἰικές γε μὴν ἐστιν ἀγνοῆσαι τοὺς διὰ κένωσιν ἀσθενοῦντας μᾶλλον ἢ τοὺς δι' ὀδύνην. τὰ δ' ἄλλα τῆς ῥήσεως σαφῆ.

μθ'.

Γεγράψεται οὖν καὶ περὶ τούτων σημήϊα, οἷσι δεῖ ἕκαστα τουτέων διαγινώσκειν.

Ἐπαγγέλλεται οὖν πάλιν κἀνταῦθα, ὥσπερ ὀλίγον ἔμπροσθεν, ἕτερόν τι γράψαι περὶ τῶν ὀξέων νοσημάτων βιβλίον.

ν'.

Παραπλήσια μέντοι τοῖσι κατὰ κοιλίην ἐστὶ καὶ ταῦτα. καὶ γὰρ ἢν ὅλον τὸ σῶμα ἀναπαύσηται πουλὺ παρὰ τὸ ἔθος, οὐκ αὐτίκα ἔῤῥωται μᾶλλον· ἢν δὲ δὴ καὶ πλείονα χρόνον διελινύσας ἐξαπίνης εἰς τοὺς πόνους ἔλθοι, φλαῦρόν τι πρήξειεν ἐπιδήλως. οὕτω δὲ καὶ ἓν ἕκαστον τοῦ σώμα-

diaeta tenui oppresserit, laedet, quanquam non aeque evidenter vel celeriter. Ignorare autem, si aeger sit imbecillus ob vacuationem magis quam ob dolorem, probro vertitur. Caetera dictionis manifesta sunt.

XLIX.

Horum igitur etiam signa, quibus singula dignoscere oporteat, scribentur.

Rursum ergo hic pollicetur, sicuti paulo ante, se librum alium quendam de morbis acutis scripturum.

L.

Enimvero haec et sunt iis, quae ad alvum spectant, similia. Etenim si universum corpus praeter consuetudinem multum quieverit, non statim robustius evadit. Si vero sane et ubi diuturniori tempore otiatus ad labores repente venerit, malum quiddam evidenter operabitur. Ita vero et singulae corporis partes. Etenim et pedes

τος. καὶ γὰρ ἢν πόδες τοιόνδε τι πρήξειαν, καὶ τὰ ἄλλα ἄρθρα μὴ εἰθισμένα πονέειν, ἢν διὰ χρόνου ἐξαπίνης εἰς τὸ πονέειν ἔλθῃ. ταῦτα δ' ἂν καὶ οἱ ὀφθαλμοὶ καὶ οἱ ὀδόντες πάθοιεν καὶ πᾶν ὁτιοῦν, ἐπεὶ καὶ κοίτη παρὰ τὸ ἔθος μαλακὴ πόνον ἐμποιέει καὶ σκληρὴ παρὰ τὸ ἔθος, καὶ ὕπαιθρος παρὰ τὸ ἔθος εὐνὴ σκληρύνει τὸ σῶμα.

Πάλιν ἐπὶ τὸ προκείμενον ἐπανῆλθε, συμπληρώσας τὸν κατὰ παρέκβασιν αὐτῷ λόγον ἐμπεσόντα περὶ τῆς κατὰ τὴν δύναμιν ἀσθενείας· καί φησιν ὅτι τοῖς κατὰ τὴν κοιλίαν ἔμπροσθεν εἰρημένοις τὰ νῦν λεχθησόμενα παραπλήσιά πώς ἐστι· συντείνει γὰρ εἰς ταὐτὸ τὸ κεφάλαιον, ἐν ᾧ κατασκευάζει τὰς ἀθρόας μεταβολὰς μεγά- (69) λην φέρειν τοῖς κάμνουσι βλάβην. αὐτὸ δ' ὃ νῦν γράφει, τοιόνδε ἐστίν. ὥσπερ ἡ κοιλία πλείονα χρόνον παντάπασιν ἀργήσασα καλῶς ἐνεργεῖν οὐ δύναται, πρὶν κατὰ βραχὺ πάλιν ἐθισθῆναί τε καὶ προσαχθῆναι ταῖς οἰκείαις ἐνεργείαις· οὕτω καὶ πᾶν τὸ σῶμα καὶ τῶν ἄλλων μορίων ἕκαστον. εἶτα

tale quiddam efficient, caeterique artus laborare non assueti, si longo post tempore derepente ad laborem accesserint, iisdem vero et oculi et dentes et quaecunque pars afficietur. Quandoquidem et lectus praeter consuetudinem mollis laborem facit, itemque praeter solitum durus. Quin et sub dio cubile praeter solitum corpus indurat.

Rursus ad institutum rediit, absoluto de virium imbecillitate sermone, quem per digressionem a pristino mutaverat instituto, aitque, quae nunc dicentur, similia quodammodo esse iis, quae ventriculo contingere dicta sunt. Nam scopum dirigit ad summam eam, in qua repentinas mutationes magnam aegrotantibus afferre laesionem astruit. Id autem quod nunc scribit hujusmodi est. Quemadmodum alvus diuturniori tempore omnino ociata probe functionem obire non potest, priusquam sensim rursum assuescat et suas exerceat operationes, sic et corpus univer-

καὶ μορίων ἐνίων ἐφεξῆς ὀνομαστὶ μνημονεύει. ἐπὶ δὲ τῇ τελευτῇ τοῦ λόγου καὶ τῆς κατὰ τὴν κοίτην μεταβολῆς ἐμνημόνευσεν, ἔτι δὲ καὶ νῦν κατασκευάζων τὸ προκείμενον ἐξ ἀρχῆς αὐτῷ περὶ τῆς τῶν ἐθῶν μεταβολῆς.

να΄.

[73] Αὐτὰρ καὶ τῶν τοιῶνδε πάντων ἀρκέει παραδείγματα γράψαι. εἰ γάρ τις ἕλκος λαβὼν ἐν κνήμῃ μήτε λίην ἐπίκαιρον μήτε λίην εὔηθες μήτε ἄγαν δυσελκὴς ὢν μήτε ἄγαν εὐελκὴς αὐτίκα ἀρξάμενος ἐκ πρώτης κατακείμενος ἰητρεύοιτο καὶ μηδαμῇ μετεωρίζοι τὸ σκέλος, ἀφλέγμαντον μὲν ἂν οὕτως εἴη καὶ ὑγιὴς πολλῷ θᾶσσον οὕτω γένοιτο ἢ εἰ περιπλανώμενος ἰητρεύοιτο· εἰ μέντοι πεμπταῖος ἢ ἑκταῖος ἢ καὶ ἔτι ἀνωτέρω ἀναστὰς ἐθέλει προβαίνειν, μᾶλλον ἂν πονέοι τότε ἢ εἰ αὐτίκα ἐξ ἀρχῆς πλανώμενος ἰητρεύοιτο· εἰ δὲ καὶ πολλὰ ταλαιπωρήσειεν

ſum ſingulaeque aliae partes. Deinde et partes quaſdam ſerie continuata nominatim commemorat. Atque in fine ſermonis et ejus quae in cubili fit, mutationis mentionem fecit, aſtruens ſane et tunc quod ab initio de conſuetudinis mutatione eſt ab eo propoſitum.

LI.

Sed et horum omnium exempla ſcribere confert. Si quis enim accepto in tibia vulnere neque admodum inſigni neque valde benigno, cui neque admodum difficile neque admodum facile vulnera ſanentur, ſtatim prima ab initio die decumbens curetur et nequaquam crus attollat, ſic ſane vulnus inflammationis expers fuerit, multoque celerius ſic ſanus evaſerit quam ſi obambulans curaretur. Si tamen quinto aut ſexto aut ſuperiore etiamnum die ſurgens ambulare voluerit, tunc magis utique aegrotabit, quam ſi ſtatim ab initio oberrans curatus fuiſſet. Quod ſi etiam multum derepente labora-

ἐξαπίνης, πολλῷ ἂν μᾶλλον πονέσειεν ἢ εἰ ἐκεῖνος ἰητρευόμενος ταῦτα ταλαιπωρήσειεν ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν.

Ἔτι τε περὶ τῆς ἀθρόας μεταβολῆς ποιεῖται τὸν λόγον, ὥσπερ ἔμπροσθεν ἐπ' ἄλλων παραδειγμάτων, οὕτως καὶ νῦν ἐπὶ ἕλκους· εἰ γάρ τις, φησὶν, ἕλκος ἔχων ἐν κνήμῃ, δέον ἡσυχάζειν τε καὶ κατακεῖσθαι, περιέρχοιτο βαδίζων ἠρέμα (τοῦτο γὰρ σημαίνει τὸ πλανώμενος ἰητρεύοιτο) βλάπτοιτο μὲν ἐξ ἅπαντος, ἀλλ' ἧττον τοῦ ἐν ταῖς πρώταις ἡμέραις ἡσυχάσαντος, ἐξαίφνης περὶ ε' ἢ στ' ἢ ἔτι ἀνωτέρω τοῦ περὶ γ' ἢ δ', ἀρξαμένου βαδίζειν. ἔνιοι δὲ τὸ ἀνωτέρω νομίζουσιν ἐπὶ τῶν ἐφεξῆς ἡμερῶν εἰρῆσθαι τῆς ζ' καὶ η' καὶ θ', οὓς ἐχρῆν, εἰ τοῦτ' αὐτοῖς ἤρεσκε, διὰ τοῦ ε καὶ τοῦ ξ γράμματος, τὴν ἀρχὴν τῆς λέξεως γράφειν ἐξωτέρω καὶ οὐκ ἀνωτέρω, διὰ τοῦ α καὶ ν, τί οὖν, φήσουσιν, οὐχὶ καὶ τοιοῦτο γένοιτ' ἄν ποθ' ἕλκος, ὥστε κἂν ἑβδόμης τις ἢ ὀγδόης ἡμέρας ἄρξηται βαδίζειν, ἡσυχάσας ἔμπροσθεν, οὐ σμικρῶς βλαβῆναι; καὶ μεγάλως φαίην ἄν, εἴ γε μέγα τὸ ἕλ-

verit, multo magis aegrotaverit quam si is ita curatus hisce diebus laborasset.

De repentina etiamnum mutatione, quemadmodum antea in exemplis aliis, ita et nunc in ulcere sermonem facit. Si quis enim, inquit, ulcus in tibia habens, qui et quiescere et decumbere indigeat, sensim incedens obambulet, hoc enim significat obambulans curetur, laedetur quidem prorsus, sed minus quam qui primis diebus quieverit ac derepente circa quintum vel sextum vel diem etiamnum superiorem, tertium vel quartum, ambulare coeperit. Quidam hoc, *superius,* de sequentibus dici diebus existimant, septimo, octavo et nono, quod si ipsis placebat, eos principium dictionis per ε et ξ, ἐξωτέρω, et non ἀνωτέρω per α et ν scribere oportebat. Quare autem, inquiunt, tale fieri non valet ulcus, ut non parum laedatur, qui septimo vel octavo die ambulare coeperit et antea quieverit? Et graviter, dixerim, si ulcus magnum

κος ᾖ ἢ ὁ κάμνων εἴη δυσελκὴς, μᾶλλον δ' εἰ ἄμφω συνέλθοι· εἰ δὲ μήτε μέγα τὸ ἕλκος μήτε ὁ κάμνων δυσελκὴς εἴη, ἰητρεύοιτο δὲ προσηκόντως, καὶ γὰρ καὶ τοῦτο χρὴ προσυπακούεσθαι τῷ λόγῳ, περὶ τὴν ἑβδόμην ἢ ὀγδόην ἡμέραν ἤδη καλῶς ἔχοι καὶ βαδίζειν ἀβλαβῶς δύναται. διὰ τοῦτ' οὖν προσέθηκε τῷ λόγῳ, περὶ μὲν τοῦ ἕλκους αὐτοῦ, μήτε λίην ἐπίκαιρον μήτε λίην εὔηθες, τὸ ἁπλοῦν δηλονότι καλέσας εὔηθες· περὶ δὲ τοῦ ἀνθρώπου, μήτε ἄγαν δυσελκής· ὁ γὰρ τοιοῦτος εἰ μηδὲν ἄλλο περὶ τὴν θεραπείαν ἁμαρτάνοι, μόνον διὰ τὸ βαδίζειν τὰ μέτρια, δέον κατακεῖσθαι, βλαβείη μὲν ἂν, οὐ μὴν οὕτως γε μεγάλως, ὡς εἰ ταῖς πρώταις ἡμέραις ἡσυχάσας, περὶ τρίτην ἢ τετάρτην ἢ πέμπτην ἢ ἕκτην ἤρξατο περιπατεῖν. ὁ δὲ μέγα τὸ ἕλκος ἔχων καὶ δυσελκὴς ὢν οὐ μετρίως, ἀλλὰ μεγάλως ἂν βλαβείη περιπατῶν ἐξ ἀρχῆς, ὥσπερ καὶ πάλιν ὁ μικρόν γε τὸ ἕλκος ἔχων καὶ λίαν ὢν εὐελκὴς ἐν ταῖς πρώταις ἡμέραις

fuerit, vel aegrotus fuerit unus ex illis, quibus ulcus difficulter curatur et magis si ambo concurrerint. Quod si neque ulcus magnum fuerit, neque aeger fuerit cui difficile ulcera curentur, curetur autem convenienter, etenim hoc subaudire in sermone oportet, circa septimum aut octavum diem bene jam habebit et ambulare citra laesionem poterit. Quam ob causam sermoni adjecit, de ulcere quidem ipso, id neque admodum insigne, neque valde benignum, simplex scilicet benignum vocans. De homine vero, cui non admodum difficile ulcera sanentur. Is siquidem, si nihil aliud circa curationem erratum sit, solum quod mediocriter ambulet et decumbere indigeat, laedetur quidem, sed non ita graviter, quam si primis diebus quieverit, mox tertio vel quarto vel quinto vel sexto obambulare coeperit. Qui vero magnum ulcus habuerit et cui difficile ulcera sanentur, non mediocriter, sed magnopere laedetur ab initio obambulans, quemadmodum et rursum qui parvum ulcus habuerit et cui facile admodum ulcera sanentur, si primis diebus quieve-

ἡσυχάσας περὶ τὴν ε' ἢ στ' ἤρξατο περιπατεῖν, οὐκ ἂν μεγάλως, ἀλλὰ μετρίως βλαβείη. διὰ ταῦτ' οὖν ὁ Ἱπποκράτης ἐπὶ τοῦ μέσως ἔχοντος ἐν ἀμφοτέραις ταῖς ἀντιθέσεσι τὸν λόγον ἐποιήσα- [74] το· λέγει δὲ ἀντίθεσιν τήν τε κατὰ τὸ μέγα καὶ μικρὸν ἕλκος καὶ τὴν κατὰ τὸ δυσελκῆ καὶ εὐελκῆ εἶναι τὸν ἄνθρωπον. εὔδηλον δ' ὅτι διαφέρει μηδὲν ἐπίκαιρον ἕλκος εἰπεῖν ἢ μέγα, καθάπερ οὐδὲ μικρὸν ἢ εὔηθες· τὸ γὰρ ἐπίκαιρον ἢ διὰ τὴν τοῦ χωρίου φύσιν γίνεται τοιοῦτον, μέγα κατὰ δύναμιν ἀποτελούμενον, εἰ καὶ τῇ διαιρέσει τοῦ χρωτὸς εἴη μικρὸν ἢ καὶ κατ' αὐτὸ τὸ τῆς διαιρέσεως μέγεθος ἐπίκαιρον γένηται· τὸ δ' εὔηθες, ὅπερ ἁπλοῦν ἐστι καὶ μικρὸν, ἢ διὰ τὴν τοῦ χωρίου φύσιν ἄκυρον οὖσαν, ἢ κατ' αὐτὴν τὴν διαίρεσιν βραχεῖαν γενομένην.

νβ'.

Διὰ τέλεος οὖν μαρτυρέει ταῦτα πάντα ἀλλήλοισιν, ὅτι πάντα

rit et quinto vel sexto ambulare coeperit, non graviter, sed mediocriter laedetur. Propterea igitur Hippocrates de eo, qui in utraque oppositione medium obtinet, sermonem fecit. Oppositionem autem dicit tum eam quae in magno et parvo ulcere comperitur, tum eam qua homo curatu facilis est ulceris et difficilis ulceris. Patet autem quod nihil referat insigne vulnus vel magnum dicere, quemadmodum neque parvum, neque benignum. Nam insigne vel propter loci naturam tale fit, magnum vero viribus perficitur, etiamsi corporis sectione parvum sit, vel ipsa sectionis magnitudine insigne fiat, benignum vero, quod simplex est et parvum, vel propter loci naturam, quae ignobilis est, vel propter sectionem ipsam parvam factam dicitur.

LII.

Haec igitur omnia inter se perpetuo testantur res omnes

ἐξαπίνης μείζω πολλῷ τοῦ μετρίου μεταβαλλόμενα καὶ ἐπὶ τὰ καὶ ἐπὶ τὰ βλάπτει.

Ἐφ' ἑκάστῳ τῶν παραδειγμάτων ἀναμιμνήσκει τοῦ προκειμένου λόγου. καὶ νῦν οὖν ἐπὶ τοῦ κατὰ τὸ ἕλκος παραδείγματος ἐποίησεν αὐτό. τὸ γὰρ διὰ τέλεος ταὐτὸν σημαίνει τῷ διὰ παντὸς καὶ ἀεί.

νγ'.

Πολλαπλασίη μὲν οὖν κατὰ κοιλίην ἡ βλάβη ἐστὶν, ἢν ἐκ πολλῆς κενεαγγείης ἐξαπίνης πλέον τοῦ μετρίου προσαίρηται· ἀτὰρ καὶ κατὰ τὸ ἄλλο σῶμα, ἢν ἐκ πολλῆς ἡσυχίης ἐξαίφνης ἐς πλείω πόνον ἔλθοι, πουλὺ πλείω βλαβείη ἢ εἰ ἐκ πολλῆς ἐδωδῆς ἐς κενεαγγείην μεταβάλλοι. δεῖ μέντοι καὶ τὸ σῶμα τουτέοισιν ἐλινύειν, κἢν ἐκ πολλῆς ταλαιπωρίης ἐξαπίνης ἐς σχολήν τε καὶ ῥαθυμίην ἐκπέσῃ· δεῖ δὲ καὶ τουτέοισι τὴν κοιλίην ἐλινύειν πλήθεος βρώ-

quae derepente ſupra modum in haec vel illa magnopere mutantur, oblaedere.

In exemplis ſingulis praeſentis ſermonis mentionem facit, quapropter et nunc in exemplo, quod de ulcere facit, idem eſt executus. Nam perpetuo idem ſignificat, quod ubique et ſemper.

LIII.

Multiplex itaque in ventre eſt laeſio, ſi ex multa vaſorum vacuatione repente quid plus juſto exhibeatur. Quin et reliquum corpus ſi ex multa quiete ſubito ad majorem laborem devenerit, multo magis laedetur quam ſi ex multo cibo ad vaſorum vacuationem commutetur. Corpus ſane his quieſcere oportet, etiamſi ex multo labore derepente ad otium ac ignaviam exciderit. Oportet autem et his ventrem a ciborum copia

μης· εἰ δὲ μὴ, πόνον ἐν τῷ σώματι ἐμποιήσει καὶ βάρος ὅλου τοῦ σώματος.

Ὃ πρῶτον ἁπάντων ἀποδεῖξαι προὔθετο, τοῦτ' ἦν αὐτὸ τὸ περὶ τῶν κατὰ τὴν κοιλίην ἀθρόων μεταβολῶν· εἶτα ἀπ' αὐτοῦ πρὸς τὸ γενικώτερον, ὃ δὴ καὶ καθολικώτερον ὀνομάζουσι, μεταβὰς, περὶ πάσης ἔθους ἐξαλλαγῆς ἀθρόας διελέχθη μέχρι δεῦρο. περιεχομένων γὰρ τῶν εἰδικωτέρων ἐν τοῖς γενικωτέροις καὶ τῶν κατὰ μέρος ἐν τοῖς καθόλου καὶ ἡ τῶν κατὰ τὴν κοιλίην ἐξαλλαγὴ συναποδέδεικται τῇ περὶ πάντων ἀθρόᾳ μεταβολῇ· ἀλλὰ νυνὶ πάλιν ἐπὶ τὴν κοιλίαν ἀφικόμενος, τῶν ἐν αὐτῇ μεταβολῶν τὰς διαφορὰς διδάσκει, καί φησι πολλαπλασίαν (70) εἶναι τὴν βλάβην ἐν τῇ μεταβολῇ τῆς διαίτης, ὅταν ἐκ πολλῆς ἀσιτίας ἀθρόως προσεπενέγκηται πλείω τῶν συμμέτρων, ἤπερ ὅταν ἐκ πολλῆς ἐδωδῆς εἰς ἀσιτίαν μεταβάλλῃ. τούτῳ δ' αὐτῷ πάλιν ὅμοιον παρενέβαλε περὶ τὸ πᾶν σῶμα γιγνόμενον· ἧττον γὰρ βλάπτονται μεταβάλλοντες ἐξαίφνης εἰς ἡσυχίαν ἐκ κινήσεων

quiescere; sin minus, corpori laborem excitabit et totius corporis gravitatem.

Quod primum omnium demonstrare decreverat, id ipsum de repentinis in ventre mutationibus fuit. Deinde ab hoc ad generalius, quod et universalius dicunt, transiens, de repentina omni consuetudinis mutatione huc usque percurrit. Nam quum specialiora in generalioribus et particularia in universalibus contineantur, ventris quoque permutatio cum repentina omnium mutatione demonstrata est. Sed nunc rursum ad ventrem reversus, mutationum quae in eo fiunt differentias edocet, aitque longe graviorem in victus mutatione esse laesionem, quum ex multa inedia repente plus moderato ingeritur, quam si ex multo cibo ad inediam commutatio fuerit. Simile huic fieri in toto corpore deprehenditur. Nam minus laeduntur qui ex motu ad quietem subito transeunt quam qui

ἤπερ ὅταν εἰς κίνησιν ἐξ ἡσυχίας. [75] πάλιν δὲ κἀνταῦθα προσέγραψεν ἐπανορθώματα τῆς ἀκαίρου μεταβολῆς, ὥσπερ κἀν τοῖς ἔμπροσθεν· οὐκ ἀναγκαῖον δὲ οὐδὲ τοῦτο τῷ προκειμένῳ σκέμματι. ἃ δ' οὖν προσέγραψε, ταῦτά ἐστι· τοῦτο μὲν εἰς ἀργίαν μεταβαίνοντας ἐκ κινήσεώς τε καὶ πράξεως, ἐλινύειν ἀξιοῖ, τουτέστιν ἡσυχάζειν τῷ παντὶ σώματι· τοῦτο δὲ ταὐτόν ἐστιν ἐκείνῳ τῷ, ὅκου λιμὸς οὐ δεῖ πονέειν· τοὺς δ' εἰς ἡσυχίαν ἐκ πολλῆς ταλαιπωρίας, ὀλιγώτερα προσφέρεσθαι, τοῦτο δ' αὖ πάλιν ἐστὶν ἐλινύειν τὴν κοιλίην· ὡς εἴ γε μὴ πονῶν ὅλῳ τῷ σώματι προσφέροιτο τὰ συνήθη, πλῆθος ὑποθρέψει, διὸ βαρυνθήσεται τὸ πᾶν σῶμα καὶ πονήσει. σημαίνει δ' αὐτῷ νῦν ὁ πόνος τὴν βλάβην, γενικῶς νοούμενος πολλαῖς ταῖς κατ' εἶδος βλάβαις.

νδ'.

Ὁ δὴ οὖν πλεῖστός μοι λόγος γέγονε περὶ τῆς μεταβολῆς τῆς ἐπὶ τῆς διαίτης καὶ ἐπὶ τὰ καὶ ἐπὶ τά. ἐς πάντα μὲν

ex quiete ad motum demigrant. Rurſum autem et hoc in loco permutationis intempeſtivae emendationes, quemadmodum et in praemiſſis, adſcripſit. Verum id praeſenti ſpeculationi neceſſarium non eſt. Quae autem aſcripſit, haec ſunt. Qui ex motu quidem actioneque in ocium ſegnitiemque tranſeunt, eos otiari, hoc eſt, toto quieſcere corpore praecipit. Haec eadem illi ſententiae exiſtit, *ubi fames, laborandum non eſt.* Verum qui ex multo labore ad quietem *tranſeunt*, eos pauciora ingerere *jubet*, quod eſt et ventriculum quieſcere. Quoniam ſi quis toto corpore non laborans conſueta ingereret, is multitudinem ſubalet, proinde totum corpus gravabitur laborabitque, labor autem nunc Hippocrati laeſionem indicat, multis ſpecialibus laeſionibus genus exiſtens.

LIV.

Plurimus itaque mihi ſermo habitus eſt de victus rationis in haec vel illa immutatione, quod haec noſſe valde ſit

οὖν εὔχρηστον ταῦτ' εἰδέναι, ἀτὰρ καὶ περὶ οὗ ὁ λόγος ἦν, ὅτι ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἐς τὰ ῥοφήματα μεταβάλλουσιν ἐκ τῆς κενεαγγείης· μεταβλητέον γὰρ ὡς ἐγὼ κελεύω ἤδη· ἔπειτα οὐ χρηστέον ῥοφήμασι, πρὶν ἢ νοῦσος πεπανθῇ ἢ ἄλλο τι σημεῖον φανῇ ἢ κατὰ ἔντερον κενεαγγικὸν ἢ ἐρεθιστικὸν ἢ κατὰ τὰ ὑποχόνδρια ὁκοῖα γεγράψεται σημεῖα.

Συνήγαγε πάλιν αὐτὸς εἰς ἓν κεφάλαιον ἅπαντα τὸν λόγον, ἀξιῶν ἐπὶ μὲν τῶν ὡσαύτως ἐχόντων μὴ μεταβάλλειν τὴν δίαιταν, ἐπὶ δὲ τῶν ἐξ ὑγείας εἰς νόσον μεταβάλλειν μὲν, οὐ μὴν ὡς ἄλλοι μεταβάλλουσιν. εἶτα καὶ διὰ συντόμων ἐδήλωσε τὸν σκοπὸν τῆς ἐπὶ τῶν ὀξέως νοσούντων διαίτης. εἰ μὲν γὰρ πεπανθῇ τὸ νόσημα, μεταβαίνειν ἐπὶ τὴν τοῦ χυλοῦ δόσιν ἐκέλευσεν· εἰ δ' ἄπεπτον εἴη, μὴ μεταβαίνειν, εἰ μὴ ἄρα σύμπτωμά τι καθαιρετικὸν τῆς δυνάμεως ὀφθείη καὶ κενώσεως κατὰ γαστρὸς πλείονος ἢ ἄλλου τινὸς

utile, cum ad omnia tum etiam ad id, de quo erat oratio, quod in morbis acutis ex vaſorum inanitione, ad ſorbitiones mutationem faciunt. Mutatio namque, ut ego jam jubeo, facienda eſt, deinde ſorbitionibus non utendum, priusquam morbus maturuerit, aut ſignum aliquod aliud apparuerit, vel in inteſtinis vacuatorium vel proritatorium, vel in hypochondriis qualia ſcribentur ſigna.

Rurſus ipſe ſermonem totum in ſummam unam coegit, in ſimiliter quidem ſeſe habentibus victus rationem non permutare praecipiens, verum qui ex ſanitate ad morbum tranſeunt, eos permutare quidem, non tamen ut celeri permutant. Deinde compendio quodam victus ſcopum in acutis morbis declaravit. Nam ſi morbus maturuerit, tranſire ad cremoris ptiſanae exhibitionem praecepit, at ſi incoctus fuerit, non tranſire, niſi forſan ſymptoma aliquod vires proſternens apparuerit, aut vacuationis alvi copioſioris, aut alterius cujusdam proritationis

Ed. Chart. XI. [75. 76.] Galen. V. (78.)
προερεθισμοῦ προσγινομένου. κοινῷ δὲ ὀνόματι τῷ τοῦ ἐρεθισμοῦ περιέλαβε πάντα τὰ καθ᾽ ὁντιναοῦν τρόπον εἰς ἀῤῥωστίαν ἄγοντα τὴν δύναμιν, ἐν οἷς ἐστι καὶ ἡ δῆξις ὑπὸ δριμέων χυμῶν, ἤτοι κατ᾽ ἔντερον ἢ κατὰ γαστέρα γενομένη, καὶ μάλιστ᾽ αὐτῆς κατὰ τὸ στόμα καὶ ἀγρυπνία καὶ ὀργὴ καὶ λύπη καὶ τινες ἕλμινθες ἐκ τῶν ἐντέρων ἀναβᾶσαι πρὸς τὴν γαστέρα καὶ κνῆσις τοῦ δέρματος ἅπαντος ἢ καὶ μορίων τινῶν, ἐπιθεμένη διὰ νυκτὸς, ὡς μὴ μόνον αὐτῷ τὸ ἐρεθίζειν, ἀλλὰ καὶ σὺν ἀγρυπνίᾳ καταλύσαι τὴν δύναμιν· καὶ τὰ ὑποχόνδρια δὲ, φησὶν, οἷα γεγράψεται καὶ αὐτὰ συνενδείξεται το διδόναι τροφὴν, ἢ μὴ διδόναι· δυνατὸν γὰρ ὑπακούειν ἀμφότερα, μᾶλλον μέντοι τὸ ἕτερον, ὅσον κατὰ τὴν τῶν λόγων ἀκολουθίαν. κελεύων γὰρ ἀπέχεσθαι πτισάνης πρὸ τοῦ πεφθῆναι τὴν νόσον, ὅταν γε δηλονότι δυνατὸν ᾖ τὸν κάμνοντα διαρκέσαι, προσέθηκε· πλὴν εἰ μὴ σημεῖόν τι φανείη ἢ κατ᾽ ἔντερον κενεαγγικὸν, ἢ ἐρεθιστικὸν ἢ κατὰ ὑποχόνδρια οἷα γεγράψεται· [76] ὡς τούτων ποτὲ προτρεπομένων ἐπὶ τὴν τοῦ χυλοῦ δόσιν πρὸ τοῦ

obortae. Communi autem proritationis nomine comprehendit omnia, quae quovis modo vires ad infirmitatem agunt, in quibus est et morsus, quem acris humor sive in intestinis, sive in ventriculo et praesertim ipsius ore parit et vigilia et ira et moeror et lumbrici qui ab intestinis ad ventriculum usque ascendunt et cutis universae, aut etiam quarundam partium, qui nocte impetit pruritus, ita ut vires non solum ob irritationem, verum etiam ob vigilias exolvat. Praeterea inquit: *vel in hypochondriis, qualia scribentur signa*, ipsa quoque dandum, vel non dandum alimentum commonstrabunt. Utrumque enim potest intelligi, sed alterum magis pro sermonum intelligentia. Nam praecipiens a ptisana abstinendum, antequam morbus maturuerit, quum scilicet aeger sufficere possit, adjecit: *Nisi signum aliquod apparuerit, vel in intestinis vacuatorium aut proritatorium, vel in hypochondriis qualia scribentur,* tanquam et haec interdum cremoris exhibitionem, antequam morbus maturuerit, admoneant.

πεφθῆναι τὴν νόσον. ἴσως δὲ τὰ κατεξηρασμένα σφοδρῶς ὑποχόνδρια καὶ ἰσχυρῶς αὐχμώδη λέγει. τοιαῦτα γὰρ συμπίπτει καὶ τῷ κατὰ τὸ προγνωστικὸν εἰρημένῳ νεκρώδει προσώπῳ, περὶ οἷ φησι, ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι συμπεπτωκότες. αὕτη γὰρ ἡ συνδρομὴ τῶν σημείων ὑποχόνδριον ἔχει προσεσταλμένον ἱκανῶς, ὥστε τινὰ τῶν μὴ τετριμμένων ὡς ἀνεσπασμένον ἐξαπατῆσαι· οὐ ταὐτὸν δέ ἐστι προσεστάλθαι τε σφοδρῶς διὰ ξηρότητα καὶ ἀνασπᾶσθαι διὰ φλεγμονὴν, εἴ γε μὴν ὑπερβάλλουσα ξηρότης τοῦ σώματος ἐργαζομένη ἐστὶ τάσιν ἐν τῷ διαφράγματι πλείονα καὶ τῷ ὑποχονδρίῳ. μάλιστα δὲ προσέχειν δεῖ καὶ διορίζειν ἀπὸ τῆς ξηρότητος τὴν φλεγμονὴν, ἐπειδὴ καὶ ἡ θεραπεία διάφορός ἐστι· τοῖς μὲν γὰρ διὰ φλεγμονὴν ἔχουσι τὸ τοιοῦτον αὐτὸ λεπτοτάτης ἐστὶ χρεία διαίτης· τοῖς δὲ διὰ ξηρότητα τῆς ἐναντίας, ἐν ᾗ πλεονάκις ὀλίγον δίδομεν χυλὸν πτισάνης.

Fortaffis autem hypochondria dicit, quae vehementer exaruerunt et fqualida admodum exiftunt. Talia namque contingunt et mortiferae faciei, de qua in prognoftico dixit: *Nares acutae, oculi concavi, collapfa tempora.* Nam is fignorum concurfus hypochondrium habet ita contractum, ut aliquem ex inexercitatis fallat, tanquam revulfum *videatur.* Verum contrahi vehementer ob ficcitatem et propter phlegmonem revelli idem non funt, fiquidem exuperans corporis ficcitas tenfionem fepto transverfo et hypochondrio pariat majorem. Sed maxime animadvertas diftinguasque a ficcitate phlegmonen, quod fanatio diverfa fit, oportet. Nam qui hoc ipfum ob phlegmonen habent, tenuiffimo egent victu, qui vero ob ficcitatem, contrario, ubi faepiuscule pauculum exhibemus ptifanae cremorem.

νέ.

Ἀγρυπνίη ἰσχυρὴ, πόματα καὶ σιτία ὠμὰ καὶ ἀπεπτότερα ποιέει· καὶ ἡ ἐπὶ τὰ ἕτερα αὖ μεταβολὴ διαλύει τὸ σῶμα καὶ ἑφθότητα καὶ καρηβαρίαν ἐμποιέει.

Πολλάκις ἐνενόησα τοῦτο τὸ βιβλίον ἐν τύποις εὑρεθὲν ἐκδεδόσθαι μετὰ τὸν Ἱπποκράτους θάνατον. ἡ γὰρ ἀταξία τῶν λόγων οὐκ ἄλλως ἔοικεν ἢ οὕτως γεγονέναι, προσγραφομένων μὲν ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους ἐν τῷ βιβλίῳ τῶν εὑρισκομένων αὐτῷ παραδειγμάτων εἰς τὴν τοῦ καθόλου πίστιν, ἐνίων μὲν ἐπὶ τοῦ μετώπου, ἐνίων δὲ κατὰ τοῦ νώτου, μὴ δυνηθέντος δὲ τοῦ ἐγγραφομένου τὴν οἰκείαν ἑκάστῳ τάξιν ἀποδοῦναι. τὸ γοῦν ἐν τῇ προκειμένῃ ῥήσει λεγόμενον ὑπ' αὐτοῦ φανερωτάτην ἔχει ἀταξίαν· οὐ γὰρ νῦν, ἀλλ' ὀλίγον ἔμπροσθεν ἦν ὁ καιρὸς αὐτοῦ, κατ' ἐκεῖνον τὸν λόγον, ἐν ᾧ περὶ τῆς παρὰ τὸ ἔθος εἰς τοὐναντίον μεταβολῆς ἔγραψε παραδείγματα· προσγράψαι γὰρ ἐκείνοις

LV.

Vehemens vigilia potus cibosque tum crudos tum incoctiores efficit, ac rursus quae in contraria fit mutatio corpus dissolvit et excoctionem ac capitis gravitatem inducit.

Saepius existimavi hunc librum in typis repertum post Hippocratis mortem esse publicatum. Nam sermonum confusio non aliter quam sic facta esse videtur. Enimvero quae ab ipso Hippocrate inveniebantur exempla, haec in libro ad fidem universalem ab eo scripta sunt, alia quidem in facie, alia vero in tergo, sed qui exscripsit, unicuique rei minime suum assignare ordinem potuit. Ergo quod ab ipso in praesenti textu dicitur, id manifestissime ordinem non habet. Non enim nunc *ascribendae* rei hujus occasio fuit, sed paulo ante, quum de ea quae praeter consuetudinem ad contrarium fit, mutatione exempla scripsit. Nam illis adscribi debuit, quae

ἐχρῆν καὶ τοῦτο, τῆς μὲν εἰς ἀγρυπνίαν ἀήθους μεταβολῆς ἀπεπτότερα ποιούσης τὰ προσφερόμενα σιτία τε καὶ ποτὰ, τῆς δ' εἰς ὕπνον πολὺν ἀήθως καὶ τοῦτον ἐπιτηδευθέντα νωθρότητα τοῦ σώματος καὶ καρηβαρίαν. ἣν γὰρ εἶπεν ἐφθότητά τε καὶ διάλυσιν καὶ καρηβαρίαν, ἑνὶ ῥήματι περιληφθεῖσαν τὴν ἔκλυσιν δηλοῖ τοῦ τόνου· συνενδείκνυται δὲ καὶ τὸ τῆς ἐφθότητος ὄνομα, δι' ὑγρότητα θερμὴν γιγνομένης, οὐ διὰ ξηρότητα· πεφυκυίας διαφορεῖν μὲν καὶ ξηραίνειν τῆς ἐγρηγόρσεως, μὴ πέπτειν δὲ κατὰ τὸ βάθος· ὑγραίνειν δὲ τό τε πνεῦμα καὶ τὰς ἀποῤῥοίας κατέχειν τοῦ ὕπνου. κατὰ λόγον οὖν τὰ ἀτμώδη περιττώματα πλεονάζει ἐν τῷ σώματι τῶν ἀήθως ἐπὶ πολὺ κοιμηθέντων καὶ διὰ ταῦτα τὴν ὅλην αὐτῶν κατάστασιν ἔκλυτον ὁμοίως γίγνεσθαι τοῖς ἑψημένοις.

certe ad vigiliam insueta fit mutatio, incoctiores tum cibos tum potus efficit, ad somnum vero multum eumque insuetum, segnitiem corporis et capitis gravitatem. Quam enim dixit excoctionem et dissolutionem et capitis gravitatem, verbo uno conjunctam comprehensamque manifestat roboris exolutionem. Commonstrat autem et nomen excoctionis, quae ob calidum humorem fit, non ob siccitatem, quum vigilia discutere quidem et siccare, non quae in imo sunt, coquere consueverit, somnus vero humectare spiritumque et effluvia cohibere. Ratione igitur in eorum, qui plurimum praeter consuetudinem dormiunt, corpore halituosa redundant excrementa propterea que tota ipsorum constitutio excoctis similiter exoluta redditur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ ΝΟΣΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΚΑΙ ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ Γ.

Ed. Chart XI. [77.] Galen. V. (71.)

α΄.

[77]. *Γλυκὺν δὲ οἶνον καὶ οἰνώδεα καὶ λευκὸν καὶ μέλανα καὶ μελίκρητον καὶ ὕδωρ καὶ ὀξύμελι τοῖσιδε σημαινόμενον χρὴ διορίζειν ἐν τῇσιν ὀξείῃσι νούσοισιν.*

Οὐ μόνον ἀτάκτως, ἀλλὰ καὶ ἐλλιπῶς τὸν κατάλογον ἐποιήσατο τῶν οἴνων. ἔστι γὰρ αὐτῶν μία μὲν ἡ κατὰ τὰς

HIPPOCRATIS DE ACUTORUM MORBORUM VICTU LIBER ET GALENI COMMENTARIUS III.

I.

At vinum dulce et vinoſum et album et nigrum et aquam mulſam et aquam et acetum mulſum his notis in morbis acutis diſtinguere oportet.

Non ſolum inordinate, verum etiam non integre vinorum enumerationem fecit. Eſt enim una quidem ipſo-

χρόας διαφορὰ, ἑτέρα δὲ ἡ κατὰ τὴν γεῦσιν ποιότης καὶ τρίτη κατὰ τὴν σύστασιν καὶ τετάρτη κατὰ τὴν ὀσμὴν καὶ έ κατὰ τὴν δύναμιν. ἡ μὲν οὖν κατὰ τὴν χρόαν εἰς λευκὸν καὶ μέλανα καὶ κιῤῥὸν καὶ ξανθὸν καὶ ἐρυθρὸν τέμνεται, οὐσῶν μὲν καὶ ἄλλων μεταξὺ διαφορῶν, ἀλλ' ὥσπερ κατὰ τὴν χρόαν, οὕτω καὶ κατὰ τὴν δύναμιν ἐπιμίκτων οὐσῶν. ἡ δὲ κατὰ τὴν γεῦσιν διαφορὰ τῶν οἴνων εἰς γλυκὺν καὶ αὐστηρὸν τέμνεται, δηλονότι κἀνταῦθα τὸν ἀμφοῖν μέσον, ὃς οὐδετέραν ἔχει σαφῆ ποιότητα· καὶ πρός γε τούτοις τὸν ἐξ ἀμφοτέρων τῶν ποιοτήτων σύνθετον· ἔτι τε τὸν δριμὺν ὀνομαζόμενον. ἡ δὲ κατὰ τὴν σύστασιν [78] διαφορὰ τῶν οἴνων εἴς τε τὸν ὑδατώδη καὶ λεπτὸν καὶ εἰς τὸν πάνυ παχὺν τέμνεται, καὶ δηλονότι καὶ εἰς τὸν μέσον τούτων, εἶτ' αὖθις ὅσοι μεταξὺ τοῦ τε μέσου καὶ τῶν ἄκρων εἰσί. καὶ ἡ κατὰ τὴν ὀσμὴν δὲ διαφορὰ τῶν οἴνων, καθόσον οἱ μὲν εὐώδεις εἰσὶν, οἱ δὲ οὐκ εὐώδεις, ἀλλὰ πληκτικήν τινα καὶ ἀηδῆ τὴν ποιότητα κέκτηνται, τινὲς δὲ οὐδ' ὅλως ἔχουσιν ὀσμὴν, ἀλλ' εἰσὶν ὥσπερ ὕδωρ ἄοδμοι. ἡ δὲ κατὰ τὴν δύ-

rum differentia in colore, altera vero in gustu qualitas, tertia in consistentia, quarta in odore et quinta in facultate. Quae ergo in colore est, ea in album, nigrum, fulvum et flavum et rubrum dividitur, quum et aliae intermediae sint differentiae, sed ut in colore, sic in facultate permixtae. Vinorum autem ex gustu differentia, in dulce et austerum dividitur et omnino utriusque medium, quod nullam manifestam habet qualitatem, ac praeterea quod ex utraque constat qualitate, ac denique in id quod acre appellatur. Verum quae in consistentia sit vinorum differentia, in aquosum secatur et tenue et in valde crassum et omnino etiam in horum medium, atque in ea, quae medium hoc et extrema interjacent. Atque ex odore vinorum differentia, in quantum alia quidem boni odoris sunt, alia vero non boni odoris, imo ferientem quandam et insuavem sortita sunt qualitatem, alia nullum prorsus odorem habent, sed sunt aquae instar inodora. Vinorum autem in facultate differentia est, ob quam aliud

ναμιν διαφορὰ τῶν οἴνων ἐστὶ, καθόσον ὁ μὲν ἰσχυρὸς, ὁ δὲ ἀσθενὴς, ὁ δέ τις μέσος, ὁ δέ τις μεταξὺ τοῦ τε μέσου καὶ τῶν ἄκρων ἐστίν· ἰσχυρὸς μὲν ὁ θερμαίνων σφοδρῶς καὶ ταχέως τὸ σῶμα καὶ τὴν κεφαλὴν πληρῶν, ἀσθενὴς δὲ ὁ ἐναντίος· οἱ δ' ἐν τῷ μεταξὺ δῆλοι, τῶν ἄκρων ἀφωρισμένοι. ὀνομάζεται δὲ ὁ μὲν ἰσχυρὸς οἰνώδης, ὁ δ' ἀσθενὴς ὑδατώδης· ᾧ γὰρ ὕδατος οἶνος πλεονεκτεῖ μᾶλλον, τοῦτο ὅταν ἔν τινι θεασώμεθα σφοδρότατον ὑπάρχον, εἰκότως οἰνώδη καλοῦμεν, ὥσπερ γε καὶ τοὐναντίον ὑδατώδη τῷ ὕδατι μάλιστα κατὰ πάντα ἐοικότα καὶ τῇ λεπτότητι καὶ τῇ χρόᾳ καὶ τῷ ἀόσμῳ καὶ τῷ μὴ θερμαίνειν ἐπιφανῶς. αὗται μὲν οὖν αἱ κατὰ τὴν οἰκείαν φύσιν εἰσὶν ἐν τοῖς οἴνοις διαφοραὶ, προστιθέασι δ' αὐταῖς ἔνιοι τὴν κατὰ τὸν χρόνον, ἐπειδή τινες μὲν ὑπάρχουσιν ἱκανῶς παλαιοὶ, τινὲς δὲ νέοι, τινὲς δὲ ἐν τῷ μεταξὺ τούτων. εὔδηλον δ' ὅτι τῶν ἔξωθέν εἰσι συμβεβηκότων αἱ τοιαῦται διαφοραί· καθόσον γὰρ ἐν τῷ χρόνῳ δριμύτεροί τε καὶ θερμότεροι γίγνονται, μεταβάλλοντες ἅμα τούτοις καὶ χρόαν καὶ σύστασιν καὶ ὀσμὴν,

quidem robuſtum, aliud vero imbecillum, aliud medium atque aliud, quod medium hoc et extrema interjacet. Robuſtum vehementer celeriterque corpus calefacit caputque replet, imbecillum vero contrarium eſt, quae vero medium obtinent, nota evadunt, ſi ab extremis diſtinguantur. Robuſtum quidem vinoſum appellatur, imbecillum vero aquoſum. Nam in quo vinum aquam magis evincit, id quum in aliquo vehementiſſimum eſſe videbimus, jure vinoſum appellabimus, quemadmodum et contrarium aquoſum, quod aquae maxime in omnibus ſimile exiſtat, tenuitate ſcilicet et colore et odoris vacuitate et non manifeſta calefactione. Hae igitur in vinis ſecundum propriam naturam ſunt differentiae. Nonnulli his adjiciunt eam quae ex tempore deſumitur differentiam, qua vetuſta quaedam ſint admodum, alia recentia et alia in medio horum conſiſtant. Sed quod hujusmodi differentiae externorum ſint accidentium, palam eſt. Nam quatenus tempore acriora et calidiora fiunt *vina*, atque una cum his tum colorem tum conſiſtentiam,

κατὰ τοσοῦτον ὁ χρόνος διαφοράν τινα ἐν τοῖς οἴνοις ἐργάζεσθαι δοκεῖ· εἰ δέ γε καὶ μηδὲν τούτων ὑπήλλαττεν, οὐδ' ἂν ἐλέγετο πρός τινων παλαιὸς ὁ οἶνος ἢ νέος· ἀλλ' οὐδὲ νῦν οὕτω λέγουσιν, ὡς τῶν ἐτῶν αὐτοῦ δεόμενοι κατὰ πρῶτον λόγον, ἀλλ' ὡς ἅμα τοῖς ἔτεσιν ἐνδεικνύμενοι τὴν δύναμιν· οὐ γὰρ διὰ τὸν χρόνον οἱ οἶνοι τὰς ὠφελείας καὶ βλάβας ἔχουσιν, ἀλλ' ἐκ τῆς τῶν οἰκείων διαφορῶν τούτων ὑπαλλαγῆς. κατὰ συμβεβηκὸς οὖν τοῦ χρόνου μνημονεύομεν ἐν ταῖς τῶν οἴνων διαφοραῖς, οὐ κυρίως οὐδὲ πρώτως. καὶ αὐτῶν μέντοι τῶν οἰκείων ἐν αὐτοῖς διαφορῶν, αἱ μὲν εἰς ὠφέλειάν τε καὶ βλάβην ἀναφέρονται κατὰ τὸν ἴδιον λόγον, αἱ δὲ οὐ κατὰ τὸν ἴδιον, ἀλλὰ κατὰ συμβεβηκός· γλυκύτης μὲν καὶ αὐστηρότης κατὰ τὸν ἴδιον λόγον, οὕτω δὲ καὶ ἡ ἰσχὺς καὶ ἀσθένεια καὶ λεπτότης καὶ πάχος· αἱ δὲ κατὰ τὴν χρόαν τε καὶ ὀσμὴν οὐ πρώτως, ἀλλὰ κατὰ συμβεβηκός· ἐπεὶ τῶν οἴνων οἱ μὲν ὑδατώδεις τέ εἰσι καὶ λευκοὶ καὶ κιῤῥοὶ καὶ μέλανες, οἱ δὲ ὑδατώδεις καὶ ἄοδμοι

tum odorem mutant, eatenus differentiam aliquam in vinis tempus facere videtur. Quod si nihil quoque horum immutetur, neque ab aliquo vinum vetus dicetur, neque recens, imo neque nunc ita dicunt, tanquam *vini* ipsius annis opus prima ratione habentes, sed tanquam simul cum annis facultatem demonstrantes. Non enim ob tempus vina vel juvant vel laedunt, sed ex propriarum differentiarum mutatione id habent. Ergo in vinorum differentiis temporis mentionem facimus per accidens et non proprie, neque primum. At et inter proprias vinorum differentias quaedam tum ad auxilium quidem tum ad noxam propria ratione referuntur, aliae vero non per se proprieque, sed per accidens. Dulcedo quidem et austeritas propria ratione, sic tum robur, tum imbecillitas, tum tenuitas, tum crassities. Sed quae differentiae tum colore tum odore *desumuntur*, non primum, sed per accidens, quoniam vinorum haec quidem et aquosa sunt et alba et fulva et nigra, alia aquosa et inodora ut aqua, vel instar

ὥσπερ ὕδωρ, ἢ εὐώδεις ὅσπερ ἄρωμα καὶ μύρον. εἴπερ οὖν τῶν οἴνων αὗται εἰσὶν αἱ διαφοραὶ καὶ κατά τε τὴν οἰκείαν δύναμιν ἀριθμούμεναι καὶ κατὰ συμβεβηκὸς, εὔδηλον ἤδη σοι περὶ τῆς ἐν τῇ προκειμένῃ ῥήσει κατά τε τὴν τάξιν αὐτῶν καὶ τὸν ἀριθμὸν ἐνδείας· ἀλλ᾽ ἐὰν φαίνηται κατὰ τὸν ἑξῆς λόγον, ἁπασῶν τῶν χρησίμων διαφορῶν μνημονεύων ὁ Ἱπποκράτης, συγχωρήσομεν αὐτοῦ τῇ κατὰ τὴν ἑρμηνείαν ἐνδείᾳ.

β΄.

[79] Ὁ μὲν γλυκὺς ἧσσόν ἐστι καρηβαρικώτερος τοῦ οἰνώδεος καὶ ἧσσον φρενῶν ἁπτόμενος καὶ διαχωρητικώτερος δή τι τοῦ ἑτέρου κατ᾽ ἔντερον· μεγαλόσπλαγχνος δὲ σπληνὸς καὶ ἥπατος. οὐκ ἐπιτήδειος οὖν οὐδὲ τοῖσι πικροχόλοισι· καὶ γὰρ οὖν διψώδης τοῖσί γε τοιουτέοισίν ἐστιν· ἀτὰρ καὶ φυσώδης ἐντέρου τοῦ ἄνω, οὐ μὴν πολέμιός γε αὐτῷ τῷ κάτω ἐντέρῳ ὡς κατὰ λόγον τῆς φύσης, καίτοι γε

aromatis unguentique bene olentia. Si igitur vinorum hae ſint differentiae, quae ſecundum propriam facultatem et per accidens numerentur, jam tibi conſtat de eo tum ordinis, tum numeri, qui in praeſenti dictione ſit, defectu. At ſi in ſequentibus omnium utilium differentiarum meminiſſe Hippocrates videatur, veniam ejus in interpretatione defectui dabimus.

II.

Dulce quidem vinoſo minus caput gravat et minus mentem ferit, magisque ſane quam alterum, inteſtinorum dejectiones movet, viſcera vero magna lienem jecurque facit, non igitur amara bile ſcatentibus idoneum. Hiſce etenim ſitiferum eſt, quin etiam ſuperiori inteſtino flatum excitat, non tamen inferiori inteſtino pro flatus ratione eſt inimicum, etſi non admodum penetrat quiǀ a

οὐ πάνυ πορίμη ἐστὶν ἡ ἀπὸ τοῦ γλυκέος οἴνου φῦσα, ἀλλ' ἐγχρονίζει περὶ ὑποχόνδρια.

Κατὰ τὴν γευστικὴν ποιότητα γλυκὺς οἶνος ὀνομάζεται, καθ' ἣν καὐστηρός ἐστι καὶ δριμὺς, ἵνα τὸν ὑδατώδη παραλίπωμεν, οὐκ ἐκπεπτωκότα τελείως τοῦ στύφειν, εἰ καὶ παντάπασιν ἐκλελυμένην ἔχει τὴν ποιότητα τῆς στύψεως. εἰ γάρ ὕδατι παραβάλλοις αὐτὸν, αἰσθήσῃ σαφῶς ἐκ τῆς παραβολῆς τὴν γεῦσιν τῶν τοιούτων οἴνων γεγονέναι βραχεῖαν στύψιν εἰληφότων. ὑδατώδη δὲ καλοῦσιν οἶνον οἱ ἄνθρωποι τὸν ἐοικότα κατά τε χρόαν καὶ σύστασιν τῷ ὕδατι, διαφανής τε γὰρ ὡς ἐκεῖνο καὶ λαμπρὸς καὶ καθαρὸς καὶ τῇ συστάσει λεπτὸς φαίνεται· εὐθὺς δὲ καὶ τῇ δυνάμει παραπλήσιός ἐστιν ὁ τοιοῦτος ὕδατι, μήτε κεφαλῆς ἀσθενοῦς ἁπτόμενος μήτε νεύρων ἀσθενῶν, ὅτι μηδὲ θερμαίνει σαφῶς. ἀλλὰ περὶ μὲν τούτου καὶ αὖθις εἰρήσεται. ὁ δὲ γλυκὺς οἶνος ὠνόμασται μὲν οὕτως ἀπὸ τῆς κατὰ τὴν γεῦσιν ποιότητος, παμπόλλῳ δ' ὕδατος ἀφώρισται κατὰ τὴν

dulci vino eſt flatus, ſed diutius circa hypochondria moratur.

Vinum dulce ſecundum guſtandi qualitatem nominatur, qua et auſterum et acre, ut aquoſum praetermittamus, quod non omnino ab aſtringendo excidit, etiamſi penitus exolutam habeat aſtringendi qualitatem. Nam ſi ipſum aquae comparaveris, percipies manifeſte ex ea comparatione guſtum hujusmodi vinorum eorum eſſe quae modicam ſortita ſunt aſtrictionem. Aquoſum autem vinum appellant homines, quod aquae tum colore tum conſiſtentia ſimile eſt, perſpicuum ſiquidem, ut aqua, ſplendidum et purum et conſiſtentia tenue videtur. Protinus autem id et facultate aquae ſimile exiſtit, neque imbecillum caput feriens neque infirmos nervos, quod neque manifeſte caleſaciat. Sed de vino hoc rurſum tractabitur. Dulce igitur vinum ſic ab ea quae in guſtu exiſtit qualitate nominatum eſt, ſed multis numeris ab aqua et co-

χροιὰν καὶ τὴν σύστασιν· οὔτε γὰρ λεπτὸν ἀκριβῶς οὔτε λευκὸν ὄψει γλυκὺν οἶνόν ποτε, ἀλλὰ μᾶλλον μὲν καὶ ἧττον ἀφεστηκότα τῶν εἰρημένων, οὐδέτερον δὲ αὐτῶν ἔχοντα. γλυκεῖς γοῦν οἶνοι διαφερόντως εἰσὶν ὁ Θηραῖος καὶ Σκυβελίτης, ἀμφότεροι παχεῖς τε καὶ μέλανες ὄντες· γλυκεῖς δὲ καὶ οἱ κατὰ τὴν Μαιονίαν γινόμενοι, ὁ Θήρινός τε καὶ Καρυῖνος, τοσούτῳ πάχει τε καὶ μελανότητι διαφέροντες τῶν εἰρημένων, ὅσον καὶ γλυκύτητι λείπονται· καὶ μέντοι καὶ τὸ καλούμενον ἕψημα (72) καὶ σίραιον ἐκ τοῦ γλεύκους ἑψομένου γιγνόμενον, ὅσῳ γλυκύτερον ἀποτελεῖται τοῦ οἴνου, τοσούτῳ καὶ μελάντερον τῇ χρόᾳ καὶ παχύτερον τῇ συστάσει φαίνεται. δέδεικται μὲν οὖν κἀν τῷ τετάρτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἅπας ὁ γλυκὺς χυμὸς ὑπὸ θερμασίας γιγνόμενος, οὐ μὴν ἀμέτρου τε καὶ σφοδρᾶς οὔσης ὥσπερ ὁ δριμὺς ἐν τοῖς σφοδρῶς θερμαίνουσιν, ἀχώριστος γὰρ τούτων ἡ δριμύτης· ἀλλὰ κατὰ τὴν χρῆσιν ὁ γλυκὺς οἶνος φαίνεται θερμαίνων μετρίως καὶ τὸ διψῶδες αὐτῷ διά τε τὴν θερμασίαν ὑπάρχει καὶ τὸ πάχος. οὕτως γοῦν καὶ τὸ γλεῦκος εἰς ὅσον ὁμιλήσει τῷ πυρὶ πλέονι χρό-

lore et consistentia recessit. Neque enim tenue exquisite neque album videbis aliquando vinum dulce, sed plus minus a dictis recedit, at neutrum horum habet. Dulcia autem vina maxime sunt Theraeum et Scybelites et utraque crassa et nigra. Dulcia vero sunt et ea quae in Maeonia gignuntur, Therinum et Caryinum, tanto dictis et crassitie et nigritie superiora, quanto dulcedine inferiora. Praeterea quod vocatur desrutum et sapa, ex cocto musto conficitur, quo dulcius vino perficitur, eo et colore nigrius et consistentia crassius apparet. Quarto autem de simplicium medicamentorum facultatibus, dulcem omnem saporem a caliditate, quae non immoderata et vehemens sit, fieri demonstravimus, quemadmodum acrem in vehementer calefacientibus, acrimonia siquidem horum est inseparabilis. Verum in usu vinum dulce mediocriter calefacere videtur sitimque facit propter tum caliditatem tum crassitiem. Ita sane et mustum quo diutius in igne ver-

νῳ, παχύτερόν τε καὶ μελάντερον καὶ γλυκύτερον γίνεται· τό γε μὴν ὑπεροπτηθὲν εἰς πικρότητα μεταβάλλει, καθάπερ καὶ τὸ μέλι, καίτοι πάντων γλυκύτατον ὄν, ἀλλ' ὅμως καὶ τοῦτο πικρότητα προσλαμβάνει κατὰ τὴν ἐπὶ πλεῖστον ἕψησιν. εἴρηται δ', ὡς ἔφην, ἐν ἑνὶ βιβλίῳ τῷ τετάρτῳ περὶ τῆς τῶν ἁπλῶν [80] φαρμάκων δυνάμεως ὑπὲρ ἁπασῶν τῶν γευστῶν ποιοτήτων, καὶ νῦν, ὥσπερ ἐν ταῖς ἄλλαις ἐξηγήσεσι τῶν Ἱπποκράτους βιβλίων, οὐ τὰς ἀποδείξεις, ἀλλὰ τὰ συμπεράσματα αὐτῶν λέγω μόνον. θερμαίνοντος οὖν τοῦ γλυκέος οἴνου τὸ σπλάγχνον, ὄντος δ', ὡς εἴρηται, καὶ παχέος κατὰ τὴν σύστασιν, αἱ κατὰ μέρος αὐτοῦ δυνάμεις, ἃς ἐπιδείκνυται πινόμενος, ἀκολουθεῖ ταῖς δευτέραις ποιότησιν· ἡ γὰρ χρόα κατὰ τὸν ἑαυτῆς λόγον οὐδεμίαν ἔχει δύναμιν εἰς ὄφελος ἢ βλάβην. εἰς ὅσον οὖν παχύς τ' ἐστὶ κατὰ σύστασιν ὁ τοιοῦτος οἶνος, τοσοῦτον καὶ βραδύπορος, ὥστ' οὐ μόνον οὐκ ἐκφράξει τι τῶν ἐμπεφραγμένων μορίων, ἀλλὰ καὶ προσεμφράξει· καὶ διὰ τοῦτο βλαβερώτατος ἤπατι πάσχοντι, καὶ μάλισθ', ὅταν ἤτοι φλεγμονή τις ἢ σκίῤῥος ἢ

ſatur, eo tum craſſius tum nigrius tum dulcius evadit, quanquam ſupra modum coctum amaritudinem contrahat, quo modo et mel, quanquam omnium dulciſſimum, tamen plurima coctione amarum redditur. Sed ut jam retuli, de qualitatibus omnibus guſtabilibus in uno libro quarto de ſimplicium medicamentorum facultatibus eſt tractatum, atque hoc in loco, ut in aliis librorum Hippocratis explicationibus, non demonſtrationes, ſed ipſarum concluſiones tantummodo recenſeo. Quum igitur vinum dulce viſcus calefaciat, ſitque, ut dictum eſt, conſiſtentia craſſum, particulares ipſius facultates, quas epotum demonſtrat, ſecundas qualitates conſequuntur, color ſiquidem ſua ratione nullam habet juvandi aut laedendi facultatem. Ergo vinum hujusmodi quo gradu conſiſtentia craſſus eſt, eo tarde meat, quapropter tantum abeſt, ut ex obſtructis partibus aliquid adimat, ut etiam obſtructiones adaugeat. Atque ob id hepati affecto maximum affert detrimentum, praeſertimque ubi vel phlegmone quaedam vel ſcirrhus

κατὰ τοῦτο· μετριωτέραν δ' ἐργάζεται τὴν βλάβην, ὅταν ὑπὸ παχέων χυμῶν ἐμφράττηται τὸ σπλάγχνον ἢ δι' ἀτονίαν πάσχῃ, καθάπερ ἐν τοῖς ἰδίως ἡπατικοῖς ὀνομαζομένοις πάθεσιν. ἐφεξῆς δὲ ἥπατι βλάπτεται σπλὴν ὑπὸ παχέων οἴνων, οὐ μὴν ὅ γε πνεύμων, ὅταν ἐν τοῖς βρογχίοις ἔχῃ παχὺν χυμόν. κατὰ μὲν γὰρ τὸ ἧπαρ ἐξ εὐρέων ἀγγείων τῶν ἐπὶ ταῖς πύλαις εἰς στενὰ παραγίνεται πέρατα τῶν ἐν τοῖς σιμοῖς αὐτοῦ μέρεσι καὶ τῶν ἐν τοῖς κυρτοῖς, καθ' ἃ καὶ ἡ μετάληψις ἁπάντων τῶν ἀναδιδομένων εἰς ὅλον τὸ σῶμα γίγνεται· κατὰ δὲ τὸν πνεύμονα τοὐναντίον συμβαίνει. διὰ πολλῶν γὰρ φλεβῶν ἀναδυθεὶς καὶ προκατεργασθεὶς ἐν αὐταῖς, ἐμπίπτει ταῖς εὐρυχωρίαις τῶν βρογχίων, προτέραις μὲν ταῖς τῶν μικροτέρων, ἐξ ἐκείνων δ' εἰς τὰ μείζονα παραλαμβάνεται, συναναφέρων ἑαυτῷ καὶ τοὺς παχεῖς χυμοὺς, ὧν οὐ μόνον θερμότερος, ἀλλὰ καὶ λεπτότερός ἐστιν· ἔμαθες δ' ὅτι ὑπὸ τῶν βηχῶν ὁ πνεύμων ἐκκαθαίρεται τοὺς παχεῖς χυμοὺς καὶ γλίσχρους· ὅσοι γὰρ ὑδατώδεις εἰσὶ καὶ ἀκριβῶς λεπτοὶ, περιῤῥέουσι τῷ κατὰ τὰς βῆχας ἐκπεμπομένῳ τῷ πνεύματι· τοῦτο γὰρ οἱονεὶ

ipſum occupaverit. Sed moderatiorem laeſionem efficit, quum a craſſis humoribus viſcus obſtruitur, aut propter imbecillitatem afficitur, uti in proprie hepaticis appellatis affectibus. Poſt hepar lien a vinis craſſis laeditur, non tamen pulmo, quum in bronchiis craſſum habet humorem. Nam in hepate ex amplis portae vaſis ad anguſta vaſorum tum gibbae, tum ſimae partis proceditur extrema, per quae eorum omnium, quae in corpus totum diſtribuuntur, transmeatio fit, at in pulmone contrarium evenit. Nam per venas multas diſtributum confectumque in ipſis in amplam bronchiorum et priorem minorum irruit capacitatem, atque ab his ad majora excipitur, ſecum et craſſos tollens humores, quibus non calidius ſolum, verum etiam tenuius exiſtit; ſcis autem pulmonem ipſum ab humoribus craſſis lentisque per tuſſes expurgari; nam qui aquoſi ſunt et exquiſite tenues, ſpiritum qui tuſſiendo extra mittitur, circumfluunt. Is etenim tanquam manus

χεὶρ τίς ἐστιν ἀναφέρουσα τοὺς παχεῖς χυμοὺς ἅμ' αὐτῷ· προσήκει δὲ δηλονότι τὸ πάχος τῶν χυμῶν εἶναι τοιοῦτον, ὡς ὑπὸ τοῦ πνεύματος ἄνω φέρεσθαι δύνασθαι καὶ μὴ καθάπερ πηλὸν ἐμπεπλάσθαι τοῖς βρογχίοις. διὰ τοῦτό γε καὶ τοὺς γλίσχρους χυμοὺς αἱ βῆχες οὐκ ἐκκαθαίρουσι· καὶ γὰρ μένουσι καὶ ἔνδον ἔχονται τῶν βρογχίων ἰξοῦ δίκην. ὑγρότητος οὖν συμμέτρου δεῖ τοῖς μέλλουσι φαρμάκοις εἰς τὴν ἀναγωγὴν τῶν ἐν πνεύμονι περιεχομένων παχέων χυμῶν ἐπιτηδείοις ἔσεσθαι· γλίσχρων δ' ὄντων αὐτῶν οὐχ ὑγρότητος μόνον, ἀλλὰ καὶ ῥύψεώς ἐστι χρεία, γιγνομένης ὑπὸ τῶν ὀξέων χυμῶν. καὶ διὰ τοῦτο μελίκρατον μὲν ἐπιτηδειότατόν ἐστι τοῖς παχέσι χυμοῖς εἰς ἀνάπτυσιν, ὀξύμελι δὲ τοῖς γλίσχροις· ἐφεξῆς δὲ τῷ μελικράτῳ πτισάνη· καὶ μετὰ ταύτην ὁ γλυκὺς οἶνος, ἤδη πεπεμμένης τῆς περιπνευμονίας τε καὶ πλευρίτιδος πινόμενος, οὐ φλεγμαινόντων ἔτι τῶν σωμάτων· εἰ δὲ διψώδης εἴη πινόμενος ὁ τοιοῦτος οἶνος, ἧττον ἐπιτήδειος εἰς τὴν ἀνάπτυσιν γίνεται. συνελόντως δὲ φάναι, γλυκὺς οἶνος ἐν ὀξεῖ νοσήματι εἰς ἀνάπτυσιν μὲν

quaedam exiſtit, quae ſurſum craſſos humores ſecum ferat, ſed craſſitiem videlicet humorum talem eſſe oportet, ut a ſpiritu ſurſum ferri poſſit et non, ut lutum, bronchiis eſſe infarctam. Ob id ſane glutinoſos humores tuſſes non expurgant, remorantur enim ac in bronchiis viſci inſtar retinentur. Ergo quae ad eductionem eorum qui in pulmone continentur craſſorum humorum futura ſunt idonea medicamenta, moderatam humiditatem habere debent. Quod ſi hi viſcoſi *humores* fuerint, non humiditate ſolum eſt opus, verum etiam ea quae ab acidis fiat ſuccis deterſione. Ob idque aqua mulſa quidem ad craſſorum humorum expuitionem eſt convenientiſſima, oxymel vero ad viſcoſorum. Poſt melicratum ptiſana eſt, atque ab ea vinum dulce, ſi coctis jam tum peripneumonia tum pleuritide propinetur, amplius non vexatis inflammatione corporibus. Quod ſi vinum hujusmodi epotum ſitim faciat, ad expuitionem minus idoneum redditur. Verum ut ſummatim abſolvam, vinum dulce in acuto morbo ad ex-

ἐπιτήδειός ἐστι, κατά γε τὰς εἰρημένας ἐνεργείας αὐτοῦ καὶ κατὰ τὸν κοινὸν ἁπάντων οἴνων λόγον ἐκ τοῦ ῥωννύναι τὴν δύναμιν· μάλιστα δὲ τοῖς ἀναπτύουσι τῶν ἐν τῷ θώρακι καὶ πνεύμονι περιεχομένων ὑγρῶν ὁτιοῦν, (ἔμαθες γὰρ αὐτὰ ποικίλα ταῖς συστάσεσι καὶ ταῖς ποιότησι καὶ ταῖς δυνάμεσιν ὄντα κατὰ τὸ προγνωστικὸν βιβλίον, ἔνθα τὰς τῶν πτυσμάτων ἐδήλου διαφοράς) ἄλλο δ' οὐδὲν ἀγαθὸν ὁ τοιοῦτος οἶνος ἔχει πυρέττουσι [81] διδόμενος, ἀλλ' ἧττον μὲν τοῦ σφοδρῶς θερμαίνοντος οἰνώδους βλάπτειν δυνήσεται, χρηστὸν δ' οὐδὲν ἄλλο παρὰ τὰ προειρημένα, ὅτι μὴ συλλαμβάνει τι βραχὺ τῇ διεξόδῳ τῶν κατὰ τὴν γαστέρα. διὰ τοῦτο οὖν ὁ Ἱπποκράτης, ἀφ' ὧν ἧττον βλάπτει τὴν ἀρχὴν τῆς διδασκαλίας ποιησάμενος, ὄντων πολλῶν, ἐπὶ τὰς ἰδίας ὠφελείας αὐτῶν μετέβη κατὰ τὴν τοῦ λόγου τελευτὴν, ὀλίγας οὔσας. ἐπέλθωμεν οὖν ἃ λέγει, ταῖς λέξεσιν ἀκολουθήσαντες αὐτοῦ· ἧττον αὐτὸν ἅπτεσθαι φρενῶν φησιν ἢ οἱ ἰσχυροὶ τῶν οἴνων, τουτέστιν ἧττον ἐργάζεσθαι παραφροσύνας. οἱ γὰρ ἰσχυροὶ σφοδρῶς θερμαίνοντες ἐμπιπλᾶσι

puitionem, tum propter dictas ipſius actiones, tum propter communem vinorum omnium rationem, qua vires roborant, idoneum exiſtit, maxime vero iis qui quaecunque humida tum in thorace, tum in pulmone continentur, expuunt (didiciſti enim *humida* illa varia tum ſubſtantiis, tum qualitatibus, tum facultatibus eſſe, in prognoſtico libro, ubi ſputorum expoſuit differentias). Nullum ſane bonum aliud vinum hujusmodi habet febrientibus propinatum, minus tamen vinoſo, quod vehementer calefacit, laedere poterit. Commodum praeterea aliud nihil *habet* praeter antedicta, niſi quod alvinarum dejectionum permeationem modice juvet. Ob id igitur Hippocrates, ubi a minus laedentibus, quae multa ſunt, doctrinae exordium fecit, ad juvamenta ipſorum, quae pauca ſunt, circa finem ſermonis tranſit. Percurramus igitur quae recenſet, dictiones ipſius perſequendo. Vinum dulce minus quam robuſta mentem ferire ait, hoc eſt minus deliria efficere. Robuſta ſiquidem vehementer calefacientia

τὴν κεφαλὴν καὶ χυμῶν καὶ ἀτμῶν καὶ θερμασίας. εἰς ὅσον οὖν ἀπολείπονται σφοδρᾶς θερμότητος οἱ γλυκεῖς, εἰς τοσοῦτον ἧττόν τε καὶ καρηβαρίαν ἐργάζονται καὶ βλάβην τῆς φρονήσεως. διαχωρητικωτέρους δὲ αὐτοὺς εἶναί φησι τῶν ἄλλων καὶ μεγαλοσπλάγχνους, τουτέστιν αὐξάνοντας τῶν σπλάγχνων τοὺς ὄγκους. εἴρηταί μοι περὶ τούτων ὀλίγον ἔμπροσθεν. οὐκ ἐπιτήδειόν γε μὴν τὸν γλυκὺν οἶνον οὐδὲ τοῖς πικροχόλοις εἶναί φησι, τουτέστι τοῖς τὴν πικρὰν χολὴν ἀθροίζουσιν, εἴθισται γὰρ τοῖς ἰατροῖς χολὴν μὲν ἁπλῶς ὀνομάζειν τὴν ὠχρὰν τε καὶ ξανθὴν, τὴν μέλαιναν δὲ χολὴν, ὅλον τοῦτο λέγειν, οὐχ ἁπλῶς χολήν· ἀλλ' αὕτη μὲν ὀξεῖα, πικρὰ δ' ἡ ξανθὴ, καὶ διὰ τοῦτο τοὺς πικροχόλους Ἱπποκράτης ὀνομάζει τοὺς πλεονάζουσαν ἔχοντας τὴν τοιαύτην χολήν. ἐπιμιγνυμένη μὲν οὖν ὑδατώδεσιν ἰχῶρσιν ὑγροτάτη τε καὶ ὠχρὰ φαίνεται· μόνη δ' οὖσα, παχεῖα καὶ ξανθή. θερμαὶ δὲ καὶ ξηραὶ κράσεις εἰσὶν αἱ γεννῶσαι τὴν τοιαύτην χολὴν, ἐπιτήδειοί γε μὴν εἰς γένεσιν αὐτῆς εἰσι πάντες οἱ γλυκεῖς χυμοί· διὰ τοῦτο καὶ τὸ μέλι πάντων

caput humoribus, vaporibus et calore replent. Igitur dulcia quo magis a vehementi calore absunt, eo minus cum caput gravant, tum mentem laedunt. Sed magis quam alia dejectiones movere ait et viscera magna facere, hoc est viscerum tumores augere. Sed de his a me paulo ante dictum est. Praeterea dulce vinum non idoneum esse ait picrocholis, hoc est amaram bilem accumulantibus. Nam medici bilem simpliciter pallidam et flavam dicere consueverunt, atram vero bilem hoc toto appellare et non bilem simpliciter, sed haec quidem acida est, amara autem quae flava. Propterea picrocholos appellat Hippocrates, qui redundantem habent hujusmodi bilem. Permixta autem aquosis ichoribus et liquidissima et pallida videtur, sola vero quum existit et crassa et flava est. Quae autem hujusmodi bilem procreant, sunt calida et sicca temperamenta, ad cujus generationem idonei sunt et dulces omnes humores. Proindeque omnium horum

αὐτῶν ἐκχολοῦται μάλιστα, διότι γλυκύτατον· εἶθ' ἑξῆς οἱ γλυκεῖς οἶνοι. οὐ μόνον δ' ὅτι ἡ πολλὴ θερμασία τοὺς τοιούτους χυμοὺς ἐργάζεται πικροὺς, ἀνεπιτήδειός ἐστιν ὁ γλυκὺς οἶνος τοῖς πυρέττουσι, καὶ μάλισθ' ὅταν ὦσι θερμοὶ καὶ ξηροὶ τὴν κρᾶσιν, ἀλλὰ καὶ διότι παχεῖς ὄντες οὔτ' ἐπ' οὖρα διεξέρχονται ταχέως οὔτε διαπνέονται ταχέως, ὥστ' οὐ συνάγουσιν ἑαυτοῖς οὐδὲ συνεκκενοῦσι τοὺς χολώδεις χυμούς. ἓν οὖν αὐτοῖς τούτοις μόνοις ἀγαθὸν ὑπάρχει τὸ τὴν γαστέρα λαπάττειν· ὥστ' ἂν γε μὴ ποιήσωσι τοῦτο, παντοίως βλάπτουσι. πρὸς γὰρ τούτοις καὶ διψώδεις εἰσὶν, αὐτὸ τοῦτο δηλοῦντες, ὡς ἐκχολοῦνται ῥᾳδίως· λέγει δὲ τὸν τοιοῦτον εἶναι (73) καὶ φυσώδη· θερμαινόμενοι γὰρ οἱ παχεῖς χυμοὶ πνεῦμα γεννῶσιν ἑαυτοῖς ὅμοιον ἀτμῶδές τε καὶ παχύ· τοιοῦτον δέ ἐστι τὸ τὰς πνευματώσεις ἐργαζόμενον, ὡς ἔκ γε τῶν λεπτῶν οἴνων οὔτε γεννᾶται πνεῦμα, κἂν γεννηθῇ δέ ποτε, λεπτομερές τε καὶ ἀερῶδες, οὐχ ὁμιχλῶδές τε καὶ ἀτμῶδες. τῶν δὲ κάτω ἐντέρων τὸν γλυκὺν οἶνον οὔ φησιν εἶναι βλαβερὸν, καίτοι

maxime mel bilefcit, quod dulciffimum fit, deinde et dulcia vina. Non folum autem, quod calor multus tales humores amaros reddat, propterea dulce vinum febrientibus, praefertim ubi calidi et ficci temperamento fuerint, idoneum non eft, verum etiam quod quum craffa fint *hujusmodi vina*, neque per urinas celeriter defcendant, neque cito transpirent; quo fit ut biliofos humores neque fecum agant neque excernant. Solis ergo his unum ineft bonum, quod ventrem emolliant, quod fi id non fecerint, omnino nocent. Praeterea enim et fiticulofa funt, hanc rem, quod facile bilefcant, commonftrantia. Dicit autem *vinum* hujusmodi effe quoque flatulentum. Nam incalefcentes craffi humores fpiritum fibi fimilem generant, tum vapidum, tum craffum, tale autem inflationes parit. Quapropter ex tenuibus vinis non procreatur flatus, atque fi interdum quispiam generetur, tenuium eft partium et aereus, non nebulofus vapidusque. At dulce vinum inferioribus inteftinis non effe inimicum ait, quanquam tarde

βραδυπόρου οὔσης τῆς ἀπ' αὐτοῦ φύσης καὶ χρονιζούσης περὶ ὑποχόνδριον. αὐτὸ δὲ δὴ τοῦτ' ἔστι, δι' ὃ μὴ μεγάλως ἐνοχλεῖ τὰ κάτω τῶν ἐντέρων, ὅτι χρονίζει περὶ τὸ ὑποχόνδριον, ἄχρις ἂν ἐκπεφθῇ τε καὶ λεπτυνθῇ τελέως· εἰ δ' ἅπαξ πεφθείη, ποριμωτέραν τε καὶ λεπτομερεστέραν ἴσχει καὶ τὴν φύσιν, ὥστε καθ' ὃν λόγον ἐκ τῶν ἄνω μορίων ἀπώσθη κάτω, κατὰ τὸν αὐτὸν λόγον ἐκτὸς ὑπὸ τούτων ἐκπέμπεται.

γ'.

[82] *Καὶ γὰρ οὖν ἧσσον οὗτος διουρητικὸς γίγνεται ἐπίπαν τοῦ οἰνώδεος λευκοῦ.*

Τίνα κέκληκεν οἰνώδεα λευκὸν ἐπισκεψώμεθα. λέλεκται γὰρ ἔμπροσθεν οἰνώδης οἶνος εἶναί τε καὶ λέγεσθαι προσηκόντως ὁ τοῖς ὑδατώδεσιν ἀντικείμενος· ἰσχυρῶς οὖν αὐτὸν δεῖ θερμαίνειν καὶ κεφαλὴν πληροῦν καὶ παραφροσύνας ἐργάζεσθαι καὶ τὴν πυρετώδη θερμασίαν αὐξάνειν· ἀλλ' ὁ

meeet qui ab ipſo eſt flatus moreturque circa hypochondrium. Ea autem occaſio eſt, ob quam non admodum turbet inferiora inteſtina, quod circa hypochondrium moretur, donec perfecte coctum et tenuatum fuerit. Quod ſi ſemel coctum fuerit, commeabiliorem tenuiorumque partium habebit naturam. Qua igitur ratione a ſupernis ad infernas expellitur partes, eadem ab infernis extra mittitur.

III.

Etenim ſane hoc minus quam vinoſum album urinas omnino movet.

Quodnam vocavit vinoſum album conſideremus. Nam antea vinoſum vinum tum eſſe tum appellari diximus, quod jure aquoſo opponitur. Vehementer igitur ipſum et calefacere et caput replere et deliria procreare et calorem febrilem augere operae pretium eſt. Sed vinum hujus-

τοιοῦτος οἶνος οὐκ ἔστι λευκὸς, οὔτε νέος ὢν οὔτε παλαιωθεὶς, ὅτι μηδὲ ἄλλος τις τῶν παλαιουμένων οἴνων διαμένει λευκὸς, κἂν ὅτι μάλιστα κατ᾽ ἀρχὰς ὑπάρξῃ τοιοῦτος, ἀλλ᾽ ἀεὶ καὶ μᾶλλον ἑαυτοῦ κιῤῥότερος γίγνεται, τελευταῖον δὲ καὶ ξανθός. ἔοικεν οὖν ὁ Ἱπποκράτης εἰρηκέναι λευκὸν οἰνώδη τὸν αὐστηρὸν, ὃς οὐδ᾽ αὐτός ἐστιν οὐρητικὸς, ἀλλ᾽ ἐὰν μὲν παχὺς ᾖ ὁ τοιοῦτος, χρονίζει περὶ ὑποχόνδριον, ἐὰν δὲ μὴ παχὺς, οὐδὲ χρονίζει μέχρι πολλοῦ, καθάπερ ὁ μέλας, οὔθ᾽ ὁμοίως ἐπ᾽ οὖρα διεξέρχεται τοῖς λευκοῖς τε ἅμα καὶ μετρίως αὐστηροῖς· οὐρητικοὶ γὰρ οὗτοι διότι πεφεύγασιν ἀμφοτέρας τὰς ἰδέας τοῦ βραδέως ἐπ᾽ οὖρα διεξέρχεσθαι, τήν τε τοῦ ὑδατώδους, ἣν διὰ ψυχρότητα πέπονθε, καὶ τὴν τοῦ μέλανος οἴνου διὰ τὸ πάχος. ὁ γὰρ λευκὸς οἶνος καὶ αὐστηρὸς ἥκιστα θερμὸς ὡς ἐν οἴνοις ἐστὶ καὶ διὰ τοῦτο τοῖς κατὰ γαστέρα ῥεύμασιν ἐπιτήδειος, οὐ μὴν οὐρητικός γε ἱκανῶς ὁ τοιοῦτός ἐστιν· ἴσως οὖν τούτῳ παραβάλλων τὸν μέλανά φησιν ἧττον οὐρητικὸν ὑπάρχειν.

---

modi album non eſt, neque quum novum exiſtit, neque cum vetus, quod ne quidem aliud quoddam vetuſtorum vinorum album permaneat, etiamſi quam maxime per initia tale fuerit, imo ſemper fulvius redditur, ac tandem flavum. Viſus eſt ergo Hippocrates dixiſſe vinoſum album, auſterum, quod neque urinas movet, ſed ſi tale craſſum fuerit, circa hypochondrium moratur, ſi vero non craſſum, neque multum moratur, ut nigrum, neque albis ſimul et mediocriter auſteris ſimiliter ad urinas deſcendit. Haec enim *vina* urinas cient, quod utramque tarde per urinas deſcendendi effugerunt proprietatem, tum eam quae aquoſi vini eſt, quam ob frigiditatem ſortitum eſt, tum eam quam vinum nigrum propter craſſitiem habet. Vinum enim album auſterum minime calidum inter vina exiſtit, atque ob id ventris fluxionibus idoneum. Non tamen abunde ciet urinas hoc vinum. At fortaſſis *vino* huic nigrum comparans, minus ciere urinas ipſum ait.

δ'.

Πτυέλου δὲ μᾶλλον ἀναγωγός ἐστι τοῦ ἑτέρου ὁ γλυκύς.

Ἑτέρου ποίου λέγει; πότερον τοῦ προκειμένου, πρὸς ὃν παραβάλλων τὸν γλυκὺν ἔφη· καὶ γὰρ οὖν ἧσσον οὗτος οὐρητικός ἐστι τὸ ἐπίπαν τοῦ οἰνώδεος λευκοῦ; ἢ οὐ τούτου μόνου, ἀλλ' ἁπλῶς παντὸς τοῦ μὴ γλυκέος; ὄντος δ' ἀσαφοῦς ὅσον ἐπὶ τῇ λέξει τῇδε καὶ μᾶλλον ὄντος πιθανοῦ περὶ τοῦ οἰνώδους λευκοῦ τὸν λόγον αὐτῷ νῦν γίγνεσθαι, πάλιν ἑτέρα τις ἀσάφεια προσέρχεται, διὰ τὸ μὴ πάνυ τι σαφὲς εἶναι, τίς ἐστιν οἰνώδης λευκὸς, ἆρά γε ὁ θερμαίνων σφοδρῶς ἢ ὃ λίαν στύφων, ὃν καὶ στρυφνὸν ὀνομάζουσιν οἱ Ἕλληνες, τὸν δὲ μετριώτερον αὐστηρόν. ὁπωσοῦν ἔχει τὰ κατὰ τὴν λέξιν, ἐγὼ τοῦ προκειμένου γράμματος ἐρῶ τὴν ἀλήθειαν. ἀναγωγὸς τοῦ πτυέλου μάλιστα πάντων οἴνων ἐστὶν ὁ γλυκὺς, ὅταν σφόδρα μὴ παχὺς ᾖ, καθάπερ γε κἀπειδὰν [83] μὴ πολὺ ᾖ πρὸς τὸν κιῤῥὸν ἀποκεχωρηκὼς, ὡς ἐκλελύσθαι τὸ πάχος αὐτοῦ καὶ τὴν γλυκύτητα.

IV.

Sputum vero altero potentius educit, quod dulce est.

Quod alterum dicit? utrumne praesens, ad quod comparans dulce, dixit, urinas siquidem hoc minus quam vinosum album, omnino movet? an non hoc solum, sed simpliciter id omne quod dulce non est? Quum autem *Hippocrates*, quantum ad dictionem hanc attinet, obscurus sit, credibiliusque sit ipsum nunc de vinoso albo sermonem intelligere, rursum et alia oboritur obscuritas, quod non valde manifestum sit, quid sit vinosum album, utrum quod vehementer calefacit, an quod valde astringit, quod struphnum, i. e. acerbum, Graeci appellitant, quod autem moderatius, austerum. Quo igitur pacto habeat quod in dictione est, ego propositi textus veritatem exponam. Sputum maxime omnium vinorum dulce educit, ubi non admodum crassum fuerit, ut et quoties non usque adeo ad fulvum secesserit, ut exoluta in eo sint tum

μοχθηρὸς δὲ ὁ κιῤῥὸς οἶνός ἐστιν εἰς ὠφέλειαν τοῦ πυρετοῦ, θερμὸς ἱκανῶς ὑπάρχων. ὁ δὲ μετὰ τὸν οὐκ ἐσχάτως παχὺν οἶνον γλυκὺν, ἐπιτήδειος εἰς τὴν τῶν ἐκ πνεύμονος ἀναγωγὴν ὁ ὑδατώδης οἶνός ἐστι, τήν τε δύναμιν ῥωννὺς καὶ τοὺς χυμοὺς ὑγραίνων τε καὶ τέγγων μετρίως· ὁ δ' αὐτὸς καὶ τοῖς πυρέττουσιν ἀκινδυνότερον δίδοται τῶν ἄλλων οἴνων ἁπάντων.

ε'.

Καὶ οἷσι μὲν διψώδης ἐστὶ πινόμενος, ἧττον ἂν τούτοισιν ἀνάγοι ἢ ὁ ἕτερος οἶνος· οἷσι δὲ μὴ διψώδης, μᾶλλον ἀνάγοι ἂν τοῦ ἑτέρου.

Ἕτερον οἶνον εἶπε νῦν τὸν μὴ διψώδη πάντη. διὰ τί δ' ὁ διψώδης οἶνος ἧσσον ἀνάγει τὰ πτύσματα ῥᾳδίως εὑρήσεις τῶν προειρημένων μνημονεύων. ἡ γάρ τοι δίψα παραμένει τισὶ τοῖς τὸν γλυκὺν οἶνον πίνουσι, διὰ τὸ τὴν πυρώδη θερμασίαν ἐν αὐτοῖς εἶναι κακοηθεστέραν· οὖσα δὲ

ejus craſſities tum dulcedo. Pravum autem febri auxilium eſt vinum fulvum, quod vehementer calidum ſit. Verum poſt vinum dulce non ſumme craſſum, ad eorum quae in pulmone ſunt, eductionem idoneum eſt aquoſum vinum, vires roborans et humores tum humectans tum incidens mediocriter. Id autem et caeteris vinis omnibus ſecurius febrientibus exhibetur.

V.

Et quibus epotum quidem ſitim facit, his minus quam alterum vinum educit, quibus vero ſiticuloſum non eſt, his magis quam alterum educit.

Vinum alterum nunc dixit quod omnino ſiticuloſum non eſt. Quare autem vinum ſiticuloſum minus ſputa educat, facile, ſi praedictorum memineris, comperies. Sitis enim his perſeverat qui dulce vinum bibunt, quod febrilis calor in ipſis malignior exiſtat. Qui ſi talis fu-

τοιαύτη, ξηραίνουσα τὸ πτύελον ἐργάζεται παχύτερόν τε καὶ γλισχρότερον· ὅτι δὲ τὸ τοιοῦτον δυσανάγωγόν ἐστιν οὐδὲ λόγου δεῖται.

ϛʹ.

Ὁ δὲ λευκὸς οἰνώδης οἶνος ἐπῄνηται μὲν καὶ ἔψεκται τὰ πλεῖστα καὶ τὰ μέγιστα ἤδη ἐν τῇ τοῦ γλυκέος οἴνου διηγήσει· ἐς δὲ κύστιν μᾶλλον πόριμος ἐὼν τοῦ ἑτέρου καὶ διουρητικὸς δὲ ὢν καὶ καταῤῥηκτικὸς ἀεὶ, πολλὰ προσωφελέοι ἂν ἐν ταύτῃσι τῇσι νούσοισι· καὶ γὰρ εἰ πρὸς ἄλλα ἀνεπιτηδειότερος τοῦ ἑτέρου πέφυκεν, ἀλλ' ὅμως ἡ κατὰ τὴν κύστιν κάθαρσις ὑπ' αὐτοῦ γιγνομένη ῥύεται, ἢν προτρέπηται ὁκοῖον δεῖ. καλὰ δὲ ταῦτα τεκμήριά ἐστι τῆς περὶ οἴνου ὠφελείης καὶ βλάβης, ὁκόσα ἀκαταμάθητα ἦν τοῖσιν ἐμεῦ γεραιτέροισιν.

Εἴρηταί μοι περὶ τοῦδε τοῦ οἴνου κατὰ τὸν περὶ τοῦ γλυκέος οἴνου λόγον, ἐπειδὴ παρέβαλέ τε καὶ ἀντεξήτασε τὰς

erit, sputum siccat crassiusque et viscosius reddit. Quod autem *sputum* hujusmodi difficulter educatur, verbis non est opus.

VI.

At vero vinum album vinosum jam plurimum ac maxima ex parte laudatum quidem et vituperatum est in vini dulcis enarratione. Ad vesicam autem altero magis penetrat et quum urinas provocet ac semper perrumpat, multum his morbis contulerit. Nam etsi ad alia altero minus est idoneum, quae tamen in vesica ab eo fit purgatio, liberat, si quale oportet impellatur. Bonae hae conjecturae sunt de vini utilitate ac noxa, quas me seniores non didicerunt.

De hoc vino in dulcis vini oratione a me dictum est, quum ipsorum facultates comparavit perquisivitque.

δυνάμεις αὐτῶν. εἶπον οὖν ὅτι ζήτημά ἐστιν οὐ σμικρὸν, εἴτε λευκὸν ἅμα καὶ αὐστηρὸν οἶνον οἰνώδη λευκὸν εἴρηκεν, εἴτε τὸν θερμαίνοντα σφοδρῶς ὡς ἐν λευκοῖς οἴνοις· ἰσχυρῶς μὲν γὰρ θερμαίνειν οὐδεὶς δύναται τῶν λευκῶν οἴνων. ὁ μὲν γὰρ ἄκρως θερμὸς οἶνος εὐθὺς καὶ ξανθός ἐστιν, ὥσπερ γε καὶ ὁ ἐφεξῆς αὐτοῦ κιῤῥὸς, εἶτ' ἐπ' αὐτοῖς ὁ ἐρυθρὸς, εἶθ' ὁ γλυκύς· ὁ δὲ λευκὸς ἧττον μὲν ἁπάντων τούτων θερμαίνει, διαφορὰς δ' ἐν αὐτῷ κατὰ μέρος ἔχει, καθὰ καὶ τἄλλα πάντα διαστήματα κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον. ὁ δὴ τοιοῦτος οἶνος ὅτι ποριμώτερός ἐστιν ἐπὶ κύστιν τοῦ γλυκέος εἴρηται πρόσθεν· ἀνεπιτηδειότερον δ' αὐτὸν εἰς ἄλλα τοῦ γλυκέος φησὶν εἶναι, ταῦτα δ' ἐστὶν ὑπαγωγή τε γαστρὸς καὶ πτυσμάτων [84] ἀναγωγή. καλὰ δ' ἔφη ταῦτα τεκμήρια εἶναι, τουτέστι γνωρίσματα, τῆς τῶν οἴνων δυνάμεως.

ζ.

Κιῤῥῷ δὲ οἴνῳ καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃσι τῇσι νού-

Dixi ergo non parvam esse quaestionem, si album simul et austerum vinum album vinosum dixerit vel quod vehementer inter vina alba calefaciat, quod ex vinis albis nullum vehementer calefacere possit. Quod enim vinum summe calidum est, id statim et flavum existit, quemadmodum et quod ab ipso est, fulvum, mox ab his rubrum, ac deinde dulce. Album autem minus quidem his omnibus calefacit, sed differentias particulares aliaque omnino pro pluris minorisque ratione habet intervalla. Quod autem vinum hujusmodi dulci facilius ad vesicam penetret, dictum antea; sed ad alia dulci ineptius esse ait. Haec autem sunt ventris subductio et eductio sputorum. Has autem bonas ait conjecturas esse, id est notas, facultatis vinorum.

VII.

Fulvo autem vino et nigro austero in his morbis ad haec

σοισιν ἐς τάδε ἂν χρήσαιο· εἰ καρηβαρίη μὲν μὴ ἐνείη, μηδὲ φρενῶν ἄψις μηδὲ τὸ πτύελον κωλύοιτο τῆς ἀνόδου, μηδὲ (74) τὸ οὖρον ἴσχοιτο, τὰ διαχωρήματα δὲ πλαδαρώτερα καὶ ξυσματωδέστερα εἴη· ἐν δὴ τοῖσι τοιουτέοισι πρέποι ἂν μάλιστα μεταβάλλειν ἐκ τοῦ λευκοῦ καὶ ὁκόσα τουτέοισιν ἐμφερέα.

Ὁ μὲν γλυκὺς οἶνος εὐθὺς καὶ μέλας ἐστὶν, οὐ μὴν ὅ γε μέλας εὐθέως ἅπας καὶ γλυκὺς, ἀλλ' αὐστηροί τινες ἐξ αὐτῶν ὑπάρχουσιν, οἷοι παρ' ἡμῖν ἐν Ἀσίᾳ πλησίον Περγάμου καὶ κατὰ Περπερίναν τε καὶ Αἰγάς. ὁ δὲ κατὰ τὴν Κιλικίαν Ἀναβάτης αὐστηρός τε ἅμα καὶ γλυκύς ἐστιν, ἐξ ἐναντίων ποιοτήτων συγκείμενος· διὸ καὶ μοχθηρὸς ὑπάρχει, μήτ' ἀναδιδόμενος μήθ' ὑπερχόμενος, ἀλλ' ἐπὶ πλέον τε παραμένων τῇ ἄνω γαστρὶ καὶ πνευματῶν αὐτήν. ὅ γε μὴν ἄνευ τοῦ γλυκὺς εἶναι μέλας οἶνος αὐστηρὸς εἰς τὰ κατὰ τὴν γαστέρα χρήσιμος, ὅταν ἤτοι πλείω τοῦ προσήκοντος ὑπέρχηται κατ' αὐτὴν, ἢ ξυσματώδη· τηνικαῦτα γὰρ ἐπιτήδειός ἐστιν, ὥσπερ γε καὶ ὁ λευκὸς οἶνος ὁ αὐστηρὸς, ὅσα

uteris, si capitis gravitas non affuerit, neque mentis perculsio, neque sputum ab ascensu prohibeatur, neque urina supprimatur, sed dejectiones humentiores et ramentosiores fuerint. In his sane ex albo mutationem facere decuerit et quaecunque his similia existunt.

Dulce quidem vinum statim et nigrum existit, non tamen nigrum omne quamprimum et dulce. Imo ex his quaedam austera sunt, qualia apud nos in Asia prope Pergamum et in Perperine et Aegis. Quod autem in Cilicia est Anabates et austerum simul et dulce existit, qualitatibus constans contrariis, idcirco et pravum est, neque distribuitur neque descendit, sed diutius in ventre superiore permanet, atque ipsum inflat. At quod citra dulcedinem nigrum austerum est, id ventri utile existit, quando vel plura justo per ipsum subeunt vel ramentosa, tunc enim idoneum est, sicuti et vinum album austerum et quaecunque

τ᾽ ἄλλα φάρμακα στύφοντα. πρὸς δὴ ταῦτά φησι καὶ τὸν κιῤῥὸν οἶνον ἁρμόττειν, οὐχ ἁπλῶς ἅπαντα λέγων τὸν κιῤῥὸν, ἀλλὰ τὸν αὐστηρὸν κιῤῥόν· ἐπ᾽ ἀμφοτέρων γὰρ ἀκούειν γε χρὴ τὸ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἰρημένον οὕτως· κιῤῥῷ δ᾽ ἂν οἴνῳ καὶ μέλανι τοῖς αὐστηροῖς ἐν ταύτῃσι τῇσι νούσοισιν εἰς τάδε ἂν χρήσαιο. διττὸς γὰρ ὁ κιῤῥὸς, ὥσπερ καὶ ὁ μέλας, ὁ μὲν γλυκὺς, ὁ δὲ αὐστηρός· ὄντος καὶ τρίτου παρ᾽ ἑκατέρῳ, ἐξ ἐπιμιξίας ἀμφοτέρων τῶν ποιοτήτων. ἀλλ᾽ ὅ γε μίαν ἔχων ποιότητα διττὸς μὲν ἑκατέρᾳ χρόᾳ, κεφαλῆς δὲ καὶ γνώμης ὁ κιῤῥὸς μᾶλλον ἅπτεται, διότι καὶ θερμότερός ἐστι τοῦ μέλανος· τῷ δ᾽ αὐτῷ λόγῳ καὶ τοὺς πυρετοὺς αὐξάνει, τούτοις γὰρ ἐπιτήδειοι μόνοι τῶν οἴνων εἰσὶν οἱ ὑδατώδεις. εἰκότως οὖν ἐκώλυσε χρῆσθαι τοῖς αὐστηροῖς οἴνοις, εἴτε κιῤῥοὶ τὴν χρόαν εἴτε μέλανές εἰσιν, ἐν δὲ ταῖς καρηβαρίαις καὶ ταῖς βλάβαις τῶν φρενῶν, τουτέστιν ὅπου ὁ πυρετὸς αὐτῶν ἥψατο· καὶ προσέτι γε κἀκεῖνα τῶν κατὰ θώρακά τε καὶ πνεύμονα νοσημάτων, ἐν οἷς ἴσχεται τὸ πτύελον, ἀνεπιτηδείους τοὺς τοιούτους οἴνους εἶ-

alia medicamenta astringentia. His autem et fulvum vinum congruere ait, non omne simpliciter fulvum affirmans, sed fulvum austerum. Nam de utrisque te intelligere oportet, quod in principio dictionis existit, qua ita dicitur: *fulvo autem vino et nigro austeris in his morbis ad haec uteris.* Duplex enim fulvum, ut et nigrum: aliud quidem dulce, aliud vero austerum. Atque quum tertium praeter utrumque existat, ex utriusque qualitatis permixtione constans, attamen quod una est praeditum qualitate, id colore utroque duplex existit. Caput autem et mentem fulvum magis ferit, quod et calidius nigro existat. Febres quoque ratione eadem auget, his enim idonea sola vina sunt quae aquosa sunt. Merito igitur vinis austeris utendum prohibuit, sive ea colore fulva, sive nigra fuerint, in capitis gravitatibus et mentis laesione, ubi nimirum febris ipsam percusserit, atque amplius in thoracis pulmonisque morbis, in quibus sputum retinetur, vina hujusmodi non idonea esse ait, atque

καί φησι καὶ τῶν οὔρων ἐπεχομένων, διὰ τὸ πάχος δηλονότι καὶ τὴν στύψιν.

η'.

Προξυνιέναι δὲ δεῖ ὅτι τὰ μὲν ἄνω πάντα καὶ τὰ κατὰ τὴν κύστιν ἧσσον βλάψει, ἢν ὑδαρέστερος ᾖ· τὰ δὲ κατ' ἔντερον καὶ μᾶλλον ὀνήσει, ἢν ἀκρητέστερος ᾖ.

[85] Ὁ ἀκρατέστερος οἶνος, ὡς εἴρηκε, τοῖς κατ' ἔντερον μᾶλλον ἐπιτήδειός ἐστιν· εἰκότως οὖν ὀνίνησιν αὐτὰ τῷ λόγῳ τῆς στύψεως, δι' ἣν καὶ τὸ βοηθεῖν ὅλως εἶχεν· ἀλλὰ ταύτην γε τὴν στύψιν ἐκλύει κεραννύμενος ὑδαρὴς καὶ διὰ τοῦτο ἧττον ὀνίνησιν αὐτά. καθάπερ δὲ ταῦτα μᾶλλον ὀνίνησιν τῷ λόγῳ τῆς στύψεως, ὅταν ἀκρατέστερος ᾖ, οὕτω τὰ κατὰ θώρακα καὶ κεφαλὴν μᾶλλον βλάπτει· ταῦτα δ' ἐστὶν ἃ ἐδήλωσεν εἰπὼν, τὰ μὲν ἄνω βλάπτει πάντα. βλάπτει δὲ καὶ τὰ δεόμενα δι' οὔρων ἐκκαθαίρεσθαι τὰ σώματα· πασῶν γὰρ τῶν ἐκκρίσεων ἐφεκτικός ἐστιν ὁ αὐστηρὸς

quum vrinae fupprimuntur, propter craffitiem videlicet et aftrictionem.

VIII.

At infuper noffe oportet, fi dilutius vinum fuerit, fuperiores quidem partes et quae circa vefıcam funt, minus laedere; fi vero meracius, iis quae circa inteftina funt, magis prodeffe.

Vinum meracius, ut dixit, inteftinis magis convenit. Merito igitur ipfa juvat aftrictionis ratione, ob quam omnino juvandi facultatem habet. Verum hancce aftrictionem exolvit, aqua temperatum, atque eam ob rem ipfa minus juvat. Quo autem modo haec juvat magis aftrictionis ratione quum meracius fuerit, fic thoracem caputque magis laedit; haec autem funt, quae manifeftavit inquiens: *fuperiores quidem omnes partes laedit.* Laedit quoque et corpora, quae per urinas expurgari debent. Nam aufterum vinum excretiones omnes cohibet.

οἶνος. ταῦτα περὶ οἴνων ὁ Ἱπποκράτης εἰπὼν εὐθὺς ἐπὶ μελίκρατον μεταβαίνει, τὰ μὲν ἄλλα σχεδὸν ἅπαντα τὰ περὶ τῶν οἴνων δείξας, ἓν δὲ παραλιπὼν ἀνεξέργαστον, ὃ διῆλθον ἐγὼ κατὰ τὸ πάρεργον· ὅτι τοῖς πυρέττουσιν οἶνος ἐπιτηδειότατός ἐστιν ὁ ὑδατώδης. ἔστι δ' οὗτος ὁ λευκὸς μὲν τὴν χρόαν, λεπτὸς δὲ τὴν σύστασιν, ἐπιφανῆ μηδεμίαν ἔχων ποιότητα τῶν τοῖς ἄλλοις οἴνοις ὑπαρχουσῶν, μήτ' αὐστηρότητα, μήτε στρυφνότητα, μήτε γλυκύτητα, μήτε δριμύτητα, μήτ' ὀσμήν· τῷ γὰρ τοιούτῳ καὶ τὰς τοῦ ὕδατος κακίας καὶ τὰς τοῦ οἴνου ἐκπεφευγέναι μόνῳ τῶν πάντων οἴνων ὑπάρχει. γεννῶνται δὲ καθ' ἕκαστον ἔθνος ἔνιοι τοιοῦτοι, κατὰ μὲν τὴν Ἰταλίαν ὁ ἄτονος Σαβῖνος, ὃν καὶ διδόασι τοῖς πυρέττουσιν· ἐν Ἀσίᾳ δὲ ὅ τε Τιτακαζηνὸς καὶ Τιβῖνος. ἀκηκοὼς δὲ αὐτοῦ τὰ γνωρίσματα ῥᾳδίως εὑρήσεις καθ' ἕκαστον ἔθνος. οἴνους τοιούτους, ἐν οἷς χωρίοις πάνυ τι λεπτοὶ καὶ ὑδατώδεις οἶνοι γίγνονται· ἐγὼ γοῦν καὶ κατὰ τὴν Κιλικίαν καὶ Φοινικίην καὶ Παλαιστίνην καὶ Σκῦρον καὶ Κρήτην εὗρον οἴνους τοιούτους· ἀλλ' ὅμως οἷον εἴρηκα καὶ κατὰ πάντα τὰ χωρία τεθέαμαι καὶ τό γε

De vinis haec loquutus Hippocrates continuo ad aquam mulſam tranſit, caeteris quidem prope omnibus de vino demonſtratis, ſed praetermiſſo uno, quod non abſolvit et ego obiter percurri, quod vinum febrientibus maxime idoneum aquoſum ſit. Eſt autem hoc album colore, conſiſtentia tenue, nullam earum, quae caeteris vinis inſunt, habens qualitatem neque auſteritatem neque acerbitatem neque dulcedinem neque acrimoniam neque odorem. Huic enim vino omnium vinorum ſoli, ut tum aquae tum vini mala effugeret, datum. Prodeunt autem talia in unaquaque gente aliqua. In Italia imbecillum Sabinum, quod febrientibus exhibent. In Aſia et Titacazenum et Tibinum. Sed vini hujus notas ubi intellexeris, talia facile in qualibet gente vina reperies, in quibus regionibus et valde tenuia et aquoſa vina producuntur. Ego vero reperi talia vina in Cilicia, Phoenicia, Palaeſtina, Scyro et Creta. Imo, ut retuli, in regionibus vidi omni-

θαυμασιώτερον, ὅτι καὶ κατ' Αἴγυπτον· παχεῖς γὰρ οἶνοι καὶ ὀσμὴν ἔχοντες καὶ ἰσχυροὶ σφόδρα ἐν τοῖς θερμοῖς χωρίοις γεννῶνται· κατὰ δὲ τὴν Ἰταλίαν καὶ Βιθυνίαν καὶ τὴν Ἀσίαν θαυμαστὸν οὐδέν ἐστι πολλοὺς ὑδατώδεις γίνεσθαι. ζητήσαι δ' ἄν τις διὰ τί παρέλιπεν ὁ Ἱπποκράτης ἰδίᾳ περὶ τῶν τοιούτων οἴνων ἐν τῷ διηνυσμένῳ λόγῳ, καίτοι γε ἀλυποτέρων ὄντων τοῖς πυρέττουσιν ἤπερ οἱ ἄλλοι πάντες. οὐδὲ γὰρ οὐδὲ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἠγνόει τὸν τοιοῦτον οἶνον· αὐτὸς γοῦν ὀλίγον ὕστερον ἐν τῷ τοῦ μελικράτου λόγῳ τάδε γράφει· ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόσμου, ἐνίῃ μὲν ἰσχυρότερον, ἐνίῃ δὲ καὶ ἀσθενέστερον· ταῦτ' εἶπε παραβάλλων τὸ μελίκρατον οἴνῳ λεπτῷ καὶ ὀλιγοφόρῳ, τουτέστιν ὀλίγον ὕδωρ φέροντι καὶ ἀνόσμῳ. σαφῶς γοῦν καὶ ἀκριβῶς εἰπὼν τὰ γνωρίσματα τοῦ οἰνώδους οἴνου καὶ διελθὼν ὡς καὶ κεφαλῆς ἅπτοιτο καὶ φρενῶν, ἱκανὴν ἐνόμισεν εἶναι καὶ περὶ τοῦ ἐναντίου αὐτῷ τοῦ ὑδατώδους τὴν διδασκαλίαν, ἡμῶν δυναμένων λογίσασθαι τὰ ἐναντία ὑπάρχειν αὐτῷ.

---

bus et, quod mirum magis sit, in Aegypto. Crassa siquidem vina et odore praedita et vehementissima in fervidis progignuntur regionibus. In Italia vero et Bithynia et Asia multa produci aquosa nihil mirum est. Sed quaeret aliquis, quare Hippocrates in antecedente dictione peculiarem de his vinis praetermisit sermonem, quum febrientibus quam caetera omnia sint minus noxia. Neque enim est dicendum quod tale vinum ignoraret. Is enim paulo post in melicrati narratione haec scribit. Caeterum vino *albo* tenui, paucifero et inodoro quodam modo robustius est et quodam modo imbecillius. Haec ait Hippocrates, vino *albo*, tenui et paucifero, id est parum aquae ferenti et inodoro, melicratum comparans. Vini igitur vinosi notas tum conspicue tum accurate ubi recensuisset, quonam pacto tum caput tum mentem feriat, de aquoso ipsi contrario disciplinam sufficientem esse existimavit, quum contraria ipsi inesse ratiocinari possimus.

θ'.

Μελίκρητον δὲ πινόμενον διὰ πάσης τῆς νούσου ἐν τῇσιν ὀξείῃσι νούσοισι, τὸ ἐπίπαν μὲν τοῖς πικροχόλοισι [86] καὶ μεγαλοσπλάγχνοισιν ἧσσον ἐπιτήδειον ἢ τοῖσι μὴ τοιούτοισίν ἐστι.

Τὸ διὰ πάσης τῆς νόσου δηλωτικόν ἐστι τοῦ τὸν λόγον αὐτῷ γίγνεσθαι περὶ τῶν νοσημάτων ἐκείνων, ἐφ' ὧν ἐδίδαξεν ἀνεπιτήδειον εἶναι τρέφειν χυλῷ, πρὸ τοῦ τὴν ἀκμὴν τῆς νόσου παρελθεῖν. εἰ γὰρ μήτε τῶν κατὰ θώρακα καὶ πνεύμονά τι νοσημάτων εἴη, πυρέττοντος τοῦ κάμνοντος ὀξέως, ἥ τε δύναμις ἰσχυρὰ καὶ παραιτέρω τῆς πέμπτης ἡ νόσος οὐ μέλλει γενήσεσθαι, μελίκρατον αὐταρκές ἐστι μόνον πινόμενον ἐξαρκέσαι ποιῆσαι τὸν κάμνοντα. τοῖς μὲν οὖν ἄλλοις ἅπασιν ἐπιτηδειότατόν ἐστιν ἐπὶ τοῖς τοιούτοις νοσήμασι τὸ μελίκρατον, ἧττον δὲ τοῖς πικροχόλοις ὠφέλιμον· ἐκχολοῦται γὰρ ἐν αὐτοῖς, ἐὰν μὴ φθάσῃ διεξελθεῖν ἢ κατ' ἔντερον ἢ κύστιν, ὡς εἰ γε διεξέλθοι, πρὸς τῷ

IX.

At quae potui datur mulſa per totum morbum in acutis morbis, tum amara bile redundantibus prorſus tum quibus tument viſcera minus quam non talibus eſt idonea.

Oratio haec, *per totum morbum*, oſtendit ipſum de iis intelligere morbis, in quibus cremore nutrire idoneum non eſſe demonſtravit, priusquam ad morbi perventum ſit vigorem. Nam ſi aeger acuta febre laboret, neque tum in thorace tum in pulmone fuerit morbus viresque valuerint et morbus quintum ultra diem ſeſe propagaturus non ſit, aqua mulſa epota abunde aegro ſufficere poteſt. Caeteris quidem omnibus in morbis hujusmodi eſt convenientiſſima aqua mulſa, ſed picrocholis minus confert. Nam in ipſis bileſcit, niſi prius vel inteſtina vel veſicam pertranſierit, quae ſi pertranſierit, non ſolum nihil lae-

μὴ βλάψαι μηδὲν ὀνίνησι μέγιστα, συνυπάγεται γὰρ αὐτῷ χολώδη περιττώματα. συνεδείξατο γοῦν τῷ λόγῳ τῷδε καὶ περὶ τῆς κράσεως αὐτοῦ· συμφέρει γὰρ αὐτοῦ ὑδαρέστερον ἐπὶ τῶν τοιούτων φύσεων δίδοσθαι τὸ μελίκρατον, ὅπως μήτε διψῶδες εἴη μήτε χολοποιόν. ὥσπερ δὲ τοῖς πικροχόλοις, οὕτως καὶ τοῖς μεγαλοσπλάγχνοις οὐκ ἐπιτήδειον εἶναί φησιν αὐτό· μεγαλοσπλάγχνους δὲ νῦν εἶπεν οὐχ οἷς φύσει μεγάλα σπλάγχνα εἰσὶν, ἀλλ' οἷς κατά τι πάθος εἰς ὄγκον ἤρθη σκιῤῥούμενα καὶ φλεγμαί- (75) νοντα καὶ οἰδισκόμενα. μοχθηρὸν γὰρ ἐν τούτοις γίγνεται, μὴ δυνάμενόν γε διεξέρχεσθαι ταχέως αὐτὰ, ἐκχολούμενόν τε ῥᾳδίως καὶ μάλιστα ἐν ταῖς φλεγμοναῖς διὰ πλῆθος τῆς θερμασίας, ὡς ἔν γε τοῖς ἄλλοις παρὰ φύσιν ὄγκοις ἧττόν ἐστι βλαβερόν.

ι'.

Διψῶδές γε μὴν ἧσσον τοῦ γλυκέος οἴνου. πνεύμονός τε γὰρ μαλθακτικόν ἐστι καὶ πτυέλου ἀναγωγὸν μετρίως καὶ βηχὸς

dit, verum et maxime juvat, nam secum biliosa deducit excrementa. Hac sane etiam ratione temperamentum quoque ipsius demonstravit. Nam in hujusmodi naturis dilutior exhibita mulsa confert, neque enim hoc pacto siticulosa existit, neque bilem generat. Ut autem picrocholis, ita megalosplanchnis hanc haudquaquam idoneam esse ait. Megalosplanchnos nunc dixit non eos, quibus magna per naturam ipsam sunt viscera, sed quibus ea ex affectu aliquo intumuerunt in scirrhum aut phlegmonem aut oedema. Prava siquidem in his, quod cito pertransire *viscera* ipsa non possit et facile bilescat praesertimque in phlegmonis propter caloris magnitudinem, in caeteris autem, qui praeter naturam sunt tumoribus minus detrimenti affert.

X.

Sitim tamen minus quam dulce vinum infert. Etenim pulmonem emollit et sputum mediocriter educit tussim-

παρηγορικόν· ἔχει γὰρ σμηγματῶδές τι ὃ μᾶλλον τοῦ μετρίου καταγλισχραίνει τὸ πτύελον.

Διὰ τί μὲν ἧττον οἴνου ἐστὶ γλυκέος διψῶδες ἔμπροσθεν εἴρηταί μοι, δεικνύντι καθ' ὅσον μὲν εἰσιν ἄμφω γλυκέα, κατὰ τοσοῦτον ἐκχολοῦσθαι ῥᾳδίως αὐτά· καθ' ὅσον δὲ λεπτότερόν τ' ἐστὶ καὶ ποριμώτερον, ὡς ἰέναι πάντῃ, τὸ μελίκρατον, κατὰ τοῦτο ἧττον αὐτοῦ γίνεσθαι διψῶδες· ὡς εἴ γέ ποτε κατὰ τὴν γαστέρα μείνῃ χρόνῳ πλείονι καὶ αὐτὸ διψῶδες οὐχ ἧττον. ἔσται τοῦ γλυκέος οἴνου. τουτὶ μὲν αὐτὸ σπανίως συμβαίνει· τὸ δὲ θᾶττον οἴνου γλυκέος διεξέρχεσθαι τὴν γαστέρα καὶ τὸ ἔντερον ἅπαν, ἔτι δὲ καὶ τὸ ἧπαρ ἄχρι νεφρῶν καὶ κύστεως οὐ σπανίως, ἀλλὰ διὰ παντὸς ὑπάρχει τῷ μελικράτῳ. διὰ ταῦτα μὲν οὖν ἧττόν ἐστι διψῶδες τοῦ γλυκέος οἴνου· ὁ δὲ Ἱπποκράτης οὐχ οὕτως εἶπεν, ἀλλ' ἑτέρως ταὐτὸν ἐνδειξάμενος αὐτοῦ τὴν δύναμιν ἐξ ὧν ἐργάζεται κατὰ τὸν πνεύμονα· δῆλον γὰρ ὡς οὐκ ἂν εἰργάζετο ταῦτα, μὴ διεξερχόμενόν γε καὶ διαῤῥύπτον αὐτοῦ τὰς ὁδούς. πτυέλου δ' ἀνα-

que lenit. Habet namque detergens quoddam, quod plus quam par ſit ſputum viſcidum reddit.

Cur *aqua mulſa* minus quam vinum dulce ſitifera ſit, dixi antea, quum utraque quatenus dulcia ſunt, eatenus facile bileſcere demonſtrarem. Verum quod tenuior ſit magisque penetret, ut omnia ſubeat, mulſa, ea ratione minus vino dulci eſt ſiticuloſa. Quare ſi aliquando plusculo tempore in ventre manſerit, tunc vino dulci non minus ſiticuloſa redditur, quod raro contingit. Aqua vero mulſa vino dulci citius ventrem inteſtinaque omnia penetrat, nec ſecus hepar adusque tum renes tum veſicam non raro quidem, ſed perpetuo. Ob haec igitur vino dulci minus ſiticuloſa exiſtit. Hippocrates idem, quanquam non ita, ſed modo alio, dixit, mulſae facultatem ex iis quae in pulmone facit, demonſtrans. Nam quod haec non efficeret, niſi vias ipſius penetraret abſtergeretque, manifeſtum eſt. At mulſam ſputum educere non ſim-

γωγὸν οὐχ ἁπλῶς εἶπε τὸ μελίκρατον, [87] ἀλλ' ὅτι μετρίως προσέγραψε. τὸ γὰρ ἰσχυρῶς ἀνάγειν οὐκ ἔχει, καθάπερ τὸ ὀξύμελι· τό γε μὴν παρηγορικὸν ἔχει, μηδ' ὅλως ἔχοντος αὐτὸ τοῦ ὀξυμέλιτος· ἐπεγείρει γὰρ ἐκεῖνο τὰς βῆχας, ἐρεθίζον τε καὶ τραχῦνον, ἐκ τοῦ ῥύπτειν σφοδρῶς. μελικράτῳ δὲ καὶ μάλιστα τῷ ὑδαρεῖ τῆς ῥυπτικῆς δυνάμεως ὀλιγίστης μέτεστιν· καλεῖται δ' ἡ τοιαύτη καὶ σμηκτικὴ, καὶ νῦν ὁ Ἱπποκράτης ἀπ' ἐκείνης ἐποιήσατο τὸ σμηγματῶδες ὄνομα, περὶ τοῦ μελικράτου γράψας, ἔχει γὰρ σμηγματῶδές τι· μετρίας αὐτῷ μετεῖναι τῆς τοιαύτης δυνάμεως αἰνιξάμενος ἐκ τοῦ προσθεῖναι τῷ σμηγματῶδες τὸ τὶ, βραχύτητα δηλοῦν οἷς ἂν οὕτω προσκέηται. τοῦτ' οὖν τὸ βραχὺ τοῦ μελικράτου σμηγματῶδες, οὐχ ὅτι σμηγματῶδες, διὰ τοῦτ' ἄκρατον, ἀλλ' ὅτι βραχύ· δεῖ γὰρ ἐπὶ τοῦ γλίσχρου πτυέλου σφοδρῶς εἶναι σμηγματῶδες τὸ φάρμακον, ἀποῤῥύψαι δυνάμενον τὸν ἐνιζηκότα τοῖς βρόγχοις τοῦ πνεύμονος γλίσχρον χυμόν. εἰ δὲ μεταξὺ θώρακός τε καὶ πνεύμονος εἴη τοιοῦτός τις ἠθροσμένος, ἔτι δὴ καὶ μᾶλλόν ἐστι χρεία

pliciter dixit, fed *mediocriter* adfcripfit, neque enim valenter educit, ut oxymel, lenit fane, quo oxymel privatur. Nam oxymel tuffes excitat, tum irritans, tum afperans, quatenus vehementer detergit; mulfa vero et praefertim aquofa minima detergenti participat facultate. Vocatur autem hujusmodi *facultas* etiam extergens, a qua et nunc Hippocrates nomen fecit *σμηγματῶδες*, de mulfa ita fcribens, *habet etenim vim quandam extergendi.* Mediocri autem participare ipfam facultate hujusmodi oftendit, adjiciens vocabulo huic *σμηγματῶδες* vocabulum hoc *τὶ*, nempe, quibus adjiciatur, paucitatem indicat. Ergo pauca mulfae abftergendi vis, non quia abftergendi vis eft, ob id fimplex, fed quia pauca eft. Ad glutinofum fiquidem fputum medicamentum vehementer abftergens effe oportet, quod glutinofum eum, qui bronchiis pulmonis inhaeret, detergere poffit humorem. Quod fi quis ejusmodi in thoracis pulmonisque medio acervatus fuerit, jam et major, ut probe fpuatur, tum incidentis tum de-

πρὸς τὸ καλῶς ἀναπτυσθῆναι τμητικῆς τε καὶ σμηκτικῆς δυνάμεως, ἥτις καὶ ἀποῤῥύψει τε τοῦ ὑπεζωκότος αὐτὸ καὶ διατέμνει καὶ λεπτύνει· μεταληφθῆναι γὰρ ἄλλως ἀδύνατόν ἐστι τὸ τοιοῦτον, διὰ τοῦ περιέχοντος ὑμένος τὸ σπλάγχνον ἐς τὰ βρογχία τοῦ πνεύμονος. οὐ καλῶς οὖν ἐχρήσατο τῇ λέξει, προσθεὶς τῷ, ἔχει γὰρ σμηγματῶδές τι, τὸ ἐφεξῆς εἰρημένον, ὃ μᾶλλον τοῦ μετρίου καταγλισχραίνει τὸ πτύελον· ἄμεινον γὰρ ἦν εἰπεῖν, ἔχει γὰρ σμηγματῶδές τι βραχὺ τὸ μελίκρατον, ὃ μᾶλλον τοῦ μετρίου πολλάκις ἐπιτρέπει τῷ πτυέλῳ καταγλισχραίνεσθαι. οὐ γὰρ διὰ τὸ μελίκρατον συμβαίνει τῷ πτυέλῳ καταγλισχραίνεσθαι, ἀλλὰ τοῦτο μὲν οἰκεῖον ὑπάρχει τῷ γε τοιούτῳ πτυέλῳ, τὸ μελίκρατον δὲ οὐδὲν ὀνίνησιν, ἀλλὰ διαμένειν ἐᾷ τὴν τοιαύτην φύσιν τοῦ περιττώματος. διὰ τοῦτ᾽ οὖν ἄμεινον ἦν εἰπεῖν μηδὲν ὀνίνασθαι τὸ γλίσχρον πτύελον, οὐ γίγνεσθαι τοιοῦτο ὑπὸ τοῦ μελικράτου· τὸ γὰρ καταγλισχραίνειν τὸ πρὸς Ἱπποκράτους εἰρημένον ἔμφασιν ἔχει τοῦ γίνεσθαι τοιοῦτον ὑπὸ τοῦ μελικράτου τὸ πτύελον.

---

tergentis facultatis est necessitas, quae id a succingente detergat, incidat et tenuet; nam fieri non potest ut talis humor aliter per membranam viscus ambientem ad pulmonis bronchia transferatur. Non igitur bene est usus dictione *Hippocrates*, quum huic orationi, *habet enim detergens quiddam*, quod subsequitur dictum adjecit,' *quod plus quam par sit viscosum reddit sputum.* Nam melius erat dicere, habet enim detergens quiddam idque paucum mulsa, quod saepenumero immoderatius viscosum fieri sputum sinit. Non enim ob mulsam glutinosum fieri sputum contingit, sed id quidem sputo hujusmodi proprium inest, mulsa vero nil juvat, sed excrementi naturam talem permanere sinit, quapropter melius dixisset, nihil glutinosum sputum juvari et non tale a mulsa fieri. Nam hoc verbum *καταγλισχραίνειν*, quod ab Hippocrate dicitur, sputum a mulsa tale fieri, cum demonstratione significat.

ια'.

Ἔστι δὲ καὶ οὐρητικὸν τὸ μελίκρητον ἱκανῶς, ἢν μή τι τῶν ἀπὸ σπλάγχνων κωλύῃ.

Λέλεκταί μοι καὶ πρόσθεν ὅτι τῷ διεξέρχεσθαι ῥᾳδίως ἁπάσας τὰς μεταξὺ κοιλίας τε καὶ νεφρῶν ὁδοὺς, οὐρητικόν ἐστι τὸ μελίκρατον· ἐδείχθη δὲ καὶ ὅτι κακοπραγοῦντος τοῦ ἥπατος οὐ προσήκει πίνειν αὐτὸ, βλάπτει δὲ καὶ σπλῆνα φλεγμαίνοντα, καὶ πολὺ δὴ μᾶλλον ἔντερά τε καὶ γαστέρα, ταχέως γὰρ ἐκπυρούμενον ὑπὸ τῆς κατὰ τὴν φλεγμονὴν θερμασίας εἰς χολὴν μεταβάλλει. τάχα γὰρ διὰ τὴν γλυκύτητα χαίρει τὰ σπλάγχνα τῷ μέλιτι, καθάπερ καὶ ἡ γαστὴρ, ὥστε θᾶττόν τε καὶ ἀθροώτερον ἐπισπᾶσθαι· καὶ γὰρ οὖν καὶ τἄλλα γλυκέα ταὐτὸν ἔχειν τούτῳ λογίσαιτ᾽ ἄν τις ὥσπερ πρὸς τὴν κοιλίαν, οὕτω καὶ πρὸς τὰ σπλάγχνα πεπονθέναι. φανεῖται δ᾽ ἡ γαστὴρ ἥδεσθαι τούτοις· καὶ γὰρ μετὰ τὸ καταπιεῖν αὐτὰ, [88] φανερῶς πώς ἐστιν ἡδομένη πρὸς τῶν εἰλημμένων, ὥσπερ αὖ πάλιν ἀνιωμένη

XI.

Urinas quoque mulsa vehementer ciet, si qua viscerum affectio non prohibeat.

Mulsam ante, quod vias omnes quae ventrem renesque interjacent, facile penetret, ciere urinas a me dictum est, imo demonstratum quoque est, ubi jecur male afficitur, ipsam potui non convenire. Lienem praeterea phlegmone obsessum laedit, atque multo magis intestina ac ventrem, nam cito ignescens ob phlegmones calorem in bilem convertitur. Quam primum enim ob dulcedinem melle delectantur viscera, quemadmodum et venter, proindeque tum citius tum cumulatius eliciunt. Mel quoque et dulcia alia idem habere quis dixerit, atque ut ad ventrem, ita ad viscera se habere. Venter autem his oblectari videtur. Etenim ubi ea deglutivit, manifeste quodammodo ab assumptis delectatur, veluti e contrario

τοῖς τραχύνουσί τε καὶ πικροῖς, οὐκ ἐν αὐτῷ τῷ λαμβάνεσθαι μόνον, ἀλλὰ καὶ μετὰ τὸ ληφθῆναι ἄχρι χρόνου τινός. ὅθεν οὐδὲ προσφέρεταί τις αὐτὰ, πλὴν εἴ ποτε ὡς φάρμακον, διὰ χυμοὺς παρὰ φύσιν ἠθροισμένους ἐν τῇ γαστρί· κατὰ φύσιν δὲ ἐχούσης, ἀνιαρὰ πάντα αὐτῇ τὰ τοιαῦτά ἐστιν, ἡδέα δὲ μόνα τὰ γλυκέα. καὶ μὲν δὴ κατὰ τὸν καλούμενον λαιμὸν ἐκ τῶν καταπινομένων γλυκέων ἡδονὴ μεγίστη γίνεται, τοῦ κατ' αὐτὸ τὸ χωρίον σώματος οἰκείως ἔχοντος τῷ τοιούτῳ χυμῷ· τὸ δ' αὐτὸ τοῦτ' ἔστι σῶμα καὶ τῆς γαστρὸς ὁ ἔνδον χιτὼν, ὥσπερ γε καὶ ὁ τὴν γλῶτταν ἀμφιεννύς. ἀλλ' ἐν ταύτῃ μὲν ἐνεργεστάτην ἔχει τὴν τῆς γλυκύτητος αἴσθησιν, ἐν δὲ τῷ λαιμῷ τὴν τῆς ἡδονῆς, αἴσθησις δὲ σαφὴς ἐν τῷ παραχρῆμα γίνεται καὶ ἐν τῷ στόματι τῆς γαστρὸς, ἡδομένῳ τοῖς καταπινομένοις γλυκέσιν, ὅταν κατὰ φύσιν ἔχῃ τὸ ζῶον. οὕτως οὖν εἰκός ἐστι καὶ τὰ σπλάγχνα χαίρειν τῷ μὲν γλυκεῖ χυμῷ, ταχέως δ' αὐτοῦ καὶ πλεῖστον ἐπισπώμενα, καθ' ὃν μὲν ὑγιαίνει χρόνον, ἀπολαύειν τε καὶ τρέφεσθαι, καθ' ὃν δὲ πυρετώδη

ab asperantibus amarisque offenditur, neque solum, quum assumuntur, verum et ubi assumpta sunt, ad aliquod usque tempus. Unde nemo ea, nisi interdum vice medicamenti, ob humores praeter naturam collectos in ventre ingerit. Ubi enim secundum naturam habuerit, injucunda ipsi talia omnia sunt, jucunda autem sola, quae dulcia existunt. Sane in appellata gula maxima ex devoratis dulcibus exoritur voluptas, corpore loci illius peculiare quiddam cum succo hujusmodi habente. Id autem corpus ipsum est ventriculi interna tunica, ut et ea, quae linguam ambit; verum in lingua efficacissimum habet dulcedinis sensum, in gula autem voluptatis. Sensus vero manifestus continuo efficitur et in ventris ore, quod dulcibus assumptis delectatur, quum animal secundum naturam existit. Sic igitur viscera dulci gaudere succo, plurimumque ipsius celeriter attrahentia, quamdiu valent, frui alique, quum vero febriunt et phlegmone obsidentur,

τέ ἐστι καὶ φλεγμαίνει, μεταβάλλειν ἐστὶ τὸ χολῶδες αὐτό. ὁρᾶται γοῦν καὶ τὰ καλούμενα συκωτὰ διὰ τῆς τῶν ἰσχάδων ἐδωδῆς, μέγιστά τε καὶ ἥδιστα γιγνόμενα, προφανῶς τοῦ ἥπατος εὐτροφοῦντος ἐπὶ τῇ τῶν γλυκέων ἐδωδῇ· ἀλλ' ἐν ταῖς φλεγμοναῖς τε καὶ τοῖς πυρετοῖς οὐκ εἰς εὐτροφίαν, ἀλλ' εἰς χολῆς γένεσιν, ἡ τῶν τοιούτων προσφορὰ μεταβάλλεται, τοῦ μὲν πυρετώδους θερμοῦ πλεονάζοντος, ἐλλείποντος δὲ τοῦ κατὰ φύσιν, ὅπερ εὔκρατον ἦν.

ιβ'.

Καὶ διαχωρητικώτερον δὲ κάτω τῶν χολωδέων, ἔστι μὲν ὅτε καλῶν, ἔστι δ' ὅτε κατακορεστέρων μᾶλλον τοῦ καιροῦ καὶ ἀφρωδεστέρων, μᾶλλον δὲ τὸ τοιοῦτον τοῖσι χολώδεσί τε καὶ μεγαλοσπλάγχνοισι γίνεται.

[76] Ἀναμνησθῶμεν τῆς προειρημένης λέξεως, ἐν ᾗ παραβάλλων οἴνῳ γλυκεῖ τὸ μελίκρατον ἔλεγε, διψῶδές γε μὴν ἧσσον τοῦ γλυκέος οἴνου· καὶ νῦν οὖν πρὸς ἐκεῖνον εἶπε

in id quod biliofum eft, dulcem fuccum convertere par eft. Videntur igitur quae ficata ex carycarum efu appellantur tum maxima tum fuaviffima effe, jecore ipfo, ut liquet, ex dulcium efu alimentum uberius accipiente, verum in phlegmonis febribusque rerum hujusmodi ingeftio non in probam alimoniam, fed in bilis generationem demigrat, febrilis fiquidem calor exuperat, nativus autem deficit, qui bene temperatus erat.

XII.

Sed et biliofa excrementa magis fubducit, interdum quidem bona, interdum vero magis quam deceat colore faturata ac fpumantiora, idque biliofis magis et megalofplanchnis contingit.

Revocemus in memoriam praenunciatam dictionem, in qua mulfam vino dulci comparans dicebat, *at fane fiticulofa minus quam dulce vinum exiftit.* Nunc quoque

διαχωρητικώτερον εἶναι κάτω. χολωδέων γὰρ δὴ καὶ ὁ γλυκὺς οἶνος διαχωρητικὸς, ἀλλὰ τό γε μελίκρατον ἐνίοτε μὲν καλῶν τῶν χολωδέων ὑπακτικόν ἐστιν, ἐνίοτε δὲ μοχθηρῶν, ἅπερ ἐστὶν ἱκανῶς ἄκρατα χολώδη, τὰ πυῤῥὰν ἢ ξανθὴν ἔχοντα καὶ παχεῖαν χολήν. αὕτη τοίνυν ἀφρὸν προσλαμβάνει, πολλάκις μὲν κατὰ τὸν αὐτὸν λόγον, ὃν καὶ τοῖς ἐν πυρὶ θερμαινομένοις σφοδρῶς ἀφρὸς ἐπανθεῖ, πολλάκις δὲ τὸ τοῖς κοπτομένοις ὑγροῖς ὑπὸ πνεύματος. τούτων δὲ τὸ μὲν πρότερον ὧν εἶπον ὑπερβαλλούσης ἐστὶ θερμασίας γνώρισμα, τὸ δὲ δεύτερον, στενοχωρίας τῶν ὀργάνων καὶ ταραχῆς φυσώδους πνεύματος ἐναπειλημμένου, καὶ διέξοδον οὐ ῥᾳδίαν ἔχοντος. τοιαῦτα δ' ὑπέρχεται χολώδη τοὐπίπαν ἐν τοῖς συντηκτικοῖς πυρετοῖς, ἐφ' ὧν ἐναντιωτάτη τε καὶ βλαβερωτάτη ἁπάντων σχεδόν ἐστιν ἡ τοῦ μελικράτου πόσις, ὥσπερ γε καὶ τοὐναντίον ἡ τοῦ ψυχροῦ πόσις ὕδατος ὠφελιμωτάτη, [89] μᾶλλον δὲ τὸ τοιοῦτον διαχώρημά φησιν ὑπὸ τοῦ μελικράτου γίνεσθαι, τοῖς φύσει μὲν χολώδεσι, τουτέστι τοῖς θερμοῖς ἀμέτρως, ἐν δὲ ταῖς νόσοις φλεγμονὴν ἐχου-

mulſam ad vinum dulce comparans, *bilioſa* alvi excrementa dejicere magis pronunciavit. Nam et bilioſa dejicere vinum dulce poteſt, verum mulſa bilioſa quidem bona interdum ſubducit, interdum vero prava, quae ſincere admodum bilioſa exiſtunt, bilem igneam vel flavam habentia craſſamque. Ipſa igitur ſpumam accipit, ſaepe quidem ea ratione, qua in rebus vehementer igne caleſcentibus ſpuma efflorefcit, ſaepe vero ut in iis, quae a flatu agitantur, humidis. Horum quae protuli primum quidem caloris exuperantis nota eſt, ſecundum vero anguſtiae inſtrumentorum et agitationis flatulenti ſpiritus interclufi exitumque minime liberum habentis. Bilioſa autem hujusmodi omnino ſubducuntur in febribus ſyntecticis, quibus prope omnium adverſiſſima nocentiſſimaque eſt mulſae potio, quemadmodum et contra potio aquae frigidae commodiſſima. Alvinum hujusmodi excrementum ait a mulſa magis generari, natura quidem bilioſis, id eſt, immoderate calidis, ſed in iis morbis, quibus viſcus aliquod phlegmone

σι κατά τι τῶν σπλάγχνων. τὸ γάρ τοι κοινὸν ὄνομα νῦν ἴδιον ἐγένετο τῶν φλεγμαινόντων· οὐ γὰρ δὴ διὰ σκίῤῥον γε ἢ οἴδημα πυρετὸς ἐξάπτεται. πρόδηλον οὖν ὅτι κατὰ τὰς ὀξείας νόσους, ὑπὲρ ὧν ὁ λόγος αὐτῷ ἐστιν, ὅταν ὄγκος ἐν σπλάγχνοις γένηται, φλεγμονῆς ἐστιν, οὐκ οἰδήματος ἢ σκίῤῥου τὸ σύμπτωμα· καὶ τούτους νῦν ὠνόμασε μεγαλοσπλάγχνους.

ιγ'.

Πτυέλου μὲν οὖν ἀναγωγὴν καὶ πνεύμονος μάλθαξιν τὸ ὑδαρέστερον μελίκρητον ποιέει μᾶλλον· τὰ μέντοι ἀφρώδεα διαχωρήματα καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα καὶ μᾶλλον θερμὰ τὸ ἄκρητον μᾶλλον τοῦ ὑδαρέος ἄγει.

Λέλεκται καὶ πρόσθεν ὡς ἐκχολουμένου τοῦ μέλιτος ἐν ταῖς ὀξείαις νόσοις καὶ κατὰ τοῦτο βλάπτοντος ἡμᾶς, βραδυπόρου δ' ὄντος τοῦ ὕδατος καὶ μένοντος ἐπὶ πλεῖστον

infeſtatur. Commune ſiquidem hoc nomen peculiare nunc factum eſt eorum quae inflammantur; non enim propter ſcirrhum aut oedema febris incenditur. Ergo quod in acutis morbis, de quibus ipſi ſermo eſt, quum tumor in viſceribus genitus fuerit, phlegmones ſymptoma ſit, non oedematis aut ſcirrhi, conſtat. Hos et nunc megaloſplanchnos appellavit.

XIII.

At ſputi quidem eductionem ac pulmonis mollitionem dilutior mulſa magis efficit, ſpumoſas vero dejectiones et bilioſas magis quam deceat coloratas magisque calidas, meraca mulſa quam aquea magis ducit.

Mel in acutis morbis bileſcere, atque ob id nos laedere antea dictum eſt; aquam praeterea tarde penetrare, atque in hypochondriis diutius morari, atque ob eas res

ἐν τοῖς ὑποχονδρίοις καὶ διὰ τοῦτ᾽ ὄντος φευκτοῦ· τὸ μικτὸν ἐξ ἀμφοῖν ἐπιτήδειον γίνεται, κατὰ τὴν τοιαύτην κρᾶσιν συντιθέμενον, ὅταν ὕδατι πλείονι μέλιτος μιχθῇ τοσοῦτον, ὡς ὁδοποιεῖν τε καὶ πρὸς τὴν ἀνάδοσιν ἄγειν αὐτό. τά τε γὰρ οὖρα ποριμώτερα γίνεται καὶ ἡ τῶν πτυέλων ἀναγωγὴ θᾶττον, οὕτω κερασθέντων αὐτῶν· εἰ δὲ πολὺ τοῦ μέλιτος μιχθείη, δίψαν τε ποιεῖ καὶ γλισχραίνει τὸ πτύελον. καὶ διὰ ταῦτα μὲν ἐπιτηδειότερόν ἐστι τὸ ὑδαρέστερον μελίκρατον, εἴς τε τὴν τῶν πτυέλων ἀναγωγὴν καὶ τὴν τῶν οὔρων διέξοδον, τὸ δ᾽ ἀκρατέστερον εἰς τὰς τῆς γαστρὸς ὑποχωρήσεις· ὅσῳ γὰρ ἂν ἐρεθιστικώτερον ᾖ, τοσούτῳ μᾶλλόν τε καὶ θᾶττον αὐτὴν ὑπάγει. καὶ διὰ τῶν κλυστήρων δὲ ἐνιέμενον, ὅσῳπερ ἂν ἀκρατέστερον ᾖ, τοσοῦτον μᾶλλον ἐκκριτικὸν γίνεται τὸ τοιοῦτον· καὶ τῶν κατακορέως χολωδῶν, τουτέστι τῶν ἱκανῶς τοιούτων καὶ τῶν ἀφρωδῶν διαχωρημάτων αἴτιον ὑπάρχει· τὸ γὰρ ἐπισπᾶσθαι τὰ τοιαῦτα μᾶλλον ἔχει τῷ δάκνειν τε καὶ ῥύπτειν τὸ ἔντερον· ἔτι δὲ καὶ αὐτὸ μεταβάλλον εἰς χολὴν ξανθὴν συναύξει καὶ κατὰ τοῦτο τῶν χολωδῶν διαχωρημάτων τὸ πλῆθος, ὅθεν οὐδ᾽ ἐπαινεῖ

fugiendam. At quod ex utrisque mixtum est, idoneum redditur, quando ea constet temperatura, qua aquae plurimae tantum mellis permixtum fuerit, ut viam aquae paret et ad distributionem eam agat; his namque ita temperatis urinae facilius penetrabunt celeriusque sputum educetur. Quod si mellis plurimum admixtum fuerit, et sitim facit et viscosum reddit sputum, ac propterea aquosior mulsa tum ad sputi eductionem, tum ad urinarum transitum idonea magis existit, meracior vero ad ventris dejectiones, nam quanto magis proritabit, tanto magis et velocius subducet. Clysteribus ergo infusa, quo meracior, eo magis excretoria redditur. Causaque existit dejectionum tum abunde, hoc est valde biliosarum, tum spumosarum; talia siquidem trahere magis potest, quia intestina tum mordet tum deterget. Adde quod et in bilem flavam transiens ea occasione biliosorum excrementorum copiam simul adauget, unde ipsius usum non laudat

τὴν χρῆσιν αὐτοῦ. δηλοῖ δ' ἐκ τοῦ προσθεῖναι καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα· τὸ γὰρ μᾶλλον τοῦ καιροῦ σύνηθες αὐτῷ λέγειν ἀντὶ τοῦ μᾶλλον τοῦ προσήκοντος. τὸ δὲ ἀφρῶδες διαχώρημα καὶ κατὰ τὸ προγνωστικὸν ἐμέμψατο· καὶ τὰ κατακορέως δὲ, τουτέστιν ἀκράτως χολώδη, μοχθηρά· χρὴ γὰρ οὐ κατακορέως, οὐδ' ἀκράτως, ἀλλὰ μετρίως αὐτὰ τοιαῦτα εἶναι. μεμνημένος οὖν καὶ σὺ τούτων, ὅταν ἤτοι μελικράτου ποθέντος ἢ καὶ χωρὶς αὐτοῦ διαχωρεῖ τις ἀφρώδη τε ἅμα καὶ κατακορέως χολώδη, συντηκτικὸν εἶναι τὸν πυρετὸν ἴσθι καὶ διὰ τοῦτο ἀφίστασο τῆς τοῦ μελικράτου χρήσεως, [90] ἐπὶ δὲ τὸν τῆς πτισάνης ἧκε χυλὸν, ἐπιτηρῶν ἰδεῖν τι γνώρισμα κἂν βραχὺ, διὰ τῶν οὔρων, τῆς τοῦ νοσήματος πέψεως· ἐν ἐκείνῳ γὰρ τῷ καιρῷ διδοὺς καὶ τὸ ψυχρὸν ὕδωρ ὀνήσεις μέγιστα.

ιδ'.

Τὸ δὲ τοιοῦτον διαχώρημα ἔχει μὲν καὶ ἄλλα σίνεα μεγάλα (οὔτε γὰρ ἐξ ὑποχονδρίων καῦμα σβέννυσιν, ἀλλ' ὁρμᾷ·

Hippocrates. Declarat autem ex his adjectis et magis quam deceat sincere biliosas. Nam μᾶλλον τοῦ καιροῦ dicere ipsi consuetum est pro plus quam conveniat. Spumosas item dejectiones et in prognostico damnavit. Et κατακορέως, id est sincere, biliosa, prava sunt, neque enim sincere, neque mere, sed mediocriter ipsa talia esse oportet. Horum igitur tu memor, quum vel ex mulsa epota, vel etiam absque ipsa quis spumosa simul et sincere biliosa dejecerit, febrem sciveris esse syntecticam, atque ob id ab usu mulsae abstineto, atque in ptisanae cremorem devenito, observans ut aliquod signum, licet exiguum, coctionis morbi ex urinis videas. Nam si tunc frigidam aquam dederis, maximo eris praesidio.

XIV.

Talis autem dejectio habet quidem alia quoque magna nocumenta. Neque enim hypochondriorum ardorem

δυσφορίην τε καὶ ῥιπτασμὸν τῶν μελέων ποιέει) ἑλκώδες δ' ἐστι καὶ ἐντέρου καὶ ἕδρης· ἀλεξητήρια δὲ τουτέων γεγράψεται.

Σύνηθες αὐτῷ τὰς βλάβας σίνεα λέγειν, ὡς κἀν τῷ περὶ ἀγμῶν καὶ ἄρθρων ἐδείχθη· καὶ γάρτοι σίνειν λέγουσιν οἱ Ἴωνες ἀντὶ τοῦ βλάπτειν· ἀλλὰ καὶ τὰ βλαβερὰ σινόμωρα πολλάκις αὐτὸς ὠνόμασε. μεγάλας οὖν βλάβας ἔχειν φησὶ τὸ προειρημένον διαχώρημα, τουτέστι τὸ κατακορὲς χολῶδες ἅμα τῷ καὶ ἀφρῶδες εἶναι. σύνηθες δ' αὐτῷ πολλάκις ἐπὶ τῶν σημείων χρῆσθαι ταῖς τῶν αἰτίων τε καὶ βλαπτομένων σωμάτων φωναῖς· τὸ γοῦν τοιόνδε διαχώρημα κάλλιον ἦν εἰπεῖν σημαίνειν, ἀλλ' ἔχειν εἶπε· καίτοι τὰ μὲν πεπονθότα σώματα τὰς βλάβας ἴσχει, τὰ δ' αἴτια ποιεῖ, τὰ δὲ σημεῖα δηλοῖ. τίνα γε μὴν ἐστιν ἃ συμβαίνει πρὸς τῶν εἰρημένων διαχωρημάτων σίνεα, παρ' αὐτοῦ ἄκουε λέγοντος· οὔτε γὰρ ἐξ ὑποχονδρίων καῦμα σβέννυσιν, ἀλλ'

extinguit, ſed concitat, gravem moleſtamque membrorum jactationem facit, verum inteſtina ac ſedem exulcerat, ſed horum auxilia ſcribentur.

Ipſi conſuetum eſt laeſiones nocumenta dicere, ut et in libris de fracturis et articulis demonſtratum eſt, nam *σίνειν nocere* Iones dicunt pro *laedere*, imo et *noxia σινόμωρα* ſaepenumero appellavit. Magnas igitur laeſiones habent, inquit, praedictae dejectiones, id eſt purae bilioſae ſimul et ſpumoſae. Conſuevit autem ſaepe Hippocrates inter ſigna, vocibus uti tum cauſarum tum quae laeduntur corporum. Dejectiones ergo hujusmodi ſignificare commodius dixiſſet, ſed habere dixit, quanquam corpora affecta laeſiones habent, cauſae faciunt et ſigna indicant. Sed quaenam ſint quae a dictis proveniunt dejectionibus noxiae, ab Hippocrate audi dicente. *Neque enim hypochondriorum extinguunt ardorem, ſed concitant.*

ὁρμᾷ· τοῦτο δὲ εἶπεν, ἐπειδὴ πολλάκις ἡ τῶν χολωδῶν ὑποχώρησις αὐτίκα σβέννυσι τὸ ἐξ ὑποχονδρίων καῦμα· διὰ τοῦτ᾽ οὖν ἐπὶ τῶν κακοηθῶν χολωδῶν προσέθηκεν, ὅτι μὴ σβέννυται, ἀλλὰ τοὐναντίον ἅπαν αὐξάνεται τοῖς τὰ τοιαῦτα διαχωροῦσι καὶ οὐ παύεται τὸ καῦμα ἐκ τῶν ὑποχονδρίων, ἀλλὰ καὶ σφοδρότερον γίγνεται καὶ ῥιπτάζονται, τουτέστιν ἄσην τε καὶ δυσφορίαν ἔχουσιν, ἐπειδὴ τῆς ἐν τοῖς ὑποχονδρίοις διαθέσεως φλογώδους τὰ τοιαῦτα διαχωρήματα συμπτώματα· καὶ μέντοι καὶ ὅτι κατὰ τὴν τῶν ἐντέρων διέξοδον ἡ δριμύτης αὐτῶν ξυσματώδη διάθεσιν ἐργάζεται. ταύτης μὲν οὖν τῆς διαθέσεως αἴτια γίγνεται τὰ κατακορῆ χολώδη, τῆς δὲ ἐν τοῖς ὑποχονδρίοις σημεῖα· ὅ γε μὴν Ἱπποκράτης, ὡς ἔφην, εἴωθεν ἐνίοτε καὶ τοῖς τῶν αἰτίων ἐνδεικτικοῖς ῥήμασιν ἐπὶ τῶν σημείων χρῆσθαι. ἀλεξητήρια δὲ τουτέων γεγράψεται. ὅτι προείρηται καθ᾽ ἕκαστον εἶδος νοσήματος ἰάματα γράψαι καὶ διὰ τῶν ἔμπροσθεν ἐδήλωσε καὶ νῦν οὐχ ἧττον· εἰ (77) δ᾽ ἔστιν Ἱπποκράτους ἄξια τὰ προσκείμενα τῷδε τῷ βιβλίῳ τὰ μετὰ τὸ λουτρὸν,

Hoc autem ideo dixit, quoniam saepius biliosorum dejectio hypochondriorum fervorem protinus extinguit. Quare in malignis biliosis adjecit, quod talia excernentibus ipsis non extinguantur, sed omnino vice versa augeantur. Neque ardor hypochondriorum sedatur, quin potius vehementior redditur, ac jactantur, hoc est jactationem gravemque molestiam patiuntur, dejectiones siquidem hujusmodi inflammantis in hypochondriis affectionis symptomata existunt. Atque in intestinorum transitu ramentosam parit ipsorum acrimonia affectionem. Sane affectionis hujus mere biliosa causae existunt, ejus vero, quae in hypochondriis existit, signa. Verum Hippocrates, ut dixi, vocabulis causas indicantibus inter signa uti consuevit. *Sed horum auxilia scribentur.* Quod morborum singulorum remedia se scripturum dixerit, tum antea exposuit, tum et nunc non minus. Verum si quae libro huic post sermonem de balneis adjecta sunt, digna Hippocrate exi-

ὅσα τε ἐν τοῖς περὶ νόσων ἢ περὶ παθῶν γέγραπται, κατὰ τὴν ἐξήγησιν αὐτῶν ἐπισκεψόμεθα.

ιε'.

[91] Ἄνευ μὲν οὖν ῥοφημάτων μελικρήτῳ χρεόμενος ἀντ' ἄλλου ποτοῦ ἐν ταύτῃσι τῇσι νούσοισι, πολλὰ ἂν εὐτυχοίης καὶ οὐκ ἂν πολλὰ ἀτυχοίης· οἷσι δὲ δοτέον καὶ οἷσιν οὐ δοτέον, τὰ μέγιστα εἴρηται, καὶ δι' ἃ οὐ δοτέον.

Ἐδήλωσε καὶ νῦν σαφέστατα, μέχρι τοῦ κριθῆναι τὸ νόσημα, μελικράτῳ μόνῳ χρῆσθαι συμβουλεύων. ἐν μόνοις γὰρ τοῖς συντηκτικοῖς νοσήμασιν, ἢ ἐφ' ὧν ἀνθρώποιν ἀδύνατόν ἐστιν ἐξαρκέσαι τὴν δύναμιν ἄχρι τῆς κρίσεως, ἐπὶ τὸν χυλὸν ἀφιξόμεθα· τὰ δ' ἄλλα βέλτιον ἐπὶ μελικράτου μόνου διαιτᾷν.

ſtant et quae in libris de morbis vel de affectionibus ſcripta ſunt, ea inter exponendum conſiderabimus.

XV.

Si igitur hiſce in morbis absque ſorbitionibus aqua mulſa pro alio potu utaris, multa feliciter conſequeris, neque in multis ſucceſſu fruſtraberis. Verum quibus danda ſit et quibus non danda et quas ob cauſas non danda, maxima ex parte dictum eſt.

Declaravit et nunc manifeſtiſſime, donec morbus judicatus fuerit, ſola uti mulſa conſulens. Nam in ſolis ſyntecticis morbis, vel in quibus hominum vires ad morbi uſque judicationem ſufficere non poſſint, ad ptiſanae cremorem perveniemus. In aliis vero ſola cibare mulſa melius eſt.

ιστ'.

Κατέγνωσται δὲ μελίκρητον ὑπὸ τῶν ἀνθρώπων, ὡς καταγυιοῖ τοὺς πίνοντας καὶ διὰ τοῦτο ταχυθάνατον εἶναι νενόμισται. ἐκλήθη δὲ τοῦτο διὰ τοὺς ἀποκαρτερέοντας· ἔνιοι γὰρ μελικρήτῳ μόνῳ χρέονται ποτῷ, ὡς τοιοῦδε δῆθεν ἐόντος.

Οὐ ταὐτόν ἐστι καταγυιοῦσθαί τε λέγειν ὑπὸ μελικράτου καὶ μηδ' ὅλως τρέφειν ἢ ὀλιγότροφον εἶναι τὸ μελίκρατον, ἀλλ' ἐπεὶ τρία ταῦτα πράγματα διαφέροντα ἀλλήλων ἐστί. τὰ μὲν γὰρ καθαιροῦντα τὴν δύναμιν, ὡς αἱμοῤῥαγία καὶ διαχώρησις πολλὴ καὶ ἱδρὼς ἄμετρός τε καὶ κατά τι συμβεβηκὸς ἀσιτία, καταγυιοῦν εἰκότως ἂν λέγοιτο· τὰ δὲ μηδ' ὅλως τρέφοντα, καθάπερ τὸ ὕδωρ οὔτε καταγυιοῦν, οὔτε ῥωννύναι τὴν δύναμιν ἀληθῶς ἄν τις εἴποι, πλὴν κατὰ συμβεβηκὸς ἐνίοτε· τὸ γὰρ ὕδωρ οὐχ ὡς τροφὴ τὴν δύναμιν ἀνακτᾶται τῶν καμνόντων, ἀλλ' ὡς φάρμακον εἰς συμμετρίαν κράσεως ἄγον τὰ διὰ τὴν ἀμετρίαν αὐτῆς ἀῤῥω-

XVI.

Damnata vero eſt ab hominibus aqua mulſa, quod ipſam bibentes deartuet, ac propterea mortem accelerare exiſtimata eſt. Verum id ob inedia tabeſcentes dictum ſit. Nonnulli enim ſola mulſa in potu utuntur, tanquam nimirum talis exiſtat.

Dicere ſumme debilitari a mulſa et mulſam nullo pacto nutrire aut exigue, idem non eſt, imo vero tria haec inter ſe differunt. Nam quae vires imminuunt, ut ſanguinis eruptio, dejectio copioſa, ſudor immoderatus et per accidens inedia, jure debilitare dicuntur. At quae nullo modo nutriunt, ut aqua, ea vires neque ſumme debilitare, neque roborare quispiam vere dixerit, niſi interdum per accidens. Aqua ſiquidem non ut alimentum aegrotantium vires recreat, ſed ut medicamentum, ad temperamenti ſymmetriam quae propter ipſius immodera-

στοῦντα. τρίτα πρὸς τούτοις τὰ βραχέως τρέφοντα· καὶ δύναιτο μὲν ἄν τις μόνοις αὐτοῖς χρώμενος ἀποθανεῖν, οὐ μὴν ὡς καθαιροῦσι τὴν δύναμιν, ἀλλ' οἷς οὐχ ἱκανῶς ῥωννύουσιν. ἐκ τούτων οὖν ἐστι καὶ τὸ μελίκρατον· εἰ γάρ τις ἐν τέσσαρσιν ἡμέραις ἀσιτήσας ἀποθνήσκειν μέλλῃ, δύναιτ' ἂν οὗτος μελικράτῳ χρώμενος οὐ μόνον εἰς τὴν ε', ἀλλὰ καὶ εἰς τὴν στ' ἀφικέσθαι. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τοῦ μέλιτος· ἡ γὰρ τούτου φύσις ἐστὶν ἡ καὶ τὸ μελίκρατον ἐκ τῶν βραχέως τρεφόντων ἐργαζομένη· τὴν γὰρ ὑγρασίαν τῆς τροφῆς ὄχημα καὶ οὐ τροφὴν οὐ μόνος ὁ Ἱπποκράτης, ἀλλὰ καὶ σχεδὸν ἅπαντες οἱ ἄριστοι τῶν ἰατρῶν ἀπεφήναντο. ταῦτ' οὖν αὐτὰ τὰ νῦν εἰρημένα ὁ Ἱπποκράτης ἔγραψε περὶ μελικράτου καὶ μέλιτος οὐκ ἀσαφῶς διὰ τῶν ἑξῆς.

ις'.

[92] *Τὸ δ' οὐ παντάπασιν ὧδε ἔχει, ἀλλ' ὕδατος μὲν*

tionem imbecilla sunt, reducens. Tertio deinceps loco sunt, quae exigue nutriunt, quibus qui tantummodo utitur, etiamsi interire possit, non tamen tanquam vires imminuentibus, sed tanquam eas non quod satis sit roborantibus. Ex his igitur est et mulsa. Nam si quis diebus quatuor cibo privatus interire deberet, is mulsa usus non ad quintum modo, verum quoque ad sextum pervenire posset. Hic autem sermo et de melle intelligitur. Nam mellis natura et mulsam ipsam inter modice nutrientia facit. Nam humiditatem non solus Hippocrates, verum quoque et medicorum probatissimi fere omnes cibi vehiculum, non cibum censuerunt. Haec sane eadem quae nunc dicuntur, de mulsa et melle scripsit non obscure Hippocrates in sequentibus.

XVII.

Verum non prorsus ita se res habet, sed si mulsa sola bi-

πολλῷ ἰσχυρότερόν ἐστι πινόμενον μοῦνον, ἢν μὴ ἐκταράσσῃ τὴν κοιλίην.

Οὐ γὰρ παντάπασιν ἀληθές ἐστι τὸ διὰ τὸ μελίκρατον ἀποθνήσκειν τοὺς ἀποκαρτεροῦντας· ἀπέθανον γὰρ ἂν, εἰ καὶ μόνον ὕδωρ ἔπινον, ἀλλ' ὅτι βραχεῖαν τροφὴν δίδωσι τῷ σώματι, διὰ τοῦτο μόνον μὲν ὂν οὐχ ἱκανόν ἐστι διαφυλάττειν τὴν ζωὴν, ὥσπερ καὶ χυλῷ πτισάνης, εἴ τις ἐθέλοι ῥοφεῖν μόνης εἰσαεί. ἀλλ' ὕδατος μὲν πολλῷ ἰσχυρότερόν ἐστι πινόμενον μοῦνον, εἰ μὴ ἐκταράσσει τὴν κοιλίην. ἐνδείκνυσθαι δοκεῖ διὰ τῆς ἰσχυρότερον φωνῆς ὅτι ἔχειν τι καὶ τὸ ὕδωρ δύναται εἰς τὸ τρέφειν· ἐγχωρεῖ δὲ διὰ τὸ τὴν ξηρότητα τοῦ σώματος τῆς γαστρὸς ἐπιτέγγεσθαι, διαρκεῖν ἐπὶ πλεῖον τοὺς πίνοντας ὕδωρ τῶν μηδ' ὅλως προσφερομένων. ἀσφαλῶς δὲ προσέθηκεν, εἰ μὴ ταράσσει τὴν κοιλίαν, ἐπὶ τοῦ μελικράτου τὸν λόγον ποιούμενος· ἐκείνους γὰρ δεόντως καὶ χείρονας ἑαυτῶν ἐργάζεται διὰ τὴν κένωσιν, οἷς ταράσσει τὴν κοιλίαν· ἅμα καὶ τοῦ

batur, aqua quidem multo valentior exiſtit, niſi alvum exturbarit.

Non enim omnino verum eſt inedia confectos propter mulſam mortem obire, moriuntur etenim, ſi quoque aquam ſolam biberint, ſed quod exiguam corpori praeſtet alimoniam, ob id ſola vitam ſervare non ſufficit, quemadmodum etiam *accidit*, ſi quis ptiſanae cremorem ſolum perpetuo ſorbeat. *Sed ſi mulſa bibatur ſola, aqua multo potentior eſt, niſi alvum exturbet.* Indicare videtur per hanc vocem, *potentior*, quod et aqua aliquam nutriendi vim habeat. Evenit autem eo quod corporis ventriculi ariditas irrigatur, ut diu qui aquam bibunt magis durent quam qui nihil aſſumunt. Secure autem, *niſi alvum perturbet*, addidit, de mulſa ſermonem faciens; illos enim jure pejus habere facit propter evacuationem, quibus alvum perturbat, ſimulque verbum id, *perturbat*, immoderatam ſignificat excretionem et non mediocrem. Scire qui-

ταράττειν ῥήματος οὐ τὴν σύμμετρον ὑποχώρησιν, ἀλλὰ τὴν πλεονάζουσαν δηλοῦντος. εἰδέναι μέντοι χρὴ τὸ μὲν ὠμὸν μελίκρατον ὑπακτικώτερον εἶναι, τὸ δὲ καλῶς ἡψημένον τροφιμώτερον· ἀλλὰ τοῦτο μὲν ἐγνώσθω σοι κατὰ τὸ πάρεργον, ἴδωμεν δὲ ἃ ἑξῆς γράφει παραβάλλων οἴνῳ μελίκρατον.

ιη΄.

Ἀτὰρ καὶ οἴνου λευκοῦ καὶ λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόσμου ᾗ μὲν ἰσχυρότερόν ἐστιν, ᾗ δὲ ἀσθενέστερον.

Ἔνιοι χωρὶς τοῦ ἐστὶ γράφουσι τὴν ῥῆσιν οὕτως· ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόσμου ᾗ μὲν ἰσχυρότερον, ᾗ δὲ ἀσθενέστερον. ἔνιοι δὲ ἀντὶ τοῦ ᾗ τὸ ἐνίῃ γράφουσιν οὕτως· ἀτὰρ καὶ οἴνου ὀλιγοφόρου καὶ λεπτοῦ καὶ ἀνόσμου ἐνίῃ μὲν ἰσχυρότερον, ἐνίῃ δὲ ἀσθενέστερον. ἐξ ἁπάντων γε μὴν ἡ αὐτὴ δηλοῦται δύναμις καὶ ἔννοια, κατά τι μὲν λέγοντος ἰσχυρότερον εἶναι τὸ μελίκρατον τοῦ τοιούτου οἴνου, κατά τι δὲ ἀσθενέστερον. ἐγὼ μὲν οὖν

dem oportet, mulſam crudam alvum magis ſolvere, coctam autem magis nutrire. Hoc autem obiter a te ſit cognitum. Videamus autem quae deinceps ſcribit vino mulſam comparans.

XVIII.

Sed et vino albo, tenui, paucifero et inodoro quodammodo validior eſt et quodammodo imbecillior.

Quidam citra *eſt* dictionem ita ſcribunt: *Sed et vino albo, tenui, paucifero et inodoro quodam modo validior et quodam modo imbecillior.* Nonnulli pro quodam modo legunt, interdum, hoc modo, *ſed et vino albo, tenui, paucifero et inodoro interdum quidem validior, interdum autem et imbecillior.* Sed certe ex omnibus vis eadem atque idem intellectus declaratur, quum mulſam vino hujusmodi quadantenus validiorem et quadantenus imbecilliorem dicat. Ego quidem memini vini hujus in

ἐπεμνήσθην οἴνου τοιούτου κατὰ τὸν περὶ τῶν οἴνων λόγον· ὁ δ' Ἱπποκράτης αὐτὸν ὥσπερ οὐκ εἰδὼς ἐσιώπησεν, ἀλλὰ νῦν γε σαφῶς ἐδίδαξε τήν τε σύστασιν αὐτοῦ μηνύσας ἐκ τοῦ φάναι λεπτοῦ, καὶ τὴν τῆς δυνάμεως ἀσθένειαν ἐκ τοῦ προσγράψαι καὶ ὀλιγοφόρου· [93] καλεῖται γὰρ οὕτως ὁ τῆς ὕδατος μίξεως ὀλιγίστης χρήζων εἰς τὸ ποθῆναι. κατὰ τοὐναντίον γὰρ ὁ πολλοῦ δεόμενος ὕδατος εἰς εὐκρασίαν ὀνομάζεται πολυφόρος, ἐν ἴσῳ τῷ πολὺ φέρειν ὕδατος δεόμενος εἰς τὴν εὔκρατον μίξιν· ὁ δ' ὀλιγοφόρος οἶνος ἔκλυτός τε καὶ ἀσθενὴς καὶ ἄχρηστος εἰς ποτὸν γίνεται, εἰ πλέονι κεράσεις ὕδατι. καὶ μὴν καὶ τὸ ἄοδμον αὐτοῦ μέγιστον γνώρισμα τῆς ἀσθενείας τε καὶ ψυχρότητός ἐστιν, ὕδατι καὶ κατὰ τοῦτο ἐοικὼς, ὥσπερ γε καὶ τῶν ἰσχυρὰν ἐχόντων ὀσμὴν μέγιστον τοῦτ' ἔστι τῆς ῥώμης σημεῖον. ὁ μὲν γὰρ ὑδατώδης οἶνος ὀλιγίστην μὲν ἐν τῷ ξύλῳ τῆς ἀμπέλου μεταβολὴν ἔσχηκεν, ὀλιγίστην δὲ καὶ τοῦ γεώδους στοιχείου τὴν μίξιν, ὥστε ὕδωρ εἶναι, βραχὺ γεώδους τε

de vinis tractatione. Ipſum autem tanquam neſciens Hippocrates ſubticuit, ſed nunc quidem manifeſte docuit, tum ſubſtantiam memorans hoc verbo, *tenui*, tum facultatis imbecillitatem, cum adjecit: *et paucifero.* Vocatur ſiquidem pauciferum, quod ut bibatur minima eget aquae mixtione. Contrario namque modo multiferum appellatur, quod ut probe temperetur multam exigit aquam, aequivalenter dixeris, quod aquae multum ferre debet ad probe temperatam mixtionem. Quod vero pauciferum vinum appellatur, tum exolutum tum imbecillum et ad potum inutile redditur, ſi multa dilueris aqua. Atqui quae in hoc vino eſt carentia odoris, ea imbecillitatis frigiditatiſque efficaciſſima exiſtit nota, atque in hoc aquae eſt aſſimile, quemadmodum vehementem habentium odorem efficaciſſimum id roboris ſignum. Vinum ſiquidem aquoſum leviſſimam in ligno vitis habuit transmutationem, leviſſimam quoque et elementi terrei permixtionem, ita ut aqua ſit, quae tum paulum terreae calidaeque ſubſtan-

καὶ θερμῆς οὐσίας προσειληφὸς, ἢ μετειληφὸς, εἴς τε τὴν τούτων ἕνωσιν ὀλιγίστης κατεργασίας δεηθείς. ὁ δ' ἐναντίος οἰνώδης τε καὶ πολυφόρος οὐθ' ὑπὸ βραχείας κατεργασίας γίγνεται τοιοῦτος, ὡς ἂν ἐπὶ πλεῖστον ἀφιστάμενος ὕδατος, ἀξιόλογον δὲ διὰ τοῦτ' αὐτὸ τὴν θερμασίαν καὶ τὴν ὀδμὴν ἐπικτᾶται.

ιθ'.

Μέγα μὴν διαφέρει καὶ οἴνου καὶ μέλιτος ἀκρητότης ἐς ἰσχὺν ἀμφοῖν. ὅμως τοίνυν εἰ καὶ διπλάσιον μέτρον οἴνου ἀκρήτου πίνοι τις ἢ ὁκόσον μέλι ἐκλείχοι, πολλῷ ἂν δήπου (78) ἰσχυρότερος εἴη ὑπὸ τοῦ μέλιτος, μοῦνον εἰ μὴ ταράσσοι τὴν κοιλίην· πολλαπλάσιον γὰρ καὶ τὸ κόπριον διεξίοι ἂν αὐτέῳ.

Εἰ μελικράτου ἐλέλεκτο καὶ μὴ μέλιτος, ἦν ἂν σαφέστερον· ὁ γάρ τοι λόγος ἦν αὐτῷ μέχρι δεῦρο περὶ μελικράτου καὶ τοῦτο παρέβαλεν οἴνῳ κεκραμένῳ, δηλονότι μεθ'

tiae assumpserit, participesve fuerit, tum levissima in horum conjunctionem indiguerit confectione. Contrarium autem, tum vinosum, tum multiferum, neque a levi confectione tale efficitur, ut quod ab aqua longissimo recedat intervallo. Qua de causa insignem tum calorem tum odorem consequutum est.

XIX.

Multum tamen differt tum vini tum mellis meracitas ad utriusque robur. Nam etiamsi duplam vini meraci mensuram quis biberit, aut tantum mellis delinxerit, tamen a solo melle multo validior fuerit, nisi alvum turbaverit. Nam et multo plus stercoris ipsi prodierit.

Si mulsae et non mellis dixisset, manifestior esset oratio. Nam de mulsa hucusque ipse disseruit eamque vino nimirum aqua diluto comparavit, neque ipsam per

ὕδατος, οὐκ αὐτὸ καθ᾽ ἑαυτό· ἀλλ᾽ ὅπως ἡ παραβολὴ δικαία γίγνοιτο, διὰ τοῦτο ἐπανήγαγε τὸν λόγον ἐπ᾽ αὐτόν τε τὸν οἶνον καὶ τὸ μέλι. παραλογίζονται δ᾽ ἔνιοι κατὰ τὰς τοιαύτας παραβολὰς οὐκ ἄλλους μόνον ἑκόντες, ἀλλὰ καὶ σφᾶς αὐτοὺς ἄκοντες· ἔνιοι δὲ πειραθέντες γοῦν τινων ἀκρατεστέρων, οὐ τοῖς ἀκράτοις μόνοις, ἀλλὰ καὶ ὁπωσοῦν κεκραμένοις τὴν ἐπ᾽ ἐκείνων προσάπτουσι δύναμιν· ὥσπερ αὖ πάλιν ἕτεροι πειραθέντες ὑδαρεστέρων, ἐξ ἐκείνων ὑπὲρ ἁπάντων ἀπεφήναντο τῶν ὁπωσοῦν κεκραμένων. οὐ μὴν οὕτως ἐχρῆν ποιεῖσθαι τὰς κρίσεις τῶν πραγμάτων, ἀλλὰ λογίσασθαι δεῖν ἀνάλογον τὸ μελίκρατον ἐν τῇ κράσει τῶν πινομένων οἴνων κατὰ τὴν τοῦ ὕδατος μίξιν, ὡς μὴ τὸν οἶνον ἀκρατέστερον εἶναι, τὸ δὲ μελίκρατον ὑδαρέστερον, εἰ μέλλεις δικαίαν ποιεῖσθαι τὴν παραβολὴν αὐτῶν· ἐπεὶ δὲ χαλεπόν ἐστι τὴν ἀναλογίαν ἀκριβῶς ἐν τῇ μίξει φυλάξαι, διὰ τοῦτο ἐπ᾽ αὐτὰ τὰ ὄντως ἄμικτα καὶ κυρίως ἄκρατα καλούμενα μετήνεγκε τὸν λόγον ὁ Ἱπποκράτης, οἴνῳ μηδ᾽ ὅλως κεκραμένῳ παραβάλλων τὸ μέλι· καί φησι διπλάσιον οἶνον

ſe, ſed ut juſta fieret comparatio, ob id ſermonem ſuum ad mel vinumque revocavit. Nonnulli autem in hujusmodi comparationibus non alios modo volentes, ſed ſe ipſos quoque inviti falſis rationibus decipiunt. Quidam vero meraciora purioraque experti, non puris ſolis, ſed quovis modo temperatis illorum vires adaptant. Quemadmodum alii rurſum aquoſiora experti, ex illis de omnibus quoquo modo temperatis ſententiam ferunt. Non ita tamen de rebus judicium ferendum eſt. At ſi juſtam facturus ſis de ipſis comparationem, mulſam ad eorum quae bibuntur vinorum temperaturam in aquae permixtione, ita ex proportione exiſtimabis, ut vinum non meracius et mulſa aquoſior fuerit. Sed quoniam in mixtione proportionem exacte ſervare difficile eſt, ob id ad ea quae vere immixta et proprie pura vocantur, tranſtulit ſermonem Hippocrates, vino nullo modo diluto melip ſum comparans. Aitque duplum vini epotum minus alere quam

πινόμενον ἧττον τρέφειν ἁπλοῦ πλήθους μέλιτος. ἐπεὶ δὲ πλείω γένη τῶν οἴνων εἰσὶν, οὐ τοὺς ἰσχυροὺς καὶ κεφαλὴν πλῆξαι δυναμένους καὶ παραφροσύνας ἐργάσασθαι προεχειρίσατο κατὰ [94] τὸν λόγον, ἀλλὰ τὸν ἀσθενῆ καὶ ὑδατώδη καὶ τούτῳ παραβάλλων τὸ μέλι τροφιμώτερον ἀπέδειξεν. ὅταν δὲ διπλασίῳ ὄγκῳ οἴνου ἀξιώσῃ μέλιτος ἥμισυ παραβάλλειν, οὐ τοῦτό φησιν, ὅτι μόνον ἑκάτερον ὁ κάμνων αὐτὸ καθ' ἑαυτὸ προσφερέσθω, μὴ μιγνὺς ὕδωρ· ἀλλ' εἰ μετὰ τὸ μετρῆσαι τὸ πλῆθος ἑκατέρου προσφέροιτο καθ' ὅ τι βούλοιτο, διαφέρει οὐδὲν ἧττον. δύναται γὰρ εἰ τύχοι κύαθον ἕνα μέλιτος ἢ καθ' ἑαυτὸν λαμβάνειν ἢ ὅσον βούλεται μιγνὺς ὕδατι προσφέρεσθαι καὶ τοῦτο καθ' ἑκάστην ἡμέραν πιεῖν· ἢ πάλιν οἴνου κυάθους δύο ἑκάστης ἡμέρας ὡς αὐτὸς βούλεται κεραννὺς ὕδατι προσφέρεσθαι. γνωσθήσεται γὰρ ἐκ τῆς τοιαύτης πείρας ἐπὶ πλέον τῶν ἀνθρώπων ὁμοίως ἐχόντων κατ' ἄλλα καὶ μέντοι καὶ μᾶλλον ἐφ' ἑνὸς, οὐ κατὰ τὸν αὐτὸν χρόνον, ἡ ἑκατέρου δύναμις ἀκριβής· εἰ γὰρ μὴ κατά τινα φύσεως ἰδιότητα ταράττοι τὴν γαστέρα τὸ μέλι,

mellis ſimplum. Verum quoniam plura vinorum genera exiſtunt, non quae vehementia ſunt caputque ferire ac deliria creare poſſunt, in hoc exprompſit ſermone, ſed *vinum* imbecillum aquoſumque melque huic comparans, plus alere enunciavit. At quum vini duplo vaſi mellis dimidium comparare voluerit, non quod ſolum utrumque per ſe et citra aquae mixtionem aeger ſumere debeat aſſeruit, ſed ſi poſt utrumque dimenſum pro arbitrio ingerat, non minus differt. Poteſt ſiquidem, ſi res tulerit, mellis cyathum unum vel per ſe accipere, vel aquae quantum volet mixtum ingerere, atque id quotidie bibere, vel denuo vini cyathos duos diebus ſingulis, ut volet, aqua temperans aſſumere. Tali ſiquidem experimento, tum in plurimis ſimiliter in caeteris habentibus hominibus, tum etiam in uno magis non eodem tempore, cognoſcetur exquiſita utriusque facultas. Si enim mel non ex aliqua naturae proprietate ventrem turbat, qui melle

πλείοσιν ἡμέραις ἐξαρκέσουσιν οἱ τῷ μέλιτι χρώμενοι. διὰ τί οὖν, εἴπερ τοῦτο οὕτως ἔχει, κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἶπεν· ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόσμου ἐνίῃ μὲν ἰσχυρότερον, ἐνίῃ δὲ ἀσθενέστερον εἶναι τὸ μελίκρητον; οὐ γὰρ ἐνίοτε μὲν ἰσχυρότερον, ἐνίοτε δὲ ἀσθενέστερον, ἀλλ' ἰσχυρότερον ἀεὶ φαίνεται κατὰ τὸν εἰρημένον ἄρτι λόγον. ὅτι πρὸ τοῦ διορισθῆναι καὶ διδαχθῆναι πρὸς αὐτοῦ περὶ τῆς δικαίας παραβολῆς ἀδιορίστως τοῦ λόγου περαινομένου καλῶς καὶ ἀσφαλῶς εἶπεν, εὑρεθήσεται τὸ μελίκρατον τοῦ οἴνου κατά τι μὲν ἰσχυρότερον, κατά τι δὲ ἀσθενέστερον. ἐὰν γὰρ μὴ διορίσηταί τις ἑκατέρου τὴν ἀναλογίαν τῆς κράσεως, ἐνίοτε μὲν ἀσθενέστερος ὁ οἶνος, ἐνίοτε δὲ τὸ μελίκρατον εἶναι δόξει· διορισθέντων δὲ, ὡς εἴρηται, καὶ τῆς κατὰ τὴν γαστέρα ταραχῆς ἐπιβλεπομένης, τὸ μελίκρατον ἰσχυρότερον εἰς θρέψιν ἀεὶ φαίνεται τοῦ κεκραμένου κατὰ τὴν αὐτὴν ἀναλογίαν οἴνου· ἐὰν δὲ ὅτι καὶ τὸ κόπριον ἐκκρινόμενον ἐπὶ τῷ μελικράτῳ σύμμετρον, ὡς μὴ καταλύειν τὴν δύναμιν ἐννοήσεις, ἔτι καὶ μᾶλλόν σοι φανεῖ-

utuntur, diebus pluribus abunde sufficient. Si ergo res ita habet, cur in principio orationis dixit: *at vino albo, tenui, paucifero et inodoro interdum fortior et interdum imbecillior est mulsa?* Non enim interdum fortior et interdum imbecillior, sed semper fortior secundum nuper dicta videtur. Quoniam priusquam de comparatione justa distinxisset docuissetque, citra distinctionem absoluto sermone, probe et secure dixit, invenietur mulsa vino quadantenus fortior et quadantenus imbecillior. Si enim temperamenti utriusque analogiam quis non distinxerit, interdum quidem imbecillius vinum, interdum et mulsa esse videbitur. Verum si haec distinxeris, ut est dictum, atque eam quam mel in ventre facit turbationem contemplatus fueris, mulsam ad nutriendum validiorem semper deprehendes quam vinum eadem proportione dilutum. Quod si et stercus, quod ex mulsa ita moderatum excernitur, ut vires non exsolvat, adnotaveris, tibi etiam magis

ται πλείων ἡ ἐκ μελικράτου θρέψις ἤπερ ἡ ἐξ οἴνου γιγνομένη. εἰ γὰρ καὶ κόπρου πολλαπλασίου διεξιόντος, ὅμως ὁ κάμνων ἐξαρκεῖ πλείοσιν ἡμέραις ἐπὶ τῷ μελικράτῳ, δυνατώτερον δηλονότι πρὸς τὴν θρέψιν οἴνου φαίνεται τὸ μέλι.

κ'.

Εἰ μέντοι ῥοφήματι χρέοιτο πτισάνῃ, ἐπιπίνοι δὲ μελίκρητον, ἄγαν πλησμονῶδες ἂν εἴη καὶ φυσῶδες καὶ τοῖσι κατὰ τὰ ὑποχόνδρια σπλάγχνοισιν ἀσύμφορον· προπινόμενον μέντοι πρὸ ῥοφημάτων μελίκρητον οὐ βλάπτει ὡς ἐπιπινόμενον, ἀλλά τι καὶ ὠφελέει.

Περὶ τῆς τάξεως ὁ λόγος αὐτῷ, ᾗ κάλλιστ' ἄν τις χρῷτο τῷ μελικράτῳ τε καὶ πτισάνῃ. κοινὸς δὲ ἔστω σοι λόγος καὶ οὗτος, ὡς ἐπὶ παραδείγματος ἑνὸς διδασκόμενος μελικράτου τε καὶ πτισάνης· ἀεὶ γὰρ χρὴ πρότερον μὲν προσφέρεσθαι τά τε ῥᾳδίως διαφθειρόμενα καὶ μᾶλλον ὑπιόντα, δεύτερα δὲ τὰ ἐναντία. πτισάνη δὲ [95] μελικράτου δυσ-

ex mulſa copioſior videbitur nutritio quàm ex vino. Etenim ſi multiplex exeat ſtercus, laborans tamen pluribus diebus ex mulſa ſufficiat, certe ad nutritionem mel vino validius videtur.

XX.

Si tamen pro ſorbitione ptiſana utatur, aquam vero mulſam ſuperbibat, hunc vehementer replebit, ac flatus concitabit et hypochondriorum viſceribus erit noxia. At ſi ante ſorbitiones mulſa bibatur, non ut ſuperepota laedit, imo etiam aliquo modo opitulatur.

De ordine ipſi ſermo eſt, quem in uſu et mulſae et ptiſanae quisque optime ſervare debeat. Verum uno tum mulſae tum ptiſanae exemplo edoctus univerſalem hunc accipe ſermonem. Nam perpetuo prius aſſumenda ſunt, quae et facilius corrumpuntur et magis ſubducuntur, poſterius vero contraria. Ptiſana autem quod mulſa difficilius

φθαρτότερον καὶ ὑπέρχεται βράδιον. πρώτου μὲν οὖν τοῦ μελικράτου ληφθέντος οἷον ὑφήγησίς τις ἐξ αὐτοῦ γένοιτ' ἂν τῇ πτισάνῃ τῆς διαχωρήσεως· εἰ δὲ πτισάνη πρώτη ληφθείη, κωλυόμενον ὑπιέναι τὸ μελίκρατον ἐμφυσήσει τε τὸ ὑποχόνδριον εἴς τε τὴν χολὴν μεταβληθὲν ἐν τῷ χρόνῳ καὶ τῇ πτισάνῃ τι λυμανεῖται.

κα'.

Ἑφθὸν δὲ μελίκρητον ἐσιδεῖν μὲν πολλῷ κάλλιον τοῦ ὠμοῦ· λαμπρὸν γὰρ καὶ λεπτὸν καὶ λευκὸν καὶ διαφανὲς γίγνεται· ἀρετὴν δὲ ἥντινα αὐτέῳ προσθέω διαφέρουσάν τι τοῦ ὠμοῦ οὐκ ἔχω. οὔτε γὰρ ἥδιόν ἐστι τοῦ ὠμοῦ, ἢν τυγχάνοι γε τὸ μέλι καλὸν ἐόν· ἀσθενέστερον μέντοι γε τοῦ ὠμοῦ καὶ ἀκοπρωδέστερόν ἐστιν, ὧν οὐδετέρου ἐς τιμωρίην προσδέεται μελίκρητον. ἄγχιστα δὲ χρηστέον αὐτῷ τοιῷδε ἐόντι, ἢν τὸ μέλι τυγχάνοι πονηρὸν ἐὸν καὶ ἀκάθαρτον καὶ μέλαν καὶ μὴ εὐῶδες· ἀφέλοιτο γὰρ ἂν ἡ ἕψησις τῶν κακοτήτων αὐτοῦ τὰ πλέονα τοῦ αἴσχεος.

corrumpatur et descendit tardius. Si ergo mulsa primo sumpta fuerit, ex ea quaedam ptisanae ad dejectionem fit provocatio, verum si ptisana primum sumpta fuerit, subduci mulsa prohibita inflabit hypochondria, atque tandem in bilem conversa ptisanae detrimentum afferet.

XXI

Cocta autem aqua mulsa aspectu quidem quam cruda longe praestantior est. Splendida namque et tenuis, alba et pellucida existit. Sed quam ipsi virtutem attribuam, qua crudam antecellat, non habeo. Neque enim cruda est suavior, si mel probum esse contigerit, cruda tamen est imbecillior, ac minus ducit stercoris, quorum neutro ad praesidium mulsa indiget. Praecipue vero ejusmodi cocta *utendum, si mel pravum fuerit et impurum et nigrum, neque boni odoris. Coctura namque majorem pravitatum ipsius foeditatem tollit.*

Διαφορὰς ὠμοῦ τε καὶ ἑφθοῦ μελικράτου διδάσκει καθ' ὅλην τήνδε τὴν ῥῆσιν, δεῖται δ' ὁ λόγος οὐδεμιᾶς ἐξηγήσεως.

κβ'.

Τὸ δ' ὀξύμελι καλεόμενον ποτὸν πολλαχοῦ εὔχρηστον ἐν ταύτῃσι τῇσι νούσοισιν εὑρήσεις ἐόν· καὶ γὰρ πτυάλου ἀναγωγόν ἐστι καὶ εὔπνοον· καιροὺς μέντοι τοιούσδε ἔχει.

Τὸ καλούμενον καὶ τὸ καλεῖσθαι καὶ τὰ παραπλήσια τούτοις ἔμαθες αὐτὸν προστιθέντα ποτὲ μὲν ὡς οὐδέπω συνήθους ἅπασι τοῖς Ἕλλησι τῆσδε τῆς προσηγορίας οὔσης, ποτὲ δὲ ὡς ἀκύρως λεγομένης, ἐνίοτε δὲ ὡς ἐνδεικνυμένης τι τεχνικὸν, ὡς ἐπὶ τῶν κροταφιτῶν τε καὶ μασητήρων μυῶν ἐδιδάξαμεν. ἀλλ' ὅτι μὲν οὐδὲν ἐνδείκνυται τεχνικὸν ἡ προσηγορία τοῦ ὀξυμέλιτος ἅπαντι δῆλον, ἀλλ' ἤτοι μεμφόμενος ἢ ὡς οὐδέπω συνήθη, διὰ τῆς τοῦ (79) καλεομένου ἐπεσημήνατο προσθήκης. ἐγχωρεῖ δ' ἑκάτερα· ἴσως μὲν γὰρ

Toto textu coctae crudaeque mulſae differentias docet. Sed haec nullam deſiderat expoſitionem oratio.

XXII.

At vero acetum vocatum mulſum epotum ſaepenumero his in morbis eſſe perutile comperies. Etenim ſputum ſurſum educit et facilem reſpirationem facit. Haſce vero habet utendi opportunitates.

Quod vocatur et vocari atque his ſimilia ipſum adjicere non ignoras, interdum quidem quod haec appellatio Graecis omnibus nullo pacto uſitata ſit, interdum vero quod improprie dicatur, atque interdum quod artificioſum quiddam demonſtret, ut in temporalibus et maſticatoriis muſculis declaravimus. Sed quod artificioſum nihil indicet oxymelitis appellatio conſtat omnibus. *Appellationem* igitur ex adjectione *vocati* vel damnavit, vel tanquam inuſitatam indicavit. Poteſt autem utrumque feciſſe. Nam

τότε πρῶτον εἰς χρῆσιν κοινὴν ἤρχετο· τάχα δὲ καὶ μέμφεται τῇ φωνῇ, ὡς ἐμφαινούσῃ, ἤτοι ἐκ τοῦ ὄξους καὶ μέλιτος μόνων συγκεῖσθαι τὸ φάρμακον ἢ ὡς μέλιτος διαφορὰν δηλούσῃ, ὡς εἰ καὶ οὕτως ἔλεγέ τις· τὸ δὲ μέλι τὸ ὀξὺ δύναμιν ἔχει τοιάνδε. περὶ μὲν δὴ τῆς τοῦ καλεομένου προσθήκης δῆλον· ἐπ' αὐτὸ δὲ τὸ χρήσιμον ἴωμεν. οὐ γὰρ ἐξ ὄξους καὶ μέλιτος μίξεως μόνον ἡ σύνθεσις γίγνεται τοῦ ὀξυμέλιτος, ἀλλ' ἐκ μελικράτου βραχὺ [96] προσλαμβάνοντος ὄξους. ἕψεσθαι δὲ ἄμεινον αὐτό· καθαιρεῖται γὰρ ἡ δύναμις τοῦ ὄξους ὑπὸ τῆς ἑψήσεως, ὡς τὴν ὠφέλειαν τὴν παρ' αὐτοῦ λαμβάνειν τὸ μελίκρατον ᾧ μίγνυται, τὴν βλάβην δὲ οὐκ ἴσχειν. τὴν μὲν οὖν ὠφέλειαν κατὰ τὴν ἀρχὴν εἶπε τῆς ῥήσεως καὶ μετὰ ταῦτα ἐρεῖ· τὴν βλάβην δ' ἐπὶ τῇ τελευτῇ τῆς ὅλης ῥήσεως προσθήσει. κατὰ τὴν ἀρχὴν μὲν οὖν εἴρηται, πτυέλου γὰρ ἀναγωγόν ἐστι καὶ εὔπνοον· ἐφεξῆς δ' ὅσα ταῖς λέξεσιν ἐπακολουθήσαντες αὐτοῦ μαθησόμεθα. καιροὺς μέντοι τοιούσδε ἔχει. τοὺς καιροὺς ἤτοι τοὺς τῆς χρήσεως αὐτοῦ λέγει, καθότι σύνηθες, ἢ τοὺς

forſan tunc primum in communem coepit uſum venire. Fortaſſis et vocem damnat, tanquam ex ſolis aceto et melle conſtare] medicamentum declarantem, vel tanquam mellis differentiam indicantem, quaſi ita quispiam diceret, mel autem acidum tali praeditum eſt facultate. Ergo de *vocati* adjectione patet. Quapropter ad utile deſcendamus. Non enim ex aceti mellisque mixtione tantum oxymelitis eſt compoſitio, verum ex mulſa paulum aceti accipiente. Sed praeſtat ipſam concoqui, nam aceti facultas coctione ita imminuitur, ut mulſa quidem ab eo, cui miſcetur, auxilium ſumat, laeſionem autem non habeat. Auxilium autem in orationis exordio enunciavit, atque ab his enunciabit, laeſiones vero ad dictionis totius calcem adjiciet. Dictum eſt igitur in exordio, *ſputum ſiquidem educit et facilem reddit ſpirationem.* Quae autem deinceps ſunt dictiones ſecuti ab eo diſcemus. *Haſce vero habet utendi opportunitates.* Opportunitates dicit vel tempora, quibus ex conſuetudine utendum ſit,

τῆς ὠφελείας, ἐπειδὴ καὶ κατὰ τοῦτο τὸ σημαινόμενον ἐδείχθη χρώμενος ἐνίοτε τῇ τοῦ καιροῦ προσηγορίᾳ.

κγ'.

Τὸ μὲν κάρτα ὀξὺ οὐδὲν ἂν μέσον ποιήσειεν πρὸς τὰ πτύελα τὰ μὴ ῥηϊδίως ἀνιόντα. εἰ γὰρ ἀνάγοι μὲν τὰ ἐγκέρχνοντα καὶ ὄλισθον ἐμποιήσειε καὶ ὥσπερ εἰ διαπτερώσειε τὸν βρόγχον, παρηγορήσειε τὸν πνεύμονα, μαλθακτικὸν γὰρ αὐτέου· καὶ εἰ μὲν ταῦτα συγχωρήσειε, μεγάλην ἂν ὠφελείην ποιήσειεν· ἔστι δ' ὅτε τὸ κάρτα ὀξὺ οὐκ ἐκράτησε τῆς ἀναγωγῆς τοῦ πτυέλου, ἀλλὰ προσεγλίσχρηνέ τε καὶ ἔβλαψεν.

Ἐφ' ὧν ἐστι χρεία τοῦ ὀξέος ὀξυμέλιτος, ἐπὶ τούτων διδάσκει τὴν ἐξ αὐτοῦ γιγνομένην ἐνίοτε βλάβην· ἐφ' ὧν γὰρ ὅλως οὐδ' ἂν χρήσαιτό τις ὀξεῖ τῷ τοιούτῳ φαρμάκῳ, περιττὸν τὸ καταλέγειν τὰς τοιαύτας βλάβας. οὐδὲ γὰρ οὐδ' ἁπλῶς εἶπε περὶ ὀξέος ὀξυμέλιτος, ἀλλὰ καὶ κάρτα προσέ-

vel quibus juvare ſoleat. Quoniam et in hoc ſignificatu temporis appellatione interdum uti *Hippocratem* oſtendi.

XXIII.

Quod ſane valde acidum eſt, nihil validius ad ſputa non facile prodeuntia effecerit. Nam ſi exaſperantia educeret, ac meatum lubricum induceret et veluti gutturis alas explicaret, pulmonem utique leniret; nam ipſum emolliret. Quod ſane ſi haec contingerent, magnam id utilitatem praeſtaret. Interdum vero valde acidum ſputi eductionem non ſortitur, imo et magis glutinoſum reddit et oblaedit.

In quibus acidi oxymelitis uſus eſt, in his fieri aliquando ex eo laeſionem docet. Nam in quibus nemo prorſus tali acido medicamento uteretur, tales recenſere laeſiones ſuperfluum eſt. Neque enim ſimpliciter de acido oxymelite ſermonem fecit, ſed et *valde* adjecit, quod

θηκεν, ὅπερ σημαίνει ταὐτὸν τῷ λίαν καὶ σφόδρα. τὸ τοιοῦτον οὖν ὀξύμελι μέσον οὐδὲν εἴωθεν ἐργάζεσθαι τοῖς κατὰ τὸν πνεύμονα παχέσι τε καὶ γλίσχροις πτυέλοις, ἐφ' ὧν ἄν τις αὐτῷ χρήσαιτο μόνῳ· ἀλλ' ἤτοι τεμὸν αὐτὰ καὶ ἀποῤῥύψαν ἀνήγαγεν ἢ τοῦτο μὲν πρᾶξαι μὴ δυνηθὲν ἐξήρανεν. ὥσπερ γὰρ τμητικὸν τὸ τοιοῦτον φάρμακον, οὕτω καὶ ξηραντικόν· ἔχομεν δ' αὐτὸ ἐπὶ τῶν κατὰ τὸν πνεύμονα παχέων πτυέλων, οὐχ ὡς ξηραῖνον (οὕτως γὰρ βλάψειεν), ἀλλὰ ὡς τέμνον τε καὶ ῥύπτον. ὅταν μὲν οὖν ἀδυνατήσῃ ταῦτα ποιῆσαι, χρηστὸν μὲν οὐδὲν ἔπραξε, μεγίστην δὲ βλάβην εἰργάσατο. πότ' οὖν ἀποτυγχάνει ῥύπτειν καὶ τέμνειν αὐτὸς ἐφεξῆς ἐδίδαξε, νυνὶ δὲ βούλομαι περὶ τῆς γραφῆς τῆς ἐν πολλοῖς τῶν βιβλίων εἰπεῖν· οὐ γὰρ διὰ τὸ σ τὴν δευτέραν συλλαβὴν τοῦ μέσον ὀνόματος, ἀλλὰ διὰ τοῦ ζ γεγραμμένην εὑρίσκομεν, ὡς εἶναι τὴν ὅλην λέξιν τοιάνδε· τὸ μὲν γὰρ κάρτα ὀξὺ οὐδὲν ἂν μέζον ποιήσειεν. ἔστι δὲ τοῦτο ψεῦδος· αὐτὸς γὰρ ἐπιφέρων δείκνυσιν ἐνίοτε μὲν μεγάλην

admodum vehementerque significat. Tale igitur oxymel nihil mediocriter in crassis glutinosisque pulmonis sputis efficere consuevit, in quibus eo solo quispiam utatur, sed ea vel incidit, detergit educitque, vel facere id non valens exiccat. Ut enim hujusmodi medicamentum incidendi facultatem habet, ita et exiccandi. Utimur autem eo in crassis pulmonis sputis, non tanquam exiccante, sic enim oblaederet, sed tanquam incidente et detergente. Quum igitur haec facere non valeat, utilitatem quidem nullam adfert, imo maximam laesionem invehit. Sed quando neque incidit, neque detergit, in sequentibus ipse docuit. Nunc autem volo de ea, quae in multis reperitur libris, scriptura agere. Non enim per σ secundam hujus nominis *μέσον* syllabam, sed per ζ scriptam invenimus, ut dictio tota talis sit, quod valde acidum existit, nihil *μέζον insigne* efficiet. Sed id falsum est. Is enim inferens magnum aliquando fieri ab eo juvamentum ostendit, interdum et laesionem. Quare perpetuo insigne quid-

ὠφέλειαν ἐξ αὐτοῦ γιγνομένην, ἐνίοτε δὲ βλάβην· ὥστ' ἀεὶ μέγα τι ποιεῖ καὶ οὐδέποτε μικρόν. ἐφ' οὗ δὲ ἀληθὲς εἰπεῖν ἐστιν, ἀεί τι γίγνεσθαι κακὸν μέγα ἢ ἀγαθὸν, περὶ τούτου κάλλιον ἄν τις εἴποι καὶ μηδὲν μέσον ὑπ' αὐτοῦ γίγνεσθαι.

κδ'.

[97] *Μάλιστα δὲ τοῦτο πάσχουσιν, οἵπερ καὶ ἄλλως ὀλέθριοί εἰσι καὶ ἀδύνατοι βήσσειν τε καὶ ἀποχρέμπτεσθαι τὰ ἐνεχόμενα.*

Τὸ καταγλισχραίνεσθαι τὰ παχέα πτύελα, μηδὲν ὀνινάμενα τῇ προσφορᾷ τοῦ ὀξέος ὀξυμέλιτος, ἐκείνοις φησὶ συμβαίνειν, οἵπερ καὶ ἄλλως ὀλεθρίως ἔχουσι, τουτέστιν ἐφ' ὧν ἄπεπτος ἱκανῶς ἐστιν ἡ νόσος· οὗτοι γὰρ οὐδὲν ἀναπτύουσιν.

κε'.

Εἰς μὲν οὖν τόδε προστεκμαίρεσθαι χρὴ τὴν ῥώμην τοῦ κάμνοντος ἀνθρώπου· κἢν ἐλπίδα ἔχῃ, διδόναι.

dam facit et nullo modo parvum. De quo autem eſt verum dicere, quod perpetuo magnum vel malum vel bonum facit, de illo melius, nihil mediocriter ab eo fieri quiſpiam dixerit.

XXIV.

Id autem maxime perpetiuntur etiam alias, qui pernicioſe habentes neque tuſſire, neque quae intus retinentur excreare poſſunt.

Sputa craſſa vehementer glutinari, nihilque ab exhibito acido oxymelite juvari, ait iis contingere, qui maxime pernicioſe afficiuntur, id eſt quibus crudus ſupra modum exiſtit morbus, hi namque nihil expuunt.

XXV.

Ad hoc igitur aegrotantis hominis robur conjicere oportet, et ſi de eo ſpem habeas, exhibere.

Ἐπειδὴ προείρηκεν ὑπὸ τοῦ ὀξέος ὀξυμέλιτος οὐδὲν ὀνίνασθαι τοὺς καὶ ἄλλως ὀλεθρίοις ἔχοντας, ἔνιοι δὲ σπανίως ἐξ αὐτῶν σώζονται βοηθούμενοι, διὰ τοῦτο καὶ τὴν τούτου σπανίαν βοήθειαν οὐ παρέλιπεν· ἔστι δ' αὕτη διὰ τοῦ ὀξέος ἱκανῶς ὀξυμέλιτος, ὅταν ὁ κάμνων ἰσχυρὸς ᾖ τὴν δύναμιν. ἄλλως γὰρ οὐδὲν ὀνίνησι τὸ τοιοῦτον ὀξύμελι, δυοῖν θάτερον ἐργασάμενον, ἢ μηδ' ὅλως τεμὸν, ἀλλ' ἐπιγλισχραῖνον τὰ γλίσχρα, ἢ τεμὸν καὶ ἀποῤῥύψαν, ἀθρόαν δὲ ἀναγωγὴν καὶ κένωσιν κινῆσαν, τῆς δυνάμεως μὴ φερούσης, ἀκολουθήσει πνιγῆναι τὸν ἄνθρωπον.

κστ'.

Διδόναι δὲ, ἢν δίδως, ἀκροχλίαρον καὶ κατ' ὀλίγον τὸ τοιόνδε καὶ μὴ λάβρως.

Ἢν μηδὲν ἀναπτύῃ τι διὰ πάχος καὶ γλισχρότητα τῶν πτυσμάτων, οὐ μὴν ἀσθενῆ γε τὴν δύναμιν, ὀξύμελι κελεύει δίδοσθαι τὸ λίαν ὀξὺ, κατ' ὀλίγον τε καὶ ἀκροχλίαρον, ὅπερ

Postquam etiam perniciosissime aegrotantes ab acido oxymelite nihil juvari praedixit, paucique ex ipsis adjuti liberantur, ob id et ipsius perrarum non tacuit auxilium. Fit autem *auxilium* hujusmodi ab acido supra modum oxymelite, quum aegri vires valent. Alias enim nequaquam juvat tale oxymel. Duorum siquidem alterum efficit, vel prorsus non incidit, sed quod glutinosum est, glutinosius reddit, vel incidit abstergitque, verum repentinam tum eductionem, tum vacuationem, quam molitur, non ferente natura, continget strangulari hominem.

XXVI.

Exhibere autem oportet, si dederis, summe tepidum, idque paulatim neque affatim.

Si aeger ob sputorum tum crassitiem tum viscositatem nihil expuerit viresque validae fuerint, oxymel dari jubet valde acidum et paulatim ac pertepidum, quod est,

ἐστὶν ἄκρως χλιαρὸν (ἄκρως δέ ἐστι χλιαρὸν ὅπερ ἂν ᾖ μέσον ἀκριβῶς τοῦ τε ψυχροῦ καὶ τοῦ θερμοῦ)· ἰσχυρὰν γὰρ ἔχον αὐτὸ τὴν δύναμιν εὐλαβεῖται πολὺ προσφέρειν εἰς ἅπαξ. ὡσαύτως δὲ καὶ τὸ ψυχρὸν ἐν θέρει διδόναι, καθάπερ ἔμπροσθεν ἐκέλευσεν, εὐλαβεῖται, διὰ τὸ τὰς μὲν ἀπτύστους πτυσμάτων πλευρίτιδας καὶ περιπνευμονίας ἀπέπτους εἶναι, τῇ πέψει δ' ἀεὶ τὸ μὲν θερμὸν συντελεῖν, τὸ δὲ ψυχρὸν ἐναντιοῦσθαι. τί δήποτ' οὖν καὶ τὸ θερμὸν ὀξύμελι φεύγει; ἢ ὅτι διὰ τὸ κακόηθες τοῦ νοσήματος, μή πως εὐθέως ἐν τῇ τοιαύτῃ προσφορᾷ τοῦ τοιούτου πόματος, αὐτὸ μὲν τὸ πάθος ἄπεπτον ἔτι διαμένῃ, συμβῇ δὲ τὸν ἄνθρωπον ὑπὸ τοῦ θερμοῦ ὀξυμέλιτος διψωδέστερον γίνεσθαι ἑαυτοῦ; [98] δέδεικται δ' ὅτι τὸ σύμπτωμα τοῦτο γλίσχρον ἐργάζεται πτύελον. ἀσφαλέστερον οὖν αὐτῷ δοκεῖ μετρίως χλιαρὸν εἶναι τὸ ὀξύμελι, φεύγοντι τοῦ θερμοῦ τὴν ἐνδεχομένην ἀκολουθῆσαι βλάβην, τοῦ δὲ ψυχροῦ τὴν ἐξ ἀνάγκης ἑπομένην.

---

perquam tepidum (ſumme vero tepidum eſt, quod calidi ſrigidique exacte ſit medium). Quum enim vehementem habeat facultatem, copioſe ipſum uno hauſtu offerre veretur. Pari modo et aeſtate frigidum porrigere, ut antea praecepit, ideo timet, quia tum pleuritides, tum peripneumoniae, in quibus nihil expuitur, incoctae ſunt. Coctioni autem perpetuo calidum confert, frigidum vero adverſatur. Cur ergo calidum etiam oxymel devitat? An ob morbi malignitatem ne videlicet protinus ex tali exhibitione ejusmodi potionis cruda eadem permaneat affectio hominemque, a calido oxymelite ſiticuloſiorem fieri contingat? At quod ſymptoma hoc viſcoſum reddat ſputum, expoſuit. Tutius ergo mediocriter tepidum eſſe oxymel ipſe arbitratur, ut qui calidi eam, quae ſuccedere poſſit frigidique de neceſſitate ſucceſſuram, fugiat laeſionem.

κζ'.

Τὸ μέντοι ὀλίγον ἔποξυ ὀξύμελι ὑγραίνει μὲν τὸ στόμα καὶ φάρυγγα, ἀναγωγὸν δὲ πτυέλου ἐστὶ καὶ ἄδιψον· ὑποχονδρίῳ δὲ καὶ σπλάγχνοισι τοῖσι ταύτῃ εὐμενὲς καὶ τὰς ἀπὸ μέλιτος βλάβας ταύτῃ κωλύει· τὸ γὰρ ἐν μέλιτι χολῶδες κολάζεται.

---

(80) *Περὶ τοῦ λίαν ὀξέος ὀξυμέλιτος συμπληρώσας τὸν λόγον ἐπὶ τὸ μετρίως ὀξὺ μετέβη κατὰ τήνδε τὴν ῥῆσιν, ὑγραίνειν αὐτὸ λέγων τὸ στόμα καὶ φάρυγγα καὶ τῶν πτυέλων ἀναγωγὸν εἶναι καὶ ἄδιψον. ἅπαντα γὰρ ἔχον ὑφ' ὧν ὠφελεῖσθαι πεφύκασιν αἱ τοιαῦται νόσοι, τῶν βλαπτόντων οὐδὲν ἔχει διὰ τὴν τῆς κράσεως ἀρετήν· ἐπειδὴ τοσοῦτον τῷ μελικράτῳ μέμικται τοῦ ὄξους, ὅσον ἱκανόν ἐστι τὸ χολῶδες ἐν αὐτῷ κολάσαι, τουτέστι καθελεῖν καὶ ταπεινῶσαι· δέδεικται γάρ σοι κατὰ τὸ τέταρτον γράμμα περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐναντιωτάτην δύναμιν ἔχειν ὁ γλυκὺς χυμὸς τῷ ὀξεῖ. τῆς οὖν τοῦ μελικράτου δυνάμεως*

XXVII.

Subacidum vero oxymel os quidem et fauces humectat, ſputum educit et ſitim ſedat, hypochondriis ac viſceribus ibi locatis placidum eſt et prodeuntes ex melle noxias prohibet, quod enim in melle bilioſum eſt, emendat.

Abſoluto de admodum acido oxymelite ſermone, ad mediocriter acidum tranſiit, qui ipſum humectare os fauceſque et ſputum educere et ſitim ſedare, in textura orationis aſſerit. Nam quum omnia, quibus tales juvari morbi conſueverunt, habeat, eorum quae laedunt, ob temperamenti virtutem nihil habet. Quoniam mulſae tantum aceti admixtum eſt, quantum ſatis eſt, ut quod in ipſa bilioſum ſit, queat emendare, hoc eſt, evertere et deprimere. Nam in quarto de ſimplicium medicamentorum facultatibus dulcem ſuccum acido maxime facultatibus adverſari monſtravimus. Quum itaque mulſae facultas cae-

τὰ ἄλλα μὲν πάντα ἐχούσης, ὧν δεῖται τὰ τοιαῦτα νοσήματα, καθ' ἓν δὲ μόνον ἐναντιουμένης αὐταῖς, ὅταν ὑπερθερμανθὲν ἐκχολωθῇ, τὴν τοιαύτην αὐτοῦ μεταβολὴν ἡ τοῦ ὄξους μῖξις κωλύουσα κάλλιστον ἐργάζεται φάρμακον. ἄδιψόν τε γὰρ ἔσται καὶ διὰ τοῦτο καὶ τὰ πτύελα, τά γε μὴ παντάπασι παχέα καὶ γλίσχρα, ῥᾳδίως ἀνάξει· τούτοις δ' ἀμφοτέροις αὐτοῖς ἔργοις ἕπεται καὶ ἡ τῶν κατὰ τὸ στόμα καὶ τὴν φάρυγγα μορίων ὑγρότης. ᾧ δὲ λόγῳ ταῦτα δρᾷ, τούτῳ δὴ καὶ σπληνὶ καὶ ἥπατι προσφορώτατόν ἐστι, διακαθαῖρον ἀλύπως τὰ σπλάγχνα.

κη'.

Ἔστι δὲ καὶ φυσέων καταῤῥηκτικὸν καὶ ἐς οὔρησιν προτρεπτικόν.

Περὶ τοῦ μετρίως ὀξέος ὀξυμέλιτος ἔτι διαλεγόμενος εἴρηκε ταῦτα, πολλὴν δὲ τὴν χρῆσιν ἔχοντος ἐπὶ τῶν κατὰ πνεύμονα καὶ θώρακα παθῶν, ἀξιολογωτάτην τε τὴν ὠφέ-

tera quidem omnia, quibus morbi hujusmodi opus habent, contineat, in uno autem duntaxat ipsis contraria sit, quod supercalefacta ipsa bilescat, mutationem sane hujusmodi permixtio aceti cohibens, optimum efficit medicamentum, nam minime siticulosum erit, atque ob id sputa non omnino crassa glutinosaque facile educet; haec autem ipsa duo opera consequitur partium oris fauciumque humectatio. Qua vero ratione hoc facit, ea tum lieni, tum hepati maximam affert utilitatem, viscera innoxie expurgans.

XXVIII.

Quin et flatus discutit urinasque promovet.

De mediocriter acido oxymelite adhuc differens haec protulit. Verum in pulmonis thoracisque affectionibus plurimo est usui, maximeque insigne habet subsidium ob

λειον, διὰ τὴν ἔμμετρον μίξιν ὕδατός τε καὶ ὄξους καὶ μέλιτος. τὸ γὰρ τοιοῦτον ὀξύμελι, τέμνον τε τὸ παχὺ καὶ φυσῶδες ἐν ὑποχονδρίῳ πνεῦμα καὶ καταῤῥηγνύον τὰς φύσας διακαθαῖρόν τε τὰς διεξόδους πάσας, ἐπ' οὖρα ποδηγεῖ τοῖς ὀῤῥώδεσί τε καὶ χολώδεσι περιττώμασιν.

κθ'.

[99] *Ἐντέρου μέντοι τῷ κάτω μέρει πλαδαρώτερον καὶ ξύσματα ἐμποιέει.*

Τὴν ὑπὲρ τὸ κατὰ φύσιν ἐγγινομένην ὑγρότητα τοῖς μορίοις ἴσμεν αὐτὸν ἀεὶ πλάδον ὀνομάζοντα· τοῦτ' οὖν ἐργάζεται, φησὶ, τὸ ὀξύμελι, ξύον τε τῶν ἄνωθεν ὅσον ἐμπλάττεται παχέων χυμῶν ἢ γλίσχρων, τέμνον δὲ τοῦτο καὶ ὑπάγον πρὸς τὴν ἔκκρισιν. εὐπετεῖς δὲ κατὰ τοιαύτην τὴν δύναμιν ἐργάζεται καὶ τὰς ἐξ ἥπατος ἐπαγωγὰς τῶν περιττωμάτων, ὥστε πασῶν τῶν ἄνωθεν ὑγροτήτων ἀθροιζομένων ἐν τοῖς ἐντέροις καὶ μάλιστα τοῖς κάτω, διὰ μὲν τὸ πλῆ-

metricam illam aquae acetique et mellis permixtionem. Tale ſiquidem oxymel ſpiritum craſſum flatulentumque in hypochondrio incidit flatusque abrumpens vias omnes expurgat, atque ad urinas tum ſeroſa tum bilioſa agit excrementa.

XXIX.

Inteſtini tamen inferiorem partem humentiorem reddit et ramenta inducit.

Eam quae ſupra id quod ſecundum naturam eſt innaſcitur partibus humiditatem πλάδον Hippocratem nominare nobis notum eſt; hoc igitur efficere ait oxymel. Et quicquid craſſi glutinoſique humoris ſuperius infarcitur, id abradit inciditque atque ad excretionem ſubducit; faciles item et hac facultate a jecore facit excrementorum eductiones, ita ut collectis ſuperioribus cunctis humiditatibus in inteſtinis, et potiſſimum infernis, ob multitudinem

θος αὐτῶν τὸν πλάδον ἐγγίνεσθαι, διὰ δὲ τὴν ποιότητα ξύεσθαι τὸ ἔντερον. καὶ γὰρ τὸ ὀξύμελι ῥυπτικὴν ἔχον δύναμιν ἐν τῷ χρόνῳ ξύσειεν ἂν τὸ ἔντερον· καὶ τὸ συγκατερχόμενον αὐτῷ χολῶδες περίττωμα τὴν αὐτὴν ἔχον δύναμιν· ὅθεν καὶ χωρὶς ὀξυμέλιτος, ἢν πλεονάσαν ποτὲ τύχῃ, ξύει τὸ ἔντερον.

λ΄.

Ἔστι δ᾽ ὅτε καὶ φλαῦρον τοῦτο ἐν τῇσιν ὀξείῃσι νούσοισι γίνεται, μάλιστα μὲν ὅτι φῦσαν κωλύει περαιοῦσθαι, ἀλλὰ παλινδρομέειν ποιέει· ἔτι δὲ καὶ ἄλλως γυιοῖ καὶ τὰ ἀκρωτήρια ψύχει. ταύτην καὶ οἶδα μούνην βλάβην τὴν δι᾽ ὀξυμέλιτος γιγνομένην, ἥτις καὶ ἀξίη γραφῆς.

Τὸ ξυσθῆναι τὸ ἔντερον οὐκ ἀγαθόν ἐστιν ἐνίοτε κατὰ τὰς ὀξείας νόσους· ἕλκωσις γάρ τις ἐπιπολῆς ἐστιν ἡ ξυσματώδης διάθεσις. οὖσα δὲ τοιαύτη λυπεῖται πρὸς ἀπάν-

quidem innascatur ea quae supra naturam est humiditas, ob qualitatem vero intestini abrasio. Etenim et oxymel detergente praeditum facultate tandem abradet intestinum. Ejusdem quoque est facultatis quod cum oxymelite descendit biliosum excrementum, quapropter et sine oxymelite, si aliquando exuperaverit, intestinum abradit.

XXX.

Interdum autem et in acutis morbis hoc pravum est, maxime quidem, quod flatus foras prodire prohibeat, imo remeare faciat. Praeterea vero etiam debilitat et extrema refrigerat. Atque hancce laesionem solam ex aceto mulso oboriri novi, quae descriptione quoque digna est.

In acutis interdum morbis abradi intestinum bonum non est. Ulceratio enim quaedam superficiaria est, ramentosa affectio. Quae quum talis existat, ab irrumpentibus

ιων τῶν διεξερχομένων καὶ μάλιστα τῶν ἐχόντων τινὰ δῆξιν· λυπηθὲν δὲ τὸ ἔντερον, εἰ μὴ παραχρῆμα τὴν ἔκκρισιν τῶν δακνόντων ποιήσαιτο, πρὸς τὴν ἄνω χώραν ἀναπέμπει τὰ διεξερχόμενα. κατὰ τοῦτον οὖν τὸν λόγον καὶ ταῖς τούτου φύσαις ἄνω συμβαίνει παλινδρομεῖν. φυσικὴν γὰρ ἐνέργειαν ἔχει τὰ ἔντερα τὴν περισταλτικὴν, ὡς ἐν τοῖς περὶ τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι δέδεικται· ταχύτητος δ' ἔργον ἐστὶν ἀπωθεῖσθαι τὰ περιεχόμενα πρὸς τῶν μερῶν ἐκείνων ἐν οἷς περιέχεται. ὅταν μὲν οὖν ἄνωθεν ἡ κίνησις ἄρξηται, κάτω τὴν ἔκκρισιν ἴσχει τὰ περιεχόμενα· κάτωθεν δὲ ἀρξαμένης αὐτῆς ἄνω φέρεται. καὶ τοῦτό γε σαφῶς φαίνεται κἀν τῷ κατὰ φύσιν ἔχειν συμβαῖνον, ὅταν ὑπιούσης ἀθρόως ποτὲ χολῆς εἰς τὰ κάτω τῶν ἐντέρων ἐπίσχωμεν τὴν ἔκκρισιν ἢ τῷ παρεῖναι τοιαύτην πρᾶξιν, ἣν μὴ διακόπτειν δυνατόν ἐστιν, ἢ τῷ μὴ παρεῖναι πλησίον ἀπόπατον· ἐν γὰρ τοῖς τοιούτοις καιροῖς ἀνατρεχούσης αἰσθανόμεθα τῆς χολῆς οὕτως ὡς μηκέτι ἐκκριθῆναι. τινὲς μὲν

et praefertim mordacitatem aliquam habentibus laeditur *inteftinum*. Laefum vero inteftinum nifi protinus mordentium excretionem fecerit, ad regionem fuperiorem ea quae irrumpunt remittit. Quo fit ut ea ratione flatus etiam ejus furfum recurrere contingat. Naturalem fiquidem functionem periftalticam fortita funt inteftina, ut in commentariis de facultatibus naturalibus demonftratum eft, fed quae irrumpunt, a partibus illis quibus continentur, protrudi velocitatis eft opus. Quum igitur fuperne motus exordium habeat, quae continentur, deorfum habent excretionem. Verum fi motio inferne capiat exordia, furfum feruntur. Atque id in his qui fecundum naturam fe habent, manifefte confpicitur, cum fcilicet univerfim raptimque fubeunte ad inferna inteftina bile continemus excretionem, aut propter quoddam obortum negocium, quod interpellari non poffit, aut quod non prope fit ad ventrem exonerandum feceffus. Tunc enim recurrere bilem ita percipimus ut non adhuc excerni poffit.

οὖν ἐπὶ τῇ τοιαύτῃ τῆς χολῆς ἀναδρομῇ τὸν στόμαχον ἴσχουσι κα- [100] κῶς· ἔνιοι δὲ συμπληροῦνταί τε καὶ δακνωδῶς ἀλγοῦσι τὴν κεφαλὴν, ἔνιοι δὲ ἀμφότερα πάσχουσιν. οὕτως οὖν ἡ καὶ ξυσματώδης ἐν τοῖς ἐντέροις διάθεσις ἐνίοτε μὲν τὴν ἔκκρισιν εἰς τὸ κάτωθεν ἐργάζεται ταχέως, οὐχ ὑπομένουσα τὴν τῶν πασχόντων ἀνίαν, ἐνίοτε δὲ κάτωθεν πρὸς τὴν ἄνωθεν χώραν, ὅταν μὴ παραχρῆμα τὸ διεξερχόμενον ἐκπέσῃ διὰ τῆς ἕδρας, ἀλλ' ὁ κατ' αὐτὴν μῦς ὁ κυκλοτερῶς συσταλεὶς καὶ σφίγξας τὸ πέρας τοῦ ἀπευθυσμένου, τὴν ἀρχὴν τῆς περισταλτικῆς κινήσεως ἐκ τῶν κάτω μερῶν ἄνω ποιήσηται. διὰ τοῦτο μὲν οὖν οὐ φῦσα μόνον, ἀλλὰ καὶ περίττωμα κατὰ τὰς τοιαύτας διαθέσεις παλινδρομεῖ. συμβαίνει δὲ καὶ τὴν δύναμιν βλάπτεσθαι διὰ τὴν ἑπομένην δῆξιν ἐν τῇ διόδῳ· τὰ γὰρ ξυόμενα, κἂν βραχυτάτην ἴσχῃ τὸ διεξερχόμενον δῆξιν, ἀνιᾶται σφοδρῶς· ἴσμεν δὲ ὅτι πᾶν ἄλγημα καταλυτικόν ἐστι δυνάμεως καὶ διὰ τοῦτο καὶ τῶν ἀκρωτηρίων ψυκτικόν. ταύτην καὶ οἶδα μούνην βλάβην τὴν δι' ὀξυμέλιτος γιγνομένην, ἥτις καὶ ἀξίη γρα-

Sunt quibus ex hujusmodi bilis recurſu ſtomachus male habet, aliis caput repletur et ob morſum dolet, alii utrumque patiuntur. Sic igitur ramentoſa in inteſtinis affectio deorſum interdum excernit celeriter, aegrorum moleſtiam nequaquam ſuſtinens, interdum autem a partibus inferioribus ad ſuperiores, ubi quae irrumpunt, non protinus ad ſedem prodierint, ſed is qui ſedem circulariter ambit muſculus tum contractus tum recti inteſtini extremum ipſum obſtringendo complexus principium motionis periſtalticae ex infernis partibus ad ſuperiores fecerit. Ob eam igitur cauſam non flatus modo, verum et excrementum in hujusmodi affectionibus recurrit. Contingit autem et vires laedi ob ſequentem in tranſitu morſum. Nam quae abraduntur, etiamſi quod pertranſit breviſſimum habeat morſum, vehementer tamen infeſtantur. Scimus autem dolorem omnem vires exolvere, atque ob id partes extremas perfrigerare. *Atque hancce ſolam laeſionem ex aceto mulſo oboriri novi, quae commentario*

φῆς. ἐδίδαξεν ὁ λόγος ὀλίγον ἔμπροσθεν ἁπάσας τὰς ἐκ μελικράτου καὶ οἴνου καὶ ὕδατος βλάβας ἐκπεφευγὸς τὸ μετρίως κεκραμένον ὀξύμελι· μόνον οὖν ὅταν βλάπτῃ τοῦτο, βλάπτει τῷ ξύειν τὸ ἔντερον· ἐργάζεται δὲ τοῦτό ποτε τοῖς ἀσθενεστέραν ἔχουσι φύσιν καὶ παθεῖν ἐπιτήδειον τὸ ἔντερον.

λα'.

Ὀλίγον δὲ τὸ τοιόνδε ποτὸν νυκτὸς μὲν καὶ νήστει πρὸ ῥοφήματος ἐπιτήδειον πίνεσθαι· ἀτὰρ καὶ ὁκόταν πολὺ μετὰ ῥοφήματος ᾖ, οὐδὲν κωλύει πίνειν.

Τὴν δύναμιν ἣν ἔχει διελθὼν, ἐπὶ τὸν τοῦ καιροῦ λόγον, ἐν ᾧ μάλιστ' ἄν τις αὐτὸ προσφέροιτο, νῦν ἀφίκετο, πότε μάλιστ' ἄν τις ὀξυμέλιτι χρῷτο τῶν ἐπὶ ῥοφήμασι διαιτωμένων· ἐφεξῆς δ' εἰ καὶ μὴ ῥοφήμασιν, ἀλλ' ἐπὶ τῷ ποτῷ μόνον διαιτώμενός τις εἴη καὶ τὸν ἐπ' ἐκείνοις καιρὸν

quoque digna ſit. Oxymel mediocriter temperatum noxas omnes, quae ex mulſa, vino et aqua emergunt, effugiſſe paulo ante demonſtratum eſt. Si quando igitur laedat, ſolum laedit, quod abradat inteſtinum; id vero facit interdum in iis, qui imbecillius habent natura et pati idoneum inteſtinum.

XXXI.

Exiguum autem ejusmodi potum nocte quidem et jejuno ante ſorbitionem propinare convenit, ſed et quum a ſorbitione multum interſit temporis, bibere nihil prohibet.

Facultate quam habet enarrata, ad rationem temporis, quo maxime ipſum quis porrigere debeat, nunc accedit, quando potiſſimum oxymelite uti debeat is, qui ſorbitionibus alatur, deinde quamvis non ſorbitionibus, ſed potione aliquis ſola nutriatur, tempus in illis etiam do-

διδάσκει. φησὶν οὖν ἐπὶ τῶν ῥοφήματι χρωμένων ἐκεῖνον μόνον φυλάττεσθαι δεῖν τὸν καιρὸν, ἐν ᾧ ῥόφημα δεῖ προσφέρεσθαι. πτισάνης δὲ δηλονότι χυλός ἐστι ῥόφημα χά-(81) ριν τοῦ θρέψαι τὸ σῶμα καὶ τὴν δύναμιν ῥῶσαι λαμβανόμενος· ἔστι δὲ ἐς ταῦτα καλὸς, εἰ μόνος ἐν τῇ γαστρὶ περιέχοιτο κατὰ τὸν τῆς θρέψεως καιρόν· ἔμαθες γὰρ ἔμπροσθεν ὡς ἡ ποικιλία τῶν προσφερομένων, καὶ μάλισθ᾽ ὅταν ἀνόμοια ταῖς δυνάμεσιν εἴη, ταραχὴν ἐργάζεται κατὰ τὴν γαστέρα. καὶ διὰ τοῦτ᾽ οὖν ἄχρι πεφθῆναι τὸν χυλὸν, οὐ χρὴ πίνειν ὀξύμελι· πεφθέντος δὲ ἔξεστι καὶ διὰ τῆς νυκτὸς λαμβάνειν καὶ κατὰ τὴν ἐπιοῦσαν ἡμέραν πρὸ τοῦ ῥοφήματος· ἀρκεῖ δὲ τὸν μεταξὺ χρόνον τοῦ ῥοφήματος καὶ τοῦ ὀξυμέλιτος, ὥστε εἰς κενήν τε ἅμα καὶ καθαρὰν ἐκ τοῦ προδιασμήχεσθαι τὴν γαστέρα, τὸν χυλὸν τῆς πτισάνης ἐμπεσεῖν.

λβ'.

[101] *Τοῖσι δὲ ποτῷ μούνῳ διαιτωμένοισιν ἄνευ ῥοφημάτων, διὰ τόδε οὐκ ἐπιτήδειόν ἐστιν ἀεὶ καὶ διὰ παντὸς*

cet. Ait ergo in ſorbitione utentibus, illud duntaxat obſervandum tempus, quo ſorbitio ingeri debet, ptiſanae autem ſcilicet cremor ſorbitio eſt, qui ut corpus alat viresque roboret aſſumitur. Ad quae confert, ſi nutritionis tempore ſolus in ventre contineatur. Nam antea didiciſti, cibos multiplices et praeſertim facultate diſſimiles in ventre turbationem concitare. Ob eam igitur cauſam non porrigendum oxymel, niſi cremor concoctus fuerit. Qui ſi coctus fuerit, licet tum nocte tum ſequenti die ante ſorbitionem ſumere. Tempus autem inter ſorbitionem oxymelque medium ſatisfacit, ſi ptiſanae cremor vacuum ſimul et purum ex ea, quae ab oxymelite facta eſt, abſterſione ventriculum ingrediatur.

XXXII.

Solo vero potu citra ſorbitiones pro victu utentibus propterea hoc uti ſemper et perpetuo non idoneum eſt,

χρέεσθαι τούτῳ· μάλιστα μὲν διὰ ξύσιν ἢ τρηχυσμὸν τοῦ ἐντέρου. ἀκόπρῳ γὰρ ἐόντι μᾶλλον ἂν ἐμποιέῃ καὶ ταῦτα, κενεαγγείης παρεούσης· ἔπειτα δὲ καὶ τὸ μελίκρητον τῆς ἰσχύος ἀφαιρέοιτο ἄν.

Τοῖς ἐπὶ πόματος μόνου διαιτωμένοις ἄνευ πτισάνης οὐκ ἐπιτήδειόν ἐστι τὸ ὀξύμελι δι' ὅλης τῆς νόσου πινόμενον, ὅτι τε σφοδρότερον ξύει τὸ ἔντερον γυμνὸν ὄν· ἐπαλείφεται γάρ πως ὑπὸ τῆς πτισάνης, ὅταν ἐκείνης ῥοφήσουσι· καὶ ὅταν τῆς ἐκ μελικράτου ὠφελείας οὐδ' ὅλως μεταλάβῃ τὸ σῶμα. προείρηκε δὲ ἐν τῷ περὶ μελικράτου λόγῳ τὴν γινομένην ἐξ αὐτοῦ τοῖς σώμασιν ὠφέλειαν.

λγ'.

Ἢν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν ξύμπασαν νοῦσον, πολλῷ ποτῷ τούτῳ χρέεσθαι, ὀλίγον χρὴ τὸ ὄξος παραχέειν, ὅσον μοῦνον γινώσκεσθαι. οὕτω γὰρ ἂν καὶ ἃ φι-

maxime quidem propter intestini abrasionem aut exasperationem. Quum enim stercore vacuum sit, magis haec induxerit, quum vasorum adsit vacuatio, postea autem et aqua mulsa vires prostraverit.

Victus rationem citra ptisanam ex potu solo sibi instituentibus, non per totum morbum idoneum est oxymel epotum, tum quod vehementius intestinum nudum abradat. Nam a ptisana quodam modo inungitur, quum eam sorbuerint et quum corpus nihil a mulsa auxilii acceperit. Mulsae autem auxilium, quod corporibus afferat, in oratione de mulsa praedixit.

XXXIII.

Si tamen opitulari apparuerit ad totum morbum copiosus hujus potionis usus, paucum aceti, quoad solum agnoscatur, affundendum est. Ita enim tum quae lae-

λέει βλάπτειν, ἥκιστα ἂν βλάπτοι, καὶ ἃ δεῖται προσωφελέειν, προσωφελοίη ἄν.

Ὅταν διψώδεις μὲν ἐργάζηται τὸ μελίκρατον, ἤτοι δὲ γλίσχρα πτύελα περιέχηται κατὰ τὰ βρόγχια τοῦ πνεύμονος ἢ λίαν παχέα, τηνικαῦτα μόνου τοῦ ὀξυμέλιτός ἐστιν ἡ χρεία, μεμνημένων ἡμῶν ὅτι ταῦτα λέλεκται περὶ τῶν ποτῷ μόνῳ χρωμένων ἄνευ ῥοφήματος. ἐὰν οὖν, ὡς ἔφην, ὀξυμέλιτος ἡ χρεία, παραχέειν αὐτῷ τοῦ ὄξους ὀλίγον τῷ μελικράτῳ προσήκει, χάριν τοῦ καὶ χρείας ἀπολαύειν τοῦ ὄξους, καὶ φεύγειν τὴν ἐξ αὐτοῦ βλάβην. συνεψεῖν δὲ δηλονότι προσήκει μιγνύμενον τῷ μελικράτῳ τὸ ὄξος· ἀσθενέστερον γὰρ οὕτως εἰς τὸ βλάπτειν γίνεται.

λδ'.

Ἐν κεφαλαίῳ δὲ εἰρῆσθαι αἱ ἀπὸ ὄξεος ὀξύτητες πικροχόλοισι μᾶλλον ἢ μελαγχολικοῖσι συμφέρουσι. τὰ μὲν γὰρ πικρὰ διαλύεται καὶ φλεγματοῦται, μετεωριζόμενα ὑπ' αὐ-

dere solet, ea minime laeserit, tum quibus prodesse opus est, his proderit.

Cum sitim quidem mulsa inferat, sputa autem in bronchiis pulmonis contineantur vel glutinosa, vel admodum crassa, tunc solo est utendum oxymelite. Neque memoria excidat, dicta haec fuisse de iis, qui solo potu sine sorbitione utuntur. Si igitur, ut dixi, utendum sit oxymelite, paucum aceti mulsae affundere convenit, ut aceti usu ad auxilium fruatur et fugiat quod ab eo est detrimentum. Sed acetum mulsae commixtum excoquere convenit, nam ita ad nocendum imbecillius est.

XXXIV.

Ut autem in summa dicatur, orti ab aceto acores picrocholis magis, quam melancholicis conferunt. Amara namque dissolvuntur et in pituitam abeunt, dum ab ipso

τέου· τὰ δὲ μέλανα ζυμοῦται καὶ μετεωρίζεται καὶ πολλαπλασιοῦται· ἀναγωγὸν γὰρ μελάνων ὄξος.

[102] Πικροχόλους φύσεις ὀνομάζει τὰς τὸν πικρὸν γεννώσας χυμὸν, ὅσπερ ἐστὶν ὁ τῆς ξανθῆς χολῆς, αἷς ἐπιτήδειον εἶναί φησι τὸ ὄξος ἐναντιώτατον ὑπάρχον ταῖς μελαγχολικαῖς· διότι καὶ τὴν μέλαιναν χολὴν αὐτὴν ὀξεῖαν εἶναι συμβέβηκεν, ὅταν γ' ἤδη κατάκορος ᾖ παρὰ φύσιν ἔχοντος τοῦ σώματος· ὡς ὑγιαίνοντός γε πλεῖον μέν ἐστι τῆς εἰρημένης ποιότητος, οὐ μὴν ἀκριβῆ γε αὐτὴν ἔχει. τὰ δ' ἄλλα τῆς ῥήσεως σαφῆ· διδάσκει γὰρ ἐν αὐτῇ ὅπως ὠφελεῖ τὸ ὄξος τοὺς πικροχόλους, ἐπικρατουμένους ἐν τῇ κράσει τῷ θερμῷ, ψυχρὸν ὑπάρχον αὐτό.

λε'.

Γυναιξὶ δὲ τὸ ἐπίπαν πολεμιώτατον ἢ ἀνδράσιν ὄξος· ὑστεραλγὲς γάῤ ἐστιν.

attolluntur. Nigra vero fermentantur, in ſublime attolluntur ac multiplicantur, ſurſum enim nigra educit acetum.

Picrocholas naturas appellat *Hippocrates,* quae amarum humorem procreant, qui eſt bilis flava, quibus idoneum eſſe ait acetum, quod melancholicis maxime contrarium exiſtit. Nam et bilem nigrum acidam eſſe contingit, quum jam praeter naturam affecto corpore, exuperaverit, ut quum recte valet, plus quidem praedictae habet qualitatis, non tamen exquiſitam ipſam. Caetera contextus manifeſta ſunt. Docet ſi quidem in eo, quo pacto acetum picrocholis, qui in temperamento calido *caeteros* vincunt, proſit, quum ipſum frigidum ſit.

XXXV.

Mulieribus autem longe magis quam viris adverſatur acetum, nam uterum dolore afficit.

Ὅτι μὲν τὸ ὄξος τὰ νεῦρα βλάπτειν πέφυκεν ἥ τε πεῖρα μαρτυρεῖ καὶ ὁ λόγος δείκνυσιν· ἄναιμα γὰρ ὄντα καὶ διὰ τοῦτο ψυχρὰ πάσχει ῥᾳδίως ὑπὸ τοῦ ψύχοντός τε ἅμα καὶ λεπτομεροῦς φαρμάκου. βλάπτεται μὲν γὰρ καὶ ὑπὸ τῶν ἄλλων ἁπάντων τῶν ψυχόντων, ἀλλὰ τὸ τῆς τοῦ ὄξους οὐσίας λεπτομερὲς, εἰς τὸ βάθος αὐτῶν δύεται καὶ διεξέρχεται διὰ παντὸς μέρους, ὡς μηδὲν μηδὲ τοὐλάχιστον ἀβλαβὲς ἐᾷν. οὕτω μὲν ὄξος τὰ νευρώδη μόρια βλάπτει· τὴν μήτραν δ᾽ ἅπαντες σχεδὸν οἱ ἀνατομικοὶ λέγουσιν εἶναι νευρώδη· καὶ χωρὶς δὲ τῆς ἐκείνων ἀποφάσεως, ἣν ἐκ τῆς ἀνατομικῆς αὐτοψίας ἐποιήσαντο, πάρεστί σοι συλλογίσασθαι περὶ αὐτῆς, ὡς ἐπὶ πλεῖστον μὲν διαστελλομένης, εἰς ἐλάχιστον δὲ συνιζανούσης· ἀεὶ γὰρ ὁπηλίκον ἂν εἴη τὸ ἔμβρυον, ἐν κύκλῳ περιείληφεν αὐτὸ καὶ πεπλήρωται τὸ πᾶν κύτος ὑπ᾽ ἐκείνου, κᾂν μικρὸν ᾖ, καθάπερ καὶ ἡ γαστὴρ ὑπὸ τῶν σιτίων· ἀλλὰ ταύτης μὲν οὐ μεγάλη πρὸς τἀναντία ἡ μεταβολὴ, τῆς μήτρας δὲ μέγισται· τὸ δὲ ἐπὶ πλεῖ-

Quod acetum nervos laedere consueverit tum testatur experientia tum ratio demonstrat. Nam exangues sunt et quia frigidi, propterea facile a refrigerantibus tenues habentibus partes, afficiuntur medicamentis. Laeduntur praeterea et a caeteris refrigerantibus omnibus, verum substantiae aceti tenuitas in eorum mergitur profundum, atque in omnes ita penetrat partes, ut ne minimam quidem ex eis illaesam sinat. Sic certe acetum nervosas laedit partes. Uterum autem anatomici fere omnes nervosum esse dicunt. Atque absque eorum probatione, quam ex anatomica inspectione fecerunt, poteris et tu de eo ratiocinatione colligere. Nam ad maximam laxatur molem et ad minimam contrahitur; quantus etenim foetus fuerit, ipsum perpetuo circulariter ambit, impleturque spatium omne ab eo, etiamsi parvus fuerit, veluti venter a cibis. Sed ventris non magna est ad contraria permutatio, uteri autem maximae; plurimum autem

στον διαστέλλεσθαι νευρωδῶν ἴδιόν ἐστι σωμάτων, οὐ σαρκωδῶν.

λστ'.

Ὕδατι δὲ ποτῷ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἄλλο μὲν οὐδὲν ἔχω ἔργον ὅ τι προσθέω. οὔτε γὰρ βηχὸς παρηγορικόν ἐστιν ἐν τοῖσι πλευριτικοῖσι καὶ περιπνευμονικοῖσιν, οὔτε πτυέλου ἀναγωγὸν, ἀλλ' ἧσσον τῶν ἄλλων εἴ τις διὰ παντὸς ὕδατι ποτῷ χρέοιτο· μεσσηγὺ μέντοι ὀξυμέλιτος καὶ μελικρήτου ὕδωρ ἐπιῤῥοφεόμενον ὀλίγον πτυέλου ἀναγωγόν ἐστι, διὰ τὴν μεταβολὴν τῆς [103] ποιότητος τῶν ποτῶν, πλημμυρίδα γάρ τινα ἐμποιέει· ἄλλως δὲ οὐδὲ δίψαν παύει, ἀλλ' ἐπιπικραίνει· χολῶδες γὰρ φύσει χολώδει καὶ ὑποχονδρίῳ κακὸν καὶ κάκιστον ἑωυτοῦ καὶ χολωδέστατον καὶ φιλαδυναμιώτατον, ὅταν ἐς κενότητα ἐσέλθῃ. καὶ σπληνὸς δὲ αὐξητικὸν καὶ ἥπατός ἐστιν, ὁκόταν πεπυρωμένον ᾖ καὶ ἐγκλυδαστικόν τε καὶ ἐπιπολαστικόν· βραδύπορόν τε γάρ ἐστι διὰ τὸ ὑπόψυχρον καὶ

dilatari, nervoſorum proprium eſt corporum, non carnoſorum.

XXXVI.

At vero aquae potui acutis in morbis, aliud ſane nullum munus habeo, quod aſcribam. Neque enim in pleuriticis ac peripneumonicis tuſſim lenit, neque ſputum educit, imo caeteris minus, ſi quis perpetuo aqua potui utatur. Verum ſi inter acetum mulſum et aquam mulſam aquae pauculum ſorbeatur, ſputum educit propter qualitatis potuum transmutationem, quandam enim intus inundationem advehit. Alias neque ſitim ſedat, ſed exacerbat, biliosae enim naturae bilioſa eſt et hypochondriis mala, imo peſſima ac bilioſiſſima viresque maxime labefactat, ubi in vacuitatem venerit. Lienem quoque et hepar auget, quum inflammata fuerint, fluctuatque ac innatat. Tarde ſi quidem permeat, quod ſubfrigida ſit et coctionis expers, neque alvum dejicit ne-

ἄπεπτον εἶναι· καὶ οὔτε διαχωρητικὸν οὔτε διουρητικόν· προσβλάπτει δέ τι καὶ διὰ τόδε, ὅτι ἄκοπρόν ἐστι φύ- (82) σει. ἢν δὲ δὴ καὶ ψυχρῶν ποδῶν ἐόντων ποτὲ ποθῇ, ταῦτα πάντα πολλαπλασίως βλάπτει, ἐς ὅ τι ἂν αὐτέων ὁρμήσῃ.

Οὔτε τμητικὸν ἔχει τι τὸ ὕδωρ, ὥσπερ τὸ ὄξος, ἀλλ' οὔτε θερμὸν, ὥσπερ τὸ μέλι (τούτῳ μέν γε πρὸς τῷ θερμαίνειν ἔτι καὶ τὸ ῥύπτειν καὶ τέμνειν ὑπάρχει)· βραδύπορον οὖν εἰκότως ἐστὶ καὶ δύσπεπτον καὶ δυσυποβίβαστον ἅπαν τὸ ὕδωρ, κἂν ἄλλως ἄριστόν τε καὶ ἄμεμπτον ᾖ· τὸ γὰρ ἰλυῶδες ἢ δυσῶδες ἢ ἁλικὸν ἤ τινος ἑτέρας φαρμακώδους ποιότητος ἔμφασιν ἔχον οὐχ ἁπλῶς ὕδωρ ἐστὶν, ἀλλὰ μετὰ τοιοῦδέ τινος ἐπιμιξίας φαρμάκου· καθάπερ καὶ εἰ μέλι μοχθηρὸν ἢ πτισάνην ἢ ὄξος ἢ οἶνον ἤ τι τοιοῦτον προχειρίσαιο· μέμψῃ γὰρ οὐχ ὅλον ἐπ' ἐκείνου τὸ γένος, ἀλλ' αὐτὸ μόνον ὃ μεταχειρίζῃ. τοῦ λόγου τοίνυν ὄντος ἐφ'

que urinas movet. Nonnihil etiam insuper oblaedit, quod natura faecis sit expers. Quod si sane pedibus etiamnum frigentibus aliquando epota fuerit, has omnes noxas multo graviores advehet, ad quancunque tandem inclinaverit.

Neque incidendi vim aliquam habet aqua, ut acetum, imo neque calida est, ut mel (quod sane non calefacit modo, sed detergit inciditque). Tarde igitur jure permeat aqua omnis, difficulter concoquitur atque aegre subducitur, quanquam alias et optima sit et noxia vacet. Nam quae limosa aut male olens aut salsa aut alterius cujusdam medicamentosae qualitatis particeps existit, ea non simpliciter est aqua, sed cum tali quadam permixtione medicamenti. Ut si mel pravum vel ptisanam vel acetum vel vinum vel aliquid tale designaveris; non enim ex illo genus totum culpabis, sed id solum, ad quod convertis mentem. Quum igitur super singulis, de qui-

ἑκάστου τῶν κρινομένων ὑπ' αὐτοῦ περὶ τῶν ἀρίστων, οὕτω καὶ νῦν ἄκουε, πρὸς τὸ κάλλιστον ὕδωρ ἕκαστον τῶν λεγομένων ἀναφέρων, ὅ καθαρώτατόν ἐστι καὶ πάσης ἀλλοτρίας ἄμικτον ποιότητος· τοῦτ' οὖν αὐτὸ κἂν ἄριστον ᾖ, κατὰ τὴν γαστέρα μένει πολλῷ χρόνῳ, κλύδωνας αὐτῇ τοὐπίπαν ἐργαζόμενον, ὡς ὅταν γε ἡ χολώδης ἐκείνη, συνδιαφθείρεται καὶ αὐτό. κἄπειθ' ἂν ὑπέλθοι μόλις ἐκ τῆς κοιλίας εἰς τὴν νῆστιν, οὐκ ἀναδίδοται ῥᾳδίως, οὔτ' εἰς ἧπαρ οὔτε πολὺ μᾶλλον εἰς νεφροὺς καὶ θώρακα καὶ πνεύμονα· διόπερ οὔτ' οὖρα κινεῖν πέφυκεν οὔτε πτύελον ἀνάγειν. ἀλλ' οὐδὲ τὰς δι' ὅλου τοῦ σώματος ἐργάζεται διαπνοάς· λεπτομεροῦς γὰρ οὐσίας ἔργον ἐστὶ τοῦτο καὶ θερμῆς, οὐ ψυχρᾶς καὶ παχυμεροῦς. οὐ μὴν οὐδὲ δίψος παύει, μένον ἐπὶ πλεῖστον ἐν ταῖς εὐρυχωρίαις τῶν κατὰ γαστέρα καὶ ἔντερα ὀργάνων τοῦ ζώου καὶ μὴ διαδυόμενον εἰς ὅλον τὸ βάθος αὐτῶν, μηδ' ἐπιτέγγον τὸν αὐχμόν. ὅτι δ' οὐ τρέφει πρόσθεν εἴρηται· διά τοι τοῦτο οὐδὲ τὴν ζωτικὴν δύναμιν οἷόν τέ ἐστι ῥωννύναι. καὶ ταῦτ' ἐστὶ τὰ αἴτια δι' ἃ πρός τε με-

bus enunciat *Hippocrates*, sermo de optimis sit, ita et nunc intellige, singula quae dicuntur ad optimam referens aquam, ea autem purissima est et omni aliena qualitate destituta. Haec igitur quanquam optima sit, multo tempore in ventriculo manet fluctuationesque ipsi plurimum parit, quo fit ut quum biliosus ille *ventriculus* fuerit, corrumpatur et illa. Praeterea et quum ex ventriculo ad jejunum intestinum aegre perveniat, non facile distribuitur neque in hepar, neque multo magis in renes, thoracem et pulmonem. Quare neque urinas movere potest, neque sputum educere. Imo neque per totum corpus molitur transspirationes, id namque tenuis substantiae opus est calidaeque, non frigidae et crassae. Neque praeterea sitim sedat, quod in amplis tum ventris tum intestinorum animalis instrumentis plurimo maneat tempore, neque prorsus imas ipsorum penetret partes, neque ariditatem humectet. Quod autem non alat antea dictum est, proindeque neque facultatem vitalem roborare potest.

λίκρατον Ἱπποκράτης ἀφικνεῖται καὶ ὀξύμελι καὶ οἶνον ἐπὶ τῶν νοσούντων, ἀποχωρῶν τοῦ ὕδατος. ὅσον μὲν οὖν ἐπὶ τούτοις οὐδέποτ' ἄν τις αὐτῷ χρήσαιτο· χρῶνται δὲ καὶ ἄλλοι μὲν ἰατροὶ καὶ μέντοι καὶ αὐτὸς ὁ Ἱπποκράτης, ἀλλ' ἧττον μὲν οὗτος, οἱ δ' ἄλλοι μᾶλλον. ἐκ γὰρ τοῦ χρῆσθαι τοῖς ἄλλοις κακῶς σφαλλόμενοι, καταφεύγουσιν ἐπὶ τὸ ὕδωρ, οὐκ ἔχον μεγάλην ἀποτυχίαν, ὅτι μηδὲ τὴν δύναμιν· οὕτω γὰρ ὁ Ἐρασίστρατος ἔλεγεν· ἰσχυραὶ δυνάμεις σίτων τε καὶ πομάτων ἐγκαίρως μὲν παραλαμβανόμεναι μεγίστην ὠφέλειαν, ἀκαίρως δὲ μεγίστην βλάβην. ἣν δέ φημι μοχθηρὰν εἶναι χρῆσιν ὀξυμέλιτός τε καὶ μελικράτου καὶ οἴνου, γίνεται μὲν καὶ διὰ τὰς ἀθρόας μεταβολὰς, ὡς αὐτὸς ἐδίδαξεν· γίνεται δὲ καὶ διὰ τὴν [104] μίξιν ἄκρατον ὑπὸ τῶν ἰατρῶν γιγνομένην, ὡς τὸ πολύ. διδόντος οὖν ἐμοῦ πρεσβύτῃ νοσοῦντι καθ' ἑκάστην ἡμέραν οἴνου ὑδατώδους, παραγινόμενός τις τῶν τοιούτων ἰατρῶν, εἶτ' ἰδὼν ἐλάχιστον ἐπισταζόμενον αὐτοῦ τῷ ὕδατι γελάσας ἔφη μὴ πίνειν οἶ-

Atque eae funt caufae, quibus Hippocrates ad aquam mulfam, acetum mulfum et vinum fe contulit in aegris, ab aqua abftinens. Igitur ob eas caufas nunquam ea quis utatur. Utuntur tamen et alii medici, atque etiam Hippocrates, fed hic minus, caeteri magis. Nam quod caeteris male utantur, decepti, ad aquam ipfam refugiunt, quae noxam non infignem habet, ut nec facultatem. Sic enim Eraliftratus dicebat: *validae tum ciborum tum potuum facultates, tempeftive quidem affumptae maximum auxilium, intempeftive vero maximam laefionem adferunt.* Quem autem vitiofum effe dico tum oxymelitis, tum mulfae, tum vini ufum, is quidem oritur et ob repentinas mutationes, ut ipfe oftendit, gignitur et plerumque ob finceram, quae a medicis fit, permixtionem. Quum igitur feni cuidam aegrotanti quotidie vinum aquofum exhiberem, quidam ex hujusmodi medicis praefens, me vini minimum aquae ipfi inftillantem contemplatus, rifit aegrumque vinum non bibere, fed duntaxat cernere

νου τὸν ἄῤῥωστον, ἀλλ᾽ ὁρᾷν μόνον, οὐκ ἐννοῶν ὅτι τὸ μὲν ἡδονῆς ἕνεκα τὸν οἶνον διδόναι ἑτέραν ἔχει συμμετρίαν τῆς πρὸς ὕδωρ αὐτοῦ μίξεως, τὸ δ᾽ ὠφελείας ἄλλην. ὥσπερ γὰρ ὁρμήν τινα πρὸς τὴν ἀνάδοσιν ἐφελκομένην τὸ ὕδωρ ἐπιμίγνυσθαι χρὴ τὸν οἶνον ἐλάχιστον παντελῶς, ὡς παῦσαι τὸ ὕδωρ αὐτὸ τοῦτο μόνον εἰλικρινὲς εἶναι, οὐχ ὥστε καὶ οἶνον αὐτὸ ποιῆσαι· οἱ πολλοὶ δὲ τῶν ὑγιαινόντων πίνουσιν οἶνον ὑδατωμένον, οὐ μὴν προσήκει τὸ ὕδωρ ἐπικρατεῖν κατὰ τὴν γεῦσιν, ἀλλὰ τὸν οἶνον· ἐπὶ δὲ τῶν νοσούντων ἔτι καὶ μᾶλλον, ὡς ἔμφασιν εἶναι τοῦ οἴνου βραχεῖαν. οὕτως δὲ καὶ περὶ τοῦ ὀξυμέλιτος ὀλίγον αὐτὸς ἔμπροσθεν ἔλεγεν, ἐπαινῶν τὸ ὑδαρές. καὶ μελικράτῳ δ᾽ ἄν τις ἀκινδυνότερον χρῷτο τῷ ὑδαρεῖ· τὸ γὰρ ἄκρατον εἰ μὴ φθάσειεν ὑπαγαγεῖν τὴν γαστέρα, βλαβερώτερον γίγνεται καὶ μάλιστ᾽ ἐν τοῖς πικροχόλοις τε καὶ μεγαλοσπλάγχνοις, ἐφ᾽ ὧν καὶ τὸ ὕδωρ ἐστὶ βλαβερὸν, ὅταν ἐκχολωθῇ μεῖναν ἐπὶ πλέον ἐν τοῖς ὑποχονδρίοις· πρὸς γὰρ δὴ τούτοις ἅπασιν οἷς ἔχει κακοῖς ἔτι καὶ ἄκοπρον ὂν, οὐδ᾽ ὑπαγωγήν τινα

dixit, non ſane intelligens mixtionis vini, quod gratia voluptatis datur, ad aquam aliam eſſe ſymmetriam et aliam ejus, quod ad utilitatem miniſtratur. Nam vini omnino minimum tanquam vehiculum quoddam, quod ad diſtributionem aquam trahat, permiſcendum eſt, quo duntaxat aquae tollamus ſinceritatem, non autem aquam vinum faciamus. Sanorum autem plerique vinum aqua dilutum bibunt, in his autem aquam guſtu ipſo evincere non oportet, ſed vinum, in aegrotantibus vero adhuc magis, ita ut paucum ſit vini indicium. Sic et de oxymelite paulo ante dicebat, aquoſum laudans, tutius item quispiam aquoſa mulſa uteretur. Nam ſincera niſi ventrem ſubducere anticipaverit, magis nocebit et potiſſimum in picrocholis et magnis viſceribus praeditis, in quibus et aqua noxia eſt, quum diutius in hypochondriis morata bileſcat. Nam praeter haec omnia, quae habet mala, faecis adhuc expers exiſtens, nullam alvi molitur ſubdu-

τῆς γαστρὸς ἐργάζεται. τὸ δ᾽ ἐν ἀρχαῖς τῶν παροξυσμῶν αὐτὸ πινόμενον βλάπτειν (ὅπερ ἐδήλωσε διὰ τοῦ φάναι, ἢν δὲ δή ποτε καὶ ποδῶν ἐόντων ψυχρῶν ποτε ποθῇ, ταῦτα πάντα πολλαπλασίοις βλάπτει) τῶν γινωσκομένων τε πᾶσι καὶ ὁμολογουμένων ἐστί. πότ᾽ οὖν χρήσιμόν ἐστιν ὕδωρ πινόμενον; ὅταν ἐπὶ μόνῳ ποτῷ ὁ κάμνων διαιτώμενος ᾖ, μηδέπω χυλὸν πτισάνης λαμβάνων· τότε γὰρ μεταξὺ τῶν ἄλλων ποτῶν ὕδωρ ἄν τις ἐν καιρῷ προσφέροι, καὶ μάλισθ᾽ ὅταν ὁ κάμνων ᾖ διψώδης. πλημμυρίδα γάρ τινα ποιεῖν αὐτό φησι, τουτέστι πλῆθος ὑγροῦ τινος· διὸ καὶ μεταξὺ μελικράτου τε καὶ ὀξυμέλιτος δίδωσιν ὀλίγον, εἰς ὑγρότητα τοῖς ἀναπτυσθησομένοις συντελές. ἀλλὰ κἀπειδὰν ὁ οἶνος ᾖ μεγάλως βλαβερὸς, καὶ τότε δίδωσιν ὕδατος· ἀκούσωμεν δ᾽ αὐτοῦ τοῦ Ἱπποκράτους, ὅπως ἀπεφήνατο περὶ τούτου.

λζ΄.

Ὑποπτεύσαντι μέντοι ἐν ταύτῃσι τῇσι νούσοισιν ἢ καρηβαρίην ἰσχυρὴν ἢ φρενῶν ἅψιν, παντάπασιν οἴνου ἀποσχε-

ctionem. Aquam autem in principiis accessionum potam laedere (quod declaravit his verbis: *quod si pedibus frigentibus quis aliquando biberit, ea his omnibus multo magis nocebit*) eorum est, quae omnibus et nota et concessa sunt. Quando igitur bibi idonea est aqua? Quum potu solo aeger usus fuerit, nondum accepto ptisanae cremore, tunc enim in potionum aliarum medio aquam tempestive quis assumpserit, ac praesertim quum siticulosus aeger fuerit, inundationem enim quandam, hoc est humidi cujusdam copiam, eam facere ait. Ideo inter mulsam oxymelque parum *aquae* exhibet, quod iis quae expui debent, conferat ad humectationem. Imo et quum vinum graviter nocet, tum aquam propinat. Quo vero pacto id enunciaturus sit Hippocrates audiamus.

XXXVII.

Quum vero in ejusmodi morbis vehementem capitis gravitatem aut mentis laesionem suspicatus fueris, a vino pe-

τέον, ὕδατι δὲ ἐν τῷ τοιῷδε χρηστέον ἢ ὑδαρέα καὶ κιῤῥὸν παντελῶς δοτέον οἶνον καὶ ἄοσμον παντάπασι καὶ μετὰ τὴν πόσιν αὐτοῦ ὕδωρ μεταποτέον ὀλίγον· οὕτω γὰρ ἂν ἧσσον τὸ ἀπὸ τοῦ οἴνου μένος ἅπτοιτο τῆς κεφαλῆς καὶ γνώμης.

Ἅπτεσθαι φρενῶν λέγεται τηνικαῦτα, ὅταν ὁ κάμνων πυρέσσων παραφρονῇ· καὶ νῦν οὖν φρενῶν ἅψιν ἔφη τὴν παραφροσύνην, ἐν ᾗ φεύγειν κελεύει τὸν οἶνον, ὡσαύτως δὲ κἀν ταῖς ἰσχυραῖς κεφαλαλγίαις· εἴρηται δὲ περὶ ἀμφοῖν πρόσθεν. ἀλλὰ νῦν γε προειπὼν παντάπασιν ἀποσχετέον εἶναι τοῦ οἴνου κατὰ τὰ προειρημένα συμπτώματα [105] φησὶν ἐφεξῆς ὑδαρέα καὶ κιῤῥὸν παντελῶς δοτέον καὶ ἄοσμον. τὸ μὲν οὖν ὑδαρῆ καὶ ἄοσμον διδόναι καλῶς εἴρηται, τὸ δὲ κιῤῥὸν οὐ πάνυ προσίεμαι· βελτίων γὰρ ὁ ὑδατώδης εἰς ταῦτα, λευκὸς ὢν δηλονότι. τό γε μὴν ἡνίκα δοίημέν ποτε ἐπὶ τῶν οὕτως ἐχόντων οἶνον, εὐθέως ἐπιπίνειν ὕδωρ, ἀσφαλῶς συνεβούλευσεν· ἧσσον γὰρ ἄν, φησὶ, τὸ

nitus abstinendum est, quo in statu aqua utendum, aut vinum aquosum omnino flavumque exhibendum, ac prorsus inodorum, atque post ipsius potum aquae exiguum superbibendum. Ita enim vini vehementia caput ac mentem minus feriet.

Mens tum laedi dicitur, cum aeger febre correptus deliraverit, ac nunc ergo mentis laesionem delirium dicit, in quo vino abstinendum imperat. Eodem modo et in vehementibus capitis doloribus. De utroque antea dictum est. Sed nunc ubi in praedictis symptomatis a vino omnino abstinendum praedixit, consequenter aquosum flavumque omnino et quod odore careat, dandum ait. Aquosum quidem et inodorum dare belle dicitur, sed flavum non admodum recipio, nam ad ea aquosum album melius existit. Etiam vero in eam gratiam, quum vinum talibus datum est, superbibendam confestim aquam tutius praecipit. Minus enim, inquit, vini robur, quod

ἀπὸ τοῦ οἴνου μένος, ὅπερ ἐστὶν ἰσχὺς, ἅπτοιτο τῆς κεφαλῆς καὶ τῆς γνώμης· ἅπτοιτο μὲν εἰπὼν κατὰ τὸ συνῆθες αὐτῷ καὶ δηλώσας ὅτι καὶ τὴν ἅψιν τῶν φρενῶν ἀπὸ τούτου τοῦ ῥήματος ἐποίησε, συνηθεστέρου τοῖς ἀνθρώποις ὄντος ἢ τὸ τῆς ἅψεως ὄνομα. κεφαλῆς δὲ καὶ γνώμης εἶπεν ἅπτεσθαι τὸν οἶνον, διότι θερμὸς ὢν αὐτός τε διὰ ταχέων ἐπὶ τὴν κεφαλὴν ἀναφέρεται καὶ συναναφέρει τοὺς ζέοντας ἐν τῷ σώματι χυμούς. ὅτι δὲ τὴν κεφαλὴν κακοῖ, διὰ τοῦτο καὶ τὴν γνώμην· ἐν ταύτῃ γάρ ἐστι τὸ φρονοῦν καὶ λογιζόμενον μέρος τῆς ψυχῆς.

λη΄.

(83) Ἐν οἷσι δὲ μάλιστα αὐτῶν ὕδατι ποτῷ χρηστέον καὶ ὁκότε πολλῷ χάρτα καὶ ὅκου μετρίῳ καὶ ὅκου ψυχρῷ καὶ ὅκου θερμῷ, τὰ μέν που καὶ πρόσθεν εἰρέαται, τὰ δὲ ἐν αὐτέοισι τοῖσι καιροῖσι ῥηθήσεται.

Ἐρασίστρατος μὲν ἐν τοῖς περὶ πυρετῶν κακοήθως

vehemens eſt, caput mentemque feriet; ἅπτοιτο quidem verbo uſus ſibi ipſi uſitato conſuetoque, quo ἅψιν *mentis laeſionem*, ab hujusmodi verbo, quod ἅψεος nomine hominibus uſitatius eſt, ſeſe feciſſe oſtendit. Caput autem mentemque vino laedi ait, quod propter calorem celeriter ad caput feratur ferventesque in corpore ſecum ferat humores. Quia vero caput male afficit, propterea et mentem, nam in capite ſapere ipſum ſitum eſt et ea animae pars quae ratiocinatur.

XXXVIII.

At quibus in morbis aqua potui maxime utendum ſit et quando copioſiſſima et quando moderata, quando frigida et quando calida, partim quidem antea dictum eſt, partim vero ſuo tempore dicetur.

Eraſiſtratus quidem in libris de febribus malitioſe

πάνυ διαβάλλει τὸν Ἱπποκράτην, τοὺς μαθητὰς αὐτοῦ δῆθεν μεμφόμενος Ἀπολλώνιόν τε καὶ Δέξιππον, οὕς φησι κηρίνους κυάθους δώδεκα ποιήσαντας εἰς τὸν ἑκτημορίτην τῆς κοτύλης κύαθον, ἕνα τούτων ἢ δύο ἀπομετρεῖν τοῖς πυρέττουσιν· ὁ δ' Ἱπποκράτης οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἔμπροσθεν εὔδηλός ἐστι δαψιλέσι χρώμενος ἅπασι τοῖς ποτοῖς, νυνὶ δὲ καὶ διὰ τῆς λέξεως σαφῶς ἐδήλωσεν εἰπών· οἷσι δὲ μάλιστα αὐτῶν ὕδατι χρηστέον καὶ ὁπότε κάρτα πολλῷ. δηλοῖ γὰρ καὶ τὸ κάρτα πολλῷ τὸ λίαν πολλῷ· ἤρκει δ' εἰπεῖν καὶ πολὺ δίδοσθαί ποτε τὸ ὕδωρ, χωρὶς τοῦ προσθεῖναι τὸ κάρτα πρὸς τὸν ἔλεγχον τῆς Ἐρασιστράτου κακοηθείας, ὃς Ἀπολλωνίου μὲν καὶ Δεξίππου μνημονεύει μηδὲν ἔχων αὐτῶν δεῖξαι βιβλίον, Ἱπποκράτους δ' αὐτοῦ λέγοντος σαφῶς οὐκ ἀκούει, χρῆσθαι δ' ἐνίοτε πολλῷ κάρτα τῷ ὕδατι. καὶ μέντοι καὶ ἀνωτέρω μετ' ὀξυμέλιτος αὐτὸ διδοὺς ἔφη χρήσιμον εἶναι, ὅτι πλημμυρίδα τινὰ ἐμποιέει, τουτέστι πλῆθος ὑγρότητος· καὶ μελικράτου τε καὶ ὀξυμέλιτος τῶν ὑδαρῶν ἔμπροσθεν ὡς ὑγραι-

ſatis criminatur Hippocratem, diſcipulos ipſius prope accuſans Apollonium et Dexippum, quos ait cereos cyathos duodecim in ſextantali cotulae cyatho effinxiſſe, atque unum ex illis vel duos febrientibus admetiri. Verum Hippocrates non hic ſolum, ſed et in antedictis, potionibus omnibus copioſis manifeſte uti viſus eſt. Atque nunc in dictione liquido oſtendit, inquiens: *in quibus autem maxime aqua utendum ſit et quando copioſiſſima.* Nam valde multa et copioſiſſima ſignificat. Sed ſane ſatis erat dicere copioſam aliquando dari aquam, ſine adjectione κάρτα, in proditionem malitiae Eraſiſtrati, qui de Apollonio et Dexippo mentionem facit, nec ullum horum librum oſtendere poteſt, nec Hippocratem ipſum intelligit, aperte dicentem: *et quandoque copioſa aqua utendum.* Quin etiam et ſuperiore oratione cum oxymelite aquam porrigens, utilem eſſe ait, quod inundationem quandam pariat, hoc eſt humiditatis copiam. Scripſit et antea de mulſa et oxymelite aquoſis, quod os humectant et urinas

νόντων τὸ στόμα καὶ οὖρα κινούντων ἔγραψεν· οὐ δήπου κύαθον αὐτῶν διδοὺς, ἀλλὰ πλῆθος ἀξιόλογον, ἀφ' οὗ καὶ τὸ στόμα δυνατὸν ὑγρανθῆναι καὶ τὰ οὖρα κινηθῆναι καὶ ἐκ πνεύμονος ἀναχθῆναι. ἐπὶ δ' ὀξυμέλιτος καὶ οὕτως ἔγραψεν· ἢν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν ξύμπασαν νόσον, πολλῷ τούτῳ χρέεσθαι· προσθεὶς κἀνταῦθα τὸ πολλῷ. περὶ μὲν οὖν τῆς Ἐρασιστράτου πρὸς Ἱπποκράτην κακοηθείας ἀρκεῖ καὶ ταῦτα. μεμνήμεθα δὲ ἡμεῖς ὅτι καθάπερ ἔμπροσθεν, οὕτω καὶ νῦν ὁ Ἱπποκράτης ἐπαγγέλλεται καθ' ἕκαστον νόσημα διδασκαλίαν ἰδίαν ποιήσασθαι, ὡς οὐχ ἱκανῶς ἐν τούτῳ τῷ βιβλίῳ τὴν διαιτητικὴν τέχνην ἐξειργασμένος, ἀλλὰ τὰ καθόλου μόνα διεληλυθὼς ἐπὶ παραδείγματος ἑνὸς νοσήματος τῆς πλευρίτιδος.

λθ'.

[106] *Περὶ δὲ τῶν ἄλλων ποτῶν, οἷον τὸ κρίθινον καὶ τὰ ἀπὸ χλοίης ποιεύμενα καὶ τὰ ἀπὸ σταφίδος καὶ στεμφύλων καὶ πυρῶν καὶ κνίκου καὶ μύρτων καὶ ῥοιῆς καὶ*

cient, non utique cyathum horum porrigens, fed quantitatem infignem, qua et os humectari et urinae cieri et quae pulmonem infeftent expui poffint. Praeterea et de oxymelite ita fcripfit: *Quod fi potum hoc et quidem multum per totum morbum profuturum exiftimaveris*, adjiciens hic, *multum*. De malitia itaque Erafiftrati adverfus Hippocratem dicta haec fufficiant. Caeterum recordemur Hippocratem, quo modo ante, ita et nunc polliceri fe in morbis fingulis propriam facturum doctrinam, quum hoc in libro victus inftituendi artem non fufficienter conficiat, fed univerfalia fola in exemplo morbi unius, fcilicet pleuritidis, profequatur.

XXXIX.

At de caeteris potibus, qualis eft hordeaceus et qui ex herba virente, uva paffa, vinaceis, tritico, cnico, myrtis, malo punico et ex aliis parantur, quum horum ali-

τῶν ἄλλων, ὅταν οὖν ἄν τινος αὐτέων καιρὸς ᾖ χρέεσθαι, γεγράψεται παρ' αὐτῷ τῷ νοσήματι, ὅκωσπερ καὶ τὰ ἄλλα τῶν συνθέτων φαρμάκων.

Καὶ ἥδε ἡ ῥῆσις ἐπαγγελίαν ἔχει διδασκαλίας ἑτέρας ἑκάστου τῶν νοσημάτων ἰδία. πρόδηλον οὖν ὡς ἢ οὐ σώζεται τὰ γραφέντα ὑπ' αὐτοῦ βιβλία θεραπευτικὰ τῶν ὀξέων νοσημάτων ἑκάστου κατὰ μέρος ἢ ὅλως οὐκ ἐγράφη· ταυτὶ γὰρ τὰ νῦν φερόμενα τῆς Ἱπποκράτους ἀξίας οὐκ ἔστιν· ἔχει μέντοι πολλὰ τῆς γνώμης αὐτοῦ, καθάπερ καὶ ταῦτα αὐτὰ τὰ προσκείμενα τῷδε τῷ βιβλίῳ, τὰ μετὰ τὸ λουτρόν· κάλλιον δ' ὡς ἔφην ὑπὲρ ἑκάστου σκεψόμεθα, κατὰ τὰς ἐξηγήσεις αὐτῶν.

μ'.

Λουτρὸν δὲ συχνοῖσι τῶν νουσημάτων ἀρήγοι ἂν χρεομένοισιν, ἐς τὰ μὲν ξυνεχέως, ἐς τὰ δὲ οὔ· ἔστι δ' ὅτε ἧσσον χρηστέον, διὰ τὴν ἀπαρασκευασίην τῶν ἀνθρώπων. ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκεύασται τὰ ἄρμενα καὶ οἱ θερα-

quo uti tempestivum fuerit, in morbo ipso scribetur, ubi et de compositis agetur medicamentis.

Atque haec oratio habet doctrinae alterius, quae de morbis singulis sit, pollicitationem. Verum liquido constat aut libros qui de singulorum acutorum morborum curatione ab Hippocrate scripti sunt non extare, aut prorsus non scriptos. Hi siquidem, qui nunc circumferuntur, praestantiae Hippocratis non sunt, habent tamen multa, quae mentem ipsius oleant, veluti et quae huic libro adjacent ab eo, qui de balneis est, sermone. Sed ut dixi, de singulis in horum explicatione commodius differemus.

XL.

Balneum vero plerisque morbis eo utentibus contulerit, his quidem assidue, his vero minime. Interdum autem eo minus utendum, ob hominum inapparationem, in paucis enim domibus instrumenta parata sunt ac mini-

πεύσοντες ὡς δεῖ· εἰ δὲ μὴ παγκάλως λούοιτο, βλάπτοιτο ἂν οὐ σμικρά. καὶ γὰρ σκέπης ἀκάπνου δεῖ καὶ ὕδατος δαψιλέος καὶ λουτροῦ συχνοῦ καὶ μὴ λίην λάβρου, ἢν γε μὴ οὕτω δέῃ.

Ἔοικε κατὰ τοὺς Ἱπποκράτους χρόνους οὐδέπω ταυτὶ τὰ βαλανεῖα κατεσκευάσθαι· τό τε γὰρ ἐν ὀλίγαις οἰκίαις λέγειν αὐτὸν παρεσκευάσθαι τά τε ἄρμενα καὶ τοὺς θεραπεύσοντας ὡς δεῖ καὶ πρὸς τούτοις ἔτι καὶ σκέπης ἀκάπνου χρείαν εἶναι καὶ ὕδατος δαψιλοῦς καὶ τἄλλα ὅσα τούτοις ἐφεξῆς εἶπεν, ὡς ἐν ταῖς οἰκίαις ἔτι θερμαινομένου τοῦ ὕδατος ἐν λέβησιν, εἶτ' ἐγχεομένου τῶν ἐμβατῶν ταῖς πυέλοις, ἔνδειξιν ἔχει. τὸ δὲ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον, ὡς καὶ λουτροῦ συχνοῦ χρεία ἐστὶ καὶ μὴ λίην λάβρου, ἢν γε μὴ οὕτω δέῃ, εἴ γε μεμνήμεθα, παραφυλάττειν δεῖ κατὰ τὴν ἑξῆς διδασκαλίαν· αὐτὸς γὰρ ἐρεῖ τίνες εἰσὶν οἱ λάβρου ποτὲ δεόμενοι τοῦ λουτροῦ, τουτέστι καταντλουμένου τοῦ

ſtri, qui ut oportet curent. At niſi quis perbelle lavetur, non mediocrem incurret noxam. Tecto etenim citra fumum opus eſt et copioſa aqua et frequenti balneo, ſed non immoderatius affuſo, niſi res ita poſtulaverit.

Balnea hujusmodi temporibus Hippocratis nondum parari videbantur. Nam dicere paucis in domibus parari inſtrumenta neceſſaria et *reperiri* qui rem probe curent opusque praeterea tecto eſſe non fumoſo, copioſa aqua et quaecunque deinceps dixit, quod item in domibus calefiat adhuc intra lebetes aqua, labrisque infundatur, argumentum habet. Quod autem in fine dictionis ait, *crebro opus eſſe balneo, eoque non admodum immoderato, niſi res ita poſtulaverit*, ſi utique memoria non excidat, in ſequenti doctrina obſervabimus. Nam ipſe dicet quinam ſint, qui immediocri aliquando egent balneo, id autem eſt, quum aeger multa, dum lavatur, per-

κάμνοντος ὕδατι πολλῷ. εἰ γὰρ μὴ φαίνοιτο λέγων αὐτὸς, ἡμεῖς ζητήσομεν οὐχ ἁπλῶς, οὐδ' ὡς ἔτυχεν, ἀλλὰ μετὰ τοῦ ἀκολουθίαν φυλάττειν τοῖς ὑπ' αὐτοῦ γεγραμμένοις.

μα'.

[107] *Καὶ μᾶλλον μὲν μὴ σμήχεσθαι· ἢν δὲ σμήχηται, θερμῷ χρέεσθαι αὐτέῳ καὶ πολλαπλασίῳ ἢ ὡς νομίζεται σμήγματι· καὶ προσκαταχεῖσθαι μὴ ὀλίγῳ καὶ ταχέως μετακαταχεῖσθαι.*

Οὐ δεῖται τοῦ σμήχεσθαι κάμνων οὐδεὶς ὅταν λούηται, πλὴν εἰ ῥυπῶν ἢ καὶ κνησμώδης. χρήζουσι γὰρ οἱ κάμνοντες ἀκοπώτατα καὶ ἀοχλητότατα διαβραχῆναι τῷ ὕδατι· τὸ δὲ σμήξασθαι διὰ ῥυμμάτων γίγνεται δακνωδῶν ὄντων αὐτῶν καὶ ξηραντικῶν, ὥστε ἐναντιώτατόν ἐστι τοῦτο τῇ δυνάμει τε καὶ χρείᾳ τοῦ λουτροῦ. δεομένου μέντοι σμήχεσθαι τοῦ κάμνοντος ἢ διὰ ῥύπον ἢ διὰ κνησμὸν, ἐκλύειν

funditur aqua. Si namque dicere ipſe non videatur, nos ipſi non ſimpliciter quidem, neque ut inciderit, ſed cum eorum, quae ab ipſo ſcribuntur, conſequentiae obſervatione percunctabimur.

XLI.

Et magis quidem minime detergendum eſt. At ſi detergendum ſit, calido ipſo ac multo copioſiore quam fieri ſoleat deterſorio medicamento utendum, affundendaque aqua non pauca et celeriter poſt perfundenda.

Nullus aeger, quum lavatur, detergendus eſt, niſi ſordeat ac pruritu vexetur. Nam aegroti aqua citra laborem omnem laeſionemque prolui debent. Deterſio autem purgamentis fit tum mordentibus, tum ſiccantibus, ac proinde tum viribus tum uſui balneorum maxime haec contraria eſt. Si vero aeger detergi debeat, vel propter ſordes vel propter pruritum, vim medicamenti detergentis ube-

δύναμιν τοῦ σμηκτικοῦ φαρμάκου μίξει πλείονος ὕδατος, ἐπεμβάλλοντας καὶ τοῦ ἐλαίου· καὶ διὰ τοῦτ' εἶπεν ὁ Ἱπποκράτης, πολλαπλασίῳ δεῖ χρῆσθαι ἢ ὡς νομίζεται τῷ σμήγματι, τουτέστιν ἢ ὡς εἴθισται πρὸς τῶν ὑγιαινόντων. οὐ γὰρ δὴ τὴν οὐσίαν τοῦ σμήχοντος φαρμάκου κελεύει πολλαπλασίαν ἐπὶ τῶν νοσούντων παραλαμβάνειν, ὥς γε καὶ τὸ μὴ σμηχᾶσθαι μᾶλλον αἱρεῖται τοῦ σμᾶσθαι· ἀλλὰ τὸ πλῆθος τοῦ σμήγματος ἀξιοῖ πολλαπλάσιον ἐπὶ τῶν νοσούντων γίγνεσθαι κατὰ τὴν τοῦ ὕδατος αὔξησιν. ὁ γὰρ αὐτὸς λογισμὸς ὑπαγορεύει καὶ τὸ φεύγειν τὰ σμῶντα, μὴ κνήσεως ἢ ῥύπου κατεπείγοντος καὶ τὸ δριμέσιν αὐτοῖς καὶ ἀκράτοις μὴ χρῆσθαι. ὥσπερ δὲ τῷ πλήθει τῆς τοῦ ὕδατος μίξεως ἐξέλυσε τὴν ἐκ τοῦ σμῶντος φαρμάκου δριμύτητα, κατὰ τὸν αὐτὸν λόγον ὅλου σμήγματος ἐκλύει τὴν δύναμιν, ἐπικαταχέων ὕδωρ εὐθέως θερμὸν καὶ καθαρὸν δαψιλές, εἶτ' αὖθις ἐπὶ τούτῳ πάλιν ἕτερον.

---

rioris aquae temperatione, injecto quoque oleo, obtundere oportet. Quocirca inquit Hippocrates, ac multo copiofiore quam fieri foleat, id eft, quam fanis confuetum fit, utendum deterforio. Non enim fubftantiam medicamenti detergentis in aegris multiplicem accipiendam praecipit, quum non detergendum effe magis quam leviter purgandum velit, fed deterforii quantitatem in aegris multiplicem fieri jubet per aquae adauctionem. Ea fiquidem ratio detergentia quoque vitare praecipit, non excitante vel forditie vel pruritu acribusque ipfis et finceris non utendum. Ut autem multitudine aquae admixtae exolvit detergentis medicamenti acrimoniam, eodem modo totius deterforii vim exolvit fuperinfundens ftatim multam aquam calidam puramque atque deinceps aliam.

μβ'.

Δεῖ δὲ καὶ τῆς ὁδοῦ βραχείης ἐς τὴν πύελον καὶ ἐς εὐέμβατον καὶ ἐς εὐέκβατον.

---

(84) Τοῦτο τὸ κοινόν ἐστιν, ἐάν τε ἐν βαλανείῳ λούῃς τὸν ἄνθρωπον, ἐάν τε ἐν οἴκῳ τινὶ πυρὰν ποιήσας καὶ πύελον ὕδατος πληρώσας, ὅπερ καὶ νῦν ἐν τοῖς στρατοπέδοις γίνεται πολλάκις, ὁπόταν δέῃ μέν τινα λούεσθαι, βαλανεῖον δ' ὁ τόπος οὐκ ἔχει. καὶ εἰς εὐέμβατον καὶ εὐέκβατον. παντελῶς γὰρ ἄκοπον φυλαχθῆναι βούλεται τὸν κάμνοντα· διὰ τοῦτο καὶ τὴν πύελον εὐέμβατόν τε καὶ εὐέκβατον ὑπάρχειν ἀξιοῖ. γένοιτο δ' ἂν τοῦτο μήτε ὑψηλοῦ περιέχοντος τοίχου τὸ ὕδωρ μήτε στενοῦ· κάλλιστον δὲ καὶ ἀκοπώτατόν ἐστι τὸ κατὰ τὰς κολυμβήθρας ἐν τοῖς αὐτοφυέσιν ὕδασιν, ἃς ταπεινὰς ποιοῦνται σχεδὸν ἅπαντες οὕτως, ὡς μηδὲν ὑπερέχειν τοῦ πλησίον ἐδάφους.

XLII.

Atque via brevi ad solium opus est, tum ad facilem descensum tum ascensum.

Commune id est, sive in balneo hominem laveris, sive in domo aliqua extruxeris pyram et labrum aqua impleveris, quod et nunc in castris fit saepius, quum lavari aliquem deficiente balnei loco oportet. *Tum ad facilem descensum tum ascensum.* Prorsus enim citra laborem aegrum servare jubet, atque ob id solium facilem tum ingressum tum egressum habere voluit. Id proculdubio fiet, si paries, qui aquam continet, neque sublimis, neque angustus fuerit. Maxime autem laudabile et a labore omni alienum est, quod in aquarum sponte nascentium conficitur lavacris, ubi sic solia humilia depressaque prope omnes conficiunt, ut nihil soli pavimento, quod prope est, emineant.

μγ'.

[108] *Εἶναι δὲ τὸν λουόμενον κόσμιον καὶ σιγηλὸν καὶ μηδὲν αὐτὸν ἐργάζεσθαι, ἀλλ' ἄλλους καὶ καταχέειν καὶ σμήχειν.*

Καὶ ταῦτα μὲν τῶν συντελούντων ἐστὶν εἰς τὸ τοῦ κάμνοντος ἄκοπον, ὁμοίως τοῖς προειρημένοις· ἤδη δὲ καὶ πρὸς τὸ χαλασθῆναί τε καὶ μαλαχθῆναι μᾶλλον ἐν τῷ λουτρῷ τὸ σῶμα, χρήσιμός ἐστιν ἡ τοῦ κάμνοντος ἡσυχία· τείνονται γὰρ ἐν ταῖς κινήσεσιν οἱ μύες, οἵτινες ἧττον μαλάττονται καὶ χαλῶνται.

μδ'.

Καὶ μετακέρασμα πολὺ ἡτοιμάσθαι.

Ἔνεστι μὲν καὶ ὑφ' ἓν ἀναγνῶναι μετακέρασμα, δυνατὸν δὲ καὶ καθ' αὐτὴν ἀκοῦσαι τὴν μετὰ πρόθεσιν, ἰδίᾳ δὲ πάλιν τὸ κέρασμα· καὶ γὰρ ἐν τούτῳ τῷ βιβλίῳ καὶ ἐν ἄλλοις

XLIII.

Qui lavatur, eum modeſtum ac tacitum eſſe oportet ipſumque nihil agere, ſed caeteros tum perfundere tum detergere.

Haec quoque praedictis ſimiliter, ut aeger non laboret, conferunt. Jam vero et aegrotantis quies, ut corpus in balneo tum magis laxetur tum emolliatur eſt idonea. Nam in motionibus muſculi tenduntur, qui minus tum molliuntur tum laxantur.

XLIV.

Multa quoque aquae contemperatio paranda eſt.

Datum eſt ipſi unico legi verbo, metaceraſma i. e. *temperatio*; poteſt et intelligi haec praepoſitio *μετὰ* per ſe et ſeorſum *κέρασμα*. Etenim Hippocrates tum in hoc libro

Ἱπποκράτης φαίνεται χρώμενος τῇ μετὰ προθέσει κατὰ τὸ τῶν Ἰώνων ἔθος ἐλλειπτικῶς· ἔστι δὲ τὸ πλῆρες τοιοῦτο καὶ μετὰ ταῦτα κέρασμα πολὺ ἡτοιμάσθαι. εἴτε δ' ὑφ' ἓν ἀκούει τις μετακέρασμα, εἴτε καὶ διελὼν ἀντὶ τοῦ μετὰ ταῦτα κέρασμα, μία διάνοια κοινὴ τῶν λέξεων ἀμφοτέρων ἐστίν· ἡτοιμάσθαι γὰρ βούλεται κέρασμα μέλλον καταχεῖσθαι τοῦ λουομένου, μετὰ τὸ χρήσασθαι τῷ κατὰ τὴν πύελον λουτρῷ. ὅπερ καὶ νῦν εἰώθασι πάντες οἱ ἰατροὶ ποιεῖν, ὅταν ἀσθενοῦντα λούσωσιν· οὐ γὰρ εἰς τὴν ψυχρὰν δεξαμενὴν ἐμβῆναι ἐπιτρέπουσιν, ἀλλ' ἀντ' ἐκείνης ἐπιχέουσιν ὕδωρ χλιαρὸν, ἔνιοι δὲ καὶ πυέλους ὅλας ὕδατος τοιούτου πληροῦσιν. ὥσπερ γὰρ ἐχαλάσθη καὶ ἠραιώθη τὸ σῶμα κατὰ τὸ θερμὸν λουτρὸν, οὕτως αὖ πάλιν ἠρέμα συναγαγεῖν αὐτὸ βούλεται καὶ σφίγξαι· τοῦτο γὰρ εἰς ῥώμην δυνάμεως συντελεῖ καὶ πρὸς τὸ μὴ ῥᾳδίως βλάπτεσθαι τὸν ἄνθρωπον, εἴ τις ἐξαιφνίδιος ἐν τῷ περιέχοντι γίγνοιτο πρὸς τὸ ψυχρὸν μεταβολή. κατὰ τοῦτο γοῦν καὶ ὑγιαίνοντες εἰς τὸ ψυχρὸν ὕδωρ ἑαυτοὺς ἐμβάλλουσι μετὰ τὸ θερμὸν λουτρόν·

tum in aliis Ionum more per defectum uti praepositione *μετὰ* videtur. Potest vero integre ita legi: *multa quoque post haec aquae temperatio paranda.* Sive autem quis uno intelligat verbo *μετακέρασμα*, sive distinguat, pro *μετὰ ταῦτα κέρασμα*, communis est dictionis utriusque intelligentia. Vult siquidem temperationem parari, eum qui in labro lotus est perfusurus, quod medici hujus temporis omnes efficere consueverunt, quum aegrum laverint. Non enim in solium frigidum ingredi permittunt, sed pro eo tepida perfundunt aqua. Nonnulli labra tota aqua hujusmodi replent. Nam ut corpus tum laxius tum rarius calida lavatione est redditum, ita rursum quiete paulatimque contrahere ipsum et cogere desiderat. Id enim ad virium robur confert, ut non facile homo laedatur, si qua subita in ambiente aëre fiat ad frigidum permutatio. Ob id igitur sanitate fruentes a balneo calido sese in frigidam aquam projiciunt. Sed qui aegrotant,

ἀλλ' οἵ γε ἀσθενοῦντες οὐ φέρουσι τὴν ὁμιλίαν τοῦ ψυχροῦ ἀβλαβῶς, διὸ θραύομεν αὐτὸ, θερμὸν ἐπιμιγνύντες. ἡ δὲ τῆς μίξεως ποσότης εὑρίσκεται πρῶτον μὲν εἰς τὴν τοῦ σώματος ἡμῶν ἀποβλεπόντων διάθεσιν, εἶθ' ἑξῆς εἰς τὴν οἰκείαν τοῦ κάμνοντος φύσιν, ἡλικίαν τε καὶ ὥραν καὶ χώραν καὶ τὴν παροῦσαν κατάστασιν τοῦ περιέχοντος. κάλλιον δὲ ποιήσουσιν ὅσοι τῶν τριῶν οὐκ ἐλάττω παρασκευάσουσι τὰ μετὰ τὸ θερμὸν λουτρὸν ὕδατα χλιαρὰ, διαφέροντα ἀλλήλων· ὡς τὸ μὲν ἱκανῶς εἶναι χλιαρὸν, τὸ δὲ δεύτερον ἧττον ἐκείνου χλιαρὸν, τὸ δὲ τρίτον ἔτι καὶ μᾶλλον ἀποκεχωρηκὸς ἐπὶ τὸ ψυχρόν. ἔοικε δὲ ὁ Ἱπποκράτης τοιοῦτόν τι βούλεσθαι, κελεύων τὸ μετακέρασμα πολὺ παρασκευάζειν· οὐ γὰρ μόνον ἁπλῶς πολὺ, ἀλλὰ καὶ [109] πολυειδὲς ἄμεινον εἶναι τὸ παρεσκευασμένον, ὡς ἀπὸ τοῦ θερμοῦ κατὰ βραχὺ πρὸς τὸ ψυχρὸν ἔρχεσθαι, τὴν ἀθρόαν ἐπὶ τοὐναντίον μεταβολὴν οὐ φέροντος τοῦ κάμνοντος.

---

contactum frigidae non fuftinent citra laefionem, quapropter frigiditatem calidae mixtione frangimus. Mixtionis autem quantitas invenitur, in primis quidem fi nos corporis affectionem infpexerimus, deinde et propriam laborantis naturam aetatemque et anni tempeftatem et regionem et praefentem ambientis ftatum. Melius autem facient qui a calido balneo tepidas non minus trium generum aquas inter fe differentes parabunt, ut prima quidem admodum tepida fit, fecunda vero priore minus tepida et tertia adhuc quae magis ad frigidum declinet. Tale autem quidpiam velle vifus eft Hippocrates, quum imperat *multam temperationem parari*. Non enim quod paratur, id fimpliciter modo *multum*, verum et *multiforme* effe eft melius, ut paulatim a calido ad frigidum procedatur, cum fubitam ad contrarium mutationem aeger non ferat.

με'.

Καὶ τὰς ἐπαντλήσιας ταχείας ποιέεσθαι.

Τὸ ταχείας ἀκούειν προσήκει καὶ κατ' αὐτῆς μὲν τῆς γιγνομένης ἐνεργείας ἐν τῷ καταχεῖν, οὐδὲν δὲ ἧττον καὶ κατὰ τοῦ μεταξὺ τῶν ἐνεργειῶν χρόνου, ὡς μὴ διαλείπειν πολὺ τὴν δευτέραν ἐπάντλησιν ἀπὸ τῆς προτέρας· ὅπερ ὀνομάζων τις κυρίως οὐ ταχείας, ἀλλὰ πυκνὰς ποιεῖσθαι τὰς ἐπαντλήσεις εἴποι· συγκέχυταί γε μὴν παρὰ τοῖς παλαιοῖς ἡ χρῆσις τῶν ὀνομάτων, τοῦ τε πυκνοῦ καὶ τοῦ ταχέος, ἔστιν ὅτε τὰς πυκνὰς ἐνεργείας ταχείας ὀνομάζουσιν.

μστ'.

Καὶ σπόγγοισι χρέεσθαι ἀντὶ στλεγγίδος.

Οὐδὲ οἱ νῦν ἰατροὶ χρῶνται στελεγγίσιν ἐπὶ τῶν ἀσθενούντων, οὐ μὴν οὐδὲ σπόγγῳ, ἀλλ' ἐνειλίττουσιν αὐτοὺς μετὰ τὸ λουτρὸν εἰς ὀθόνην· οἱ δὲ εἰς ἱμάτια καὶ μάλιστά

XLV.

Celeresque perfusiones faciendae.

Celeres referre oportet non ad eam solum quae in perfusione fit actionem, verum et ad illud quod actiones interjacet spatium, ut primam inter perfusionem secundamque parum sit intervalli. Quod si quis proprie nominaverit, non *celeres*, sed *frequentes* faciendas esse perfusiones dixerit. Quanquam apud veteres usus horum nominum *frequentis ac celeris* confundatur, nam aliquando frequentes actiones celeres vocant.

XLVI.

Ac spongiis pro strigili utendum est.

Neque strigilibus in aegris, neque sane spongia medici hujusce temporis utuntur, sed a balneo eos linteo contegunt, alii vestibus, ac potissimum interpolis, ut plu-

γε τὰ ἄγναπτα, περιστέλλουσι πανταχόθεν, ὡς ἱδρῶσι πλεῖστον. ἔστι δ' οὐκ ἀεὶ χρεία τοῦ πλεῖστον ἱδροῦν μετὰ τὸ λουτρὸν τὸν κάμνοντα· πολλάκις γὰρ οὐ τοῦ κενῶσαι τὸ σῶμα χάριν ἐπὶ τὸ λουτρὸν τὸν κάμνοντα ἄγομεν, ἀλλὰ τοὐναντίον ἅπαν ὑγρᾶναί τε καὶ τέγξαι διόλου, κατεξηρασμένον ἀμετρότερον. ἐπὶ τῶν τοιούτων οὖν οὔτ' ἔνδον κατὰ τὸ βαλανεῖον ἱδρῶτας ἀναμένειν χρὴ πολλοὺς, ἀλλ' ὅτι τάχιστα τῷ κατὰ τὴν πύελον ἐμβαλεῖν ὕδατι καὶ μετὰ ταῦτα ἐξελθόντας ἐκ τοῦ λουτροῦ διὰ ταχέων ἐκμάττειν.

μζ'.

Καὶ μὴ ἄγαν ξηρὸν χρίεσθαι τὸ σῶμα.

Καὶ οὗτος ὁ λόγος εἴρηται μὲν ἐφεξῆς τῷ καὶ σπόγγοισι χρῆσθαι ἀντὶ στλεγγίδος· οἰκειότερον δ' ἄν τις ἀκούσειεν αὐτοῦ περὶ τῆς ἐν τῷ λουτρῷ χρίσεως τοῦ λίπους, ἵνα μὴ δόξῃ τι παραλελοιπέναι τῶν ἀναγκαίων ῥηθῆναι. μετὰ γὰρ τὸ λουτρὸν ἀποσπογγίσας τὸ ὕδωρ ὁ Ἱπποκράτης

rimum fudent, obvolvunt. Sed non femper aegrum a balneo copiofe fudare convenit. Nam faepe laborantem ad balneum non vacuandi corporis gratia ducimus, fed prorfus contrariam ob rationem, ut fcilicet humectetur totum madefcatque, quod immoderatius exaruit. In talibus igitur neque intus in balneo funt expectandi fudores multi, fed quam citiffime labri aquam ingredi et poftea balneo egreffos detergere expedit.

XLVII.

Neque valde ficcum corpus inungendum.

Oratio haec fuccedit quidem huic: *Ac fpongiis pro ftrigili utendum.* Sed qui fermonis proprietatem contemplatus fuerit, is de unctionis in balneo ufu intelliget, ne quid eorum quae de neceffitate dicenda funt praetermiffum effe videatur. Nam ubi poft balneum fpongia

ἄδηλον μὲν εἰ καὶ ἔχρισέ πω, πρόδηλον δὲ καὶ καθύγρου τοῦ σώματος ὄντος ἀλείφειν τὸν κάμνοντα, πλὴν εἰ τοῦτό τίς φησιν, ὅτι πάλιν ἀπομάττει τοῦτ' αὐτὸ τὸ μετὰ τοῦ ὕδατος ἔλαιον. ἔστι [110] μὲν οὖν χρήσιμον ἐσκέφθαι καὶ περὶ τῆς κατὰ τὸ λουτρὸν χρήσεως τοῦ λίπους· ἀναγκαιότερον δὲ τὸ περὶ τοῦ κατὰ τὸ λουτρὸν, εἴθ' ἱδρώσαντι τῷ λουομένῳ περιχεῖν προσήκει τὸ ἔλαιον, εἴτε καὶ πρὶν ἱδρῶσαι, ξηρῷ παραχρῆμα μετὰ τὸ ἀποδύσασθαι, ἢ τούτων μὲν οὐδέτερον, ὅταν δ' ἄρξηται νοτίζεσθαι. καὶ ὅστις μέμνηται τῶν εἰρημένων περὶ δυνάμεως ἐλαίου κατὰ τὴν τῶν ἁπλῶν φαρμάκων πραγματείαν, οἶδεν ἀκριβῶς αὐτὸς, ἄριστον εἶναι τὸν εἰρημένον τρίτον καιρὸν ἐλαίου χρήσεως ἐπὶ τῶν λουομένων· οἶδε δὲ καὶ ὅτι προτεθερμασμένον χρὴ προσφέρεσθαι τῷ τοῦ λουομένου σώματι· καὶ γὰρ μαλάττει τοῦτο καὶ ἀραιοῖ τὸ σῶμα, τοῦ ψυχροῦ κατὰ τὴν θίξιν οὐ μόνον οὐδέτερον τούτων ἐργάζεσθαι πεφυκότος, ἀλλὰ καὶ φρικώδεις τοὺς λουομένους ἀποτελοῦντος.

---

aquam deterſit Hippocrates, non conſtat quidem ſi corpus unxerit, ſed liquet aegri corpus, quum humidum exiſtit, non perungendum eſſe, niſi quis dixerit quod hoc ipſum oleum, quod cum aqua eſt, detergeat. Eſt igitur utile ut de unctionis in balneo uſu diſcutiatur, ſed neceſſaria magis eſt ſuper unctionis in balneo tempore diſcuſſio, ſi oleum perſundere conveniat, ubi qui lavatur ſudaverit, vel quum ſiccus adhuc eſt, confeſtim ubi ſeſe exuerit et priusquam ſudaverit, vel horum neutrum fuerit, ſed ubi humeſcere coeperit. Sane quicunque eorum meminit, quae de olei facultate in ſimplicium medicamentorum tractatione dicuntur, is exacte novit optimum eſſe olei uſus in iis qui lavantur tempus, quod tertio dicitur loco, novitque quod calefactum corpori exhibere conveniat. Nam id corpus mollius reddit laxiusque, quum frigidum ſuo contactu non ſolum horum neutrum efficere natum ſit, ſed et eos qui lavantur, horrentes reddat.

μή.

Κεφαλὴν μέντοι ἀνεξηράνθαι χρὴ ὡς οἷόν τε μάλιστα ὑπὸ σπόγγου ἐκμασσομένην.

Τὸ μὲν ἐπὶ τῷ λουτρῷ τὴν κεφαλὴν ἀκριβῶς ἐκμάττειν, ὡς μηδὲ τοὐλάχιστον ὑπολείποιτο τῆς ὑγρότητος, εὔ- (85) δηλόν ἐστι· τὸ γὰρ ὑπολειπόμενον ἅπαν ψύχειν εἴωθεν· οὐ μὴν ὑπὸ σπόγγου τοῦτο ποιεῖν ἔτι δυνατὸν, ὅτι μὴ κατ' ἀρχὰς εὐθέως μετὰ τὸ χρήσασθαι τῷ μετακεράσματι. βέλτιον δὲ τούτου τὸ δι' ὀθόνης ἐκμάττειν τῆς κεφαλῆς τὸ ὕδωρ.

μθ'.

Καὶ μὴ διαψύχεσθαι τὴν κεφαλὴν, μήτε τ' ἄκρεα μήτε τὸ ἄλλο σῶμα.

Τοῦτό μοι δοκεῖ μικρὸν ἢ καθ' ἑαυτὸν εἰρηκέναι· πρόδηλον οὖν ἅπασιν ὡς οὐδὲν δεῖ μέρος ἐπὶ πολὺ γυμνοῦσθαι,

XLVIII.

Caput ſpongia deterſum, quoad maxime fieri poterit, reſiccari oportet.

Quod in balneo caput accurate reſiccandum ſit, ut ne minimum quidem ſuperſit humiditatis, manifeſtum eſt, nam quicquid relinquitur, refrigerare conſuevit. Non tamen a ſpongia id ut fiat effici poteſt, niſi ſtatim ab initio poſt temperationis uſum. Capitis autem aquam linteo reſiccare eſt melius.

XLIX.

Neque caput, neque extrema, neque reliquum corpus refrigerari.

Id dixiſſe per ſe vel ſeorſum parum eſſe mihi videtur; quod enim pars nulla omnino nuda eſſe debeat, cum

καθ' ὃν καιρὸν ἐκμάττουσι τῶν λουομένων τὸ μετὰ τὸ λουτρὸν ὕδωρ· ἴσασι γὰρ ἅπαντες ὅτι ταχέως ψύχεται τὰ οὕτω γυμνούμενα.

ν'.

Καὶ μήτε νεοῤῥόφητον μήτε νεόποτον λουέσθαι.

Οὐ μόνον ἐπὶ τῶν νοσούντων, ἀλλὰ καὶ τῶν ὑγιαινόντων, οὐ χρὴ μετὰ τὸ προσενέγκασθαι τροφὴν ἢ πόμα παραχρῆμα λούεσθαι. τῶν μὲν γὰρ πεπωκότων ἡ κεφαλὴ πληροῦται, τῶν δ' ἐδηδοκότων οὐκ αὐτὴ μόνη, ἀλλὰ καὶ τὸ πᾶν σῶμα τὴν τροφὴν ἕλκον εἰς ἑαυτὸ, πρὶν πεφθῆναι.

νά.

[111] *Μήτε ῥοφεῖν μήτε πίνειν ταχὺ μετὰ τὸ λουτρόν.*

Ἄμεινόν ἐστι καταστάσης τῆς ἐκ τοῦ λουτροῦ ταραχῆς

a balneo aquam eorum qui lavantur reficcant, conftat omnibus, nam quae ita denudantur partes, cito eas refrigerari omnes fciunt.

L.

Ac neque eum qui recens forbitionem accepit, neque eum qui recens potum fumpfit, lavare oportet.

Non in aegris modo, verum etiam fanis, nullus ftatim a cibi vel potus fumptione lavandus eft. Nam qui biberunt, his caput repletur, qui vero cibum fumpferunt, his non folum caput, verum et corpus totum, alimentum ad fe priusquam concoctum fuerit, trahens.

LI.

Neque ftatim a balneo forbere, neque bibere.

Sedata quae ex balneo eft turbatione tum edere

ἐσθίειν καὶ πίνειν, ὥσπερ καὶ τῆς μετὰ τὰ γυμνάσια. τὸ γὰρ εὐθέως προσφέρεσθαι σιτία καὶ πόματα τήν τε κεφαλὴν πληροῖ καὶ τὸ καταποθὲν ἐνίοτε ἐπιπολάζειν ποιεῖ.

νβ'.

Μεγὰ μὲν δὴ μέρος χρὴ νέμειν τῷ κάμνοντι, ἢν ὑγιαίνων εἴη φιλόλουτρος καὶ ἄγαν εἰθισμένος λούεσθαι. καὶ γὰρ ποθέουσι μᾶλλον οἱ τοιοίδε καὶ ὠφελέονται λουσάμενοι καὶ βλάπτονται μὴ λουσάμενοι.

Ταῦτα δι' ὅλου σχεδόν τι τοῦ δευτέρου τῶνδε τῶν ὑπομνημάτων ἐδείχθη, τὰς λέξεις ἡμῶν ἐξηγουμένων, ἐν αἷς ἐπὶ πλεῖστον αὐτὸς ἐδήλωσε τὴν δύναμιν τῶν ἐθῶν.

νγ'.

Ἁρμόζει δὲ ἐν περιπλευμονίῃσι μᾶλλον ἢ ἐν καύσοισι τὸ ἐπίπαν. καὶ γὰρ ὀδύνης τῆς κατὰ πλευρὴν καὶ στῆθος

tum bibere melius est, quemadmodum et sedata ea, quae ab exercitatione oritur. Nam cibum protinus vel potum sumere caput replet devoratumque interdum superfluitare facit.

LII.

Enimvero magna pars aegrotanti tribuenda est, si is quum sanitate frueretur, balneo valde oblectatus fuerit et lavari consueverit. Etenim tales magis appetunt lotique juvantur illotique laeduntur.

Haec per totum fere horum commentariorum secundum demonstrata sunt, ubi dictiones exposuimus, in quibus plurimum consuetudinum facultates enarravit.

LIII.

In totum autem peripneumoniis magis quam febribus ardentibus idoneum est. Etenim lateris, pectoris ac

καὶ μετάφρενον παρηγορικόν ἐστι τὸ λουτρὸν καὶ πτυέλου πεπαντικὸν καὶ ἀναγωγὸν καὶ εὔπνοον καὶ ἄκοπον (μαλθακτικὸν γὰρ καὶ ἄρθρων καὶ τοῦ ἐπιπολαίου δέρματος) καὶ οὐρητικὸν δὲ καὶ καρηβαρίην λύει καὶ ῥῖνας ὑγραίνει. ἀγαθὰ μὲν οὖν λουτρῷ τοσαῦτα πάρεστι, ὧν πάντων δεῖ· ἢν μέντοι τῆς παρασκευῆς ἔνδειά τις ᾖ ἑνὸς ἢ πλειόνων, κίνδυνος μὴ λυσιτελέειν τὸ λουτρὸν, ἀλλὰ μᾶλλον βλάπτειν· ἓν γὰρ ἕκαστον αὐτέων μεγάλην φέρει τὴν βλάβην, μὴ παρασκευασθὲν ὑπὸ τῶν ὑπουργῶν ὡς δεῖ.

Διὰ τί μᾶλλον περιπνευμονίας ἢ καύσους ὠφελεῖ τὸ λουτρὸν αὐτὸς ἐδήλωσεν εἰπών· καὶ γὰρ ὀδύνης τῆς κατὰ πλευρὰν καὶ στῆθος καὶ μετάφρενον παρηγορικόν ἐστι τὸ λουτρὸν καὶ πτυέλου ἀναγωγὸν καὶ πεπαντικὸν καὶ εὔπνοον· διὰ ταῦτα γὰρ πάντα περιπνευμονικοῖς ἐστιν ὠφελιμώτατον· θεραπεύονται γοῦν ἀναπτύοντες τὰ κατὰ πνεύμονα περιεχόμενα πτύελα. πλευριτικοὶ δὲ καὶ τῷ παρηγορεῖσθαι τὰς

dorsi dolorem balneum lenit, sputum maturat, ac educit, facilem spirationem reddit, lassitudines tollit, quum articulos et cutis superficiem emolliat, sed et urinas ciet, capitis gravitatem solvit et nares humectat. Tot igitur balneo adsunt bona, quibus omnibus opus est; sin vero apparatus penuria aliqua in uno vel pluribus fuerit, periculum est ne magis laedat balneum quam prosit. Eorum enim unumquodque nisi a ministris prout oporteat apparatum fuerit, magnam laesionem advehit.

Quare peripneumonias magis quam febres ardentes juvet balneum ipse his verbis declarat: *Etenim balneum lateris, pectoris ac dorsi dolorem lenit, sputum maturat educitque et spiritum facilem reddit.* Ob haec enim omnia peripneumonicis maximo est praesidio. Sanantur liquidem qui contenta in pulmonibus sputa expuunt. Pleuritici quoque ob dolorum mitigationem magnopere

ὀδύνας ὀνίνανται μεγάλως· διὸ καὶ δυοῖν θάτερον ἢ οὕτω γραπτέον ἐστὶν, ἁρμόζει δὲ περιπνευμονίῃσι καὶ πλευρίτισι μᾶλλον ἢ ἐν καύσοισιν· ἢ προσυπακούειν χρὴ τῇ περιπνευμονίῃ τὴν πλευρῖτιν, [112] αὕτη γὰρ ὀδύνην ἔχει κατὰ τὴν πλευρὰν, οὐχ ἡ περιπνευμονία φέρει. μᾶλλον δ' ἁρμόττειν μὲν περιπνευμονίαις ἢ καύσοις εἰπὼν τὸ λουτρὸν ἐδήλωσεν ὅτι καὶ τῶν καυσουμένων ἐνίους ὠφελεῖ· διορισμοῦ δὲ χρεία δηλονότι πρὸς τὴν λέξιν ταύτην, ὃν οὔπω δυνάμεθα ποιήσασθαι, διὰ τὸ μηδὲν εἰρῆσθαι περὶ τοῦ καιροῦ, καθ' ὃν δὴ κελεύει λούειν τοὺς κάμνοντας. τίνας οὖν οὔθ' ὅλως ἀξιοῖ λούειν, πρότερον ἀκούσαντες αὐτοῦ κατὰ τὴν ἑξῆς ῥῆσιν ἐρεῖν μέλλοντος, οὕτως ἀφιξόμεθα πρὸς τὸν περὶ τοῦ λουτροῦ καιρόν.

νδ'.

Ἥκιστα δὲ λούειν καιρὸς τούτοισιν, οἷσιν ἡ κοιλίη ὑγροτέρη τοῦ καιροῦ ἐν τῇσι νούσοισιν· ἀτὰρ οὐδὲ οἷσιν ἐστήκει μᾶλλον τοῦ καιροῦ καὶ μὴ προεληλύθει. ἀλλ' οὐδὲ τοὺς

juvantur. Quapropter duorum alterum, aut ita scribendum: *Peripneumoniae autem et pleuritidi magis quam ardenti febri confert*, vel in peripneumonia pleuritidem subaudire oportet. Namque pleuritis dolorem in latere habet, peripneumonia non habet. Quum autem peripneumoniis magis quam ardentibus febribus conferre balneum inquit, docet quoque causo laborantibus quibusdam auxilio esse. Verum oratio haec distinctionem expostulat, quam nondum efficere possumus, quia tempus quo lavari aegrotantes velit, non definierit. Ubi autem sequenti dictione enarrantem Hippocratem quosnam haudquaquam lavare velit intellexerimus, ad balnei tempus ita perveniemus.

LIV.

At quibus alvus in morbis plus aequo liquidior est, eis balneum minime opportunum est, imo neque iis quibus magis quam deceat astricta est, neque prius soluta. Sed

γιγνωμένους χρὴ λούειν, οὔτε δὴ τοὺς ἀσώδεας ἢ ἐμετικοὺς, οὔτε τοὺς ἐπανερευγομένους χολῶδες, οὔτε τοὺς αἱμοῤῥαγέοντας ἐκ ῥινῶν, εἰ μὴ ἔλασσον τοῦ καιροῦ ῥέοι, (τοὺς δὲ καιροὺς οἶδας) ἢν δὲ ἔλασσον τοῦ καιροῦ ῥέοι, λούειν, ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀρήγῃ, ἤν τε τὴν κεφαλὴν μούνην. ἢν οὖν αἱ παρασκευαὶ ἐπιτήδειοι καὶ ὁ κάμνων μέλλει εὖ δέξασθαι τὸ λουτρὸν, λούειν χρὴ ἑκάστης ἡμέρης.

Οἷς μὲν ὑπέρχεται τὰ κατὰ τὴν γαστέρα πλείονα, τὸ βαλανεῖον ἵστησιν, ἀντισπῶν αὐτὰ πρὸς ὅλον τὸ σῶμα καὶ ταύτῃ βλάπτεται· τοῖς δὲ μηδ' ὅλως διακεχωρηκόσιν ὅτι προεκκενῶσαι βέλτιόν ἐστι τὴν παλαιὰν κόπρον οὐδεὶς ἀγνοεῖ, καθάπερ οὐδ' ὅτι τοὺς γεγυωμένους, τουτέστι τοὺς καταλελυμένους τὴν δύναμιν, ἐπικαταλύει τὸ βαλανεῖον. ἀλλὰ καὶ τοὺς ἀσώδεις φησὶ καὶ ἐμετικοὺς οὐ λούειν· καὶ γὰρ τούτους ἐξαίφνης καταλυθῆναι φόβος, ὥστε τὴν καλουμένην ἀκολουθῆσαι στομαχικὴν συγκοπήν. ἐγγὺς δ' αὐτοῖς εἰσι

neque viribus oblaesos lavare oportet, neque ciborum fastidio aut vomitu jactatos, neque biliosa eructantes, neque quibus sanguis e naribus profluit, nisi parcius quam occasio postulet fluxerit (occasiones autem nosti), si vero parcius quam pro occasione fluat, lavare convenit, sive universum corpus in caeteris, sive caput solum juverit. Si igitur apparatus idonei fuerint aegerque feliciter balneum suscepturus sit, quotidie lavare oportet.

Quibus uberiora per ventrem subducuntur, ea balneum sistit, ad corpus universum revellens, atque hac occasione laedit. Quod autem qui nullo modo dejecerunt, eos vetustam faecem evacuasse melius sit nemo ignorat, quemadmodum neque quod infirmos, hoc est viribus resolutos, balneum amplius evertat. Sed et cibum fastidientes et vomiturientes non lavandos esse pronunciat. Hos enim viribus ita defici metus est, ut succedat ea quae stomachica appellatur syncope. Succedunt his, quibus os

καὶ οἱ ἐκκεχολωμένοι τὸ στόμα τῆς κοιλίας, οὓς διὰ τοῦ γνωρίσματος ἐδήλωσεν εἰπών· οὐδὲ τοὺς ἐπανερευγομένους χολῶδες. ὡσαύτως οὐδὲ τοὺς αἱμοῤῥαγοῦντας ἐκ ῥινῶν αὐτάρκως προσήκει λούειν. εὔλογον γὰρ οὖν, ἐὰν ἐλλιπέστερον αἱμοῤῥαγῶσιν, λούειν αὐτούς· οὗτοι δέ εἰσι καὶ οἱ λαύρου τοῦ λουτροῦ δεόμενοι, κινήσεως σφοδροτέρας ἕνεκα τοῦ κατὰ τὴν κεφαλὴν αἵματος· ὡσαύτως δὲ λούσομεν εἰ χρήζοντες αἱμοῤῥαγίας μηδ' ὅλως αἱμοῤῥαγοῖεν. ἐκ δὲ τοῦ προσθεῖναι, ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀρήγῃ, ἤν τε τὴν κεφαλὴν μοῦνον, ἔτι σαφέστερον ἐδήλωσεν ὡς πολλάκις ἐν οἴκῳ τεθερμασμένῳ καθίζων τὸν κάμνοντα χωρὶς τοῦ πυέλου καταντλεῖ τὴν κεφαλὴν μόνην χωρὶς τοῦ λοιποῦ σώματος ὕδατι θερμῷ.

νε.

Τοὺς δὲ φιλολουτρέοντας οὐδ' εἰ καὶ δὶς τῆς ἡμέρας λούσῃς, οὐδὲν ἂν ἁμάρτοις.

[113] (86) *Καὶ ταύτην τὴν ῥῆσιν ὁ δοὺς ἰατρὸς*

ventriculi bile redundat, quos nota indicavit, inquiens: *neque biliosa eructantes.* Pari modo neque eos lavare convenit, quibus profluit abunde e naribus sanguis, nam si minus fluxerit, ipsos lavare consentaneum est: Hi autem sunt qui etiam largo indigent balneo, ob sanguinis qui in capite est vehementiorem motum. Consimiliter lavabimus, si sanguis nullo pacto erumpat et erumpere debeat. Ex adjectione autem sermonis, *sive universum corpus in caeteris, sive caput solum juverit*, clarius adhuc significavit, quod saepe in domo calefacta aegrum absque labro collocent et caput duntaxat citra reliquas corporis partes calida perfundant aqua.

LV.

Quos autem balneum oblectat, eos etiamsi bis die laveris, nihil aberraveris.

Qui Victori Romano principi librum de victus ratione

Βίκτωρι τῷ Ῥώμης ὑπάρχῳ τὸ περὶ τῆς καθ' Ἱπποκράτην διαίτης καὶ ἄλλας τινὰς ἐξ ἡμισείας ἐνέγραψε τῷ βιβλίῳ, καθάπερ κἀκείνην ἐν ᾗ φησιν ὅτι οὐχ ὑστερητέαι αἱ πρῶται ἡμέραι τοῦ ῥοφήματος· ἔτι δὲ πρὸς αὐτῇ καὶ τοῖσι μὲν γε εἰθισμένοισι δὶς σιτεῖσθαι τῆς ἡμέρης δὶς δοτέον. ἀλλὰ τούτων μὲν τῶν δύο ῥήσεων ἑκατέρας ἀφεῖλε τὸ ἥμισυ μέρος, τῆς δὲ νῦν προκειμένης ἀφεῖλε μὲν οὐδὲν, οὐ προσέθηκε δὲ τὸν καιρόν. ἐν ᾧ τοὺς φιλολουτροῦντας ἐπιλέγει τοὺς ἐν τῷ τῆς ὑγείας χρόνῳ χαίροντας τῷ λούεσθαι καὶ διὰ τοῦτο πολλάκις λουομένους· οὗτοι γὰρ εἰς τὸ λούσασθαι προσλαμβάνουσι τὸν ἐκ τοῦ ἔθους σκοπόν. ἐφεξῆς γοῦν ἀκούσωμεν αὐτοῦ τὸν καιρὸν, ἐν ᾧ κελεύει λούεσθαι τοὺς κάμνοντας.

νστ'.

Χρέεσθαι δὲ λουτροῖσι τοῖσιν ὅλῃσι πτισάνῃσι χρεομένοισι παρὰ πολὺ μᾶλλον ἐνδέχεται ἢ τοῖσι χυλῷ μούνῳ χρεομένοισι· ἐνδέχεται δὲ καὶ τούτοισιν ἐνίοτε, ἥκιστα δὲ καὶ τοῖσι ποτῷ μούνῳ χρεομένοισιν.

Hippocratis tradidit medicus, is tum hanc dictionem tum alias quasdam mutilatas in libro scripsit, sicuti et illam in qua dicit: *non destituentur sorbitione primi dies.* Praeterea: *et bis die cibum sumere assuetis bis dare oportet.* Verum utriusque harum dictionum dimidiam partem subtraxit, sed praesentis quidem nihil detraxit, tempus vero non adjecit. Ubi quos balneum oblectat, eos intelligit, qui cum sani sunt, lavari gaudent, atque ob id saepius lavantur. Hi enim quum lavantur, eum accipiunt, qui ex consuetudine est, scopum. In sequentibus autem ab Hippocrate tempus, quo aegros lavari imperat, audiamus.

LVI.

Tota vero ptisana utentibus multo magis uti balneo licet, quam solo cremore utentibus, licet autem et his interdum, minime vero solo potu utentibus.

Ἐν τούτῳ τῷ λόγῳ τὸν καιρὸν ἐδήλωσεν, ἐν ᾧ προσήκει λούεσθαι καὶ εἴπερ ἐν ἀρχῇ προειρήκει, πολλὰ ἂν οὕτω τῶν μεταξὺ λεγομένων οὐκ ἦν ἀσαφῆ. πτισάνας γὰρ ὅλας δίδωσι τοῖς ἐπιεικῶς ἔχουσιν, ὅσοι δ' αὐτῶν φαυλότερον διάγουσι, χυλὸν μόνον· ὅσοι δὲ καὶ τούτων ἔτι σφαλερώτερον ἢ ὀξύτερον νοσοῦσι, μόνα τὰ ποτά. καὶ ὅτι δὲ τὸν λόγον ἐπὶ τῶν κατὰ θώρακα καὶ πνεύμονα παθῶν ἐν ὅλῳ τῷ συγγράμματι πεποίηται, τὰ πλεῖστα τῶν καθόλου διδάσκων ὡς ἐπὶ παραδειγμάτων, ἐν τοῖσδε τοῖς μέρεσι τῶν νοσημάτων καὶ μάλιστα τῆς πλευρίτιδος, ἐπιδέδεικται πολλάκις· ἐδείχθη δὲ ὅτι καὶ πεφθέντων τῶν παθῶν χρῆσθαι κελεύει τῇ πτισάνῃ. τότ' οὖν καὶ τὸ λουτρὸν ἀκινδύνως προσάγεται, μάλιστα συντελοῦν εἰς τὴν ἐκκάθαρσιν τῶν περιεχομένων πτυέλων ἐν θώρακι καὶ πνεύμονι. τοῖς οὖν οὕτως ἔχουσιν, ὅταν καὶ ἡ ἀπὸ ἔθους ἔνδειξις προσέλθῃ, διπλασιάσαι τὸ λουτρὸν οὐδὲν κωλύει· τοῖς μέντοι ποτῷ μόνῳ χρωμένοις ἥκιστά φησιν ἁρμόττειν τὸ λουτρὸν, ὅπερ ση-

Tempus, quo lavandum ſit, hac in oratione patefecit, quod ſi ab initio pronunciaſſet, multa ſane, quae loco medio dicta ſunt, non obſcura eſſent. Ptiſanam ſane totam porrigit iis qui probe habent, ſolum vero cremorem iis, qui deterius degunt. Verum iis, qui periculoſius aut acutius laborant, potus ſolos. Quod autem toto in hoc commentario de thoracis pulmonisque affectibus egerit, plurima quidem exempli vice in his morborum partibus et praeſertim pleuritidis univerſalia praecipiens, ſaepius eſt demonſtratum. Expoſitum quoque eſt quod coctis morbis ptiſana uti velit. Ego igitur tempore etiam balneum ſine periculo conciliatur, ut quod ad ſputorum, quae in thorace et pulmone continentur, expurgationem maxime conferat. Qui igitur ita habent, quum et ea quae ex conſuetudine eſt, acceſſerit indicatio, his lavationem duplicare nihil prohibet. Ait praeterea balneum minimum juvare eos, qui ſolo utuntur potu, ubi

μαίνει τὸ ἐλάχιστον καὶ οὐχ ὡς ἔνιοί φασι τὸ οὐδαμῶς· ἐπιφέρων γοῦν ἐρεῖ·

νζ'.

Ἔστι δ' οἷσι καὶ τουτέων μὲν ἐνδέχεται· τεκμαίρεσθαι δὲ χρὴ τοῖσι προγεγραμμένοισι, οὕς τε μέλλει [114] λουτρὸν ὠφελέειν ἐν ἑκάστοισι τῶν τρόπων τῆς διαίτης οὕς τε μή. οἷσι μὲν γὰρ προσδέεταί τινος κάρτα τουτέων, ὁκόσα λουτρὸν ἀγαθὸν ποιέει, οὐ λούειν, καὶ ὅσα ἂν λουτρῷ ὠφελέηται· οἷσι δὲ τούτων μηδενὸς προσδεῖ καὶ πρόσεισιν αὐτέοισι τῶν σημείων ἐφ' οἷσι λούεσθαι ξυμφέρει, δεῖ λούειν.

Οὐ προσέθηκε δὲ τὸ πότε τούτους ἐνδέχεται χρῆσθαι λουτρῷ· λεκτέον οὖν ἡμῖν ἑπομένοις αὐτοῦ τῇ ὅλῃ διανοίᾳ. ποτοῖς μόνοις διαιτᾷ ὁ Ἱπποκράτης τοὺς ὀξέως νοσοῦντας, ὅταν ἐλπίζῃ τὴν δύναμιν αὐτῶν ἐξαρκέσαι εἰς τὴν τοῦ νοσήματος ἀκμὴν, ἥτις ἐνίοτε ἅμα τῇ πέψει γίνε-

ἥκιστα *minimum* significat et non, ut quidam ajunt, *nullo pacto.* Nam inferens inquit:

LVII.

Sunt autem et ex iis, quibus uti licet. Ex praescriptis vero conjiciendum est, tum quibus in singulis victus modis profuturum sit balneum, tum quibus minime. Quibus namque aliquid eorum maxime deest, quae balneum bonum efficiunt et balneo conferunt, lavare non oportet. Quibus vero nihil horum deest et adsunt ipsis signa in quibus lavari conducit, lavare oportet.

Non adjecit autem, quando ii balneo uti possint. Sed nos qui sententiam ipsius sequimur dicemus. Potu solo ait Hippocrates acute laborantes, quum eorum vires ad morbi usque vigorem, qui interdum cum ipsa coctione existit, veluti in morbis thoracis pulmonisque, suffecturas

ται, καθάπερ ἐπὶ τῶν κατὰ θώρακα καὶ πνεύμονα· πεφθέντων γὰρ τῶν ἐργαζομένων τὰ πάθη χυμῶν εὐθέως ἀναπτύσουσιν· ἂν δὲ ἄρξωνται μόνον πτύειν οἷα δεῖ, κατ' οὐδέτερον ἔτι τῶν τρόπων ἡ νόσος αὐξηθήσεται, οὔτε κατὰ τὴν διάθεσιν οὔτε κατὰ τὰ συμπτώματα. πολλάκις γὰρ ἡ μὲν διάθεσις αὐτὴ καθ' ἣν νοσοῦσιν ἐπιεικεστέρα γίγνεται, τὰ δὲ συμπτώματα αὐξάνεται, καθάπερ ἐπὶ τῶν φλεγμαινόντων μορίων, ὡς αὐτὸς εἶπε, περὶ τὰς γενέσιας τοῦ πύου τοὺς πόνους καὶ τοὺς πυρετοὺς συμπίπτειν μᾶλλον ἢ γενομένου. πολλάκις δ' ἀλλήλοις συναυξάνεται καὶ συμμειοῦται τά τε τῶν συμπτωμάτων μεγέθη καὶ τὸ τῆς διαθέσεως, καὶ γίγνεταί γε τοῦτο κατ' ἐκείνας τὰς φλεγμονὰς, ἐν αἷς ἐκροὴν ἔχει τὸ γεννώμενον πῦον, ὡς ἐπὶ τραυμάτων τέ τινων εἴωθε γίνεσθαι καὶ κατὰ τὰς περιπνευμονίας τε καὶ πλευρίτιδας. ἐνδέχεται οὖν ἐν τούτοις τοῖς νοσήμασιν ἔτι διαιτωμένους τοὺς κάμνοντας ἐπὶ ποτοῖς μόνοις οὐκ ἀνωφελῶς χρῆσθαι τοῖς λουτροῖς, ἐπειδὴ καὶ τῆς ὀδύνης αὐτῶν ἔφη παρηγορικὸν εἶναι τὸ λουτρὸν καὶ πτυέλου πεπαντικόν. ἀλλὰ δηλονότι προκενώσαντα τοῦτο χρὴ ποιεῖν, εἰδότας

ſperaverit. Coctis ſi quidem qui affectum procreant humoribus, confeſtim excreabunt. Quod ſi qualia oportet expuere coeperint, in neutro adhuc modorum, neque in affectu neque in ſymptomatis, morbus augebitur. Nam saepius affectio ipſa qua laborant mitior quidem exiſtit, ſed ſymptomata augentur, quemadmodum in phlegmone obſeſſis partibus, ut ipſe inquit: *circa puris generationem magis quam a generatione dolores et ſebres oboriuntur.* Saepius autem mutuis exultant incrementis decrementisque ſymptomatum magnitudines et ea quae affectionis eſt, ſitque id in iis phlegmonis, in quibus procreatum pus effluxum habet, ut in vulneribus quibusdam fieri conſuevit et in peripneumoniis et pleuritidibus. Poſſunt ergo in his morbis et aegroti ſolis potibus pro victu utentes, non inutiliter balneis uti, quandoquidem dolorem ipſorum balneum mitigare ait et ſputa maturare. Sed ſane vacuato prius corpore id factitandum. Sciverisque in

ἐν τῷ καθόλου περὶ λουτρῶν δυνάμεων, ὡς ἐὰν μὴ προκεκενωμένῳ τῷ σώματι προσάγηται, ῥευματίζει τὰ πεπονθότα· κεκενωμένῳ δὲ προσφερόμενον τῇ πέψει συνεργεῖ, δύναμιν ἔχον προσκενοῦν προκεκενωμένου τοῦ ὅλου σώματος. διὸ καὶ τῶν καυσωδῶς νοσούντων ἐκείνοις ἁρμόσει μόνοις, ὅσοι χωρὶς ὄγκου φλεγμονώδους ἢ ἐρυσιπελατώδους νοσοῦσι, ζεούσης αὐτοῖς τῆς ἐν ὅλῳ τῷ σώματι χολῆς· ἐὰν δὲ καὶ πέψεως ἔχωσι γνωρίσματα, πολλῷ μᾶλλον αὐτοῖς ἁρμόσει. γιγνομένου δὲ καυσώδους πυρετοῦ καὶ δι' ἁλικὸν φλέγμα σηπόμενον, ἰστέον ἐπ' ἐκείνων ἐναντιώτατον ὑπάρχειν τὸ βαλανεῖον. οὔτε γὰρ διαφορεῖται κατὰ τὸ δέρμα, καθάπερ ὁ πικρόχολος χυμὸς, οὕτω καὶ ὁ φλεγματικὸς διὰ τὸ παχύς τε καὶ γλίσχρος ὑπάρχειν, οὔτε σβέννυται, πολυχρονίου πέψεως δεόμενος.

Μέμνημαι κατὰ τὴν ἀρχὴν τῆς ἐξηγήσεως τοῦ βιβλίου τούτου πρὸς τοὺς Κνιδίους ἰατροὺς εἰπόντος Ἱπποκράτους· ὁκόσα δὲ προκαταμαθεῖν δεῖ τὸν ἰατρὸν μὴ λέγοντος τοῦ

universum de balneorum facultatibus, quod si non antea vacuato corpore admoveantur, partibus affectis fluxionem pariant. Vacuato autem si adhibeantur, coctionem juvent, nimirum corpore toto ante vacuato adhibita, advacuatoriam obtinent facultatem. Quo fit ut ex febre ardente laborantibus iis tantum opitulentur, qui sine tumore phlegmonode vel erysipelatode laborant, fervente in ipsis per totum corpus bile. Quod si coctionis signa habuerint, his multo magis conferent. Verum si ardens febris ob salsam pituitam putrescentem oriatur, maxime contrarium illis esse balneum scire oportet. Neque enim pituitosus humor, ut biliosus, per cutim evacuatur, propterea quod tum crassus tum glutinosus est, neque extinguitur, longa egens concoctione.

Memini Hippocratis per initia explicationis hujus libri Cnidios medicos alloquentis: *quae autem medicum ante animadvertisse, aegro non referente, oportet, plurima*

κάμνοντος, τούτων τὰ πολλὰ παρεῖται. ταῦτα οἱ μὲν δογματικὸν εἶναι νομίζοντες τὸν Ἱπποκράτην τοὺς πεπονθότας τόπους ἔφασαν εἶναι καὶ τὰς διαθέσεις αὐτῶν καὶ τὰς αἰτίας, οἱ δ᾽ ἐμπειρικὸν, ὥρας τε καὶ χώρας καὶ ἡλικίας ἔθη τε καὶ καταστάσεις τοῦ περιέχοντος ἡμᾶς ἀέρος. ἐγὼ δὲ καὶ ταῦτα μὲν ἅπαντα χρήσιμα τοῖς ἰατροῖς οἶδα, τά θ᾽ ὑπὸ τῶν δογματικῶν εἰρημένα καὶ τῶν ἐμπειρικῶν· [115] ἀλλὰ κατά γε τὸ βιβλίον τοῦτο σκοποὺς εἰπὼν ὁ Ἱπποκράτης πολλοὺς, πρὸς οὓς ἀποβλέπων τις εὑρήσει τὰ διαιτήματα, τῶν εἰρημένων οὐδενὸς ἐμνημόνευσεν, ὅτι μὴ τῶν ἐθῶν· ἄλλα δέ τινα προὐχειρίσατο περὶ ὧν ἀναμνήσεως ἔδει, καὶ διὰ ταῦτα τὸν λόγον ἀνεβαλλόμην, ἵνα διὰ συντόμων ἑρμηνεύων ὅμως ἔχω παρακολουθοῦντας τῷ λόγῳ τοὺς ἀνεγνωκότας ὅλον τὸ βιβλίον. εἷς μὲν δὴ καὶ πρῶτος αὐτῷ σκοπὸς, ὡς ἐπὶ παραδείγματος τοῦ νοσήματος τῆς πλευρίτιδος, οὕτος εἴρηται κατὰ λέξιν· ἢν μὲν ξηρότερον ᾖ τὸ νόσημα ἢ ὡς ἄν τις οἴοιτο, οὐ χρὴ ἐπὶ πλέον διδόναι, ἀλλὰ προπίνειν

horum dimiſſa ſunt. Haec ſiquidem qui Hippocratem dogmaticum eſſe putant, locos affectos eſſe dixerunt et affectiones ipſorum et cauſas. Sed qui empiricum eſſe exiſtimant, anni tempora eſſe, regiones, aetates, conſuetudines et ambientis nos aëris conditiones affirmaverunt. Ego vero et haec quidem omnia, tum quae a medicis dogmaticis, tum quae ab empiricis dicuntur, utilia eſſe non ignoro. Verum ſcopos multos hoc in libro recenſens Hippocrates, ad quos quis reſpiciens victus formam invenire poſſit, nullius eorum, quae dicta ſunt, praeterquam conſuetudinis, mentionem fecit. Sed ſane nonnulla, quae reminiſcentiam exigunt, propoſuit. Atque propterea ſermonem ſum remoratus, ut hac conciſa interpretatione eos, qui totum legerunt librum, habeam ſermonis hujus per intelligentiam aſſectatores. Unus ſane et praecipuus ſcopus, tanquam in exemplo morbi pleuritidis, talis in dictione enarratur. *Si quidem ſiccior fuerit morbus, quam ut quiſpiam putaverit, non multum dare oportet, ſed ante ſorbitionem vel*

πρὸ τοῦ ῥοφήματος ἢ μελίκρητον ἢ οἶνον ἢ ὁκότερον ἁρμόζει. καὶ μετὰ τοῦτο πάλιν ἐφεξῆς τάδε λέγει· ἢν δὲ ὑγραίνηται τὸ στόμα καὶ τὰ ἀπὸ τοῦ πνεύμονος εἴη ὁκοῖα δεῖ, χρὴ ἐς πλῆθος ἐπιδιδόναι τοῦ ῥοφήματος, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι. ταῦτα μὲν οὖν καὶ τὰ τούτοις ἐφεξῆς οὐ διώρισται παρὰ τοῖς Κνιδίοις ἰατροῖς. ἀλλὰ καὶ μετὰ ταῦτα τῇ πέψει τοῦ νοσήματός φησι χρῆναι προσέχειν καὶ ὁ σκοπὸς (87) οὗτος αὐτῷ σχεδόν ἐστι τοῦ τε παντὸς εἴδους τῆς διαίτης, ὅσαι τε κατὰ μέρος ἐν αὐτῷ γίνονται μεταβολαί. ἀλλὰ καὶ τούτων ἐφεξῆς ἄλλους διορισμοὺς τοιούτους λέγει· ὅσοισι γὰρ σῖτος ἐγκατακέκλειστται, ἢν μή τις ὑποκενώσας τὸ ῥόφημα δοίη, τὴν ὀδύνην ἐνοῦσαν παροξύνειεν ἂν καὶ μὴ ἐνοῦσαν εὐθέως ποιήσειεν. καὶ πάλιν ἐφεξῆς· τοῦτο δ' ἢν ἔτι τῆς ὀδύνης τοῦ πλευροῦ συνεχέος ἰούσης καὶ πρὸς τὰ θερμάσματα μὴ χαλώσης καὶ τοῦ πτυέλου μὴ ἀπιόντος, ἀλλὰ καταγλισχρομένου ἀσαπέως, ἢν μὴ λύσῃ τις τὴν ὀδύνην ἢ τὴν κοιλίην μαλθάξας ἢ φλέβα τεμὼν, ὁκότερον ἂν τούτων σημαίνῃ, τὰς δὲ πτισάνας ἢν οὕτως ἔχουσι

mulſam vel vinum, utrum magis auxiliaturum putaverit, propinare convenit. Poſt haec deinceps ait: *at ſi os madeſcat et quae a pulmone expuuntur, talia ſint, qualia eſſe oportet, ſorbitionis quantitatem, ut dicam ſummatim, augere convenit.* Verum tum haec tum quae ſerie continuata dicuntur, non ſunt a Cnidiis medicis definita. Sed et poſt haec morbi coctionem animadvertendam eſſe ait. Atque hic ſcopus totius propemodum eſt Hippocrati ſpeciei victus rationis et earum quae in ea particulariter fiunt permutationum. Sed et alias deinceps apponit ejusmodi definitiones. *Quibus enim cibus incluſus eſt, ſi quis non vacuato eo ſorbitionem dederit, dolorem, ſi adeſt, adaugebit, et ſi non adeſt, protinus inducet.* Et rurſus deinceps: *Praeterea ſi lateris dolor aſſiduus ſit calidisque fomentis non remittatur ſputumque non procedat, ſed incoctile agglutinetur, niſi quis dolorem vel alvi ſubductione, vel ſecta vena pro utriuſvis ſignificatione ſolverit, ptiſanam autem ita affectis dederit, praecipitem eos*

ἱδρῶς, ταχέως οἱ θάνατοι τῶν τοιουτέων γίγνονται. μετὰ ταῦτά γε πάλιν διοριζόμενός φησιν· ἢν μὲν νεοβρῶτι αὐτῷ ἐόντι καὶ κοιλίης μήπω ὑποκεχωρηκυίης ἄρξηται ὁ πυρετὸς, ἤν τε σὺν ὀδύνῃ ἤν τε ἄνευ ὀδύνης, ἐπισχεῖν τὴν δόσιν τοῦ ῥοφήματος, ἔστ' ἂν οἴηται κεχωρηκέναι ἐπὶ τὸ κάτω μέρος τοῦ ἐντέρου τὸ σιτίον. καὶ πάλιν ἐφεξῆς· εἰ δὲ μὴ ὑπεληλύθει ὁ παλαιότερος νεοβρώτῳ ἐόντι, εἰ μὲν ἰσχύει τε καὶ ἀκμάζει τὴν ἡλικίαν, κλύσαι· ἢν δὲ ἀσθενέστερος ᾖ, βαλάνῳ προσχρῆσθαι, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς. ἐνταῦθα οὖν προσέθηκε καὶ τὸν ἀπὸ τῆς δυνάμεως σκοπὸν ὥσπερ κἀν τοῖς ἐφεξῆς πολλάκις, ἅμα καὶ τοῦτο κελεύων ἐπισκοπεῖσθαι, τίς αἰτία καὶ διάθεσίς ἐστιν ἡ καταβάλλουσα τὴν δύναμιν· ἔνθα καὶ προσέθηκεν ὡς ἀγνοοῦνται ταῦτα τοῖς ἰατροῖς. καὶ μέντοι καὶ ὅτι τοῖς μὲν ὑποχόνδριον τὴν ὀδύνην περαιουμένην ἔχουσιν· ἡ κάθαρσις ἡ διὰ τῶν τοιῶνδε φαρμάκων ὠφέλιμός ἐστι, τοῖς δὲ πρὸς βραχίονα καὶ στῆθος ἀνατεινομένην αὐτὴν μετὰ βάρους ἔχουσι φλεβοτομία. ταῦτά τε οὖν καὶ ἄλλα τοιαῦτα καὶ ἔτι τὰ περὶ τῶν ἐθῶν

aget in mortem. Post haec rursus et definiens ait: *si nuper pasto cuipiam et alvo nondum exonerata febris vel cum dolore vel sine dolore inceperit, a sorbitione tantisper est temperandum, donec cibum ad imam intestini partem descendisse conjectum sit.* Tum rursus: *si nuper cibato cibus prior non descenderit viresque validae fuerint et floruerit aetas, subluere oportet, si vero imbecillior fuerit, balneo est utendum, nisi alvus sua sponte probe dejecerit.* Adjecit ergo in hac dictione eum, qui a viribus est scopum, quemadmodum in sequentibus saepenumero et id considerari praecipiens, quae causa et affectio sit, quae vires prosternat, ubi et haec a medicis ignorari adjecit. Praeterea *adjecit*, iis qui dolorem ad hypochondrium prorepentem habent, per talia medicamenta auxilio esse purgationem, caeteris autem, quibus dolor vel gravitas ad brachium vel pectus extenditur, venae sectionem. Haec igitur et caetera hujusmodi, quaeque de consuetudine di-

προειρημένα παραλέλειπται παντάπασιν ὑπὸ τῶν Κνιδίων ἰατρῶν καὶ πολὺ μᾶλλον τούτων αἱ φύσεις καὶ αἱ κράσεις τῶν σωμάτων, ὧν πολλάκις ἐμνημόνευσεν ἐν τῷ βιβλίῳ, τοὺς μὲν πικροχόλους ὀνομάζων, τοὺς δὲ μελαγχολικούς. ἐχόμενος δὲ τῶν σκοπῶν τούτων καὶ περὶ τῆς τῶν ὑγιαινόντων ἐν τῇ διαίτῃ μεταβολῆς ἐδίδαξεν, ὅπως ἐπανορθωτέον ἐστὶ καὶ περὶ τῆς τῶν καμνόντων. ἔν τε τῷ περὶ οἴνου καὶ μελικράτου καὶ ὀξυμέλιτος καὶ ὕδατος λόγῳ τῶν αὐτῶν τούτων ἐμνημόνευσε σκοπῶν. ἐμνημόνευσε δὲ καὶ περὶ τῆς πέψεως τοῦ νοσήματος πολλάκις, οὐ μικρὸν σκοπὸν οὐδὲ τοῦτον ποιούμενος ὅλης τε τῆς διαίτης καὶ τῶν ἐν ταύτῃ μεταβολῶν· ὁμοίως δὲ καὶ περὶ ἀκμῆς νοσήματος εἶπέ τι καὶ πρὸς τοῦτον ἀποβλέπων, τρέφει οὐχ ὡς πρὸς τὸν φαυλότατον σκοπὸν ἐν διαίτῃ. πάντα ταῦτα καὶ ἄλλα τοιαῦτα παραλέλειπται τοῖς Κνιδίοις ἰατροῖς, ἃ χρὴ προσμανθάνειν τὸν ἰατρὸν, μὴ λέγοντος τοῦ κάμνοντος.

cta funt, a Cnidiis medicis omnino funt praetermiffa multoque magis naturae et corporum temperamenta, de quibus faepenumero in hoc libro egit, hos picrocholos appellans, alios melancholicos. His vero fcopis inhaerens, tum de ea quae in fanis fit victus mutatione docuit, quomodo emendanda fit, tum de ea quae in aegris. Praeterea et in eo quem de vino, aqua mulfa, oxymelite et aqua facit fermone fcopos recenfuit eosdem. Meminit quoque et coctionis morbi faepius, non parvum fcopum univerfae victus rationis earumque quae in ipfa fiunt mutationum hunc faciens. Pari modo et de morbi vigore quiddam dixit et ad hunc refpiciens, non tanquam ad abjectiffimum in victus ratione fcopum alimoniam miniftrat. Cuncta haec et ejusmodi caetera a Cnidiis medicis praetermiffa funt, quae medicum ante animadvertiffe, non dicente aegro, oportet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ ΝΟΣΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΚΑΙ ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ Δ.

Ed. Chart. XI. [116.] Galen. V. (87.)

[116] Προοίμιον. Ἐν τῷ περὶ διαίτης τὰ μετὰ τὸν περὶ λουτρῶν λόγον εἰρημένα προσηκόντως ὑπώπτευσαν οὐκ ὀλίγοι τῶν ἰατρῶν ὡς οὐχ Ἱπποκράτους ὄντα· καὶ γὰρ τῇ τῆς ἑρμηνείας δυνάμει καὶ τῇ τῶν θεωρημάτων ἀκριβείᾳ λείπεται πολὺ τῶν ἔμπροσθεν. οὐ μὴν οὐδ' ἀλόγως ἐκινήθησαν οἱ νομίσαντες Ἱπποκράτους εἶναι καὶ ταῦτα· κατὰ γὰρ τὴν ἐκείνου προαίρεσιν ἡ διάνοια τῶν γε-

HIPPOCRATIS DE ACUTORUM MORBORUM VICTU LIBER ET GALENI COMMENTARIUS IV.

Prooemium. Quae in libro de victus ratione post eum, qui de balneis, sermonem enarrata sunt, jure optimo non pauci medicorum Hippocratis non esse conjecerunt. Etenim a superioribus et vi interpretationis et theorematum integritate longe discedunt. Neque tamen praeter rationem impulsi sunt, qui et Hippocratis haec esse existimarunt. Nam eorum quae scripta sunt senten-

γραμμένων ἐστὶν, ὡς ὑπονοῆσαι μαθητὴν αὐτοῦ τινα γεγραφέναι. πολλὰ δὲ ἐν αὐτοῖς καὶ τὴν λέξιν ἄμεμπτον ἔχει μετὰ τῆς διανοίας, ὡς ὑπονοῆσαι πάλιν ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους αὐτὰ γεγράφθαι, παρασκευαζομένου συνθεῖναι βιβλίον, ὡς ὑπέσχετο κατὰ αὐτὸ τὸ περὶ διαίτης ὀξέων, ἐν ᾧ κατὰ μέρος ἑκάστου τῶν ὀξέων νοσημάτων τὴν [117] θεραπείαν διδάξει. καὶ μὲν δὴ καὶ ἄλλας ἔστι ῥήσεις εὑρεῖν ἐν τῷ προκειμένῳ βιβλίῳ, φανερῶς οὐκ οὔσας ἀξίας Ἱπποκράτους, ὡς ὑπονοῆσαι παρεγγεγράφθαι τοῖς γνησίοις, ὥσπερ καὶ κατὰ τοὺς ἀφορισμοὺς ἐφάνησαν ἔνιοι τοιοῦτοι πρὸς τοῖς τελευταίοις μέρεσι τοῦ βιβλίου. τῷ γὰρ ἐν μνήμῃ πολλοῖς εἶναι τὰ πρῶτα τῶν συγγραμμάτων, οἱ παρεγγράφοντες εἰς τὰ τελευταῖα παρεγγράφουσι· τοῦτο γοῦν αὐτὸ καὶ κατὰ τὸ περὶ τῶν ἐν τῇ κεφαλῇ τρωμάτων ἐφάνη γεγονὸς, ἔτι δὲ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν. ὁμοίως δὲ καὶ κατὰ τὸ νῦν ἡμῖν προκείμενον βιβλίον ἔστιν εὑρεῖν παρεγκείμενα καὶ μᾶλλον ἔτι πρὸς τοῖς τελευταίοις. τεσσάρων οὖν ὡς εἴποι τις εἰδῶν ὄντων ἐν αὐτῷ, τοῦ μὲν ἀξίου καὶ

tia institutum illius adeo redolet, ut discipulum ejus aliquem scripsisse suspicio sit. Imo et ex his multa dictionem cum sententia ita inculpatam habent, ut rursum ea ab ipso Hippocrate scripta esse suspicandum sit, qui librum componere meditabatur, in quo singulorum acutorum morborum curationem doceret, ut in libro de victus ratione in morbis acutis promiserat. Praeterea et alias in praesenti libro reperies dictiones, quae Hippocrate ita indignae sunt, ut legitimis ascriptas esse suspicari te oporteat. Quemadmodum et in aphorismis nonnulli hujuscemodi visi sunt partibus libri ultimis adjecti. Qui enim interserunt, quia multis in memoria sunt primae librorum partes, ultimis ascribunt. Id sane ipsum et in libro de capitis vulneribus factum esse videtur et in secundo de morbis epidemicis. Sed et eodem modo in eo qui nunc nobis proponitur libro reperimus, quae interseruntur, atque adhuc magis partibus ultimis. Quum igitur quatuor, ut quispiam dixerit, in eo reperiantur species,

κατὰ τὴν λέξιν καὶ κατὰ τὴν διάνοιαν Ἱπποκράτους, τοῦ δὲ καθ' ἕτερον μόνον, ἤτοι τὴν λέξιν ἢ τὴν διάνοιαν, ἐνίων δὲ κατ' οὐδέτερον, σημανοῦμεν τοῦτ' αὐτὸ καθ' ἑκάστην τῶν προχειριζομένων εἰς τὴν ἐξήγησιν λέξεων.

α'.

Καῦσος δὲ γίνεται, ὁκόταν ἀναξηρανθέντα τὰ φλεβία ἐν θερινῇ ὥρῃ ἐπισπάσηται δριμέας καὶ χολώδεας ἰχῶρας ἐς ἑαυτά.

Θερινὴν ὥραν εἴρηκε τὴν θερμὴν καὶ ξηράν, ἄν τ' ἐπὶ τῇ τελευτῇ τοῦ ἔαρος ἄν τε ἐν ἀρχῇ τοῦ θέρους ἤν τ' ἐν τοῖς μέσοις ἢ τοῖς τελευταίοις ἄν τε κατὰ τὴν ἀρχὴν τοῦ φθινοπώρου ᾖ. δέδεικται δ' ἐν τοῖς ὑπομνήμασι τῶν ἐπιδημιῶν ἡ τοῦ περιέχοντος ἀέρος κρᾶσις ἑαυτῇ συμμεταβάλλουσα τὴν τοῦ σώματος διάθεσιν, ἡ μὲν ξηρὰ πρὸς τὸ ξηρότερον, ἡ δ' ὑγρὰ πρὸς τὸ ὑγρότερον· ἐπιδέδεικται δὲ καὶ ὅτι τὴν κατὰ

una quidem, quae tum dictione tum sententia Hippocrate digna sit, altera autem quae alterutro solum, vel dictione vel sententia, nonnullae vero quae horum neutro, in singulis earum, quae ad expositionem nobis expromentur, dictionibus id ipsum declarabimus.

I.

At febris ardens fit, quum resiccatae venulae tempore aestivo acres et biliosos ichoras ad se attraxerint.

Aestivum tempus dixit calidum et siccum, sive in fine veris fuerit sive principio aestatis sive medio vel extremo sive per autumni exordia sit. Quod autem aëris nos ambientis temperamentum affectionem corporis secum commutet, siccum quidem ad sicciorem, humidum vero ad humidiorem, in commentariis Epidemiorum demonstratum est. Demonstratum est quoque quod commo-

φύσιν κρᾶσιν σύμμετρος ὥρα φυλάττει, τῶν ἄλλων δηλονότι πάντων ὡσαύτως ἐχόντων, ὅσα κατὰ τὴν ὅλην δίαιταν οἱ ἄνθρωποι πράττουσιν. ἐπιδέδεικται δὲ καὶ ὅτι τῆς κατὰ φύσιν τε καὶ συμμέτρου καταστάσεως ἐξισιάμενον τὸ σῶμα, καθότι ἂν ἐξίστηταί τε καὶ μεταβέβληται, κατὰ τοῦτο καὶ τῆς οἰκείας ἐπικουρίας δεῖται, ξηραινόμενον μὲν ὑγραίνεσθαι, ὑγραινόμενον δὲ ξηραίνεσθαι, θερμαινόμενον δὲ ψύχεσθαι, ψυχόμενον δὲ θερμαίνεσθαι. ὅτε οὖν κατά τινα περίστασιν πραγμάτων, ὧν αὐτὸς ἐρεῖ παραδείγματα, συμβῇ τινα ξηρανθῆναι φλέβια καθ' ὁτιοῦν μέρος τοῦ σώματος, ἐπισπᾶται ταῦτα τὰς ἐκ τῶν πλησιαζόντων μορίων ὑγρότητας. ἐὰν μὲν οὖν ὡς τῇ συστάσει φύσιν ὑγρὰν ἔχωσιν οὕτω καὶ τὴν δύναμιν ὑγραντικὴν αἱ εἰς τὰς ξηρανθείσας φλέβας ὑγρότητες ἐνεχθεῖσαι, τὴν κατὰ φύσιν εὐκρασίαν ἀναλαμβάνει τὸ μόριον· ἐὰν δὲ δριμεῖα μὲν ᾖ κατὰ τὴν ποιότητα, ξηραντικὴ δὲ κατὰ τὴν δύναμιν ἡ ὑγρότης, ἐκπυροῦται τὸ σῶμα, καθάπερ εἰ καὶ ἡμῶν τις αὐτῶν διψήσας ἐκπίῃ χανδὸν ἢ οἶνον τεθαλασσωμένον ἄκρατον ἢ

deratum anni tempus naturale conservet temperamentum, caeteris nimirum quae in universa victus lege agunt homines eodem modo se habentibus. Demonstratum praeterea et corpus a naturali commoderatoque statu decessum, quatenus id decessit ac commutatum est, eatenus peculiari egere auxilio, ut aresactum humectatione, humectatum exiccatione, calefactum refrigeratione et refrigeratum calefactione. Quum igitur ob aliquam rerum, quarum exempla adducit ipse, circumstantiam, venulas aliquas qualibet in parte corporis exiccari contigerit, a vicinis partibus hae trahunt humiditates. Si ergo quae ad aresactas venas feruntur humiditates, ut consistentia humidam naturam, ita et facultatem humectantem habuerint, pars quod secundum naturam est temperamentum recipit. Verum si humiditas qualitate acris fuerit et facultate siccatoria, corpus inceditur; ut si quis nostrum siticulosus effectus copiose biberit aut vinum aqua ma-

ὕδωρ ἁλμυρόν. ἐγὼ γοῦν οἶδα καὶ αὐτός ποτε ἐξ ὁδοιπορίας θερινῆς διψώδης γενόμενος, εἶτα πιὼν οἴνου παλαιοῦ κύλικα μίαν ἀκρατεστέρου βραχὺ, παραυξήσας μᾶλλον, οὐ παύσας ἐπ' αὐτῇ τὸ δίψος. ὥσπερ οὖν ἡμεῖς καίτοι τὸν λογισμὸν ἔχοντες [118] ἐπιστατοῦντα ταῖς (88) ὀρέξεσιν ἐνίοτε μὲν ἀμελέστερον, ἐνίοτε δὲ προπετέστερον, ἔστι δ' ὅτε τῷ μὴ παρεῖναι βέλτιον, ἠναγκάσθημεν ἐπί τι τῶν ἁλμυρῶν καὶ δριμέων ἀφικέσθαι ποτῶν, οὕτως καὶ ἡ ἐν ταῖς φλεψὶ δύναμις ἑλκτικὴ διὰ παντὸς ἐπισπᾶται τὴν ἐκ τῶν πλησιαζόντων ὑγρότητα, μὴ διακρίνουσα τὴν οὐσίαν αὐτῆς ὁποία τίς ἐστιν· οὐ γὰρ ἔχει λογισμὸν ὡς σκέψασθαί τι περὶ τοῦ βελτίονος, ἀλλ' ὥσπερ τὰ παιδία καὶ τὰ βοσκήματα τὸ προστυχὸν ὑγρὸν αἱρεῖται διψῶντα, κατὰ τὸν αὐτὸν τρόπον κἀκείνη. ἐὰν μὲν οὖν καθ' ἕν τι μέρος τοῦ σώματος ἡ διάθεσις αὕτη γένηται, κατὰ τοῦτο μόνον ἐρυσιπελατῶδές τι πάθος ἔσται. οἱ δὲ καὶ καθ' ὅλον τὸ σῶμα φλέβες ὑπερξηρανθεῖσαι τὰς ἐκ τῶν σαρκῶν ὑγρότητας εἰ ἐπισπάσωνται θερμὰς οὔσας, ἐν ὅλῳ τῷ σώματι γίγνεται καυσώδης

rina dilutum purum vel aquam falfam. Scio equidem me aliquando ex aeftivo itinere fiticulofum redditum bibiffe vini veteris paulo meracioris calicem unum, atque ex eo fitim magis auxiffe, non placaffe. Ut igitur nos, quanquam ratione quae appetitum moderetur praediti, interdum quidem negligentius, interdum vero et incontinentius, atque etiam quum in promptu melius non fit, ad potum aliquem falfum et acrem pervenire cogimur, fic et venarum facultas attractrix perpetuo vicinis e partibus humiditatem attrahit, fubftantiam ipfius, qualis fit, minime difcernens. Rationem etenim non habet, qua quid ex meliori fcrutari poffit, fed ut pueri ac pecora ad cafu oblatum humidum cum fitiunt irruunt, hoc pacto et illa. Si ergo in una quadam corporis parte affectio ea fiat, in ea folum eryfipelatodes affectus aliquis erit. Verum fi venae totius corporis fupra modum exiccatae calidas carnofis e partibus humiditates attraxerint, in toto

διάθεσις. ἀλλ᾽ ὅ γε καῦσος ἰδίως καλούμενος οὐ μόνον τῇ σφοδρότητι τῆς καθ᾽ ὅλον τὸ σῶμα γιγνομένης θερμασίας διαφέρει, ἀλλὰ καὶ τῷ δίψει· βίαιόν τε γάρ ἐστιν ἐν τούτῳ καὶ ἄπαυστον. ἐλλείπει τοίνυν τῇ προκειμένῃ ῥήσει περὶ τῆς τοῦ καύσου γενέσεως ὁ περὶ τῶν μορίων λόγος, ὃν ἡμεῖς ἀρτίως προσεθήκαμεν. ἐνίοτε μὲν γὰρ καθ᾽ ἓν ὁτιοῦν, ἐνίοτε δὲ καὶ καθ᾽ ὅλον τὸ σῶμα καῦσος γίγνεται· ἐπὶ μὲν τοῦ καθ᾽ ὅλον τὸ σῶμα γενομένου, ἐξ ἅπαντος δίψαν ἐργάζεται· ἐπὶ δὲ τῶν καθ᾽ ἕν τι μέρος, οὐκ ἐξ ἀνάγκης εἰ μὴ αὐτὸ τὸ μέρος τὴν δίψαν ἐργάζεται, πάντων μὲν πρῶτον καὶ μάλιστα τὸ στόμα τῆς γαστρὸς, ἐφεξῆς δὲ ἡ γαστὴρ καὶ μετὰ ταύτην ὁ στόμαχος, εἶτα πνεύμων, εἶτα νῆστις. ἆρ᾽ οὖν οὕτως μόνον γίγνεται καῦσος, ὡς εἶπεν, ὅταν ἐπισπάσηται τὰ φλεβία δριμεῖς καὶ χολώδεις ἰχῶρας ἐς ἑαυτά; ἢ καὶ τῆς σαρκὸς ταὐτὸ τοῦτο παθούσης ἔσται καῦσος, εἴτ᾽ οὖν καθ᾽ ἓν μόριον, εἴτε καθ᾽ ὅλον τὸ σῶμα συμβῇ παθεῖν αὐτήν; ἐδείχθη γὰρ καὶ αὕτη δύναμιν ἑλκτικὴν ἔχουσα τῶν ἐνδεόντων αὐτῇ. καὶ μέντοι καὶ καθ᾽ ἕτερον τρόπον ἐγχω-

corpore fiet caufodes affectus. Caufus vero proprie vocatus non tantum caliditatis, quae per totum fit corpus, praeftat vehementia, verum etiam et fiti. Nam fitis in eo vehemens eft et inexplebilis. Deeft ergo praefenti dictioni de caufi generatione fermo de partibus, quem nos nuper adjecimus. Nam in una corporis parte, quaecunque illa fit, interdum caufus gignitur, interdum et toto in corpore. Verum quum in toto fit corpore, fitim omnino parit; quum vero in una parte, non de neceffitate, nifi pars ipfa fitim pariat. Omnium autem primum et maxime *id facit* os ventriculi, deinde ventriculus, atque ab eo ftomachus, poft pulmo, ac deinceps jejunum inteftinum. Utrum igitur ita tantummodo fit caufus, ut dixit, quum acres et biliofos ichoras ad fe traxerint venulae? An et carne id ipfum patiente erit caufus, five in parte una, five toto in corpore pati eam contigerit? Oftendimus etenim, eam facultatem habere eorum quibus indiget attractricem. Praeterea et fieri poteft, ut modo altero fimi-

ρεῖ γενέσθαι τὴν ὁμοίαν διάθεσιν· ἕτερον δὲ τρόπον λέγω, ὅταν πέμπηται πρός τι μόριον ἀσθενέστερον ἐκ τῶν ἰσχυροτέρων τὰ περιττώματα. δέδεικται γὰρ, ὥσπερ ἑλκτικὴ δύναμις ἐν ἑκάστῳ τῶν μορίων ἐστὶν, οὕτω καὶ ἀποκριτική· οὐκ ἀδύνατον οὖν ἐστιν ἐνίοτε μὲν ἐξ ἑνὸς μέρους, ἐνίοτε δὲ ἐκ πλειόνων δριμεῖς καὶ χολώδεις ἰχῶρας ἀποκριθέντας ἐπιχυθῆναι τῶν εἰρημένων μορίων, ὅ τί περ ἂν αὐτῶν ἀσθενέστερον ᾖ· ὅτι δὲ ἰχῶρας ὀνομάζει τὰς λεπτὰς ὑγρότητας, εὔδηλον.

β'.

Καὶ πυρετὸς πολὺς ἴσχει, τό τε σῶμα ὥσπερ ὑπ' ὀστεοκόπου ἐχόμενον κοπιᾷ καὶ ἀλγέει.

Πυρετὸς μὲν οὖν πολὺς ἴσχει διὰ τὴν τῶν ἰχώρων φύσιν, οὓς δριμεῖς ἔφη καὶ χολώδεις· τοῖς τοιούτοις γὰρ οἱ σφοδρότατοι τῶν πυρετῶν ἐπιγίνονται, τουτέστιν οἱ πολλήν τε καὶ δριμυτάτην ἔχοντες τὴν θερμασίαν, ὥσπερ γε καὶ οἱ

lis affectio fiat. Modum alterum dico, quum ex validioribus partibus ad imbecilliorem aliquam mittantur excrementa. Nam ut partibus singulis attractrix inest facultas, sic et expultricem inesse declaratum est. Fieri ergo potest, interdum quidem ex parte una, interdum vero et e pluribus, acres et biliosos ichores expulsos ad dictas fundi partes, quae scilicet imbecilliores sunt. Quod autem ichoras tenues humiditates appellet liquido constat.

II.

Ac febris multa detinet, corpusque quemadmodum ab ossearia lassitudine affectum laborat doletque.

Febris ergo multa detinet propter naturam ichorum, quos acres et biliosos ait. Nam his superveniunt febres vehementissimae, hoc est quae multam et acerrimam habent caliditatem, quemadmodum quae minorem et minus

τὴν ἐλάττονά τε καὶ ἧττον δριμεῖαν, τοῖς φλεγματώδεσιν ἑπόμενοι χυμοῖς. κοπιᾷ δὲ τὸ σῶμα σύμπαν διὰ τὴν δριμύτητα τῶν ἰχώρων τὸν ἑλκώδη κόπον· εἴρηται δὲ τελέως περὶ τῆς πάντων τῶν κόπων διαφορᾶς ἐν τοῖς ὑγιεινοῖς.

γ΄.

[119] *Γίγνεται δὲ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐκ πορίης μακρῆς καὶ δίψεος μακροῦ, ὁκόταν ἀναξηρανθέντα τὰ φλεβία, δριμέα καὶ θερμὰ ῥεύματα ἐπισπάσηται πρὸς ἑαυτά.*

Καὶ κατὰ τὴν ἀρχὴν εἴρητο καὶ νυνὶ δ' αὖ τὸ ἀναξηρανθῆναι προσέθηκε, τὰς προκαταρκτικὰς καλουμένας αἰτίας δηλῶν, ὡς ἐν παραδείγματι· πᾶσαι μὲν γὰρ αἱ θερμαὶ καὶ ξηραὶ τοὺς καύσους ἐργάζεσθαι δύνανται. τινὰς γοῦν οἶδα διὰ πόσιν οἴνου τεθαλασσωμένου πλείονος ἁλόντας καύσῳ, καθάπερ ἄλλους διὰ ταρίχων καὶ ταριχηρῶν κρεῶν καί τινων ἄλλων ἁλικῶν ἐδωδὴν ἄμετρον. ἕτερος δέ τις ἐξ ὁδοιπορίας τε καὶ καύματος ἥκων ἐλούσατο μὲν πρῶτον, ἀφικόμενος δ'

acrem habent pituitofos fequuntur humores. Laborat autem corpus totum laffitudine ulcerofa propter ichorum acrimoniam. Sed de laffitudinum omnium differentiis abfolute in libris de tuenda fanitate tractatum eft.

III.

Fit plerumque tum ex longo itinere, tum longa fiti, quum arefactae venulae acres calidasque fluxiones ad fe attraxerint.

Tum in principio dictum eft, tunc rurfum nunc adjecit, *arefactae*, procatarcticas appellatas caufas tanquam exemplo manifeftans. Enimvero calidae omnes et ficcae caufos procreare poffunt. Scio equidem nonnullos ob liberalem vini aqua marina diluti potionem, caufo fuiffe correptos, veluti et alios ob falfamentorum falfarumque carnium, atque aliorum quorundam falforum efum immoderatum. Alius ex ambulatione et aeftu veniens primum

οἴκαδε καὶ πιὼν οἶνον κατὰ τὴν κρᾶσιν ἔχοντος τὸ πλεῖον, ἤρξατο πυρέττειν αὐτίκα καυσώδη πυρετόν· καὶ ἄλλος δέ τις σφοδρῶς ὀργισθεὶς καὶ ἄλλος ἀγρυπνήσας.

δ'.

Γίγνεται δὲ ἡ γλῶσσα τραχείη καὶ ξηρὴ καὶ μέλαινα κάρτα, καὶ τὰ περὶ τὴν νηδὺν δακνόμενος ἀλγέει, τά θ' ὑποχωρήματα ἔξυγρα καὶ ὠχρὰ γίγνεται καὶ δίψαι σφοδραὶ ἔνεισι καὶ ἀγρυπνίαι, ἐνίοτε δὲ καὶ παραλλάξεις φρενῶν.

Τὰ παρακολουθοῦντα τοῖς καύσοις ἐν τῷδε τῷ λόγῳ διῆλθεν, ἃ δὴ καὶ συνεδρεύοντα καλοῦσιν· ἔστι δὲ ταῦτα γλῶσσα ξηρὰ καὶ τραχεῖα καὶ μέλαινα, δῆξίς τε ἐπὶ τῆς γαστρὸς, ὑποχωρήματα ὠχρὰ καὶ δίψαι σφοδραὶ καὶ ἀγρυπνία, ποτὲ δὲ καὶ παραφροσύνη. ἡ μὲν οὖν γλῶσσα ξηρὰ γίγνεται, διότι καὶ ἡ διάθεσις ὅλη τοῦ σώματος ξηρά ἐστι καὶ θερμὴ καὶ ὁ πυρετὸς αὐτὸς τοιοῦτος. ἡ δὲ δῆξις τῶν κατὰ τὴν γαστέρα διὰ τὴν τῶν εἰς αὐτὴν συῤῥεόντων ἰχώ-

quidem lavit fe, deinde domum perductus vini mixti plus bibit coepitque protinus affici caufo. Alius autem ob vehementem excandefcentiam et alius ob vigilias *caufum incurrerunt.*

IV.

Fit vero lingua afpera et ficca valdeque nigra partiumque ventris morfu dolet, dejectiones tum liquidae tum pallidae fiunt, fitis adeft vehemens et vigiliae, atque interdum mentis alienationes.

Quae ardentes febres comitantur, hac oratione percurrit, quae et affidentia vocant. Sunt autem haec lingua ficca, afpera et nigra, ventris morfus, dejectiones pallidae, vehemens fitis et vigiliae, interdum vero et delirium. Lingua fane fit arida, quod tota corporis affectio ficca fit et calida febrisque ipfa talis. Partium autem ventris morfus propter ichorum illuc confluentium acri-

ρων δριμύτητα. τὰ δὲ διαχωρούμενα κατὰ τὸν πλεονάζοντα χυμόν· ἔξυγρα δὲ εἶπεν αὐτὰ, τὸ μηδὲ ὅλως πεπέφθαι δηλῶν, ἡ γάρτοι πέψις ἅπαντα συνάγει τε καὶ παχύνει. τὸ δὲ ἀγρυπνεῖν τοῖς οὕτω πάσχουσι συμβαίνει διὰ τὴν ξηρότητα· δέδεικται γὰρ ἡ μὲν ἄμετρος ὑγρότης τὰς καταφορὰς, τὰς δὲ ἀγρυπνίας ἡ πολλὴ ξηρότης ἐργαζομένη· προσέρχεται δὲ καὶ ἀπὸ τῶν ἄλλων συμπτωμάτων ταλαιπωρία, τῆς ἀγρυπνίας αἰτία γιγνομένη. παραφροσύνην δὲ ἐμάθομεν γίγνεσθαι διά τε χολὴν ἀναδραμοῦσαν ἐπὶ κεφαλὴν καὶ διὰ ξηρότητα καὶ θερμότητα κράσεως. ὅτι δὲ, ὅταν εἴπῃ τις ἁπλῶς χολὴν, ἡ πικρὰ δηλοῦται προείρηται, καὶ ὅτι γε τὴν αὐτὴν χολὴν ὠχράν τε καὶ ξανθὴν ὀνομάζουσιν. ὥσπερ οὖν οὐδὲν παραλέλειπται τῶν κατὰ τὸν χολώδη [120] καῦσον, ὅτι γε μὴ καὶ κατὰ τὴν ἐπιῤῥοὴν τῶν ἰχώρων αὐτῶν, οὐ μόνον διὰ τὴν ὁλκὴν γίγνεσθαι· οὕτως ἀτάκτως γέγραπταί τινα. τῶν γάρτοι λελεγμένων ἔνια μέν ἐστι παθογνωμονικὰ συμπτώματα τῶν καύσων, ἔνια δὲ συνεδρεύοντα· τῶν γεννώντων δὲ αὐτοὺς τὰ μέν ἐστι προηγούμενα, τὰ δὲ προ-

moniam *oritur.* Dejectiones autem pro humoris redundantia. At liquidas ipſas dixit, nullo pacto concoctas exprimens, coctio enim omnia cogit incraſſatque. Ita vero affectis vigilare ob ſiccitatem accidit. Nam humiditatem immoderatam cataphoras, multam vero ſiccitatem vigilias procreare demonſtratum eſt. Accedit quoque et ab aliis ſymptomatis fatigatio, quae cauſa eſt vigiliarum. Delirium autem fieri ſcivimus ob eam quae ad caput recurrit bilem et ob temperamenti caliditatem ſiccitatemque. Quod autem, quum quis bilem ſimpliciter dixerit, amara ſignificetur antea enunciatum eſt, quod item bilem eandem et pallidam et flavam appellent. Ut ergo nihil ad cauſum bilioſum ſpectantium praetermiſſum eſt, niſi quod non ſolum fiat per attractionem, ſed et per effluvium ichorum, ſic inordinate ſcripta quaedam ſunt. Nam ex iis quae dicta ſunt, quaedam ſunt ſymptomata pathognomonica cauſum indicantia, alia vero aſſidentia. Verum quae *cauſos* ipſos procreant, alia quidem antecedentia, alia vero

κατάρχοντά γε καλούμενα ὑπὸ τῶν ἰατρῶν. πάντων γοῦν ὧν εἶπον προηγουμένων συμπτωμάτων ἔξεστί σοι τὸν κατάλογον ὡς ἂν ἐθέλοις ποιεῖσθαι· ἀλλ' ὅ γε γράψας τὸ βιβλίον ἤρξατο μὲν ἀπὸ τῶν προηγουμένων (τὸ γὰρ ἀναξηρανθῆναι τὰ φλεβία προηγούμενον αἴτιόν ἐστιν), ἐφεξῆς δὲ δέον εἰπεῖν τὰ προκαταρκτικά, οἷον ὁδοιπορίαν μακρὰν καὶ δίψος, οὐ ταῦτ' εἶπεν, ἀλλὰ τῶν παθογνωμονικῶν τι, τὸν πολὺν πυρετόν· ἐχρῆν δὲ ἐνταῦθα προσθεῖναι καὶ τὸ σφοδρὸν δίψος, ὅ μετὰ ταῦτα ἅμα τοῖς ἄλλοις εἶπε συμπτώμασι τοῖς συνεδρεύουσιν ὀνομαζομένοις, ὧν τὰ μὲν ἐνίοτε, τὰ δὲ ἀεὶ ὑπάρχει τοῖς καύσοις. τοῦτο δὲ καὶ αὐτὸς ἐδήλωσεν εἰπών· ἐνίοτε δὲ καὶ παραλλάξιες φρενῶν· τὸ γὰρ ἐνίοτε τῷ διὰ παντὸς ἀντίκειται. ἐγὼ δέ φημι καὶ τὸ τὰ περὶ τὴν νηδὺν δάκνεσθαι καὶ διαχωρεῖν χολώδη οὐ τῶν διὰ παντὸς συνόντων τοῖς καύσοις εἶναι, διὰ γὰρ τὸ μέγεθος τοῦ νοσήματος καὶ τὴν ἔσω ῥοπὴν τῶν δριμέων ἰχώρων ταῦτα συμβαίνει τοῖς κατὰ γαστέρα καὶ ἧπαρ ἔχουσι (89) τὴν οἷον ἑστίαν τοῦ καύσου· τοῖς δὲ κατὰ πνεύμονα ταῦτα μὲν οὐ

primitiva a medicis appellantur. Omnium autem, quae dixi, antecedentium symptomatum potes tibi, ut lubet, catalogum facere. Sed qui librum hunc scripsit, ab antecedentibus fecit exordium (venulas etenim exiccare antecedens causa est). Deinceps autem, quum evidentia, ut ambulationem longam et sitim dicere debuit, non ea dixit, sed ex pathognomonicis aliquod, ut febrem vehementem. Debuit et hic sitim vehementem adjicere, quam postea simul cum aliis assidentibus vocatis symptomatis dixit, quorum quaedam aliquando, alia perpetuo febribus ardentibus insunt. Id vero et ipse ostendit, inquiens: *interdum autem et mentis alienatio.* Nam *interdum perpetuo* opponitur. Ego autem dico et ventrem morderi et biliosa dejicere, non esse ex iis quae perpetuo febribus ardentibus insunt. Nam ob morbi magnitudinem et acrium ichorum ad interna impetum, propterea haec in ventre ac hepate causi veluti sedem habentibus accidunt. Verum in pulmone *causi sedem habentibus* haec non ad-

πάνυ συμπίπτει, τὰ δὲ κατὰ τὰς γλώσσας εἰρημένα καὶ τὰς παραφροσύνας μᾶλλον. ἀλλὰ καὶ δυσπνοοῦσιν οὗτοι τὴν κατὰ τὸ πυκνὸν καὶ μέγα πνεῦμα δύσπνοιαν, ἐκφυσῶσί τε συνεχῶς ἀνοιγνύντες τὸ στόμα καὶ τῇ τοῦ πυρώδους πνεύματος ἀποχύσει κουφιζόμενοι. τὸ μὲν οὖν τῆς δυσπνοίας ὅλον παραλέλειπται, καίτοι γε ἐν προγνωστικῷ λελεγμένον ἡμεῖς ἐδείκνυμεν. ἀτάκτως δ' εἴρηται τὰ κατὰ τὴν γλῶσσαν συμπτώματα· προτέραν μὲν γὰρ ἐχρῆν γεγράφθαι τὴν ξηρὰν, δευτέραν δὲ τὴν τραχεῖαν· διὰ γὰρ τὴν ἄμετρον ξηρότητα τραχεῖαν συμβαίνει γίγνεσθαι τὴν γλῶσσαν, ὥστε τὴν τραχεῖαν οὖσαν πάντως καὶ ξηράν. ὅτι δὲ καὶ μελαίνεται διὰ τὴν ἄμετρον θερμασίαν, ὥσπερ τοῖς ἡλιθεροῦσι τὸ δέρμα, προμεμαθήκαμεν ἤδη.

ε'.

Τῷ τοιῷδε πίνειν ὕδωρ τε καὶ μελίκρητον ἑφθὸν δίδου ὑδαρὲς, ὁκόσον ἐθέλει.

---

modum contingunt, ſed quae de lingua dicuntur ac deliriis magis. Sed et difficulter hi ſpirant ea quae denſo et magno ſpiritu eſt ſpirandi difficultate, efflantque continenter os aperientes igneique ſpiritus effuſione levantur. Verum totam ſpirandi difficultatem praetermiſit, quam in prognoſtico dictam oſtendimus. At inordinate ſymptomata linguae recenſuit. Nam debuit primum ſiccam dixiſſe, deinde aſperam. Nam ob immoderatam ſiccitatem linguam aſperam fieri contingit, ut ſi aſpera ſit, omnino et ſicca exiſtat. Quod autem ob caliditatem immoderatam nigreſcat, ut iis quibus cutis ſole uſta ſit, jam ante didicimus.

V.

Huic tum aquam tum mulſam coctam aquoſam, quantum deſideret, potui dato.

Τοῦτο τὸ βιβλίον εἰ καὶ μὴ Ἱπποκράτους ἐστὶ σύγγραμμα, παλαιὸν γοῦν ἐστιν, ὡς κατὰ τοὺς Ἐρασιστράτου χρόνους ἤδη προσκεῖσθαι τῷ γνησίῳ. θαυμαστὸν οὖν ὅπως ἐτόλμησεν εἰς Ἀπολλώνιον καὶ Δέξιππον ἀποσκῶψαι τὰ περὶ τῶν κηρίνων κυλίκων ὁ Ἐρασίστρατος. ὁ γὰρ ταῦτα γράψας, τὴν Ἱπποκράτους γνώμην ἄμεινον Ἐρασιστράτου γινώσκων, ὁπόσον ἐθέλουσι πίνειν ἐπιτρέπει καὶ τοῖς καυσουμένοις· ἔδειξα δὲ καὶ κατὰ τὸ γνήσιον μέρος τοῦ συγγράμματος οὕτω γινώσκοντα τὸν Ἱπποκράτην. περὶ μὲν οὖν τῆς τοῦ Ἐρασιστράτου κακοηθείας ἱκανὰ καὶ ταῦτα· σκοπῶμεν δὲ ἤδη τὰ κατὰ τὴν ῥῆσιν εἰρημένα. κελεύει γὰρ μήτε ἐφ᾽ ὕδατος μόνου διαιτᾶν τοὺς καυσουμένους μήτ᾽ [121] ἐπὶ μελικράτου μόνου. τὸ μὲν γὰρ ὕδωρ ἔμαθες, ὡς τῇ φύσει ψυχρὸν ὄν, βραδύπορον εἶναι καὶ μένον ἐν ὑποχονδρίῳ πλεῖστον χρόνον, διαφθείρεσθαι κατὰ τοὺς ὀξεῖς πυρετούς· τὸ δὲ μέλι ῥᾳδίως ἐκχολοῦσθαι. διὰ τοῦτο ἀξιοῖ ὑδαρὲς διδόναι τὸ μελίκρατον, ἵνα τὸ ὕδωρ μὴ μηκύνῃ κατὰ τὴν ἄνω γαστέρα, ποδηγούμενον ὑπὸ τοῦ μιγνυμένου μέλιτος εἰς τὴν

Liber hic, etfi Hippocratis opus non eft, antiquus tamen eft, ut qui legitimo operi jam Erafiftrati temporibus adjectus fuerit. Quapropter mirandum, quomodo Erafiftratus calices cereos in Apollonium et Dexippum retorfiffe aufus fit. Nam qui haec fcripfit, mentem Hippocratis Erafiftrato melius intelligens, caufo laborantibus, quantum placet, bibere concedit, demonftravique et in legitima voluminis hujus parte ita fentire Hippocratem. Sed de Erafiftrati malitia fatis haec fint. Sed jam fcrutemur quae in oratione dicuntur. Praecipit fiquidem neque aquam folam, neque mulfam folam iis pro victu propinandam, qui caufo laborant. Scis etenim aquam, quod natura frigida fit, tarde permeare et quam plurimo tempore in hypochondriis manentem corrumpi in acutis febribus, mel autem facile bilefcere. Ob id mulfam aquofam dari jubet, ut aqua, nulla in fuperiore ventre facta mora, a mixto melle ad diftributionem trahatur; ob eas caufas et

ἀνάδοσιν· διὰ δὲ ταῦτα αὐτὰ καὶ ἑφθὸν αὐτὸ δίδωσιν, ἀδιψότερον γὰρ καὶ ἀφυσότερον τοῦτο τοῦ ὠμοῦ καὶ τὴν οὔρησιν μᾶλλον κινοῦν, ὥσπερ γε τὴν διαχώρησιν τὸ ὠμόν· ἧττον γὰρ γίνεται δριμὺ τὸ ἑψημένον, οὐ μόνον τῷ πέττεσθαι κατὰ τὴν ἕψησιν, ἀλλὰ καὶ τῷ τὸ ἀφρῶδες αὐτοῦ πᾶν ἀφαιρεῖσθαι, καθότι τὸ δριμὺ καὶ φυσῶδές ἐστιν ἐν τῇ τοῦ μέλιτος οὐσίᾳ. τὸ δ' ἑψημένον ἄδηκτόν τε καὶ ἄφυσον γιγνόμενον ἀναδίδοται μᾶλλον ἢ ὑπέρχεται κατ' ἔντερα, ὥστε καὶ διὰ τοῦτο τρέφει μᾶλλον τοῦ ὠμοῦ· χρήζουσι δ' οὕτω νοσοῦντες, ὡς ἂν μὴ λαμβάνοντες τὸν χυλὸν τῆς πτισάνης ἐκ τοῦ μελικράτου τρέφεσθαι. προείρηται δὲ ἐν τῷ γνησίῳ μέρει τοῦ βιβλίου περὶ τοῦ χρῆναι διαιτᾶν ἐν τοῖς ὀξυτάτοις νοσήμασιν ἐπὶ μόνων τῶν πομάτων, καὶ ταῦτά μοι πάντα τὰ κατὰ τὴν ἐξήγησιν τοῦδε τοῦ νῦν προκειμένου γράμματος τοῖς προανεγνωκόσι τε καὶ μεμνημένοις τὰς ἐν ἐκείνοις γεγονυίας ἐξηγήσεις, οὕτω λέλεκταί τε καὶ λεχθήσεται.

---

coctam ipſam exhibet, nam haec quam cruda ſitim magis arcet et flatu magis vacat urinasque magis ciet, ut quae cruda eſt, dejectionem. Minus enim acris, quae cocta eſt, non ſolum quod in coctura conficiatur, verum et quod ſpumoſum ipſius omne tollatur, quoniam quod acre et flatuoſum exiſtit, in mellis eſt ſubſtantia, cocta autem tum morſu caret tum flatu vacat diſtribuiturque melius quam per inteſtina deſcendat, quo ſit ut eam ob cauſam magis alat quam cruda. Caeterum qui ita laborant, citra ptiſanae cremorem mulſa nutriendi ſunt. Sed quod in acutiſſimis morbis ſolos exhibere potus oporteat in libri hujus non ſpuria parte eſt praedictum. Haecque omnia quae ad praeſentis orationis expoſitionem pertinent iis qui et ante legerunt et meminerunt eas, quae in illis factae ſunt, expoſitiones, ad hunc modum et dicta ſunt et dicentur.

στ'.

Καὶ ἢν πικρὸν τὸ στόμα γίγνηται, ἐμέειν ξυμφέρει καὶ τὴν κοιλίην ὑποκλύσαι.

Ἡ πικρία τῆς χολῆς πικρὸν ἐργάζεται τὸ στόμα· κοινὸς γὰρ καὶ εἷς χιτών ἐστιν, ὅ τ' ἔνδον τῆς γαστρὸς καὶ ἅπας ὁ ὑπαλείφων τὸ στόμα. κατὰ λόγον οὖν ὁ συγγραφεὺς ἐκκενοῖ τὴν χολὴν δι' ἐμέτων τε καὶ κλύσματος.

ζ'.

Ἢν δὲ πρὸς ταῦτα μὴ λύηται, γάλα ὄνου ἑψήσας κάθαρε.

Ἐπειδὴ πάντως μὲν ἐκκενῶσαι βούλεται τὴν εἰς τὴν γαστέρα χολὴν, εὐλαβεῖται δὲ τὰ καθαίροντα φάρμακα, διότι δριμέα καὶ θερμὰ παντελῶς ἐστι, διὰ τοῦτ' ἐπὶ τὸ τῆς ὄνου γάλα παραγίνεται, δριμύτητα μὲν οὐδεμίαν ἔχον ὥσπερ οὐδ' ἄλλο οὐδὲν, ἀλλὰ πλεονεκτοῦν τῇ ὑγρότητι μόνον τῶν ἄλλων ἁπάντων καὶ διὰ τοῦτο μόνον ὑπέρχεται· προεφθὼς

VI.

Quod ſi os amarum fuerit, vomere confert et alvum ſubluere.

Bilis amaror amarum os reddit. Nam communis unaque eſt tunica tum quae alvi interna eſt tum omnis quae os ſublinit. Ratione ergo libri auctor bilem tum per vomitum tum per clyſterem evacuat.

VII.

Verum ſi ad haec non ſolvatur, cocto aſinino lacte purgato.

Quod omnino quidem eam, quae in alvo eſt, bilem vacuare imperet, timeat autem purgantia medicamenta, quod et acria et calida prorſus exiſtant, ob id ad lac aſinae divertit, ut quod nullam, ut non aliud ullum, habeat acrimoniam, ſed prae omnibus unum humiditate exuperet, atque ob id ſolum ventrem ſubeat. Praecoquit

δὲ αὐτὸ διὰ τὸ φυσῶδες. ἀλλὰ σύ γε καὶ μόνῳ τῷ ὀῤῥῷ δυνήσῃ χρῆσθαι, χωρίζων αὐτὸν, ὅταν τὸ γάλα προαφεψήσῃς διὰ ὀξυμέλιτος, ἐγκαθεὶς ἀγγεῖον χαλκοῦν ὕδατος πλῆρες ψυχροῦ συνεχῶς εἰς τὸ γάλα· καὶ γὰρ αὕτη καλῶς ἡ κάθεσις γιγνομένη χωρίζει τὸν ὀῤῥὸν τοῦ τυρώδους.

η'.

[122] Ἀλμυρὸν δὲ μηδὲν μήτε δριμὺ προσφέρειν· οὐ γὰρ ὑποίσει.

Ὁ μὲν ἀλμυρὸς χυμὸς ὁποῖός τίς ἐστιν ἐν τοῖς ἁλσὶ φαίνεται· περὶ δὲ τῆς τοῦ δριμέος οὐσίας τε καὶ δυνάμεως εἴρηται κατὰ τὸ τέταρτον βιβλίον τῶν ἁπλῶν φαρμάκων, ὅτι πέπερι καὶ νᾶπυ καὶ πύρεθρον, ὅσα τ' ἄλλα θερμὰ ταῖς δυνάμεσίν ἐστι καὶ δριμέα γευομένοις φαίνεται. ὡς οὖν συναυξάνοντα τὴν διάθεσιν τῶν καυσωδῶν, φεύγειν κελεύει τὰ δριμέα καὶ τὰ ἀλμυρά· ταῦτα δὲ καὶ ξηραίνει μᾶλλον τῶν δριμέων, εἰ καὶ μὴ παραπλησίως ἐκείνοις θερμαίνει, ἀλλ' ἧττον.

autem ipſum ob flatus. Sed ſane ſolo uti ſero poteris per oxymel ipſum, ubi lac ante coxeris,[1] ſeparans, vas aeneum frigida plenum aqua continenter in lac demittens, nam et haec ſi probe fiat demiſſio, ſerum a caſeo ſeparat.

VIII.

Salſum autem nihil, neque acre exhibendum, non enim aeger ſufferet.

Salſus ſuccus qualis ſit ex ſale apparet. De acris autem tum ſubſtantia tum facultate dictum eſt in quarto ſimplicium medicamentorum. Piper ſiquidem, ſinapi, pyrethrum, et quaecunque ſunt facultatibus calida, acria guſtantibus apparent. Quo fit ut tum acria tum ſalſa tanquam cauſum augentia vitare jubeat. Haec autem acribus magis ſiccant, quanquam illis non ſimiliter, ſed minus calefaciunt.

θ'.

Ῥόφημα δὲ ἔστ' ἂν ἔξω τῶν κρίσεων γένηται, μὴ δίδου.

Ὡς προσυπακουσθησομένου τοῦ τὴν δύναμιν ἐῤῥῶσθαι, τὸν λόγον ἄκουε· ποιεῖται γὰρ οὕτω τὴν διδασκαλίαν καὶ αὐτὸς ὁ Ἱπποκράτης, ὡς τὰ πολλὰ τὰ καθ' ἕκαστον σκοπὸν ὑπαγορευόμενα γράφων, εἶθ' οὕτως ἅπαξ εἰπὼν ἀλλήλοις χρῆναι παραβάλλειν τὰ δεδειγμένα, τὰς δυνάμεις αὐτῶν ἐπισκοπούμενον. ὅτι δὲ οὐ προσήκει διδόναι ῥόφημα πρὸ τῆς κρίσεως, ἐὰν ἡ δύναμις ἐξαρκῇ, κατὰ τὸ πρῶτον μέρος τοῦ βιβλίου δεδήλωται τὸ γνήσιον.

ι'.

Καὶ ἢν αἷμα ἐκ τῶν ῥινῶν ῥέῃ, λύεται τὸ πάθος, καὶ ἢν ἱδρῶτες ἐπιγίγνωνται κριτικοὶ γνήσιοι μετ' οὔρων λευκῶν καὶ παχέων καὶ λείων ὑφισταμένων.

Ἐν τοῖς ὀξέσι πυρετοῖς ἐπὶ τὴν κεφαλὴν φέρεται τὸ

IX.

Sorbitionem vero, quoad extra crises fuerit, ne dato.

Sermonem, quod robustas esse vires subaudiendum sit, intellige. Nam ita ipse Hippocrates doctrinam facit, quae singulis in scopis praecipiuntur scribens, atque ita deinceps semel dicens, comparare inter se, quae demonstrata sunt, consideratis ipsorum viribus, oportere. Quod vero sorbitio ante crisin danda non sit, si vires sufficiant, in prima hujus libri legitima parte demonstratum est.

X.

Et si sanguis e naribus fluxerit, solvitur affectio, atque si sudores supervenerint judicatorii legitimi cum urinis albis crassisque et laevibus sedimentis.

In acutis febribus, quod ex sanguine fervet, ad ca-

ζέον τοῦ αἵματος· ὅταν οὖν ἀναῤῥήξασα τὰς φλέβας ἡ φύσις ἀποχέῃ τοῦτο μετὰ τῶν συναχθέντων ἀτμῶν, ἑτοιμότερον κρατεῖν τῶν λοιπῶν· κατὰ δὲ τὸν αὐτὸν λόγον ὅταν καὶ διὰ τῶν ἱδρώτων ἀποχέῃ τοὺς ζέοντας ἰχῶρας, ἰᾶται τὴν νόσον, ὅταν γε πεπεμμένου τοῦ νοσήματος ἐπιγίγνωνται. λέλεκται γὰρ ἤδη περὶ τούτου πολλάκις ἔν ἄλλοις τέ τισιν ὑπομνήμασιν ἐξηγητικοῖς καὶ ἐν τοῖς περὶ κρίσεων. ὥσπερ οὖν ἐν τῷ πρώτῳ μέρει τοῦδε τοῦ βιβλίου, τῷ κατὰ πάντας ὡμολογημένῳ γνησίῳ, τὸν ἀπὸ τῆς πέψεως τοῦ νοσήματος σκοπὸν ὡς χρήσιμον εἰς δίαιταν παρέλαβεν, οὕτω καὶ νῦν εἰς πρόῤῥησιν· αὐτὸ μὲν οὐκ ἔγραψε τὸ τῆς πέψεως ὄνομα, τὸ δὲ βεβαιότατον αὐτοῦ σημεῖον ἐν τοῖς οὔροις ἔγραψεν. [123] ἄριστον μὲν οὖν ἐστι τὸ λευκήν τε καὶ λείαν ἔχον τὴν ὑπόστασιν (90) οὖρον, ὡς ἐν τῷ προγνωστικῷ δεδήλωται· οὐ μὴν ἀξιώσεις γε ἀεὶ φαίνεσθαι, ἀλλ' ἀρκέσει σοι πολλάκις ἐπὶ τῇ κατὰ φύσιν χροιᾷ τε καὶ συστάσει χρηστὸν ἐναιώρημα φανὲν εἰς τὴν τῆς σωτηρίας ἐλπίδα. καὶ δὴ τούτων οὕτως ἐχόντων πεπλεόνασται κατὰ τὴν ἑρμηνείαν ἡ

put fertur. Quum igitur ruptis venis natura id ipſum una cum acervatis vaporibus effuderit, caeteris promptius dominatur. Eadem ratione et quum per ſudores ichoras ferventes expulerit, morbum ſanat, quum morbo jam cocto ſupervenerint. Nam de re hujusmodi jam ſaepius in aliis quibusdam explicantibus commentariis dictum eſt, atque in libris de judicationibus. Ut igitur in prima libri hujus parte, quam omnes legitimam fatentur, eum qui a morbi coctione eſt, ſcopum, ut ad victus rationem commodiſſimum accepit, ſic et nunc ad praedictionem. Non ſcripſit quidem ipſum coctionis nomen, ſed certiſſimum ipſius ſignum in urinis ſcripſit. Optima igitur urina eſt quae tum album tum laeve ſedimentum habet, ut in prognoſtico demonſtratum eſt. Non tamen ad ſpem ſalutis ſemper apparere expoſtulabis, ſed ſatis tibi ſaepenumero fuerit, ſi enaeorema naturali tum colore tum conſiſtentia commodum videris. Etiam his ita habentibus in interpretatione exuberavit dictio, nam ob dictas urinas con-

λέξις· ὑπὸ γὰρ τῶν εἰρημένων οὔρων δηλοῦται καὶ τὸ κριτικοὺς εἶναι τοὺς ἱδρῶτας, ὥστε ἐκ περιττοῦ πρόσκειται· τὸ δὲ γνήσιοι οὐ κυρίως ἐπ' αὐτῶν λέγοιτο· κατὰ γὰρ τὰς τῶν νοσημάτων ἰδέας ἐπιφέρειν εἰώθασι τὴν τοιαύτην προσηγορίαν οἵ τ' ἄλλοι τῶν ἀρίστων ἰατρῶν καὶ αὐτὸς ὁ Ἱπποκράτης.

ια'.

Ἢν ἀπόστημά τι γένηται.

Σπανιώτατόν ἐστι τὸ δι' ἀποστήματος κριθῆναι καῦσον, ἔτι δὲ μᾶλλον εἰ χωρὶς τοῦ μόριόν τι τοῦ σώματος προσθεῖναι, τὴν ἀπόφασίν τις ποιοῖτο. παρωτίσι μὲν γὰρ οἶδά τινας καύσους κριθέντας, ἀλλ' οὐ τοὺς γνησίους· τοῦτο δ' ὀλίγον ὕστερον μαθήσῃ μετὰ τὴν ἐξήγησιν.

ιβ'.

Ἢν δ' ἄνευ τούτων λυθῇ, ὑποστροφὴ πάλιν ἔσται τῆς ἀῤ-

ſtat et ſudores criticos eſſe, quapropter et fruſtra adjectum. *Legitimi* praeterea non proprie in ipſis dicitur. Nam ſecundum morborum ideas talem inferre conſueverunt appellationem cum alii medicorum probatiſſimi, tum Hippocrates ipſe.

XI.

Ac ſi abſceſſus aliquis obortus fuerit.

Rariſſimum eſt, per abſceſſum judicari cauſum, atque adhuc magis, ſi citra partis corporis adjectionem explicationem quis fecerit. Nam parotidibus cauſos quosdam ſcio judicatos, ſed non legitimos. Id autem paulo poſt condiſces poſt expoſitionem.

XII.

Sin vero absque his ſolutus fuerit cauſus, reverſio morbi

ῥωστίης ἢ ἰσχίων ἢ σκελέων ἄλγημα ξυμβήσεται, καὶ πτύσεται παχέα, ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι.

Αἱμοῤῥαγίας καὶ ἱδρῶτος μνημονεύσας, ἂν χωρὶς τούτων ὁ καῦσος παύσηται, φησὶν ἄπιστον εἶναι τὴν λύσιν· ὑποστρέψει γὰρ ὀλίγον ὕστερον· ἔσται γὰρ, φησὶ, κατὰ τὴν ὑποστροφὴν ἄλγημα σκελέων ἢ ἰσχίου καὶ πτύσει παχέα. τὸ μὲν γὰρ αἱμοῤῥαγίας ἢ ἱδρῶτος ἢ ἀποστήματος δεῖσθαι τὸν μέλλοντα κριθῆναι, δύναιτ' ἄν τις εἰρῆσθαι δοκεῖν ὑγιῶς, ἐάν τε προστεθῇ τοῖς εἰρημένοις ἃ θεραπεύων αὐτὸς ἔγραψε, ἐμεῖν τε κελεύων καὶ τὴν κοιλίαν ὑπάγειν, διδούς τε ποτὸν ὕδωρ καὶ μελίκρατον ὑδαρὲς ἑφθόν· ὥστε ἐὰν μετὰ τούτων τις λέγῃ, τὴν αἱμοῤῥαγίαν καὶ τὸν ἱδρῶτα καὶ τὸ ἀπόστημα λύειν τὸν καῦσον, ἄλλως δὲ μὴ δύνασθαι λυθῆναι, τάχα δόξει λόγον τινὰ ἐπιεικῆ λέγειν· ἐπιεικῆ δὲ εἶπον, ὡς μετρίως ἀληθεύοντα καὶ μᾶλλον τοῦ πρόσθεν, οὐ μὴν ἄμεμπτόν γε παντάπασιν· οὐ γὰρ ἀληθής ἐστιν ὁ λόγος. τὸ γὰρ κατὰ τοὺς ἀφορισμοὺς εἰρημένον, ὑπὸ καύσου

rursum erit, aut coxae aut crurum dolor accidet expuetque crassa, si sanus futurus sit.

Ubi de sanguinis eruptione sudoreque egit, si absque his causus desierit, suspectam ait esse solutionem, nam paulo post revertetur. *Erit siquidem*, ait, *in recidiva crurum dolor vel coxae spuetque crassa.* Nam quod judicandus sanguinis eruptione vel sudore vel abscessu opus habeat, potest quis arbitrari recte dictum esse, si dictis adjecerit, quae curationi intendens ipse scripsit, vomere scilicet praecipiens atque alvum subducere potumque aquam et mulsam aquosam coctam comministrans. Quare si cum his quidem et sanguinis eruptionem et sudores et abscessum, causum solvere quis dixerit, alias autem solvi non posse, sermonem fortasse consentaneum dicere videbitur. Consentaneum autem dico, quasi mediocriter vera loquentem, atque priore magis, non tamen inculpatum prorsus. Non enim verus est sermo. Nam quod in apho-

ἐχομένῳ, ῥίγεος ἐπιγενομένου λύσις, ἀληθέστατόν ἐστιν· ἕπεται δ' ἐξ ἀνάγκης τῷ ῥίγει τούτῳ ποτὲ μὲν ἱδρὼς μόνος, ἐνίοτε δὲ ἔμετος χολωδῶν μόνος ἢ κάτω διαχώρησις μόνη· πολλάκις δὲ τῶν εἰρημένων τριῶν γίγνεται τὰ δύο καί ποτε πάλιν τὰ τρία. [124] τῶν γὰρ δύο τούτων ἀναγκαῖόν ἐστιν ἐπὶ τοῦ καύσου γίνεσθαι θάτερον, εἰ μέλλοι λυθήσεσθαι τελέως ἢ ἐκκριθῆναι τοὺς τελέως χολώδεις χυμοὺς ἢ σβεσθῆναι· διὸ καὶ παραλελεῖφθαι δόξει τὸ κυριώτατον ἴαμα τῶν καύσων ἡ τοῦ ψυχροῦ πόσις, ᾗ διὰ παντὸς ἡμεῖς ἐθεραπεύσαμεν τοὺς καύσους, οὐδενὸς ἀποθανόντος, ᾧ ψυχρὸν ὕδωρ ἐδώκαμεν ἐν τῷ προσήκοντι καιρῷ, περὶ οὗ κατὰ τὴν ἐξήγησιν τοῦ προτέρου μέρους τοῦδε τοῦ βιβλίου διῆλθον ἐπ' ὀλίγον, ἐν ἄλλοις δὲ ὑπομνήμασί τε καὶ συγγράμμασιν ἐπὶ πλέον. ἴσως οὖν οἰήσεταί μέ τις λέγειν μηδένα τῶν καυσουμένων τεθνήξεσθαι, πιόντα ψυχρὸν ὕδωρ ἐν τῷ προσήκοντι καιρῷ· καίτοι οὐ τοῦτο αὐτὸς εἶπον, ἀλλ' ὅτι πᾶσιν οἷς ἔδωκα παμπόλλοις οὖσιν ὡς μηδὲ μεμνῆσθαι τὸν ἀριθμὸν αὐτῶν, ἠκολούθησεν ὠφέλειά τε καὶ σω-

rismis dicitur, *causo laboranti si rigor successerit, oboritur solutio*, verissimum existit. Rigorem autem hunc de necessitate sequitur interdum quidem sudor solus, interdum vero et biliosorum vomitus solus, atque interdum dejectio sola, sed plerunque ex dictis tribus duo fiunt et rursum quandoque tria. Nam horum duorum necesse est alterum in causo fieri, si perfecte solvi debeat. Nam biliosi humores vel perfecti vacuabuntur vel extinguentur. Praetermissa itaque videbitur praecipua causorum sanatio, frigidae potus, quo causos nos perpetuo curavimus, nullo ex his moriente, cui frigidam propinavimus in tempore opportuno, cujus expositionem priore quidem libri hujus parte paucis percurrimus, at in caeteris tum commentariis tum operibus fusius. Sed forte quispiam me asserere putabit, nullum ex iis qui causo laborant moriturum, qui aquam tempestive biberit, quanquam id ipse non asserui, sed quod omnibus quibus propinavi, quum adeo multi extiterint, ut numeri non meminerim, succes-

τηρία. τοῦτο δ' οὐ ταὐτόν ἐστι τῷ πάντως τοὺς καυσουμένους, ἂν πίωσι ψυχρὸν ὕδωρ, σωθήσεσθαι· οὓς γὰρ ὀλεθρίως τε καὶ ἀσώστως ἔχοντας οὔτε δι' ἄλλου τινὸς οὔτε δι' ὕδατος σῶσαι δυνατόν ἐστιν, τούτοις οὐδ' ἐπεχείρησα δοῦναι. τὸ δ' ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον, καὶ πτύσεται παχέα ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι, παραφυλακτέον ἐστί σοι κατ' ἐκείνους μόνους τοὺς καύσους, ὁπόσοι πεπονθότος τοῦ πνεύμονος γίγνονται.

ιγ'.

Καύσου γένος ἄλλο. ἡ κοιλίη ὑπάγουσα δίψης ἐστὶ μεστή. γλῶσσα τρηχεῖα, ξηρὴ, ἁλικώδης.

Τὸ τοῦ γένους ὄνομα τοὺς παλαιοὺς Ἕλληνας εὑρίσκω καὶ κατὰ τῶν ὁμωνύμως λεγομένων ἐνίοτε φέροντας, τῶν μὲν ἓν ἐχόντων τὸ σημαινόμενον, ἐκ δὲ τῆς κατ' αὐτὸ τομῆς εἰς διαφορὰς πλείους ἀφικνουμένων· ἐφ' ᾧ πολλάκις εἰώθαμεν λέγειν γενικὰς εἶναι διαφορὰς τοῦδε τοῦ πράγμα-

ſit auxilium et ſalus. Hoc autem idem non eſt, ut ſi diceres, cauſo laborantes omnino, ſi frigidam aquam biberint, ſervandos. Nam qui pernicioſe ac mortifere afficiuntur, eos neque per aliud quippiam, neque per aquam ſervari eſt poſſibile, quibus neque miniſtrare ſum conatus. Quod autem in fine dictionis narratur: *expuetque craſſa, ſi ſanus eſt futurus*, in his tantum cauſis obſervare debes, qui affecto pulmone oriuntur.

XIII.

Cauſi genus aliud. *Alvus ſubducitur, ſiti ſcatet, lingua aſpera, ſicca, ſalſa.*

Veteres Graecos reperio nomen generis interdum inter aequivoce dicta uſurpare, quae unum quidem habent ſignificatum, ſed ex ipſius diviſione ad plures deducuntur differentias. In quo ſaepe dicere conſuevimus genericas rei hujus differentias eſſe vel duas vel tres vel quatuor

τος δύο ἢ τρεῖς ἢ τέσσαρας ἢ ὅσας δυνατόν. ὄντων δὲ καὶ τῶν ὁμωνύμων διττῶν, τινῶν μὲν μηδ' ὅλως ἀλλήλοις κοινωνούντων, ὡς ὅταν κύνα τόν ἐπίπεδόν τε καὶ τὸν ἐνάλιον λέγωμεν· ἐνίων δὲ κοινωνούντων κατά τι τοῖς συνωνύμοις, ὅταν ἀφ' ἑνὸς ἔχωσι τὴν προσηγορίαν γεγενημένην· ποῦ ποτ' ἀναφέρωνται, προσεπισκεπτέον, ὡς εἴρηται, τὰ δύο γένη τῶν καύσων· γνωσθήσεται δ' ἀκριβῶς τοῦτο τοῦ κατὰ τοὔνομα λόγου, τῆς οὐσίας ἑκατέρου δηλωθείσης. ἐπεὶ δ' ὁ λόγος ὑπὸ τῆς ἐννοίας κρίνεται, σκεπτέον εἰ τὴν ἔννοιαν ἔχομεν τοῦ καύσου πυρετοῦ σύμφωνον οὕτως, ὥσπερ ἀνθρώπου καὶ βοὸς καὶ ἵππου· ἐκπίπτειν δὲ τοῦ λόγου μέλλοντος εἰς μῆκος μεῖζον ἢ καθ' ὑπόμνημα, συνελεῖν αὐτὸν ὥσπερ καὶ τοὺς ἄλλους, εἰς βραχὺ κεφάλαιον σπεύσομεν ἀρχὴν τῷ λόγῳ τήνδε ποιησάμενοι. τὸν καῦσον πυρετὸν εὑρίσκω τοὺς ἰατροὺς λέγοντας, ὅταν ἡ θερμασία διακαίῃ τὸν ἄνθρωπον, ἄπαυστόν τε τὸ δίψος ἔχῃ· καὶ εἴπερ οὕτως ἔχει τοῦτο, τὸν μὲν ἄνευ τοῦ διακαίειν τὸ σῶμα δίψαν παρηγορουμένην ἔχοντα καῦσον μὲν ἁπλῶς, ἀκριβῆ δὲ καὶ

vel quotquot esse possunt. Sed quum et homonyma duplicia sint, aliqua quidem nequaquam inter se communicantia, ut quum canem dicimus tum terrestrem tum marinum, alia vero, quae cum univocis aliquatenus communia existant, quum ab uno factam appellationem habuerint, quo tandem referantur considerandum, ut dictum est, duo causorum genera. Id vero exacte cognoscetur, si substantiae utriusque ratio, quae in appellatione est, ostensa fuerit. Sed quoniam a mentis conceptu ratio judicium accipit, perscrutandum, si mentis conceptum ardentis febris ita consonum habeamus, ut hominis, bovis et equi. At quum oratio commentario prolixior futura sit, ipsam, ut et caeteras, ad brevem contrahere summam conabimur, hoc exorsi modo. Febrem ardentem medicos reperio appellare, quum calor hominem exurat sitisque inexplebilis detineat. Quod si ita se habeat, causum eum, in quo corpus non uritur, sitisque levis est, causum quidem simpliciter, exquisitum autem legitimumque non di-

γνήσιον οὐκ ἐροῦμεν· ἐξ ἡμίσεος δ' ὄντα τοιοῦτον οὐ χεῖρον ὀνομάσαι συντόμου διδασκαλίας ἕνεκα νόθον καῦσον, ὥσπερ ἐπὶ τῶν τριταίων πυρετῶν εἰώθαμεν χρῆσθαι ταῖς προσηγορίαις. οὕτως ἀκουσόμεθα τοῦ δύο εἶναι γένη καύσων πυρετῶν, ὡς εἴ γε καὶ γένη τριταίων τις εἴποι δύο, [125] τὸν μὲν ἀκριβῆ τε καὶ γνήσιον, ἕτερον δὲ νόθον, ᾧ τινὰ μὲν πάρεστι τῶν τούτου συμπτωμάτων, ἔνια δ' οὔ. ὅτι δ' ὁ δεύτερος καῦσος, ὑπὲρ οὗ νῦν πρόκειται λέγειν, οἷον ἐλλιπής τίς ἐστι καὶ οὐ τελέως διηκριβωμένος εἴσῃ σαφῶς προσέχων τὸν νοῦν τοῖς ὑπ' αὐτοῦ συγγραφέως εἰρημένοις συμπτώμασιν ὑπ' αὐτοῦ γίνεσθαι. κατὰ μὲν γὰρ τὴν ἀρχὴν ἔφη, κοιλίη ὑπάγουσα, δίψης μεστὴ, γλῶσσα τρηχείη, ξηρὴ, ἁλικώδης, μὴ προσθεὶς ὃ προσέθηκεν ἐπὶ τοῦ προτέρου· ὁ γὰρ νόθος τῶν τοῦ γνησίου καύσου συμπτωμάτων τὸ μὲν ἕτερον ἔχει, τὸ δ' ἕτερον οὐκ ἔχει. πάλιν ἐφεξῆς εἰπὼν τὴν γλῶτταν εἶναι τραχεῖαν καὶ ξηρὰν οὐ προσέθηκε τὸ μέλαιναν, ὥσπερ ἐπὶ τοῦ προτέρου, ἀλλὰ ἀντὶ τούτου τοῦ συμπτώματος εἶπεν ἁλικώδη. ὥσπερ γὰρ ὅταν ἡ γλῶττα

cemus; pro dimidia autem parte quum talis ſit, conciſae doctrinae gratia cauſum nothum appellare non deterius fuerit, quemadmodum tertianis in febribus appellatione hujusmodi uti conſuevimus. Ita duo cauſorum febrium genera eſſe intelligemus, ut ſi tertianarum genera duo eſſe quispiam dixerit, unum exquiſitum legitimumque, alterum vero nothum, cui videlicet ex legitimi quidem ſymptomatis nonnulla inſunt, aliqua vero non. Quod autem ſecundus cauſus, de quo nunc docere inſtituimus, tanquam diminutus quidam ſit, atque non exacte abſolutus, certior fies, ſi mentem ad ea ſymptomata quae ab auctore ipſo in eo fieri dicuntur, converteris. Nam principio ait: *alvus ſubducta*, *ſiti ſcatens*, *lingua aſpera*, *ſicca*, *ſalſa*, non eo adjecto, quod in priore adjecit. Nothus ſi quidem cauſus ex legitimi ſymptomatis, alterum quidem habet, alterum non habet. Deinceps autem linguam aſperam eſſe inquiens et ſiccam, non adjecit nigram, ut in priore, ſed pro hoc ſymptomate ſalſam dixit. Nam

γένηται πικρὰ, τὴν ξανθὴν ἐνδείκνυται πλεονάζειν χολὴν, οὕτως ὅταν ἁλικὴ, τὸν ἁλικόν τε καὶ ἁλμυρὸν ὀνομαζόμενον χυμὸν, ὅστις ἕν τι τῶν τοῦ φλέγματός ἐστιν εἰδῶν, τριῶν ὄντων, ὡς ἔμαθες, ὀξέος, ἁλμυροῦ, γλυκέος· ὥσπερ οὖν ὁ πρότερος καῦσος ἐπὶ τῇ πικρᾷ χολῇ συνιστάμενος ἐκκρίσεις ὠχρὰς εἰργάζετο κατὰ διττὴν αἰτίαν, ὅτι τε λεπτὸς ἦν ὅτι τε κατ' αὐτὸν ὁ διακαὴς πυρετὸς ηὔξάνετο, (91) προσεγγενομένης ἐν αὐτῷ τῆς ξανθῆς χολῆς, οὕτω γοῦν ὁ φλεγματώδης χυμὸς οὔτ' εὔκριτος ὢν οὔτε αὐξάνει τοὺς πυρετοὺς οὔτε φλογώδη τὴν δίψαν ἔχει οὔτε ἐμπνευματοῦται. καὶ διὰ τοῦτο εἴρηκεν ἐπ' αὐτοῦ, κοιλίη ὑπάγουσα, διαχωρεῖν αὐτὴν μόνην δηλώσας, ἐναντίον ὂν τῷ μὴ διαχωρεῖν· ὑπέρχεται μὲν γὰρ τούτοις ἡ γαστὴρ, οὐ μὴν κατὰ χυμοῦ τινος ἰδέαν, ἀλλ' αὐτῶν τῶν προσφερομένων ἐν τροφῆς μοίρᾳ διαφθειρομένων. οὐ γὰρ ἐπὶ πομάτων οὗτοι διαιτῶνται, καθάπερ οἱ πλεῖστοι τῶν τὸν πρότερον καῦσον νοσούντων· ἐπειδὴ σύντομον ἐκεῖνοι τὴν ἔκκρισιν ἔχουσιν, ἐπὶ λεπτῷ καὶ ζέοντι χυμῷ συνιστάμενοι, βραδεῖαν δ' οὗτος διὰ τὸ

quemadmodum quum lingua amarulenta redditur, flavam redundare bilem ostendit, ita quum salsa, salsum salsuginosumque appellatum humorem, qui unum quoddam existit ex tribus pituitae generibus, ut tibi innotuit, acido, dulci et salso. Ut igitur prior causus ex amara bile constans pallidas geminam ob causam parit excretiones, tum quod tenuis fuerit, tum quod febris urens augeatur, praenata in eo flava bile, sic pituitosus humor neque facile excernitur, neque febres auget, neque sitim ardentem habet, neque flatus movet, atque ob id de eo dixit, *alvus subducta*, excernere ipsam solum ostendens, quod ipsi *non excernere* adversatur. Subit si quidem his venter, non tamen secundum humoris cujusdam ideam, sed iis quae in alimentum ministrata sunt corruptis. Non enim hi potu victitant, ut quamplurimi eorum qui priore infestantur causo, quandoquidem ii citam habent excretionem, ex tenui et ferventi humore constituti, seram vero hi ob

ψυχρὸν καὶ γλίσχρον καὶ παχὺ τῆς τοῦ φλέγματος οὐσίας. οὔκουν ἐνδέχεται ποτῷ μόνῳ χρῆσθαι τοὺς οὕτως νοσοῦντας· τοῦτο γὰρ ἐμάθομεν ἐπὶ τῶν μελλόντων πέττεσθαι περὶ τὴν ε′ ἢ τὴν ζ′ ἡμέραν, ἰσχυρᾶς οὔσης δηλονότι τῆς δυνάμεως· εἰ δ' εἰς τὴν θ′ ἢ ιδ′ ἢ κ′ ἐμπίπτειν μέλλει τὸ νόσημα, χυλῷ πτισάνης ἐξ ἀρχῆς ἐπ' αὐτοῦ χρώμεθα.

ιδ′.

Οὔρων ἀπόληψις, ἀγρυπνίη, ἀκρωτήρια ἐψυγμένα.

Οὔρων ἀπόληψις. εἴωθε λέγεσθαι παρ' αὐτοῦ ὅταν ἢ οὐκ ἀξιολόγως, ἢ μηδ' ὅλως φέρηται· γίγνεται δὲ τοῦτο κατὰ τὸν προκείμενον ἐν τῷ λόγῳ καῦσον, ἐπὶ τῷ πάχει τοῦ χυμοῦ. *ἀγρυπνίη.* τοῦτο κοινὸν ἀμφοτέρων τῶν καύσων καὶ διὰ τοῦτο κατὰ τὸν πρότερον ἐμνημόνευσεν αὐτοῦ, καὶ γὰρ γίγνεται μᾶλλον ἐπ' ἐκείνου, διότι ἡ κεφαλὴ μᾶλλον ἐκπυροῦται. *ἀκρωτήρια ἐψυγμένα.* τοῦτο τὸ σύμπτωμα τοῦ

frigidam, glutinofam et craffam pituitae fubftantiam. Fieri ergo nequit ut qui ita laborant folo utantur potu. Id fiquidem didicimus in iis morbis qui in quinto aut feptimo die, valida nimirum exiftente facultate, coctionem funt recepturi. Verum fi morbus ad nonum vel decimumquartum vel vigefimum illapfurus fit, in eo per initia ptifanae cremore utimur.

XIV.

Urinae fuppreffio, vigilia, extrema refrigerata.

Urinarum fuppreffio. Dici id ab ipfo confuevit, aut quum non effatu digna aut nequaquam prorfus emittitur urina. Id autem accidit propter humoris craffitiem, propofito hac in oratione caufo. *Vigilia.* Caufo utrique hoc commune eft, atque ob id in priore mentionem hujus fecit; fit fiquidem in illo magis, quod caput accendatur magis. *Refrigerata extrema.* Symptoma hoc fecundi

δευτέρου ἐστὶ καύσου· οὐ δεῖ δὲ ἁπλῶς εἰρῆσθαι τὸν λόγον, ἀλλὰ μετὰ διορισμοῦ τινος· οὐ γὰρ ἀεὶ τοιοῦτός ἐστιν, ἀλλ' ὅταν κακοήθης ᾖ. κατὰ μὲν γὰρ τοὺς χολώδεις καὶ διακαεῖς πυρετοὺς, ἄχρι τῶν περάτων τοῦ σώματος ἐκτείνει τὴν θερμασίαν, κἂν μὴ κακοήθης ὁ καῦσος ᾖ, κατὰ δὲ τοὺς φλεγματικοὺς ἡ καπνώδης τῆς θερμασίας οὐσία, ὅταν ἐν τοῖς κατὰ γαστέρα χωρίοις ἢ τὸ ἧπαρ ἢ τὸν [126] πνεύμονα γένηται σῆψις ἁλικοῦ χυμοῦ, δι' ἐκείνην μὲν ἡ πυρώδης θερμασία γίγνεται· κακοηθευσαμένου δὲ τοῦ νοσήματος, ἀκρωτήρια ψύχεται διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως, καὶ τὸ μέγεθος τῆς φλεγμονῆς ἐφ' ἑαυτὴν ἑλκούσης πᾶν τὸ αἷμα· χωρὶς γὰρ τούτων οὐκ ἂν ὀλέθριον γένηταί ποτε τὸ νόσημα

ιε'.

Τῷ τοιούτῳ ἢν μὴ αἷμα ἐκ ῥινὸς ῥυῇ, ἢ ἀπόστημα περὶ τὸν τράχηλον γένηται, ἢ σκελέων ἄλγημα, καὶ πτύσματα παχέα πτύσῃ (ταῦτα δὲ ξυστάσης τῆς κοιλίης γίνεται)

est causi. Verum sermonem non simpliciter efferre convenit, sed cum definitione aliqua. Non enim perpetuo talis existit, at quum malignus fuerit. Nam in biliosis urentibusque febribus calorem ad extrema usque corporis extendit, etsi non malignus causus fuerit, at in pituitosis fumosa *est* caloris substantia, quum vel in ventris regionibus vel hepate vel pulmone salsus humor putruerit, ob quam quidem calor igneus redditur. Verum quum malignus evaserit morbus, refrigerantur extrema ob virium imbecillitatem phlegmonesque totum ad se sanguinem trahentis magnitudinem, nam absque his nunquam lethalis efficitur morbus.

XV.

Causus hic, nisi sanguis e naribus fluxerit aut circa collum abscessus aut crurum dolor oboriatur et aeger sputa crassa expuerit (haec autem suppressa alvo con-

ἢ ἰσχίων ὀδύνη, ἢ αἰδοίου πελίωμα, οὐ κρίνεται, καὶ ὄρχις ἐνταθεὶς, κριτικόν.

Ὅτι δι' ἀποστημάτων μᾶλλον ἢ ἐκκρίσεων οἱ ἐπὶ φλέγματι σηπομένῳ γινόμενοι πυρετοὶ τὴν λύσιν ἔχουσι πολλάκις δέδεικται· κατὰ δὲ τὸν προκείμενον καῦσον, οὐκ ἀποστημάτων μόνον ἐμνημόνευσεν, ἀλλὰ καὶ προσέθηκε καὶ αἱμοῤῥαγίαν, γινομένην ἐπ' ἐκείνων μᾶλλον τῶν καύσων, ἐφ' ὧν ἡ τοῦ πάθους σύστασις ἐν τῷ πνεύμονι γίγνεται· θερμαινομένη γὰρ ἐν ταῖς τοιαύταις διαθέσεσιν ἡ κεφαλὴ πληροῦται τοῦ αἵματος, ἀποχεῖ τε τὸ πλεονάζον αὐτοῦ, ῥηγνυμένων ἢ ἀναστομουμένων τῶν φλεβῶν, διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ περὶ τὸν τράχηλον ἀποστήματα καὶ παρωτίδες γίνονται τοῖς οὕτω πάσχουσιν. ὅσοις δὲ τοῦ πάθους ἡ σύστασις ἐν τοῖς κατὰ τὴν νῆστιν ἢ τὸ ἧπαρ ἐγένετο μέρεσι, κάτω μᾶλλον αἱ ἀποστάσεις τούτοις συμπίπτουσιν, ὥστε καὶ ἡ τῶν ἰσχίων ὀδύνη καὶ τὸ τοῦ αἰδοίου πελίωμα καὶ ἡ τοῦ ὄρχεως ἔντασις τοῖς οὕτω κάμνουσι μᾶλλον συμβαίνει. γίνεται δ' ἔντα-

tingunt) aut coxarum dolor aut pudendi livor, non judicatur. Testiculus quoque intensus judicatorius existit.

Quod solvantur per abscessus magis quam per excretiones quae ex pituita putrescente oriuntur febres, saepius demonstratum est. At in praesenti causo non abscessus modo commemoravit, verum etiam sanguinis profluvium adjecit, quod magis in iis fit causis, quorum affectionis sedes in pulmone existit. Nam in hujusmodi affectionibus caput incalescens sanguine repletur effunditque quod ex eo redundat, tum ruptis tum adapertis venis. Ob eandem causam circa cervicem abscessus fiunt et parotides, iis qui ita afficiuntur. Verum quibus affectionis sedes in partibus quae secundum jejunum aut hepar sunt, existit, deorsum magis his accidunt abscessus, quare et coxarum dolor et pudendi livor et testiculi distentio iis ita affectis accidit magis. Fit autem testis distentio, interdum quidem ab ea quae in eo fit inflammatione, in-

σις ὄρχεως ἐνίοτε μὲν ὑπὸ τῆς καθ' ἑαυτὸν φλεγμονῆς, ἐνίοτε δὲ ὑπό τινος τῶν ἄνω φλεγμαινόντων ἑλκομένου. τὸ δὲ καὶ πτύσματα παχέα πτύειν ἐνίους αὐτῶν ἐπὶ τῶν κατὰ τὸν πνεύμονα πάθος ἐχόντων εἴρηται, πέψεως ἤδη γεγονυίας. εὔδηλον οὖν ἐκ τούτου τὸ συγκεχυμένον καὶ ἄτακτον καὶ ἀδιόριστον τῆς διδασκαλίας, ὅπερ ὑποτυπώσει μὲν ἕνεκα συγγραμμάτων γιγνομένη πρέπει, συγγράμματι δ' οὐδαμῶς ἐστιν οἰκεῖον· ἐπὶ γὰρ πολλοῖς μέρεσι πεπονθόσι γιγνομένων τοιούτων πυρετῶν ἐχρῆν ἐφεξῆς συμπτωμάτων γεγράφθαι τὸν κατάλογον καὶ μὴ ἀδιορίστως τε καὶ ἀτάκτως, ἀλλ' ἢ κατὰ τὸ οἰκεῖον προκείμενον νόσημα ποιεῖν. καὶ τὸ, κοιλίη ὑπάγουσα, κατὰ τὸν αὐτὸν εἴρηται τρόπον, οὐχ ὡς ἀεὶ τοῖς καύσοις ὑπάρχοντος τοῦ συμπτώματος, ἀλλ' ὡς ἐνίοτε, τοῖς γὰρ ἐν τῇ γαστρὶ τὴν εἰρημένην διάθεσιν ἔχουσι διαφθειρομένων τῶν σιτίων αἱ διαχωρήσεις ὑγραὶ, τοῖς δ' ἐν τῷ πνεύμονι ἔχουσι τῆς γαστρὸς ἀπαθοῦς ὑπαρχούσης οὐκ ἀνάγκη τὰ διαχωρούμενα τοιαῦτα εἶναι, τοὐναντίον γὰρ ἐνίοτε τοῖς οὕτω διακειμένοις συμβαίνει σκληρὰν καὶ δυσ-

terdum vero ab aliquo eorum quae fuperius inflammantur attracti. Quod autem quidam eorum craffa fputa expuant, hoc dictum eft de iis, qui affectum in pulmone habent, concoctione jam facta. Ex eo igitur liquet doctrinam confufam effe, inordinatam et indefinitam, quod eam quae librorum gratia fit, defcriptionem decet, libro tamen nequaquam proprium eft. Nam quum in multis partibus affectis tales fiant febres, deinceps fymptomatum catalogum fcripfiffe oportebat et non inordinate indefiniteque, fed fecundum proprium et propofitum morbum efficere. Et fane in hunc dictum eft modum, *alvus fubducta*, non quod caufis fymptoma hoc perpetuo infit, fed ut interdum. Nam qui in ventre dictam habent affectionem, iis corrupto cibo dejectiones liquidae exiftunt. Qui vero in pulmone habent, ventre haudquaquam affecto, iis dejectiones hujusmodi de neceffitate non fiunt, interdum enim contrarium ita affectis accidit, ut dura fit alvus dif-

διαχώρητον εἶναι τὴν γαστέρα. καὶ μὴν δὴ καὶ οἷς κατὰ τὸ ἧπάρ ἐστιν ἡ οἷον ῥίζα τοῦ καύσου καὶ τοῖς διὰ τὸ ἧπαρ καυσουμένοις, ποτὲ μὲν ἔκκρισις ὑγρὰ, ποτὲ δὲ ξηρὰ τὰ διαχωρήματα αὐτῶν ἐκκρίνεται, οἷον τὰ καλούμενα σπυραθώδη, κατωπτημένων δηλονότι τῶν σκυβάλων ὑπὸ τῆς ἐν τῷ σπλάγχνῳ φλεγμονῆς. [127] ὅταν μὲν οὖν φλεγμαίνῃ μόνον, τοῦτο ἐργάζεται· ὅταν δὲ σὺν τῇ φλεγμονῇ ᾖ καὶ ἡ ἀτονία, ὑγρὰ διαχωροῦσι μὴ δυναμένου τοῦ σπλάγχνου πρὸς ἑαυτὸ τὴν τροφὴν ἕλκειν. διορίζεται δὲ τὰ τοιαῦτα διαχωρήματα τῶν ἀπὸ τῆς γαστρὸς πεπονθυίας γενομένων τῷ κεχυλῶσθαι.

ιστ'.

Ῥοφήματα ἐπισπαστικὰ δίδου.

Ὃ πολλάκις εἴωθα λέγειν, ὡς ἀσαφὴς λέξις οὐδὲν διδάσκει, τοῦτο καὶ νῦν ἐρῶ. τοῖς γὰρ διὰ φαυλότητα φλέγματος νοσοῦσι ποτὸν μὲν ὀξύμελι χρησιμώτατόν ἐστι, τροφὴ

ficulterque excernat. Praeterea et quibus in jecore causi subest radix et ob jecur causo laborantibus, excretio quidem interdum liquida est, interdum vero siccae eorum dejectiones excernuntur, veluti quae caprinae pilulae appellantur, exustis nimirum a visceris phlegmone scybalis. Quum igitur *viscus hujusmodi* solum phlegmone obsidetur, id efficit, verum si cum phlegmone fuerit et imbecillitas, liquida dejiciuntur, viscere alimentum ad se trahere nequeunte. Sed dejectiones hujusmodi ab iis quae ventre affecto fiunt, chylositate distinguuntur.

XVI.

Sorbitiones dato attractorias.

Quod multoties dicere consuevimus, quod obscura lectio nihil doceat et id nunc dicam. Nam pituitae vitio laborantibus pro potu quidem acetum mulsum utilissimum

δὲ χυλὸς πτισάνης· ἀλλ' ὅμως ἐγὼ, καίτοι γινώσκων ταῦτα καὶ παρ' ἑτέρου μαθὼν οὐδενὸς, οὐκ ἔχω μαντεύεσθαι τίνα ποτὲ λέγει τὰ ἐπισπαστικὰ ῥοφήματα. τὸ γὰρ ὀξύμελι τμητικόν τε καὶ διαιρετικὸν καὶ ῥυπτικὸν ἐγχωρεῖ λέγειν, ἐπισπαστικὸν δ' οὐδαμῶς, ὅτι γε οὐ δυνάμεθα δεῖξαι τὸ ἐπισπώμενον ὑπ' αὐτοῦ· οὕτως οὐδὲ τὸν τῆς πτισάνης χυλὸν ἐπισπαστικὸν εἶναι φαίημεν. ἴσως οὖν ἐρεῖ τις κελεύειν αὐτὸν τὴν γαστέρα ὑπάγειν τοῖς ἐπισπαστικοῖς, τουτέστι τοῖς ἐπισπωμένοις τὸν παχὺν χυμὸν, ὁποῖός ἐστι καὶ ὁ τοῦ φλέγματος· ἀλλ' οὐκ ἂν εἶπε ῥοφήματα· φαρμάκων γὰρ τὸ τοιοῦτον ἔργον, οὐ ῥοφημάτων ἐστὶν, ὥσπερ οὐδὲ πομάτων. πρόδηλον (92) οὖν γέγονεν, ὡς ἐν ταῖς ἀσαφέσι λέξεσιν οὐδὲν γινώσκομεν βέβαιον, καὶ διὰ τοῦτο οὐδὲ ταύτῃ τῇ λέξει ἐπιχειροῦμεν, οὐδὲν γὰρ ὡρισμένον οὐδὲ βέβαιον παρ' αὐτῆς ἐστιν εὑρεῖν· ἀλλ' οὐκ οἶδ' ὅπως ἄνθρωποι, καθάπερ καὶ ἄλλα πολλὰ φανερῶς ἁμαρτάνουσιν, οὕτω καὶ τὸ χαίρειν τοῖς ἀσαφῶς εἰρημένοις· καίτοι πάντες ὥσπερ ἐξ ἑνὸς

est, pro alimento vero ptisanae cremor. Ego attamen, quanquam haec noscam, nec opus habeam ut ab alio discam, divinare non possum, quasnam dicat attractorias sorbitiones. Oxymel siquidem et incidens et secernens ac detergens dici potest, attrahens tamen nullo pacto, quia sane quod ab ipso attrahatur demonstrare non possumus. Sic neque ptisanae cremorem attractorium esse asseremus. Sed forte aliquis dicet velle ipsum ventrem subducere attractoriis, hoc est crassum humorem attrahentibus, cujusmodi est quod pituitam trahit. At vero sorbitiones non dixisset. Nam hoc munus medicamentorum est, non sorbitionum, sicuti neque potuum. Innotuit ergo quo pacto in obscuris dictionibus nihil certi habeamus, quapropter neque dictionem hanc defendere conabimur, quod nihil in ea certum finitumque reperiatur. Caeterum non mihi constat quomodo homines, ut in aliis multis manifeste errent, sic et in eo quod iis quae obscure dicuntur, gaudeant, quanquam omnes uno quasi ore perspi-

στόματος τὴν μὲν σαφήνειαν ἀρετὴν εἶναι ἑρμηνείας λέγουσι, τὴν δὲ ἀσάφειαν κακίαν.

ιζ'.

Τὰ δὲ ὀξέα πάθεα φλεβοτομήσεις, ἢν ἰσχυρὸν φαίνηται τὸ νόσημα καὶ οἱ ἔχοντες ἀκμάζωσι τῇ ἡλικίῃ καὶ ῥώμη παρῇ αὐτέοισιν.

Οὗτος ὁ λόγος ἄξιός ἐστιν Ἱπποκράτους· θαυμάζω δὲ πῶς οὐκ ἔγραψεν αὐτὸν ἐν ἀφορισμοῖς· ἐν ὀλίγῃ γὰρ τῇ λέξει δύναμίς ἐστι μεγάλη, καθάπερ ἐν τοῖς ἀφορισμοῖς. περὶ γοῦν τῶν φλεβοτομίας χρῃζόντων εἴρηται πολλάκις τοῖς ἰατροῖς, ὧν τὰ δοκοῦντα πιθανώτατα περὶ φλεβοτομίας ἀσφαλῶς εἴρηται διὰ δυοῖν βιβλίων ὑπ' ἐμοῦ γεγραμμένων· τὸ μὲν οὖν ἕτερον αὐτῶν ἐπιγέγραπται περὶ φλεβοτομίας, ἐνῷ τὰ πάντα χρήσιμα διδάσκεται· τὸ δ' ἕτερον γέγραπται, [128] ὡς ἔφην, τοῖς ἰατροῖς τοῖς τε ἐμπειρικοῖς καὶ δογματικοῖς. οἱ δ' ἀμέθοδοι Θεσσάλειοι καθάπερ καὶ τἄλλα

cuitatem orationis virtutem esse, obscuritatem vero vitium proclamant.

XVII.

In acutis autem morbis venam secabis, si morbus vehemens appareat et qui aegrotant in aetatis vigore fuerint et virium robur ipsis adsuerit.

Hic sermo Hippocrate dignus est. Miror autem quomodo inter aphorismos eum non scripserit. In paucis enim verbis vis est magna, quemadmodum in aphorismis. De his ergo qui venae sectione indigent frequens apud medicos fuit sermo, quorum quae de phlebotomia maxime probabilia videntur, duobus a me scriptis secure sunt enarrata libris. At eorum alter de phlebotomia inscribitur, in quo utilia omnia docentur. Alter scriptus est, ut dixi, medicis tum empiricis tum dogmaticis. Verum citra methodum Thessalici, uti et caetera sine demonstra-

χωρὶς ἀποδείξεως ἁπλῶς λέγουσιν, οὕτω καὶ τὴν φλεβοτομίαν ἀπεφήναντο χαλαστικὸν εἶναι βοήθημα· τὸ χαλαστικὸν δ' αὐτὸ διαφόρως ἐξηγοῦνται, καθὼς δέδειχταί μοι διὰ τῶν ἐμῶν ὑπομνημάτων περὶ τῆς μεθοδικῆς αἱρέσεως ἐπισκεπτομένῳ. τῷ μὲν οὖν ἅπασαν ἀναλέξασθαι τὴν περὶ τῆς φλεβοτομίας ἱστορίαν βουλομένῳ πάρεστιν ἀναγινώσκειν τά θ' ἡμέτερα καὶ τὰ τῶν ἄλλων ἰατρῶν βιβλία· νυνὶ δὲ αὐτὸ τὸ κεφάλαιον αὐτῆς ἄκουσον, εἰς ὀλίγους τέως ἀνηνεγμένον σκοπούς. φλεβοτομήσεις γὰρ πρῶτον, εἴ σοι φαίνοιτο μέγα τὸ νόσημα· φανερῶς ἀπὸ τοῦ νοουμένου πηλίκου τῷ βοηθήματι χρῆται διὰ τὰ ἰσχυρὰ πάθη. οὐ διαφέρει γε μὴν ἰσχυρὸν ἢ μέγα νόσημα φάναι. δεύτερος σκοπὸς τῆς φλεβοτομίας ἐστὶν, εἰ ἀκμάζει κατὰ τὴν ἡλικίαν ὁ κάμνων· οὔτε γὰρ παῖς οὔτε γέρων φέρουσι τὴν φλεβοτομίαν, οὐδ' ἂν μέγα νόσημα νοσῶσιν. ὁ δὲ δὴ τρίτος σκοπὸς εἴρηται τῷ συγγραφεῖ τῆς ζωτικῆς δυνάμεως ἡ ῥώμη· καὶ γὰρ καὶ τῶν ἀκμαζόντων ἐν ταῖς νόσοις οὐ διὰ παντὸς ἡ ῥώμη ἐμφαίνεται. ἴσως οὖν τινι δόξει τὰ δύο ἀρκεῖν μόνα σκοποὺς

tione fimpliciter dicunt, fic et venae fectionem laxatorium cenfent effe remedium, chalafticum vero ipfum diverfe explicant, ut a me per commentarios noftros, cum de methodica fecta ageremus, demonftratum eft. Qui autem omnem de venae fectione hiftoriam intelligere voluerit, legere tum noftros tum reliquorum medicorum libros poteft. Nunc vero fummam ipfius in paucos tandem relatam fcopos audi. Venam enim primum fecabis, fi magnus tibi videatur morbus. Manifefte a perfpecta quantitate, tali utitur remedio propter vehementes affectus, neque refert fi vel vehementem vel magnum morbum dixeris. Secundus phlebotomiae fcopus eft, fi aeger aetate vigeat. Neque enim puer, neque fenex phlebotomiam ferunt, etiamfi magno morbo laborent. Tertius fane fcopus a libri hujus auctore prolatus eft, facultatis vitalis robur, neque enim in aetate vigentium morbis perpetuo robur apparet. Fortaffis ergo aliquis duo haec

ὑποθέσθαι φλεβοτομίας, μέγεθος νοσήματος καὶ ῥώμην δυνάμεως· ὁ γάρτοι γέρων οὐ διὰ τὴν πολυετίαν αὐτὴν καθ' ἑαυτὴν, ἀλλὰ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως οὐ φέρει τὴν φλεβοτομίαν. ἀλλ' οἵ γε παῖδες ἰσχυροὶ τὴν ζωτικὴν δύναμιν ὄντες, ὅμως οὐδ' αὐτοὶ τὴν φλεβοτομίαν ἀνέχονται· διαφορεῖται γὰρ αὐτῶν ἑτοίμως ἡ οὐσία, διά τε τὴν ὑγρότητα καὶ διὰ τὴν θερμότητα τῆς κράσεως· οὔκουν δέονται φλεβοτομίας, σύμφυτον ἔχοντες τὴν ἐκ τῆς κράσεως κένωσιν. διὰ ταῦτα γὰρ οὖν οὐκ ἀρκεῖ μέγεθος νοσήματος καὶ ῥώμην δυνάμεως σκοποὺς εἶναι φλεβοτομίας, ἀλλ' ἄμεινον εἶναι προστιθέναι καὶ τὴν τῶν ἀκμαζόντων ἡλικίαν. τό γε μὴν ἐν ἀρχῇ τῆς ῥήσεως ἄξιον ἐπισκέψασθαι, ὅπως εἴρηται, τὰ ὀξέα πάθεα φλεβοτομήσεις· τῶν δὲ χρονίων πῶς οὐκ ἐμνημόνευσεν. ἐπειδὴ περὶ τῶν ὀξέων αὐτῷ νῦν ἐστιν ἡ διδασκαλία καὶ διὰ τοῦτο περὶ τούτων μόνον ἐμνημόνευσε· δέονται γὰρ καὶ τῶν χρονίων πολλὰ φλεβοτομίας, ὅταν καὶ αὐτὰ τοῖς εἰρημένοις τρισὶν ὑπάγηται σκοποῖς. ὀρθῶς δὲ

ſola pro ſcopis phlebotomiae ſatis eſſe autumabit, magnitudinem morbi et virium robur. Non enim ſenex quod ipſe annoſus ſit per ſe, ſed propter virium imbecillitatem non fert ſanguinis detractionem. At certe pueri quanquam vitali facultate valent, tamen neque hi phlebotomiam ſuſtinent, prompte enim eorum ſubſtantia tum propter humiditatem, tum propter temperamenti caliditatem diſcutitur. Phlebotomia igitur non egent, qui inſitam habent a temperamento vacuationem. Ob haec profecto morbi magnitudinem et virium robur phlebotomiae ſcopos eſſe non ſatis eſt, ſed praeſtat et vigentium aetatem adjicere. Quod autem initio dictionis dictum eſt: *in acutis morbis ſanguinem detrahes*, id ut conſideretur dignum eſt. Quomodo diuturniorum morborum non meminit? Quoniam de acutis nunc ipſi doctrina eſt, atque ob id ſolos eos memoravit, nam et ex diuturnis multi ſanguinis egent detractione, quum et hi dictis tribus ſubjaceant ſcopis. Caeterum quum omnia haec recte dicta

πάντων τούτων εἰρημένων, οὐκ ὀρθῶς ὑποληπτέον κεκρίσθαι πρός τινων, ὧν ἐστι καὶ Μηνόδοτος ὁ ἐμπειρικὸς, ἐπὶ μόνῃ τῇ πληθωρικῇ καλουμένῃ συνδρομῇ φάσκοιν τετηρῆσθαι φλεβοτομίαν· ἡμεῖς δὲ καὶ μὴ παρούσης αὐτῆς φλεβοτομοῦμεν, ὅταν ὀδύνη σφοδρὰ καταλαμβάνῃ τὸν ἄνθρωπον ἐξαίφνης ἢ θλασθῇ τι μόριον ἢ ὀστοῦν ἐξωσθῇ κατὰ ἄρθρον ἢ ἄλλο τι ἄρθρον συναρθῇ· οὐ φλεβοτομοῦμεν δὲ ἀεὶ, καίτοι τῆς πληθωρικῆς συνδρομῆς γενομένης, διὰ δὲ τρίψεως καὶ λουτρῶν πλειόνων καὶ διαίτης ἐνδεοῦς, ἡμέραις δύο ἢ καὶ τρισὶν εἰς τὸ κατὰ φύσιν ἄγομεν. εἴρηται δὲ περὶ τούτων ἐπὶ πλέον ἐν τῷ περὶ πλήθους καὶ ἐν τῷ περὶ φλεβοτομίας, ἔτι δὲ ἐν τῷ τῆς θεραπευτικῆς μεθόδου βιβλίῳ. ἱκανὰ μὲν οὖν καὶ ταῦτα εἰς τὸ παρὸν, ὡς ἐν ὑπομνήματι, περὶ φλεβοτομίας εἰρῆσθαι· προσθήσω δὲ, ἕνεκα τοῦ μηδὲν λείπειν, τὸν ἀπὸ τοῦ περιέχοντος ἡμᾶς ἀέρος σκοπὸν, ὅταν ᾖ θερμὸς ἱκανῶς καὶ ξηρὸς, ὡς διαφορεῖσθαι ταχέως ὑπὸ τούτου τὸ σῶμα· τηνικαῦτα γὰρ ἀφιστάμεθα τῆς φλεβοτομίας,

ſint, quosdam tamen non recte judicaſſe putandum eſt, quorum eſt Menodotus empiricus, in ſola plethorica appellata ſyndrome ſanguinis miſſionem obſervari aſſeverans. Nos autem et ea non exiſtente venam ſecamus, quum dolor vehemens hominem ſtatim prehenderit vel pars aliqua fracta fuerit vel os ex articulo luxatum ſit vel alius quidam articulus reductus ſit. At licet plethorica facta ſit ſyndrome, non tamen ſemper venam ſecamus, ſed et frictione et balneis multis et abſtinentia, quae tribus vel quatuor diebus fiat, ad ſtatum naturalem revocamus. Verum de his abunde tum in libro de plenitudine, tum in libro de venae ſectione pronunciatum eſt, praeterea et in libro methodi medendi. Ad praeſens ergo haec de ſanguinis detractione, veluti in commentario, dicta ſufficiant. Verum ut nihil deſit, adjiciam et eum qui ab ambiente nos aëre deſumitur ſcopum, quum fuerit abunde calidus et ſiccus, ita ut cito ab eo corpus discutiatur. Nam tunc a ſanguinis miſſione abſtinemus,

εἰ καὶ μέγα τὸ νόσημα καὶ ἀκμάζων ὁ ἄνθρωπος εἴη. τοῦτ' οὖν ὁ συγγραφεὺς τοῦ βιβλίου παρέλειψε μόνον, γράψας τὰ λοιπὰ καὶ τὴν ἕξιν αὐτοῦ πάσχοντος σώματος· ἀλλ' ἐπὶ προήκοντί γε τῷ γράμ- [129] ματι καὶ τῆς ἕξεως ἐμνημόνευσε, δυναμένης καὶ τὰς τῆς ἡλικίας διαφορὰς ἐν ἑαυτῇ περιλαβεῖν, ὡς δείξω.

ιη.

Ἢν μὲν οὖν σύναγχος ᾖ, ἐκλεικτοῖσιν ἀνακάθαιρε, ἤν τ' ἄλλο τι τῶν πλευριτικῶν· ἢν δὲ ἀσθενέστεροι φαίνωνται, ἢν καὶ πλέον τοῦ αἵματος ἀφέλῃς, κλυσμῷ κατὰ κοιλίην χρέεσθαι διὰ τρίτης ἡμέρας, ἕως ἂν ἐν ἀσφαλείῃ γένηται ὁ νοσέων ἢ καὶ λιμοῦ χρῄζοι.

Ἡ συνάγχη τῶν κατὰ τὸν φάρυγγα μερῶν ἐστι φλεγμονὴ, δυναμένη μετὰ τὴν φλεβοτομίαν ἐκλεικτοῖς ἀνακαθαίρεσθαι, τουτέστιν αὐτὰ τὰ περιεχόμενα κατὰ τὰ φλεγμαίνοντα μόρια, κενοῦσθαι διὰ τῶν πτυσμάτων· τὸ γὰρ ἀκάθαρ-

etiamsi morbus magnus fuerit vigensque aetate homo. Id ergo libri auctor solum praetermisit, reliquis scriptis, atque etiam patientis ipsius corporis habitum. Verum procedente oratione et mentionem habitus fecit, qui et aetatis differentias in se comprehendere potest, ut ostendam.

XVIII.

At enim si angina aut si quis alius ex pleuriticis morbus fuerit, linctibus repurgato. At si imbecilliores appareant, ac si plus sanguinis detraxeris, clysmo alvino tertio quoque die utendum, donec in tuto aeger fuerit, aut etiam fame opus habeat.

Angina partium quae in faucibus sitae sunt phlegmone est, quae post venae sectionem eclegmatis repurgari potest, hoc est, quae in partibus phlegmone obsessis continentur, per sputa evacuari possunt. Nam corpus

τον σῶμα καὶ περιττωματικὸν, ἐκκενούμενον, εἰκότως ἄν τις καθαίρεσθαι λέγοι. τὰ δ' ἄλλα νοσήματα τὰ ὀξέα παραλείψας περὶ τοῦ πλευρίτου εἴρηκεν, ὡς κἀν τῷ πρώτῳ μέρει τοῦ βιβλίου πεποίηκεν· ἢν δὲ ἀσθενέστεροι, φησὶν, εἶναί σοι δοκῶσιν ἢ διὰ τὸ πλῆθος τοῦ κατὰ τὴν φλεβοτομίαν ἀφαιρεθέντος αἵματος ἢ καὶ ἄλλως, ἀντὶ τοῦ καθαίρεσθαι κλυστῆρι χρῶ διὰ τρίτης ἡμέρας. χαλασθέντος γὰρ τοῦ σώματος ὑπὸ τῆς φλεβοτομίας, ὅσον ὑπολείπεται κατὰ ποιότητα μοχθηρὸν τῶν νοσαζόντων χυμῶν, τοῦτο διὰ τῶν κλυστήρων ἐκκενῶσαι βούλεται. πρόδηλον δέ ἐστιν ὅτι σκοπὸν ἔχει οὐ μόνον ὑπάγειν τὰ περιττώματα τῆς τροφῆς, ἀλλὰ καὶ τὸν πεπονθότα τόπον ἐκκαθαίρειν. τὸ δὲ προσκείμενον ἐπὶ τῇ τελευτῇ τοῦ λόγου, τὸ ἢ καὶ λιμοῦ χρήζοι, δῆλον τοῖς μεμνημένοις τῶν ἐν τῷ πρώτῳ μοι βιβλίῳ διδαχθέντων.

ιθ'.

Φλεγμαίνοντα ὑποχόνδρια μὴ πνευμάτων ἀπολήψει, φρενῶν ἐντάσιες ἢ πνευμάτων προτάσιες, ὀρθοπνοίης ξηρῆς, οἷσι

impurum excrementofumque, quod vacuatur, jure optimo expurgari aliquis pronunciabit. Caeteris autem acutis morbis omiſſis, de pleuritide mentionem facit, quemadmodum et in prima libri parte fecit. *Si vero imbecilliores,* inquit, *tibi eſſe videbuntur vel propter ſanguinis per venae ſectionem ablati copiam vel etiam alias, purgationis vice clyſterem tertio quoque infunde die.* Nam laxato per ſanguinis miſſionem corpore, quod ex morbificis humoribus qualitate vitioſum ſuperfluit, per clyſteres id evacuari jubet. Quod autem ſcopus illi ſit, non ſolum alimenti excrementa ſubducere, verum et affectum locum expurgare, palam eſt. Quod vero ad finem orationis additur: *et fame indigeat,* iis qui in primo libro a nobis demonſtrata meminerunt, etiam manifeſtum evadit.

XIX.

Tumentia hypochondria non ſpirituum interceptione, ſepti transverſi contenſiones aut ſpirituum protenſiones, qui-

μὴ πῦον ὕπεισιν, ἀλλὰ ὑπὸ πνευμάτων ἀπολήψιος τὰ παθήματα ταῦτα ἐπιγίνεται· μάλιστα δὲ καὶ ἥπατος περιωδυνίαι (93) καὶ σπληνὸς βάρεα καὶ ἄλλαι φλεγμασίαι τε καὶ ὑπὲρ φρενῶν περιωδυνίαι τε καὶ ξυστροφαὶ νοσημάτων, οὐ δύνανται λύεσθαι, ἤν τις πρότερον ἐπιχειρέῃ φαρμακεύειν, ἀλλὰ φλεβοτομίη τῶν τοιῶνδε ἡγεμονικόν ἐστιν· ἔπειτα δὲ ἐπὶ κλυσμῶν, ἢν μὴ μέγα καὶ ἰσχυρὸν τὸ νόσημα ᾖ· εἰ δὲ μὴ καὶ ὕστερον φαρμακείης δεῖ. δέεται δὲ καὶ ἀσφαλείης καὶ μετριότητος μετὰ φλεβοτομίην φαρμακείη.

---

[130] Κατάλογός ἐστι νοσημάτων φλεβοτομίας μὲν πρότερον, ἐπ' αὐτῆς δὲ καθάρσεως δεομένων, ὧν πρῶτον ἁπάντων γέγραπται φλεγμαίνοντα ὑποχόνδρια· οὐ κατὰ τὸ τοῦ Ἱπποκράτους ἔθος ἄκουε τῆς φλεγμαίνοντα φωνῆς. καὶ γὰρ πάντα τὰ φλογώδη καὶ θερμὰ δηλοῦνται τῶν νοσημάτων, ἐρυσιπέλατα, ἕρπητες, ἄνθρακες, αὐταὶ αἱ ἰδίως ὀνομα-

bus orthopnoea. ficca vexatis pus non fubeft, fed a fpirituum interceptione hae affectiones fuccedunt. Potiffimum vero et vehementes jecoris dolores et lienis gravitates atque aliae inflammationes et fupra feptum tranfverfum dolores morborumque collectiones folvi nequeunt, fi quis prius medicamentis purgare aggreffus fuerit, verum in his venae fectio princeps remedium eft, deinde vero clyfteres, nifi vehemens et magnus fuerit morbus, fin minus, etiam poftea medicamento purgante opus eft. Sed et poft venae fectionem purgans medicamentum fecuritate ac moderatione indiget.

Catalogus eft morborum prius quidem venae fectione, deinde ipfa purgatione indigentium, quorum omnium primus fcriptus eft, *intumentia' hypochondria.* Vocem *φλεγμαίνοντα* ex Hippocratis confuetudine non audias, etenim inflammati morbi omnes et calidi *hac voce* fignificantur, eryfipelata, herpetes, carbunculi et quae proprie phleg-

ζόμεναι φλεγμοναί· ἅπαντες δὲ οἱ νεώτεροι τῶν ἰατρῶν καθ' ἑνὸς εἴδους τῶν φλεγμαινόντων σωμάτων ἐπιφέρουσι τὸ πάλαι ἁπάντων κοινὸν ὄνομα καὶ καλοῦσιν οὕτως μόνον ἐκεῖνον τὸν ὄγκον, ὃς ἀντίτυπός τε καὶ ὀδυνηρὸς ἦ μετὰ θερμασίας πολλῆς. ὄντων δὲ καὶ ἄλλων ὄγκων παρὰ φύσιν, οἷον τοῦ τε σκίῤῥου καὶ τοῦ καλουμένου παρὰ τοῖς νεωτέροις ἰατροῖς οἰδήματος (ἦν γὰρ καὶ τοῦτο πάλαι κοινὸν ὄνομα πάντων τῶν παρὰ φύσιν ὄγκων, ἔτι δὲ καὶ τῆς ἐμπνευματώσεως) εἴρηται μὲν ἡμῖν ἑτέρωθι δι' ἑνὸς βιβλίου περὶ τῶν παρὰ φύσιν ὄγκων· ἐν δὲ τῷ νῦν ἐνεστῶτι λόγῳ καθάπερ τὰ ἄλλα, διὰ κεφαλαίων καὶ τοῦτο εἴρηται. σκίῤῥος μὲν ὁ ἀντίτυπος ὄγκος καὶ ἀνώδυνος, ἡ δὲ πνευμάτωσις γίνεται διττῶς, ἤτοι κατά τινας αἰσθητὰς κοιλότητας ἀθροιζομένου πνεύματος φυσώδους ἢ λόγῳ θεωρητάς· ἐνίοτε γοῦν τινες ὄγκους παρὰ φύσιν ἐν μυσὶν ἔτεμον, ὡς ἐν βάθει πῦον εὑρήσοντες, εἶθ' εὗρον οὐδὲν ἄλλο πλὴν πνεύματος ἐν ἁπάσῃ τῇ σαρκὶ κατὰ μικρὰ παρεσπαρμένου. καὶ μέντοι καὶ θρόμβους ἐνίοτε μόνους οἱ

monae appellantur. Verum recentiores medici omnes in una specie inflammatorum corporum vetus omnibus commune nomen inducunt vocantque ita solum eum tumorem, qui renitens dolorem infert cum multo calore. Verum quum et alii praeter naturam existant tumores, ut scirrhus et qui a recentioribus medicis oedema appellatur (fuit siquidem et id quondam commune nomen tumorum omnium praeter naturam atque ipsius inflationis), diximus quidem alibi libro uno de tumoribus praeter naturam. Verum in praesenti libro ut caetera ita et hoc summatim dicatur. Scirrhus quidem renitens tumor est et doloris expers. Verum inflatio bifariam fit, nimirum collecto quibusdam in cavitatibus aut sub sensum cadentibus aut ratione comprehensibilibus flatulento spiritu. Nonnulli sane aliquando tumores praeter naturam in musculis secuerunt, tanquam pus in imo reperturi, sed nihil aliud praeterquam spiritum totam per carnem minutatim disseminatum invenerunt. Praeterea et thrombos interdum so-

οὕτω τέμνοντες, ἢ γλίσχρον ὑγρὸν εὗρον ἢ μυξῶδες. ἀλλ' ἐπὶ τῶν τοιούτων ὁ ὄγκος κατὰ τὸν θρόμβον ἢ τὴν μύξαν ἦν, ὡσαύτως φαινομένης διακεῖσθαι τῆς σαρκός· τὸ δὲ πνεῦμα κατὰ βραχὺ ἐστι διεσπαρμένον ἐν ταύτῃ. κατὰ τοίνυν τὴν προκειμένην ἐν τῷ λόγῳ ῥῆσιν τὰ φλεγμαίνοντα ὑποχόνδρια φαίνεταί μοι μὴ κατὰ τὸ σύνηθες Ἱπποκράτει σημαινόμενον εἰρῆσθαι· τίνα γὰρ ἕξει νοῦν τὸ προσκείμενον αὐτῇ, μὴ πνευμάτων ἀπολήψει, τῆς φλογώδους θερμασίας ἐν ὑποχονδρίοις, ἄν τε μετὰ πνεύματος ᾗ, ἄν τε μὴ, τὴν αὐτὴν ἔνδειξιν ἐχούσης; οὐ μὴν οὐδ' οὕτως ἔοικεν εἰπεῖν, ὡς ἐπὶ συνόδου λέγεσθαι φλογώσεώς τε καὶ πνευμάτων ἀπολήψεως γιγνομένων, ὅπερ ἐστὶ ψεῦδος· οὐδέποτε γὰρ ἡ τοῦ πνεύματος ἀπόληψις ἐπιφέρει φλογώδη διάθεσιν ἐν ὑποχονδρίῳ. ἔοικεν οὖν ὁ γράψας ταῦτα φλεγμαίνοντα λέγειν ὑποχόνδρια τὰ εἰς ὄγκον ἠρμένα. τούτοις ἐφεξῆς ἐμνημόνευσε φρενῶν ἐντάσεως, εἶτα πνευμάτων προτάσεως. ἡ μὲν οὖν τῶν φρενῶν ἔντασις εὔδηλός ἐστι, τὰ δὲ προσιεταμένα πνεύματα ἔοικε λέγειν, τὰ

los, qui ita secant aut viscosam humiditatem aut mucosam reperere. Verum in talibus tumor vel ex thrombo vel muco erat, carne ad hunc affici modum apparente; spiritus autem in ea per minuta est disseminatus. Non igitur in praesenti sententiae hujus dictione φλεγμαίνοντα hypochondria secundum assuetum Hippocrati significatum dicta esse videntur. Quam enim mentem habebit quod ipsi adjicitur, *non flatuum interceptione*, quum inflammatorius calor in hypochondriis, sive cum flatu fuerit, sive non, eandem habeat indicationem? Neque sane ita dicere est visus, ut conjunctim tum phlogosin, tum spirituum interceptionem fieri dicatur, quum id falsum sit. Nunquam enim spiritus interceptio inflammatoriam hypochondrio infert affectionem. Qui ergo haec scripsit, phlegmaenonta hypochondria dicere est visus, quae in tumorem sublata sunt. Post haec autem mentionem de septi transversi intensione fecit, deinde et protensione spiritus. Septi transversi intensio manifesta est, sed spiritus pro-

οἷον ἐγκοπτόμενα περὶ ὧν ἐν τῷ προτέρῳ μέρει τοῦ βιβλίου τοῦδε γέγραπται, πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ, καὶ λέλεκται περὶ αὐτοῦ κατὰ τὴν ἐξήγησιν ἐκείνης τῆς λέξεως. ξηρὰν δὲ ὀρθόπνοια εἴρηκε τὴν χωρὶς πτυσμάτων ἢ ἄνευ βήξεως ἰσχυρὰν οὕτω δύσπνοιαν, ὡς μὴ φέρειν τὴν κατάκλισιν, ἀλλὰ πνίγεσθαι, περὶ ἧς ἔμαθες ὡς ὑπὸ στενοχωρίας γίγνοιτο τῶν κατὰ τὸν πνεύμονα κοιλιῶν τοῦ πνεύματος, αἵτινες τοῦτο πάσχουσι κατακειμένων μὲν μᾶλλον, ἑστώτων δ' ἧττον, ἀνακαθημένων γε δηλονότι πάντων ὀρθῶς τῶν κατὰ τὸν θώρακα, διὸ καὶ καλεῖται ὀρθόπνοια· γιγνομένης δ' αὐτῆς ἐνίοτε μὲν διὰ φλεγμονὴν τοῦ σπλάγχνου, καθάπερ ἐν περιπνευμονίαις, ἐνίοτε δὲ τῶν βρόγχων πεπληρωμένων, φλεβοτομίας δεῖσθαί φησι τοὺς ὀρθόπνοιαν [131] πάσχοντας, οἷς μὴ πῦον ἤθροισται (πρόδηλον γὰρ ὡς ἐκεῖνοι κενωθῆναι χρῄζουσι τὸ πῦον), τοὺς δ' ὑπὸ πνεύματος ἀπολήψεως, ὅπερ ἐστὶ στενοχωρουμένου τοῦ πνεύμονος, ταῦτα πάσχοντας, φλεβοτομητέον ἐστί σοι. ὡσαύτως δὲ καὶ ἥπατος περιωδυνίας καὶ σπληνὸς καὶ τὰς ἄλλας ἁπάσας

tensos dicere visus est, veluti interruptos, de quibus in prima libri hujus parte scriptum est: *Spiritus offendens in ea, quae extra fit, delatione*, ac de eo in dictionis illius explicatione enarratum est. Siccam autem orthopnoeam dixit eam spirandi difficultatem quae citra sputa aut citra tussim adeo vehemens est, ut *aegrotus* decubitum non ferat, sed suffocetur, quam fieri non ignoras ab angustia pulmonis capacitatum spiritus, quae id patiuntur jacentibus magis, minus autem stantibus et profecto recte collocatis omnibus, quae in thorace existunt partibus, ideoque orthopnoea vocatur. Sed quum ea interdum fiat ob visceris phlegmonem, ut in peripneumoniis, interdum oppletis bronchiis, sanguinis missione ait egere orthopnoea affectos, quibus pus collectum non fit. Nam hos puris vacuatione egere constat. Qui autem a spiritus interceptione (quod in angustiam acto pulmone contingit) haec patiuntur, iis tibi vena secanda est. Pari modo et jecinoris vehementes dolores splenisque atque caeteras omnes

φλεγμασίας ὀνίνησιν ἡ φλεβοτομία καὶ συμπάσας τὰς συστροφὰς τῶν νοσημάτων. εἰκὸς δ᾽ ἐστὶ συστροφὰς εἰρῆσθαι νοσημάτων ὑπ᾽ αὐτοῦ, τὰς ὑπὸ τοῖς ὀγκουμένοις μορίοις γιγνομένας· ἀκούω γὰρ καὶ νῦν πολλῶν ὀνομαζόντων οὕτως ἐπὶ τῆς ἡμετέρας Ἀσίας πάντας τοὺς παρὰ φύσιν ὄγκους. ἐπὶ τούτων γὰρ ἀπαγορεύεσθαι δεῖ καθαίρειν, πρὸ τοῦ φλεβοτομῆσαι, καίτοι τοῦτον τὸν λογισμὸν ἐφεξῆς αὐτὸς ἐρεῖ κατὰ τήνδε τὴν ῥῆσιν.

κ΄.

Ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῶν νούσων εὐθέως ἐπιχειροῦσι λύειν φαρμακείῃ, τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος οὐδὲν ἀφαιρέουσιν, οὐ γὰρ διαδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος· τὰ δ᾽ ἀντέχοντα τῷ νοσήματι καὶ ὑγιεινὰ συντήκουσιν. ἀσθενέος δὲ τοῦ σώματος γιγνομένου τὸ νόσημα ἐπικρατέει· ὁκόταν δὲ τὸ νόσημα ἐπικρατήσῃ τοῦ σώματος, τὸ τοιόνδε ἀνιήτως ἔχει.

---

inflammationes venae fectio juvat, atque univerfas morborum collectiones. Quod autem morborum collectiones dixerit eas quae ab intumefcentibus fiunt partibus par eft. Audio fiquidem et nunc multos in Afia noftra tumores praeter naturam omnes ita nuncupare. In his enim priusquam vena fecetur, purgationem interdicere oportet, quanquam hanc quoque ratiocinationem deinceps ipfe dicet in eo qui fequitur textu.

XX.

Quicunque vero ftatim per initia morborum inflammationes purgante medicamento folvere conantur, ii de contenfa quidem ac inflammata parte nihil detrahunt, quum nihil cedat quae adhuc cruda eft affectio, verum quae morbo reluctantur et fana funt contabefaciunt. At debili evadente corpore morbus praevalefcit. Quum autem morbus corpori praevaluerit, id citra curationem affectum eft.

Ἐν τῷ πέπονα φαρμακεύειν καὶ κινέειν προεξήγημαι τὸν ἀφορισμὸν τοῦτον ἐν τοῖς αὐτοῖς συμπτώμασιν οἷσπερ καὶ νῦν· ὀρθῶς ἐπὶ φλεβοτομίαν ἥκειν ἀξιοῖ πρότερον, ὅταν τινὲς χυμοὶ μοχθηροὶ συῤῥέωσί τε καὶ ἀθροίζωνται κατά τι μόριον, ὅπερ, ὡς ἔφην, συστρέφεσθαι λέγεται ἐν τῷδε τῷ μορίῳ. τὸ δ' ἐπὶ τῷ τέλει τῆς προγεγραμμένης ῥήσεως ἔνιοι ποιοῦσιν ἀδιάγνωστον, οὐκ ὀρθῶς γράφοντες τὸ τῆς φαρμακείας ὄνομα μετὰ τὴν τελευτὴν, εἰρηκότος τοῦ συγγραφέως ἀσφαλείας μὲν καὶ μετριότητος δεῖσθαι φλεβοτομίαν μετὰ φαρμακείαν, τὴν καλουμένην αἰτιατικὴν πτῶσιν ἀντὶ γενικῆς ποιοῦντες. ἐν ὅλῃ γὰρ τῇ ῥήσει τουτέστιν αὐτὸ τὸ συμβουλευόμενον, ἐπὶ φλεβοτομίαν ἥκειν πρότερον, εἶθ' ἑξῆς ἐπὶ φαρμακείαν, οὐχὶ τοὐναντίον ὡς ἐκεῖνοι γράφουσιν, ἐπὶ φαρμακείαν πρότερον παραληφθεῖσαν, εἶθ' οὕτως ἐπὶ φλεβοτομίαν ἀφικέσθαι. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα τοῖς γε προσεσχηκόσι ἀκριβῶς τὸν νοῦν οἷς εἴρηκα.

Hunc exposuimus aphorismum, in eo ita incipiente: *cocta medicari ac movere.* Atque in eisdem quibus et nunc symptomatis recte ad venae sectionem prius venire praecipit, quum vitiosi aliqui humores tum in partem aliquam confluant tum in ea acerventur, quod sane, ut dixi, colligi in ea parte dicitur. Quod autem in fine praescriptae dictionis, quidam dignotioni inaccessum pravi scriptores ad finem dicti auctoris efficiunt nomen *φαρμακείας*, *securitate quidem et mediocritate indigere sanguinis missionem post medicamentum*, accusativum casum dictum pro genitivo efficientes. Verum in tota dictione prius ad sanguinis missionem veniendum, deinde ad medicamentum praecipitur, non autem e contrario, ut ii scribunt, assumendum prius medicamentum, deinde ad sanguinis detractionem deveniendum. Caetera dictionis dilucida iis sunt, qui exacte dicta ejus animadverterunt.

κα'.

Τὸ δὲ ἄφωνόν τινα ἐξαίφνης γενέσθαι φλεβῶν ἀπολήψιες ποιέουσιν, ἢν ὑγιαίνοντι τόδε ξυμβῇ ἄνευ προφάσιος ἢ ἄλλης αἰτίης ἰσχυρῆς.

Ἀπολήψεις φλεβῶν ὠνόμασε τὰς πληρώσεις τῶν φλεβῶν ὑπὸ πλήθους γινομένας. ὅταν οὖν αὖ- [132] ται ὑπερπληρωθῶσι, βαρυνθῆναί τε τὴν δύναμιν ἀνάγκη καὶ εἰς κίνδυνον ἀφικέσθαι τὴν ἔμφυτον θερμασίαν τοῦ ἀποσβε- (94) σθῆναι, πνιγμῷ τι παραπλήσιον παθοῦσαν ὑπὸ τοῦ πλήθους· ἐπιληψίαι τε γὰρ καὶ ἀποπληξίαι καὶ καρδιακαὶ συγκοπαὶ γίγνονται· δι᾽ ἑνὸς γὰρ συμπτώματος κοινοῦ τῆς ἀφωνίας τὰ τοιαῦτα συμπτώματα ἐδήλωσε. προσέθηκε δὲ τῷ λόγῳ τὸ ἢν ὑγιαίνοντι τοῦτο συμβῇ ἄνευ προφάσιος ἢ ἄλλης αἰτίας ἰσχυρᾶς· πρόφασιν μὲν λέγων τὴν φανερὰν αἰτίαν, ὡς εἰ καὶ παλαίων τις ἢ παγκρατιάζων ἐκ περιθέσεως τῶν πήχεων εἰς κίνδυνον περιαχθείη τοῦ πνιγῆναι· αἰτίαν δ᾽ ἄλλην ἰσχυρὰν οἷα τοῖς ἐκπληττομένοις διὰ

XXI.

Ut autem quis derepente voce captus fiat, venarum interceptiones faciunt, si bene valenti citra occasionem aut vehementem aliam causam id contigerit.

Venarum interceptiones appellat venarum oppletiones a plenitudine obortas. Quum igitur ipsae supra modum oppletae fuerint, tum vires gravari necesse est, tum in extinctionis agi periculum nativum calorem, qui ob plenitudinem suffocationi quiddam simile patitur. Quandoquidem hinc epilepsiae et apoplexiae et syncopae cardiacae oriuntur. Nam uno communi aphoniae symptomate symptomata hujusmodi significavit. Adjecit autem orationi: *Si bene valenti citra occasionem aut vehementem aliam causam* id contigerit, occasionem quidem causam manifestam vocans, ut si quis in lucta vel pancratio ex brachiorum accommodatione ad periculum suffocationis circumductus fuerit. Causam vero aliam vehementem *di-*

φόβον ἢ λύπην μεγίστην γίνεται. ἐπὶ δὲ τῶν νοσούντων ἡ ἀφωνία γενέσθαι δύναται καὶ αὐτῶν μόνον ἐνίοτε τῶν φωνητικῶν ὀργάνων βεβλαμμένων, ἢ καὶ τῶν ἀναπνευστικῶν· δύναται δ᾽ ἂν καὶ δι᾽ ἔκλυσίν τινα πρόσφατον καὶ κάκωσιν τῆς δυνάμεως. ἀπὸ τῶν τοιούτων ἀφωνιῶν διοριζόμενος τὴν ἐν τῷ λόγῳ προκειμένην, διὰ τοῦτο προσέθηκεν, ἣν ὑγιαίνοντι συμβαίνῃ.

κβ'.

Φλεβοτομέειν οὖν χρὴ τὸν βραχίονα τὸν δεξιὸν τὴν ἔσω φλέβα καὶ ἀφαιρέειν τοῦ αἵματος, κατὰ τὴν ἕξιν καὶ τὴν ἡλικίην διαλογιζόμενον τὸ πλεῖον καὶ τὸ ἔλασσον.

Τάχιστα καὶ πλεῖστον ἐκ τῶν κυριωτάτων μερῶν ἡ φλὲψ αὕτη κενοῖ τὸ σῶμα καὶ διὰ τοῦτ᾽ ἐπ᾽ αὐτὴν ἀφικνεῖται ἐν τοῖς ὀξυτάτοις νοσήμασιν. καὶ ἀφαιρέειν τοῦ αἵματος, κατὰ τὴν ἕξιν καὶ τὴν ἡλικίην διαλογιζόμενον τὸ πλέον καὶ τὸ ἔλασσον. ἔμπροσθεν μὲν ὁπότε τοὺς σκοποὺς τῆς

cit, qualis vel timore vel maximo animi moerore perculſis accidit. In aegris autem aphonia hujusmodi fieri poteſt, interdum laeſis duntaxat vocalibus inſtrumentis aut etiam ſpirabilibus. Poteſt quoque *contingere* ob recentem quandam exolutionem et virium jacturam. Ut autem ab hujusmodi aphoniis eam diſtinguat, quae orationi appoſita eſt, adjecit: *ſi bene valenti contigerit.*

XXII.

Vena igitur brachii dextri interna ſecanda eſt, ac ſanguis detrahendus, inita ſecundum habitum ac aetatem pluris minorisque ratione.

Celerrime ac plurimum ex principibus partibus vena ipſa corpus vacuat, atque ob id in acutiſſimis morbis ad eam ſe confert. *Ac ſanguis detrahendus, inita ſecundum habitum ac aetatem pluris minorisque ratione.* Superius quum de ſcopis phlebotomiae diſſereret, corporis

φλεβοτομίας ἔλεγε, τὴν ἕξιν τοῦ σώματος παρέλιπε, νυνὶ δὲ τὴν δύναμιν οὐκ εἶπεν. οἴονται δέ τινες ἀντὶ τοῦ τῆς δυνάμεως ὀνόματος τὸ τῆς ἕξεως εἰρῆσθαι καθ' ἑνὸς ἀμφότερα λεγόμενα πράγματος, οὐκ ὀρθῶς ὑπολαμβάνοντες· τὴν μὲν γὰρ ἕξιν ἐπὶ τὴν τοῦ σώματος σύστασιν φέροντες λέγομεν, ὅταν ὁ μέν τις ᾖ μαλακὸς, ὁ δὲ σκληρός· τὴν δ' ἰσχὺν τῆς δυνάμεως, τῇ τῶν ἐνεργειῶν σφοδρότητι γνωρίζομεν· ὥστε δύο τ' εἰσὶν οὗτοι σκοποὶ, τὴν μὲν κοινὴν ἔνδειξιν τοῦ κενοῦν ἐκ τοῦ κοινῇ ὄντος ἔχοντες, ἀλλήλων δὲ διαφέροντες ὥσπερ γε καὶ ἀπὸ τῆς ἡλικίας. ἐγχωρεῖ δὲ μᾶλλον εἰς τὴν τοῦ σώματος ἕξιν ἀναφέρειν τὴν ἡλικίαν, οὐ τὴν δύναμιν· καὶ γὰρ τὰ παιδία διὰ μαλακότητα τῆς ἕξεως εὐδιαφόρητά γέ εἰσι· καὶ οἱ πρεσβύτεροι διὰ ξηρότητα καὶ ψυχρότητα δυσδιαφόρητοι. καὶ δύναταί τις λέγειν ἀρκεῖσθαι τρισὶ τούτοις σκοποῖς τῆς φλεβοτομίας, ἔκ τε τοῦ κατὰ τὸ θεραπευόμενον πάθος μεγέθους ἔνδειξιν λαμβανόντων ἡμῶν ἔκ τε τῆς ἕξεως καὶ τῆς δυνάμεως· εἴρηται δὲ ἔμπροσθεν ὅτι καὶ τὸ περιέχον ὅπως ἔχει κράσεως ἐπισκοπεῖσθαι χρή.

---

habitum quidem omifit, fed nunc virium non meminit. Verum habitus nomen pro virium nomine dictum effe opinantur nonnulli, una ex re duo dici non recte exiftimantes. Nam habitum quidem ad corporis conftitutionem deferentes dicimus, quum quis aut mollis aut durus fuerit, robur vero virium functionum vehementiae attribuimus. Quare duo hi funt fcopi, communem quidem vacuandi indicationem, quod communes fint, habentes, fed inter fe differentes, veluti et ab aetate. Verum aetatem ad corporis habitum referre eft melius, non ad vires. Etenim pueri propter habitus mollitiem facile exhauriuntur, fenes vero difficile propter ficcitatem et frigiditatem refolvuntur. Satisque effe tres hos phlebotomiae fcopos quispiam dicere poteft, indicationem *evacuandi* accipientibus nobis et a morbi qui curatur magnitudine et habitu et viribus. Cujusnam autem ambiens nos aër fit temperamenti infpiciendum effe eft fupra dictum.

κγ'.

[133] *Ξυμπίπτει δὲ τοῖσι πλείστοισιν αὐτέων τοιάδε, ἐρυθήματα προσώπου καὶ ὀμμάτων στάσιες καὶ διαστάσιες χειρῶν, τρισμοὶ ὀδόντων, σφυγμοὶ, σιηγόνων συναγωγὴ καὶ κατάψυξις ἀκρωτηρίων, πνευμάτων ἀπολήψιες ἀνὰ τὰς φλέβας.*

Τῶν ἐφεξῆς συμπιπτόντων τὰ προγεγραμμένα προσώπου μόνου ἐρυθήματα πλῆθος αἱματικὸν ἐνδείκνυται. στάσις ὀμμάτων, τουτέστιν ἀκινησία καὶ διαστάσιες χειρῶν· βεβλάφθαι μὲν καὶ αὐτὰς συμβαίνει διὰ τὴν ἀρχὴν τῶν νεύρων, ἀλλ' ἕτερον τρόπον τῆς στάσεως τῶν ὀφθαλμῶν· αὕτη μὲν γὰρ οἷον νάρκην τινὰ περὶ τὰς ἐνεργείας δηλοῖ κατὰ τὴν ἀρχὴν τῶν νεύρων· αἱ δὲ διαστάσεις τῶν χειρῶν καὶ οἱ τρισμοὶ τῶν ὀδόντων οὐ δι' ἡσυχίαν οὐδὲ δι' ἀκινησίαν τῆς ἀρχῆς, ἀλλὰ διὰ πλημμελῆ γίνονται κίνησιν. οἱ δὲ σφυγμοὶ τί ποτε δηλοῦσιν οὐ πάντη δῆλόν ἐστιν, ἐπειδὴ κατὰ τῶν ἐν τοῖς φλεγμαίνουσι μορίοις ὀδυνηρῶν κινήσεων

XXIII.

Eorum autem quam plurimis haec accidunt, faciei rubores, oculorum constantiae, manuum distentiones, dentium stridores, pulsationes, maxillarum contractio, extremorum refrigeratio et spirituum in venis interceptiones.

Inter haec quae deinceps accidunt, faciei solius prius scripti rubores sanguinis copiam indicant. *Succedit* oculorum statio, id est immobilitas et manuum dejectiones, atque eas quidem laedi ob nervorum principium contingit, sed alio modo quam sit oculorum statio. Nam ea veluti torporem quendam functionum in nervorum exordio indicat, manuum vero distentiones et dentium stridores neque ob quietem, neque ob principii immobilitatem, sed ob vitiatam motionem exoriuntur. Quid autem pulsus indicent non omnino constat. Quandoquidem veteres in motionibus dolorem in partibus inflammatis exci-

ἐπέφερον οἱ παλαιοὶ τοὔνομα καὶ κατὰ τῶν παλμῶν καὶ προσέτι καὶ ταύτης τῆς ἐν ταῖς ἀρτηρίαις σφοδρᾶς κινήσεως. ἡ δὲ τῶν σιαγόνων συναγωγὴ σπασμῶδές ἐστι σύμπτωμα καὶ ἡ τῶν χειρῶν διάστασις καὶ οἱ τρισμοὶ τῶν ὀδόντων. ἥ γε μὴν τῶν ἀκρωτηρίων ψύξις ἐν τοῖς τοιούτοις πάθεσιν ὑπὸ τοῦ πλήθους τῶν χυμῶν βαρύνεσθαι δηλοῖ τὴν ἔμφυτον θερμότητα. τὸ δὲ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον, πνευμάτων ἀπολήψιες ἀνὰ τὰς φλέβας εἰκός ἐστιν ἐπὶ τῆς ἀσφυξίας λέγεσθαι· φλέβας γὰρ ἐκάλουν οἱ παλαιοὶ τὰς ἀρτηρίας· ἀπολήψεις οὖν πνευμάτων τὰς οἷον κατακλίσεις τε καὶ ἡσυχίας δυνατὸν λέγειν. ἔνιοι δὲ δευτέρας ῥήσεως ἑτέραν ἐχούσης διάνοιαν ἀρχὴν τίθενται ταύτην τὴν λέξιν, ᾗ συνάπτουσι τὴν ἐφεξῆς γεγραμμένην.

κδ΄.

Ὁκόταν ἀλγήματα προγένηται, μελαίνης χολῆς καὶ δριμέων ῥευμάτων ἐπιῤῥύσιες γίνονται. ἀλγέει δὲ τὰ ἐντὸς δακνόμενα· δηχθεῖσαι δὲ καὶ λίην ξηραὶ γενόμεναι αἱ φλέβες

tantibus hoc proferunt nomen, in palpitationibus quoque et praeterea in vehementi arteriarum motione. Maxillarum vero contractio convulsionis est symptoma manuumque distentiones et stridores dentium. Extremorum vero refrigeratio in hujusmodi affectionibus calorem nativum ab humorum multitudine gravari ostendit. Quod autem in fine dictionis enunciatur: *spirituum in venis interceptiones*, id ut de asphyxia dicatur probabile est, nam veteres arterias venas appellabant. Spirituum sane interceptiones quasi decubitus et quietes dici possunt. Nonnulli sequentis dictionis alteram habentis sententiam principium constituunt dictionem hanc, cui quae deinceps scripta est copulant.

XXIV.

Quum dolores praecesserint, atrae bilis acriumque humorum affluxus fiunt. Dolent autem internae dum mordentur partes, demorsae vero atque admodum arefa-

ἐντείνονταί τε καὶ φλεγμαίνουσαι ἐπισπῶνται τὰ ἐπιῤῥυέντα, ὅθεν διαφθαρέντος τοῦ αἵματος καὶ τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν καταψύξιες γίνονται ὑπὸ τῆς στάσιος καὶ σκοτώσιες καὶ ἀφωνίη καὶ καρηβαρίη καὶ σπασμοὶ, ἢν ἤδη ἐπὶ τὴν καρδίην ἢ τὸ ἧπαρ ἢ ἐπὶ τὴν φλέβα διέλθῃ· ἔνθεν ἐπίληπτοι γίνονται ἢ παραπλῆγες [134] ἢν ἐς τοὺς περιέχοντας τόπους ἐμπέσῃ τὰ ῥεύματα καὶ ὑπὸ τῶν πνευμάτων οὐ δυναμένων διεξιέναι καταξηρανθῇ.

Ἐκ ταὐτοῦ τοῦ γένους τῶν προειρημένων λόγων καὶ ὁ νῦν ἐστι καὶ ἔνιοι τοῦτον ἐκείνοις συνάπτουσι· καὶ διὰ τοῦτο καὶ ἡ γραφὴ διττὴ τοῦ προγένηται ῥήματος εὑρίσκεται, τῶν μὲν συναπτόντων τὸν ἐνεστῶτα λόγον τῷ προειρημένῳ καὶ τὴν προς συλλαβὴν γραφόντων μετὰ τοῦ σ στοιχείου, τῶν δὲ μὴ συναπτόντων διὰ τῆς προ χωρὶς τοῦ σίγμα. τὸ δὲ λεγόμενόν ἐστι τοιοῦτον. ἡ τῶν ἀλγημάτων κίνησις εἴωθε κινεῖν ἐπιῤῥοὴν ὑγρῶν ἐπὶ τὸ τὴν ὀδύνην ἔχον μόριον· ὅταν

ctae venae tum intenduntur tum inflammatae affluentia attrahunt. Unde corrupto sanguine ac spiritibus vias, quae in ipso secundum naturam sint, permeare nequeuntibus, perfrigerationes fiunt ob stationem, vertigines, aphoniae, capitis gravitas et convulsiones, si jam ad cor aut hepar aut ad venam pervenerint. Hinc epilepsiae et paraplexiae si in ambientes locos fluxiones inciderint, atque spiritibus exire nequeuntibus exaruerint.

Ejusdem cum praedictis generis est sermo qui nunc effertur, quem etiam illis nonnulli copulant. Atque propterea duplex hujus verbi προγένηται i. e. *praecesserint*, descriptio reperitur. Sunt enim qui praesentem sermonem cum praedictis conjungant, scribentes προς syllabam cum σ elemento, alii vero non conjungunt scribuntque προ sine σ. Verum quod dicitur hujusmodi est. Dolorum motio affluxum humorum ad eam, quae dolore vexa-

οὖν κακοχυμότερον ᾖ τὸ σῶμα, μελαίνης τε χολῆς καὶ δριμέων ἄλλων χυμῶν ἐπιῤῥύσεις γίνονται, δι' ἃς ἔτι καὶ μᾶλλον ἀλγεῖ τε ὁ κάμνων καὶ δάκνεται τὰ ἔνδον· ὑπὸ δὲ τῶν εἰρημένων χυμῶν αἱ ἐν τῷ πεπονθότι μορίῳ φλέβες ἀνιῶνται δακνόμεναι καὶ τοῦτο αὐτὸ ἑτέρου γίγνεται αἴτιον ἐναντίον. πληρωθέντος γὰρ τοῦ πάσχοντος μέρους ὑπὸ τῶν τοιούτων ῥευμάτων διαφθείρεται μὲν αὐτὸ τὸ αἷμα πρῶτον, ἐπιπληροῦνται δὲ τὰ ἀγγεῖα καὶ τοῦτο πά- (95) σας ἐν αὐτῷ τὰς τῶν πνευμάτων διεξόδους κωλύει· σαφῶς γὰρ τοῦτό γε αὐτὸς ἐδήλωσεν εἰπὼν, τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν, ὅπερ ὀλίγον ἔμπροσθεν ἐκάλεσε πνευμάτων ἀπόληψιν. ὅταν δὲ στῇ τὸ αἷμα καὶ σὺν αὐτῷ δηλονότι τὸ πνεῦμα, καταψύξεις γίνονται, σκοτώσεις, ἀφωνίαι, καρηβαρίαι καὶ σπασμοί· τούτοις δ' ἕπονται καὶ παραπληξίαι τε καὶ ἐπιληψίαι, ὅταν εἰς τοὺς περιέχοντας τόπους τὰς πληρωθείσας φλέβας ἐμπέσῃ τὰ ῥεύματα· τόπους δὲ εἴρηκε δηλονότι τὰ μέρη τοῦ σώματος, ἃ προσέγραψεν αὐτὸς, καρδίαν καὶ ἧπαρ καὶ φλέβα, τὴν

tur, partem excitare consuevit. Quum igitur vitiosis humoribus corpus scateat, tum bilis atrae, tum caeterorum acrium humorum affluxiones oriuntur, ob quas et dolet aeger magis et mordentur internae partes discruciantur-que demorsae a dictis humoribus quae in affecta parte sunt venae, idque ipsum rei alterius causa redditur contraria. Nam repleta a fluxionibus hujusmodi affecta parte corrumpitur quidem in primis sanguis ipse, vasa vero opplentur, quod in eo cunctos spirituum decursus prohibet. Nam aperte et id ipse declaravit inquiens: *nequeuntibus spiritibus naturales in ipso vias permeare*, quod sane spirituum interceptionem paulo ante vocavit. Quum autem sanguis steterit, atque cum eo omnino spiritus, refrigerationes fiunt, vertigines, aphoniae, capitis gravitates et convulsiones. His autem succedunt et paraplexiae et epilepsiae, quum in locos oppletas venas continentes irruerint fluxiones. Locos dixit, corporis nimirum partes, quas ipse ascripsit, cor, hepar et venam, quae

συνάπτουσαν δηλονότι τὰ εἰρημένα σπλάγχνα, τὴν κοίλην ὕστερον ὑπὸ τῶν ἰατρῶν ὀνομασθεῖσαν, ἐπειδὴ τῶν κατὰ τὸ σῶμα τοῦ ζώου φλεβῶν ἐστιν εὐρυτάτη. εἰκότως οὖν τὸ ἐν τούτοις τοῖς τόποις αἷμα διὰ τὸ πεπληρῶσθαι τὰς φλέβας οὐκ ἐπιτρέπει τὸ διεξέρχεσθαι τὸ πνεῦμα, ἀλλὰ καθάπερ ἐν νεκρῷ τῷ σώματι πήγνυται. τοῦτο δὲ καὶ αὐτὸς ὁ συγγραφεὺς ἐδήλωσε· καὶ τῶν πνευμάτων οὐ δυναμένων διεξιέναι, καταξηρανθῇ· κυριώτερον δ᾽ ἦν εἰπεῖν ὑποπηχθῇ. πήγνυται μὲν γὰρ δὴ καὶ τὰ ξηραινόμενα καὶ τὰ ψυχόμενα· νυνὶ δὲ οὐ διὰ τὸ ξηραίνεσθαι πήγνυται τὸ αἷμα καὶ οἱ ἐπιῤῥυέντες εἰς αὐτὸ μοχθηροὶ χυμοί· ἐξερχομένων γὰρ αὐτῶν ἄσηπτόν τε ἅμα καὶ κεχυμένον ἐν τῷ κατὰ φύσιν ἔχειν ἐργάζονται τὸ σύμπαν αἷμα· στάντων οὖν αὐτῶν καὶ τὸ σύμφυτον θερμὸν ἀποβαλλόντων καὶ σβεννυμένων ἡ πῆξις τοῦ αἵματος ὡς ἐν νεκρῷ τῷ σώματι γίγνεται. φλεβοτομηθέντων οὖν αὐτῶν τῶν οὕτως καμνόντων, ψυχρὸν καὶ παχὺ καὶ μόγις ἐκρέον τῶν φλεβῶν ὁρᾶται τὸ αἷμα διά γε τὴν ψύξιν ταύτην. ἐνίοτε δὲ δι᾽ ὅλου γίγνονται τοῦ σώματος οἱ

praedicta fcilicet conjungit vifcera, poftea a medicis cavam appellatam, quod venarum corporis animalis amplisſima fit. Jure igitur fanguis his in locis propter venarum repletionem fpiritum pervadere non permittit, fed tanquam in mortuo corpore concrefcit. Id vero et auctor ipfe oftendit: *atque fpiritibus exire nequeuntibus exaruerint.* At proprie magis dixiffet *concreverint.* Concrefcunt fiquidem et quae ficcantur et quae refrigerantur. Nunc autem non propter exiccationem concrefcit fanguis et qui in ipfum affluunt vitiofi humores. Nam prodeuntibus ipfis tum incorruptus tum fufus fecundum naturam affectus univerfus efficitur fanguis. Verum quum ftant nativumque calorem deftruunt extinguuntque, concretio fanguinis tanquam in mortuo corpore fit. Quum ergo ita affectis vena fecta eft, fanguis frigidus craffusque et vix e venis effluens confpicitur, propter hujusmodi refrigerationem. Interdum autem et toto corpore convulfiones

σπασμοὶ καὶ πρὸς ἀγαθοῦ γε καὶ συμφέρουσιν ἔστιν ὅτε· κλονοῦντες γὰρ ὅλον τὸ σῶμα πάντα τὰ μόρια θερμαίνουσιν, ὥστε τὸ μὲν διαφορεῖσθαι τοῦ πλήθους, τὸ δὲ ὠθεῖσθαι πρός τινα τῶν ἀκυρωτέρων μορίων, ἐν οἷς ὅταν δυσλύτως σφηνωθῇ, τὴν παραπληξίαν ἐργάζεται· δέδεικται γὰρ ὡς οὕτως ὁ Ἱπποκράτης ὀνομάζει τὰς ἐξ ἀποπληξίας ἢ ἐπιληψίας εἴς τινα τῶν ἀκυρωτέρων μορίων ἀποσκηπτούσας παραλύσεις. ἐνίοτε καὶ χωρὶς σπασμοῦ τῆς ἀποπληξίας γενομένης εἰς μορίου παράλυσιν ἐνίοις ἐτελεύτησε τὸ πάθος, ὃ παραπληξία καλεῖται. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

κε'.

[135] Ἀλλὰ χρὴ τοὺς τοιούτους προπυριῶντας φλεβοτομέειν ἐν ἀρχῇσιν εὐθέως, μετεώρων ὄντων πάντων τῶν λυπεόντων πνευμάτων καὶ ῥευμάτων· εὐβοηθητότερα γάρ ἐστι.

fiunt interdumque falubriter et conferunt. Nam corpus totum conentientes univerfas calefaciunt partes, adeo ut plenitudo partim per cutim discutiatur, partim ad aliquam ignobiliorem partem amandetur, ubi quum indiffolubilis impacta fuerit, paraplexiam efficit. Nam quod eas quae ex apoplexia aut epilepfia ad aliquam ignobilium partium irruunt, paralyfes Hippocrates ita appellet, demonftratum eft. Interdum et facta absque convulfione apoplexia, nonnullis affectus in partis refolutionem finivit, qui paraplexia appellatur. Caetera dictionis funt manifefta.

XXV.

At his fane, prius adhibitis fomentis, ftatim per initia venam fecare oportet, quum adhuc attolluntur, qui oblaedunt omnes tum fpiritus, tum fluxiones, facilius etenim remediis patent.

Προπυριᾷν δεῖ τοὺς οὕτως ἔχοντας, ἐπειδὴ πέπηγεν ἐν αὐτοῖς τὸ αἷμα καὶ δύσρουν ἐστίν· ἀλλ' ἐπειδὴ καὶ τριβή τις ἐν τῷ προπυριᾷν γίγνεται, κάλλιον πράττειν ὅπερ ἡμᾶς ἐγράψαμεν ἀεὶ, τέμνειν αὐτίκα τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἔνδον· οὐ γὰρ ἀεὶ πεπηγὸς οὕτως ὡς μὴ δύνασθαι ῥεῖν εὑρίσκεται τὸ αἷμα. τρίβειν δ' ἐν αὐτῷ τῷ χρόνῳ διὰ πολλῶν ἀνθρώπων ἅπαντα τοῦ σώματος τὰ μόρια· κἂν μὲν ῥυῇ σύμμετρον, αὖθις τρίψαντα πάλιν ἐπαφαιρεῖν· εἰ δὲ μὴ, τρίβειν τε καὶ πυριᾷν, ἄχρις ἂν ῥεῖ. ἔνθα δ' εἰς παραπληξίαν κατέσκηψε τὸ πάθος, ἐγχωρεῖ τρίβειν ἐν χρόνῳ βραχεῖ καὶ πυριᾷν καὶ τρίβειν αὖθις καὶ πυριᾷν, μέχρις ἂν τάχιστα πανθῇ ταῦτα, ἔτι μετεώρων ὄντων τῶν πνευμάτων καὶ κενωθῆναι μὴ δυσλύτων.

κστ'.

Καὶ ἀναλαμβάνοντα καὶ τὰς κρίσιας ἐπιθεωρέοντα, φαρμακεύειν ἢν μὴ κουφίζηται ἄνω· τὴν δὲ κάτω κοιλίην ἢν

Qui ita afficiuntur, his ante adhibere fotus oportet, quoniam concrevit in ipsis sanguis difficulterque effluit. Sed quum et in fotu ipso frictio aliqua fiat, facere quod nos scripsimus perpetuo est melius, statim secare internam cubiti venam. Non enim semper ita concretus sanguis reperitur ut effluere non possit. Fricandae igitur in eo tempore multis ab hominibus cunctae corporis partes, et si mediocriter *sanguis* fluat, rursus fricandae superque auferendus *sanguis*. Si vero non *fluxerit*, fricandae quidem et fovendae, donec fluxerit. Ubi vero in paraplexiam desierit affectio, brevi fricare expedit tempore et fovere, ac rursum fricare et fovere donec citissime haec desierint, quum adhuc attolluntur moventurque spiritus nec evacuationi sunt contumaces.

XXVI.

Et recreatis viribus et prospectis judicationibus, si non levetur, venter superior medicamento purgandus est,

μὴ ὑποχωρέῃ κλυσμῷ, ὄνου γάλα ἑφθὸν δίδου καὶ πινέτω μὴ ἔλασσον δώδεκα κοτυλῶν· ἢν δὲ ῥώμη περιέχῃ, πλεῖον ἑξκαίδεκα.

Μετὰ τὴν ἐκ φλεβοτομίας κένωσιν ἀνακτᾶσθαι κελεύει καὶ ῥωννύναι τὸν ἄνθρωπον, ὅπως εἰ μηδὲν φαίνοιτο κεκουφισμένος, ἐπὶ κάθαρσιν ἀχθῇ τὴν διὰ τῶν ἄνω μορίων, ὅπερ ἐστὶ τὴν δι᾽ ἐμέτων. παραλέλοιπε δ᾽ εἰπεῖν ὀνομαστὶ τὸ καθαρτικὸν φάρμακον, οὐδ᾽ ἐνέφηνε μὴν, ποιησάμενος αὐτοῦ τὴν ἔκλεξιν· εὔδηλον γὰρ ὅτι πρὸς τὸ τοῦ νοσήματος μέγεθος καὶ τῆς δυνάμεως τὴν ῥώμην ἀποβλέποντες ἢ τὸν λευκὸν ἐλλέβορον ἤ τι τῶν ἄλλων τῶν τὸν ἔμετον κινούντων δώσομεν. τὰ δὲ περὶ τῆς κάτω κοιλίας εἰρημένα πρόδηλα· μὴ θαυμάσῃς δὲ τὸ πλῆθος τοῦ γάλακτος· οὕτω γὰρ πᾶσι τοῖς παλαιοῖς ἦν σύνηθες. εἴρηται δὲ ἐν τοῖς ἔμπροσθεν ὅτι δι᾽ ὑγρότητα δίδωσιν ὄνου γάλα καὶ πρὸς τοῖς ἄλλοις

inferior autem alvus, nisi clystere subducatur, lacte asinino, quod coctum exhibeto, neque minus quam heminas duodecim bibat, atque si virium robur ipsi adsit, plus quam sexdecim.

Ab ea quae venae sectione fit vacuatione refici hominem roborarique praecipit, ut si nihil levatus videatur, ad eam quae per superiores partes, quod est per vomitum, fit purgationem agatur. Verum purgans medicamentum neque nominatim perstrinxit, neque ipsius fecit delectum. Nam quod ad morbi magnitudinem viriumque robur respicientes, vel album veratrum vel ex aliis vomitum cientibus quicquam exhibeamus, apertum est. Quae autem de alvo inferiore dicta sunt, declarantur. Neque vero mireris lactis copiam, ita namque antiquis omnibus consuetum erat. Quod autem lac asinae propter humiditatem exhibeat supra dictum est, atque amplius quod

οὐδὲ ἐστι πηγνύμενον ὅταν ποθῇ, καθάπερ τὰ παχέα· προσμιγνύναι δ' αὐτῷ μέλιτός τε καὶ ἁλῶν προσήκει.

κζ'.

[136] Σύναγχος δὲ γίνεται, ὁκόταν ἐκ τῆς κεφαλῆς ῥεῦμα πουλὺ καὶ κολλῶδες ὥρην χειμερινὴν ἢ ἐαρινὴν ἐς τὰς σφαγίτιδας φλέβας ἐπιῤῥυῇ καὶ τὸ ῥεῦμα πλεῖον διὰ τὴν εὐρύτητα ἐπισπάσωνται. ὅταν δὲ ψυχρόν τε ἐὸν καὶ κολλῶδες ἐμφράξῃ, τοῦ τε πνεύματος τὰς διεξόδους καὶ τοῦ αἵματος ἀποφράσσον, πήγνυσι τὰ ξύνεγγυς τοῦ αἵματος καὶ ἀκίνητον καὶ στάσιμον ποιεῖ, φύσει ψυχρὸν ἐὸν καὶ ἐμφρακτικόν· διὰ τοῦτο πνίγονται, τῆς γλώττης ἀποπελιουμένης καὶ στρογγυλουμένης καὶ ἀνακαμπτομένης διὰ τὰς φλέβας τὰς ὑπὸ τὴν γλῶσσαν. τῆς γὰρ ὑποτεμνομένης σταφυλῆς, οἱ δὲ κιονίδα καλέουσιν, ἑκατέρωθεν φλὲψ παχεῖα. ὁκόταν οὖν πλήρεις αὗται ἐοῦσαι ἐς τὴν γλῶσσαν ἐναποστηρίζονται ἀραιὴν ἐοῦσαν καὶ σπογγώδεα διά γε τὴν ξηρασίην· ἡ δ' ὑπὸ βίης τὸ ἐκ τῶν φλεβῶν δε-

non coaguletur epotum, quemadmodum crassa. At ipsi tum mel tum sal miscere convenit.

XXVII.

Angina fit, quum sub hiemem aut vernum tempus multa ac glutinosa fluxio e capite ad jugulares venas defluxerit, eaeque propter amplitudinem copiosiorem fluxionem attraxerint. Quum autem quod et frigida et glutinosa sit, obstruat, tum spiritus tum sanguinis vias obstruens, vicinas sanguini partes condensat ipsumque immobilem ac statarium efficit, quum frigidus natura sit et obstruendi vi praeditus. Ob id suffocantur, livente lingua et rotunda evadente, ac reflexa propter venas linguae subjacentes. Nam subsecta uvula, quam nonnulli columellam vocant, vena utrinque crassa apparet. Quum igitur hae oppletae fuerint, linguae, quae ob siccitatem et rara et spongiosa existit, innituntur. Ea vero prae violentia ex venis humorem accipiens, ex

χομένη ὑγρὸν ἐκ πλατείης μὲν στρογγύλη γίνεται, ἐξ εὐχρόου δὲ πελιδνὴ, ἐκ μαλθακῆς δὲ σκληρὴ, ἐξ εὐκάμπτου δὲ ἄκαμπτος, ὥστε ταχέως ἀποπνίγεσθαι, ἢν μή τις ταχέως βοηθῇ, φλεβοτομίην τε ποιεύμενος ἀπὸ βραχιόνων καὶ τὰς ὑπὸ τὴν γλῶσσαν φλέβας ὑποτεμὼν καὶ φαρμακεύων τοῖσιν ἐκλεικτοῖσι καὶ ἀνα- (96) γαργαρίζων θερμοῖσι καὶ τὴν κεφαλὴν ὑποξυρῶν καὶ κήρωμα τραχήλῳ καὶ κεφαλῇ περιτιθέναι καὶ ἐρίοισι περιελίσσειν καὶ σπόγγοισι μαλθακοῖσι ἐν ὕδατι θερμῷ ἐκπιεζεῦντα πυριῇν πίνειν τε ὕδωρ καὶ μελίκρητον μὴ ψυχρά· χυλὸν δὲ προσφέρειν, ὁκόταν ἐκ κρίσιος ἐν ἀσφαλείῃ ἤδη ᾖ.

Εἴτε σύναγχον ἐθέλοις λέγειν εἴτε κύναγχον, ἢ τὸ μὲν ἕτερον αὐτῶν συνάγχην, τὸ δ' ἕτερον κυνάγχην, εἴτε συνάγχην ἄμφω καλέσεις, εἰδέναι δεῖ δύο λόγους εἶναι κυνάγχης· πρὸς γὰρ τὴν θεραπείαν οὐδὲν τῶν ὀνομάτων δεόμεθα· εἴωθε γὰρ διδάσκειν αὐτὴν ἄμεινον μακρῷ τῶν ἐν τοῖς ὀνόμασι τερατευομένων· ὑπογράψω δέ σοι διὰ βραχέος λόγου τὴν

lata rotunda efficitur, ex bene colorata livens, ex molli dura, atque ex facile flexibili inflexibilis, ita ut cito suffocet, nisi quis cito auxilietur, tum facta ex brachiis venarum sectione, tum sectis quae sub lingua sunt venis et medicamentis linctu medentibus et calidis oris collutionibus. Abraso quoque capite ceratum tum collo, tum capiti admovendum et obvolutis lanis mollibusque spongiis ex aqua calida expressis fotus adhibendi. Aqua etiam et mulsa non frigida bibenda est. Cremor denique assumendus, quum jam ex judicatione in tuto fuerit.

Sive synanchon dicere volueris, sive cynanchon, vel alterum quidem horum synanchen, alterum vero cynanchen, sive utrumque synanchen vocaveris, sciendum est, duas cynanches esse rationes. Nam ad curationem nominibus nobis opus non est. Consuevit siquidem eam docere longe melius quam qui in nominibus monstrosa

τῆς τοιαύτης διδασκαλίας ἰδίαν, ἀρχὴν τήνδε ποιησάμενος. τῶν ἐκ τῆς κεφαλῆς καταφερομένων ῥευμάτων ἔνια μέν ἐστι λεπτὰ κατὰ τὴν σύστασιν, ἔνια δ' ἐκ παχέων καὶ γλίσχρων χυμῶν. ὅσα μὲν οὖν τῶν λεπτῶν ἐστι, διεξερχόμενα τὰς εὐρείας φλέβας ἐπὶ ταῖς στενωτέραις ἴσχεται· τοιαῦται δ' εἰσὶν αἱ κατὰ τὸν λάρυγγα· τὸ δ' ἐναντίον ἐπὶ τῶν παχέων συμβαίνει, τῷ μὴ ἐνδύεσθαι πάσαις ταῖς λίαν στεναῖς φλεψὶ, φθανόντων δὲ κατὰ τὰς εὐρυχώρους αὐτῶν ἴσχεσθαι. ἐσφηνωμένων οὖν τῶν τοιούτων χυμῶν ἐν ταῖς κατὰ τὴν φάρυγγα φλεψὶν, ἐπ' ὄγκον αἴρεται τὸ μόριον, ὥσπερ ὁ λάρυξ ἐπὶ τοῖς ἑτέροις, ἅτε δὴ παμπόλλῳ στενῶν ὄντων τῶν τοῦ λάρυγγος ἢ τῆς φάρυγγος. εἶναι δὲ χρὴ ἀπέριττον τὸ πᾶν σῶμα καὶ μὴ πληθωρικὸν, δυοῖν ἕνεκα, τῆς τε πρὸς τοῦ κενοῦν ἀντισπάσεως καὶ διότι κενωθέντος, ἐπὰν ἀποκρουώμεθα τῶν πεπονθότων τόπων τὸ ἐπιῤῥέον, ἐπιδέξεται ῥᾳδίως, εἴτε διαφορεῖν ἐθέλοιμεν θερμαίνοντες, οὐδὲν τῷ θερμαινομένῳ τόπῳ χορηγήσει. [137] τὸ μὲν οὖν ὅλον σῶμα χρὴ κενοῦσθαι διὰ φλεβοτομίας καὶ καθάρσεως καὶ κλυστήρων,

enunciant. Subſcribam autem tibi compendioſe talis doctrinae ideam, ducto ita exordio. Fluxionum, quae ex capite deferuntur, quaedam conſiſtentia tenues exiſtunt, quaedam ex craſſis viſcoſisque humoribus *conſtant*. Quae igitur tenues ſunt, hae latis penetratis venis in anguſtioribus detinentur. Tales autem ſunt quae in gutture ſunt. Contrarium autem in craſſis contingit, quod non ingrediantur univerſas venas admodum anguſtas, hae prius in capacioribus detentae. Quum igitur in faucium venis tales impacti fuerint humores, pars in tumorem attollitur, quemadmodum guttur ex aliis, tanquam gutturis quam faucium anguſtiores multo exiſtant venae. Corpus autem totum vacare excrementis debet et non plethoricum eſſe geminam ob cauſam: tum ob eam quae a vacuatione eſt revulſionm, tum quod vacuato *corpore*, quum a locis affectis quod influit expellimus, id facilius ſuſcipiet, nihilque, ſi calido ſotu diſcutere voluerimus, parti calefactae conferet. Corpus igitur totum vena ſecta vacuari oportet

αὐτὰ δὲ τὰ πάσχοντα μόρια διὰ μὲν τῶν στυφόντων φαρμάκων, ἀποκρουομένων τούς τε παραῤῥέοντας χυμοὺς καὶ τῶν ἐστηριγμένων ὅσοι γε μὴ σφοδρῶς εἰσιν ἐμπεφραγμένοι καὶ πάνυ γλίσχροι καὶ παχεῖς· διά τε τῶν θερμῶν καὶ δριμέων, διαφορούντων τοὺς κατὰ τὰ πεπονθότα μόρια περιεχομένους χυμούς· ἄνευ δὲ φαρμάκων αἱ ὑπὸ τὴν γλῶτταν φλέβες ἐντεμνόμεναι τὴν ἐν τῇ φάρυγγι φλεγμονὴν ἐκκενοῦσιν. ἐπεὶ δὲ τῶν χυμῶν ἔνιοι παχεῖς εἰσι καὶ γλίσχροι, πολὺ δριμυτέρων τούτοις ἐστὶ φαρμάκων χρεία, τέμνειν δηλονότι καὶ διαιρεῖν εἰς λεπτὰ καὶ καταθραύειν τὰ γλίσχρα καὶ τὰ παχέα δυναμένων. καὶ πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν ἀντισπᾷν χρὴ τοὺς χυμοὺς, περιτιθέντας τῷ τραχήλῳ φάρμακα δύναμιν ἔχοντα ἑλκτικήν· βέλτιον γὰρ τὰ κατὰ τὸ δέρμα μᾶλλον ἢ τὸ βάθος πάσχειν τοῦ τραχήλου, διότι τὸ μὲν πνεῦμα κατὰ μὲν τὰς εἰσπνοὰς ἐμπίπτει τῇ φάρυγγί τε καὶ λάρυγγι, κατὰ δὲ τὰς ἐκπνοὰς ἔξω δι' αὐτῶν φέρεται. πολλάκις μέντοι τὰ παραγινόμενα ἐς τὰ προειρημένα μόρια ῥεύματα μεθίστανται πρὸς ἄλλα τινὰ μόρια, τῆς φύσεως

et purgatione et clyſteribus. Verum affectas partes tum medicamentis aſtringentibus, quae profluentes repellant humores, atque ex conſiſtentibus eos qui non admodum infarcti ſunt et maxime glutinoſi et craſſi, tum calidis et acribus, quae contentos in affectis partibus humores diſcutiant. At ſine medicamentis, venae quae ſub lingua ſunt ſectae, eam quae in faucibus eſt, phlegmonem evacuant. Sed quoniam humorum nonnulli craſſi glutinoſique ſunt, acrioribus multo propterea indigent medicamentis, quae ſcilicet et ſecare et in tenuia dividere et tum glutinoſa tum craſſa incidere poſſint. Praeterea et ad exteriorem ſuperficiem humores revellere oportet, admotis collo quae attrahendi polleant facultate medicamentis. Nam cutaneas colli partes quam imas affici melius eſt, quod ſpiritus quidem in inſpirationibus ad fauces gutturque irruat et in expirationibus per ea foras deſeratur. Saepius vero quae ad partes praedictas procedunt fluxiones, eae ad partes quasdam alias exprimente natura

ἀποτριβομένης αὐτά· καί ποτε κατ' ἀρχὰς εὐθέως οὕτως ἠνέχθη ὥστε πάλιν ἄλλας διαφορὰς γίνεσθαι τοῦ τε κατὰ τὴν φάρυγγα καὶ κατὰ τὸν λάρυγγα ῥεύματος. εὔδηλον δ' ὅτι τὰ πρὸς τὸ δέρμα χωρήσαντα πολὺ τῶν εἰς τὸ βάθος κατασκηψάντων ἐστὶν εὐιατότερα· κοινὸν δ' ἐπ' ἀμφοτέρων βοήθημα, τῶν τε κατὰ τοῦ τραχήλου καὶ τῆς κεφαλῆς ἀφ' ἧς ὁρμᾶται τὰ ῥεύματα γιγνέσθω σοι. οὗτος ὁ λόγος ἐδίδαξε τά τε τῶν συνάγχων εἴδη καὶ τὰς αἰτίας αὐτῶν καὶ τοὺς πεπονθότας τόπους καὶ τὰς θεραπείας, οὐδὲν δεηθεὶς ὀνομάσαι συνάγχην τε καὶ κυνάγχην, ὥσπερ οὐδὲ σύναγχόν τε καὶ κύναγχον. ὁ τοίνυν γράψας τὸ βιβλίον τοῦτο, μηδὲν φροντίζων τῶν ὀνομάτων, ἅπαντα τὰ κατὰ τὴν φάρυγγα καὶ τὸν λάρυγγα συνιστάμενα πάθη καὶ στενοχωροῦντα τὴν ἀναπνοὴν, ὀνομάσας συνάγχους, δύο φησὶν αὐτῶν ὑπάρχειν εἴδη, τὸ μὲν ἕτερον ὑπὸ κολλώδους τε καὶ ψυχροῦ ῥεύματος γινόμενον, ὅπερ ἐστὶ καλεῖν φλεγματικόν· τὸ δ' ἕτερον ὑπὸ θερμοῦ καὶ δριμέος, ὅπερ οὖν πάλιν πικρόχολον ὀνομάζων ἢ χολῶδες ἁπλῶς οὐκ ἂν ἁμάρτοις. κατασκήπτειν δέ φησι

transmutantur, atque interdum per initia ita deferuntur, ut rursum aliae oriantur tum faucium tum gutturis fluxionum differentiae. Quod autem quae ad cutem recesserunt iis quae in profundum decubuerunt multo salubriora existant constat omnibus. Commune tamen in utrisque tum colli tum capitis, a quo fluxiones irruunt, auxilium tibi sit. Sermo hic et synancharum species et causas et affectos locos et curationes docuit, neque si vel synanchen vel cynanchen, ut neque synanchon vel cynanchon appellaret, fuit solicitus. Qui igitur librum hunc scripsit, neglectis nominibus omnes qui tum in faucibus tum gutture consistunt arctantque respirationem, affectus synanchos appellitans, duas horum species esse ait: alteram quidem quae a glutinosa frigidaque fluxione facta sit, quam pituitosam vocare possis, alteram vero a calida acrique, quam si picrocholam biliosamque simpliciter appellaveris, non peccaveris. Priorem autem fluxionem in

τὸ πρότερον τῶν εἰρημένων ῥευμάτων εἰς τὰς εὐρυτέρας φλέβας, ἐνδεικνύμενος ὅτι καθ' ἕτερον τὸ χολῶδες εἰς τὰς λεπτοτέρας ἀφικνεῖται. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα· δεῖ δὲ προσέχειν οἷς εἶπον τὸν νοῦν· εἰ δὲ μὴ νοήσεις τὴν πρώτην, δὶς καὶ τρὶς ἀναγνοὺς νοήσεις. ἐγὼ δὲ μεταβήσομαι πρὸς τὸ δεύτερον εἶδος τοῦ συνάγχου.

κη'.

Ὁκόταν ἐν θερινῇ ἢ μετοπωρινῇ ὥρῃ ἐκ κεφαλῆς θερμὸν τὸ ῥεῦμα καταῤῥυῇ καὶ νιτρῶδες, ἅτε ὑπὸ τῆς ὥρης δριμὺ καὶ θερμὸν γεγενημένον, δάκνει δὲ τὸ τοιόνδε ἐὸν καὶ ἑλκοῖ καὶ πνεύματος ἐμπίπλησι, καὶ ὀρθόπνοια παραγίνεται καὶ ξηρασίη πολλὴ, καὶ τὰ θεωρεύμενα ἰσχνὰ φαίνεται, καὶ τοὺς ὄπισθεν τένοντας ἐν τῷ τραχήλῳ ξυντείνεται, καὶ δοκέει οἷον τέτανος ἐντετάσθαι. καὶ ἡ φωνὴ ἀπέῤῥωγε καὶ τὸ πνεῦμα σμικρὸν καὶ ἡ ἀντίσπασις τοῦ πνεύματος πυκνὴ καὶ βιαίη παραγίνεται. οἱ τοιοίδε τὴν ἀρτηρίαν ἑλ- (138) κοῦνται καὶ τὸν πνεύμονα πίμ-

latiores decumbere venas ait, biliofam etiam in tenuiores pervenire oftendens. Caetera dictionis funt manifefta. Ad ea autem quae retuli convertas animum oportet, et fi prima vice non intellexeris, bis et ter lege et intelliges. Ego autem ad fecundam fynanchi fpeciem transibo.

XXVIII.

Quum vero aeftiva vel autumnali tempeftate ex capite calida et nitrofa fluxio defluxerit, ut quae ab anni tempeftate tum acris tum calida obtigerit, quumque hujusmodi fuerit, mordet, ulcerat et fpiritu implet, orthopnoea oboritur ficcitasque multa, quae fub confpectum cadunt, gracilia comperiuntur. Pofteriores quoque cervicis tendones contenduntur, ac tanquam in tetano intendi videntur. Vox quoque abrupta eft ac fpiritus parvus. Spiritusque retractio denfa ac violenta oboritur. His arteria ulceratur, pulmo incendi-

πρανται, οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα ἐπάγεσθαι· τοῖσι τοιουτέοισι δὲ, ἢν μὴ εἰς τὰ ἔξω μέρεα τοῦ τραχήλου ἑκουσίη ἀποφέρηται, δεινοτέρη καὶ ἀφυκτοτέρη ἐστὶ διὰ τὴν ὥρην καὶ ὅτι ἀπὸ θερμῶν καὶ δριμέων.

Πῶς καὶ διὰ τί; ὅτι ἀπὸ θερμῶν καὶ δριμέων. τὸ μὲν γὰρ πρότερον ῥεῦμα τὸ φλεγματικὸν ἐν χειμῶνι καὶ ἦρι κατασκήπτειν ἔφη, τουτὶ δὲ τὸ δεύτερον ἐν μετοπωρινῇ ἢ ἐν θερινῇ ὥρῃ, ἐπὶ δὲ τῶν ἄλλων ὡρῶν ἀνάλογον, ὡς ἔμπροσθεν εἴρηται. ὀρθόπνοιαν δὲ τούτῳ τῷ εἴδει τῆς συνάγχης προσεῖναί φησιν, ἥτις ὀρθόπνοια μεγάλης ἐστὶ στενοχωρίας γνώρισμα, κατά τι τῶν ἀναπνευστικῶν μορίων ἐνοχλούσης, ὡς ἔμπροσθεν ἐδείκνυμεν. ἐὰν δὲ κελεύσῃς τούτους διοῖξαι μέγιστον τὸ στόμα καὶ καταστείλῃς τὴν γλῶτταν, ὑπὲρ τοῦ κατασκέψασθαι τὰ κατὰ τὴν φάρυγγα, τοιοῦτον οὐδένα παρὰ φύσιν ὄγκον, οἷον ἐπὶ τοῖς ἔμπροσθεν εἰρημένοις, εὑρήσεις. ἔδειξε δὲ ὁ συγγραφεὺς τοῦτο διὰ τὸ φάναι, καὶ τὰ ὁρώμενα ἰσχνὰ φαίνεται. τὸ γὰρ φλεγμαῖνον

tur, neque externum aërem introducere queunt. At his affectio *nisi ad exteriores cervicis partes ultronea deferatur, gravior ac inevitabilior est, tum propter anni tempus, tum quod a calidis acribusque* sit humoribus.

Quomodo et quare *haec fiunt*? quoniam a calidis et acribus. Priorem siquidem fluxionem, quae pituitosa est, hieme et vere decumbere ait, hanc vero secundam autumnali vel aestiva tempestate, in aliis vero anni temporibus ex proportione, ut antea dictum est. Orthopnoeam autem huic supervenire anginae generi ait, quae orthopnoea insignis nota est angustiae, partem ex iis quae respirationi subserviunt aliquam vexantis, ut supra demonstravimus. Quod si hos amplissimum os aperire imperaveris linguamque represseris, ut quae in faucibus sunt inspectare queas, nullum sane praeter naturam tumorem ut in ante dictis invenies. Id vero scriptor explanavit his verbis: *Ac quae sub conspectum cadunt, gracilia com-*

ἐν τῷ πόρῳ τῆς φάρυγγος ἀόρατόν ἐστιν· ὅσον δ' ὁρατὸν ἀνοιξάντων, τοῦτο πᾶν ἀφλέγμαντόν τε καὶ ἰσχνὰ τὰ μόρια, τὸ γὰρ ἰσχνὸν ἐνίοτε λέγεται πρὸς ἀντίθεσιν τῶν παρὰ φύσιν ὀγκουμένων· ἔνιοι δὲ μὴ νοήσαντες τὸ σημαινόμενον ἐκ τῆς ἰσχνὰ φωνῆς, ὅπως εἴρηται νῦν, ἐξηγοῦνται τὴν λέξιν γελοίως, τινὲς δὲ καὶ κατασκευάζουσιν, ὥσπερ καὶ οἱ οὕτω γράφοντες καὶ τὰ ὁρώμενα ἄχροα φαίνεται. τοῖς γε μὴν οὕτω διακειμένοις ἐνίοτε τοῦ ῥεύματός τι καὶ εἰς τοὺς πλησιάζοντας τῷ λάρυγγι μερίζεται μῦς ὄπισθεν αὐτοῦ τεταγμένους, ἔνθα καὶ ὁ στόμαχος, ὃς καὶ αὐτὸς συνδιατίθεται πολλάκις· μετὰ τοῦτο γοῦν ἐν τῇ προκειμένῃ ῥήσει καὶ τοῦτο γέγραπται· [97] καὶ τοὺς ὄπισθεν τένοντας ἐν τῷ τραχήλῳ ξυντείνεται καὶ δοκέει οἷον τέτανος ἐντετάσθαι. τὸ δ' ἐφεξῆς εἰρημένον ἔτι καὶ μᾶλλον ἐνδείκνυται τὸ πεπονθέναι τὸν λάρυγγα, δέδεικται γὰρ ἐν τούτῳ τοῦ ζώου τῷ μορίῳ τῆς φωνῆς ἡ γένεσις ἀποτελεῖσθαι. διὰ τοῦτο γοῦν ἔφη καὶ ἡ φωνὴ ἀπέῤῥωγε καὶ πνεῦμα σμικρόν. ἡ

periuntur. Nam quod in faucium meatu inflammatum eſt, non cernitur. Quod autem ex apertis cernitur, id omne et citra inflammationem exiſtit et partes ipſae ſunt graciles, nam gracile ad partium praeter naturam tumentium oppoſitionem interdum dicitur. Quam vocis hujus *graciles* nunc dictam ſignificationem ignorantes nonnulli dictionem ridicule exponunt. Alii autem etiam permutant, ut et qui ita ſcribunt: *ac quae ſub conſpectum cadunt, decolorata cernuntur.* Caeterum ita affectis ſit interdum ut et fluxionis partem recipiant laryngi vicini, atque a tergo ordine poſiti muſculi, ubi et ſtomachus, qui ſaepius et ipſe una afficitur. Poſt hoc ſane in praeſenti dictione id quoque ſcriptum eſt. *Poſteriores quoque cervicis tendones contenduntur, ac tanquam in tetano intendi videntur.* Quod autem deinceps dictum eſt, magis etiamnum guttur affici oſtendit. Nam vocis generationem in ea animalis abſolvi parte demonſtratum eſt. Quapropter inquit: *vox quoque abrupta eſt et ſpiritus parvus.* Etenim vox omnino abrupta eſt, hoc eſt deſtruitur, affecto

μὲν γὰρ φωνὴ παντάπασιν ἀπέῤῥωγε, τουτέστιν ἀπόλλυται, παθόντος, ὡς εἴρηται, τοῦ λάρυγγος. ἡ δ' ἀναπνοὴ μικρὰ γίγνεται διὰ τὴν στενοχωρίαν τοῦ πόρου, λέγεται δὲ ἐν τοῖς περὶ δυσπνοίας ὅτι μακροτέρα τῷ χρόνῳ καὶ τοῖς διαλείμμασι πυκνοτέρα. τοῦτο δ' αὐτὸ ὁ συγγραφεὺς οὕτως ἡρμήνευσεν· καὶ ἡ ἀντίσπασις τοῦ πνεύματος πυκνὴ καὶ βιαίη παραγίνεται. πνεῦμα καὶ τὴν μετὰ τὴν εἴσπνοὴν δευτέραν ἐκπνοὴν καὶ τὴν μετὰ τὴν ἐκπνοὴν δευτέραν εἴσπνοὴν εἶπεν, ἑκατέρως γὰρ πυκνὸν γίγνεται τὸ πνεῦμα. καὶ γὰρ ἡ μετὰ τὴν εἴσπνοὴν ἠρεμία βραχυχρόνιός ἐστι τοῖς οὕτω διακειμένοις καὶ ἡ μετὰ τὴν ἐκπνοὴν πρὸ τῆς εἰσπνοῆς· τὰς δ' ἀποδείξεις τούτων ἐν τοῖς περὶ δυσπνοίας ἔχεις εἰρημένας. οἱ τοιοίδε τὴν ἀρτηρίαν ἑλκοῦνται καὶ τὸν πνεύμονα πίμπρανται, οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα ἐπάγεσθαι· τοῖσι τοιουτέοισι δὲ ἢν μὴ εἰς τὰ ἔξω μέρεα τοῦ τραχήλου ἑκουσίη ἀποφέρηται, δεινοτέρη καὶ ἀφυκτοτέρη ἐστὶ καὶ διὰ τὴν ὥρην καὶ ὅτι ἀπὸ θερμῶν καὶ δριμέων. ἀλλὰ καὶ τὴν ἀρτηρίαν ἑλκοῦσθαι τοῖς οὕτω διακει-

ut dictum est gutture. Respiratio autem parva redditur propter meatus angustiam. Recensetur autem in commentariis de difficultate spirandi, quod longior tempore sit et intervallis frequentior. Id vero ipsum scriptor ita enunciavit: *spiritusque retractio densa ac violenta oboritur.* Spiritum et eam quae inspirationi succedit exspirationem et eam quae exspirationi succedit, inspirationem dixit. Ex utroque enim densus redditur spiritus. Etenim ita affectis quae inspirationi succedit quies breve tempus habet, similiter et quae exspirationi succedit ante inspirationem. Demonstrationes horum in libris de spirandi difficultate enarratae sunt. *His arteria ulceratur, pulmo inceditur, neque externum aërem inducere queunt. At his affectio nisi ad exteriores cervicis partes ultronea deferatur, gravior ac inevitabilior est, tum propter anni tempus, tum quod a calidis acribusque sit humoribus.* Verum et arteriam ita affectis ulcerari dictum est, nimirum propter humoris acrimoniam, sed pulmonem incendi ex-

μένοις εἴρηται, διὰ τὴν τοῦ χυμοῦ δριμύτητα δηλονότι. τὸν δὲ πνεύμονα πίμπρασθαι στερούμενον ἔφη, συνάπτων τὸν λόγον ἀληθεῖ δόγματι· [139] δέδεικται γὰρ ἐν τῷ περὶ χρείας ἀναπνοῆς οὐκ ἐνδείᾳ τῆς οὐσίας ἀπολλύμενον τὸ ζῶον ἐπὶ τῇ στερήσει τῆς ἀναπνοῆς, ἀλλ' ὅτι τὴν ἔμψυξίν τε καὶ ῥίπισιν ἀπόλλυσι τὸ ἔμφυτον θερμόν. εἰκότως οὖν ἀμετρίας ἐχόμενον πίμπρησι τὸν πνεύμονα. τοῦτο τοιγαροῦν τὸ τῆς κυνάγχης εἶδος δεινότερόν τε καὶ ἀφυκτότερον εἶναί φησι τοῦ προτέρου διά τε τὰ προειρημένα καὶ διὰ τὸ θερινήν τε καὶ φθινοπωρινὴν ὥραν εἶναι, ὅτι τε δριμυτέροις ἐπιγίνεται χυμοῖς. ἀμείνων οὖν ἐστιν ἡ μετὰ τοῦ καὶ συνδέσμου γραφὴ τῆς ἄνευ τοῦ καὶ συνδέσμου· συνεμφαίνει δ' ἐπὶ τοῖς προειρημένοις τὸ καὶ διὰ τὴν ὥραν ἐν ᾗ γίνεται καὶ διὰ τὸν χυμὸν ὑφ' οὗ χαλεπώτερον εἶναι τὸ εἶδος τὸ δεύτερον τῆς συνάγχης· οὐχ ἁπλῶς οὖν εἶναι γραπτέον, ὅτι δεινότερον καὶ ἀφυκτότερόν ἐστι διὰ τὴν ὥραν. εἰ δὲ καὶ τὴν ἄνευ τοῦ συνδέσμου γραφὴν ἐθέλοι τις φυλάττειν, ἀναγκαῖον ἔσται καὶ οὕτως προσυπακούειν αὐτὸν, ὡς εἰ καὶ κατὰ

haustum ait, vero dogmati sermonem copulans. Nam in commentario de usu respirationis demonstratum est animal in respirationis privatione non ob substantiae penuriam perire, sed quod calor nativus tum refrigerio tum ventilatione destituatur. Quapropter merito qui immoderatior existit pulmonem accendit. Hanc igitur anginae speciem tum graviorem tum inevitabiliorem esse priore ait, tum propter ante dicta, tum quod aestivum autumnaleque sit anni tempus et quod ex acrioribus exoriatur humoribus. Melior itaque est quae cum conjunctione *et* est dictio, quam quae sine conjunctione *et* est. Significat autem ab iis quae ante dicta sunt et propter anni tempus, in quo fit, et propter humorem, a quo *oritur*, majoris esse periculi secundam anginae speciem. Non est ergo simpliciter scribendum, quod tum gravior, tum vitatu difficilior sit propter anni tempus. Quod si et absque conjunctione scriptionem servare quis voluerit, eam ita subaudire oportebit, ut si in dictione esset. Multa siquidem

τὴν λέξιν εἴρητο· πολλὰ γὰρ καὶ ἄλλα κατὰ τὸν ἐλλειπτικὸν τρόπον εὑρίσκεται παρὰ τοῖς παλαιοῖς γεγραμμένα.

κθ'.

Ἢν πυρετὸς λάβῃ, παλαιῆς κόπρου ὑπεούσης ἢ νεοβρῶτι ἐόντι, ἤν τε σὺν ὀδύνῃ πλευροῦ, ἤν τε μή· ἡσυχίην ἄγειν, μέχρις οὗ καταβῇ τὰ σιτία πρῶτον ἐς τὴν κάτω κοιλίην.

Καὶ διὰ τῶν τοιούτων ῥήσεων ἔνδειξις γίνεται τοῦ τὰ προσκείμενα τῷ περὶ διαίτης ὀξέων οὐκ εἶναι τοῦ Ἱπποκράτους αὐτοῦ συγγράμματα· οὐκ ἔδει γὰρ τὰ τελεώτατα διεληλυθὼς ἐν τῷ γνησίῳ μέρει τοῦ βιβλίου γεγραμμένα περὶ τῶν πλευριτικῶν ἐνταῦθα πάλιν ὀλίγα παραθεῖναι.

λ'.

Πόματι δὲ χρῆσθαι ὀξυμέλιτι. ὁκόταν δὲ ἐς τὴν ὀσφὺν βάρος ἥκῃ, κάτω κλύσαι κλυσμῷ ἢ καθᾶραι φαρμάκῳ·

atque alia apud antiquos defectivo modo fcripta reperiuntur.

XXIX.

Si febris prehenderit, veteri ftercore non fubeunte, aut recenti cibo accepto, five cum lateris dolore, five non, eum quietem agere oportet, donec cibi primum ad imum ventrem defcenderint.

Dictiones quoque hujusmodi, ea quae libro de victu in acutis morbis adjecta funt, Hippocratis fcripta non effe oftendunt. Non enim qui perfecte de pleuritide in legitima libri hujus parte tractaverat, eum rurfus hic pauca apponere oportebat.

XXX.

Potu autem uti aceto mulfo. At quum gravitas ad lumbos devenerit, inferiorem alvum clyfmo fubluere aut

ὁκόταν δὲ καθαρθῇ, διαιτᾷν ῥοφήματι πρῶτον καὶ πόματι μελικρήτῳ, ἔπειτα σιτίοισι καὶ ἰχθύσιν ἑφθοῖσι καὶ οἴνῳ ὑδαρεῖ εἰς νύκτα ὀλίγῳ, ἡμέρῃ δὲ ὑδαρὲς μελίκρητον. ὁκόταν δὲ αἱ φῦσαι δυσώδεες ἔωσιν οὕτως ἢ βαλάνῳ ἢ κλυσμῷ· εἰ δὲ μὴ, ἐπισχεῖν ὀξύμελι πίνοντα, ἕως ἂν καταβῇ ἐς τὴν κάτω κοιλίαν, εἶθ' οὕτως κλύσματι ὑπαγαγεῖν.

Πόματι δὲ χρῆσθαι ὀξυμέλιτι. ἀδιορίστως εἴρηται, καίτοι διώρισται ἐν τῷ γνησίῳ μέρει τοῦ βιβλίου τὸ γεγραμμένον ἐν τῷδε καὶ τὰ μετὰ τοῦτο, μέχρις οὗ καὶ τῶν ἰχθύων ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἐπειδὴ ἔτι περὶ τῶν νοσούντων ὁ λόγος αὐτῷ κατὰ τὸ βιβλίον ἦν, οὐ περὶ τῶν ἀναλαμβανομένων ἐκ νόσου. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

λα'.

[140] *Ἢν δὲ λαπαρῷ ἐόντι καῦσος ἐπιγένηται, ἤν σοι δο-*

medicamento purgare oportet. *Quum vero purgatus fuerit, pro victu sorbitionem primum et aquam mulsam, deinde cibaria et elixos pisces praescribere, vinumque aquosum paucum ad noctem, interdum vero dilutam mulsam. Quum vero flatus ita graveolentes fuerint, aut balano aut clysmo* utendum. *Sin minus, in aceti mulsi potu continere oportet, donec cibi ad inferiorem alvum descenderint, deinde sic clysmate subducere.*

Potu autem uti aceto mulso. Indistincte dictum est, quanquam quod hic scriptum est, in legitima libri hujus parte distinctum sit et quae post id, usquequo piscium meminit Hippocrates, quoniam adhuc de aegrotantibus in libro ipse agebat et non iis qui ex morbo convalescunt. Caetera dictionis manifesta.

XXXI.

At si vacuam alvum habenti febris ardens oboriatur, si

κέῃ φαρμακεύειν ἐπιτηδείως ἔχειν, εἴσω τριῶν ἡμερῶν μὴ φαρμακεύειν, ἀλλ' ἢ τεταρταῖον.

Ὅτι μὲν ἀκαίρως ἐνταῦθα πάλιν μέμνηται τοῦ καύσου, προειρημένων ἐν ἀρχῇ τῶν τε διαφορῶν αὐτοῦ καὶ τῶν θεραπειῶν εὔδηλον· καὶ γὰρ αἱ ῥήσεις αὗται κατὰ τὴν γνώμην ἐκείνου τοῦ ἀφορισμοῦ εἰσι, τοῦ, πέπονα φαρμακεύειν καὶ κινέειν, μὴ ὠμὰ μηδ' ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ, τὰ δὲ πλεῖστα οὐκ ὀργᾷ. τινὲς ἑτέρως γράφουσιν ἐν ἀρχῇ τοὺς καύσους ἀξιοῦντες φαρμακεύειν, ὡς εἶναι τὴν ῥῆσιν τοιαύτην· εἴσω τριῶν ἡμερῶν φαρμακεύειν. προσῆκεν οὖν οὐχ ὡς πάντα μετὰ τὰς τρεῖς, ἀλλ' ὥσπερ ὁ ἀφορισμός ἐστι τοῖος· ἐν τοῖς ὀξέσι πάθεσιν ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι· καὶ χρὴ κατὰ τοὺς ἀφορισμοὺς διορίζεσθαί τε καὶ σκέπτεσθαι, πότε κατ' ἀρχάς ἐστι χρηστέον τῇ φαρμακείῃ καὶ πότε τὴν πέψιν ἀναμείναντι τοῦ νοσήματος. ἐὰν δέ τις ἤτοι κατ' ἀρχὰς εἴποι ἁπλῶς ἢ μὴ διορισάμενος ἑκάτερον, σφάλλεται.

---

purgare tibi idoneum esse videatur, intra tres dies ne purgaveris, sed vel quarto.

Quod intempestive quidem hic febris ardentis meminerit, praedictis in principio tum ejus differentiis tum curationibus apertum est. Etenim hae dictiones ex mente sunt aphorismi illius: *cocta medicari et movere, non cruda, neque in principio, nisi turgeant, plurima vero non turgent.* Quidam aliter scribunt, causos ab initio medicari volentes, ut dictio talis sit, intra tertium diem purgandum. Consentaneum est igitur non omnino a tertio *medicari* die, sed ut hic aphorismus est: *in acutis morbis paucies et in principiis medicamento purgante uti.* Rem ergo secundum aphorismorum mentem definire scrutarique oportet, quum in principiis purgatione utendum sit et quum morbi coctio expectanda sit. Si quis vero vel per initia simpliciter dixerit, vel neutrum definierit, fallitur.

λβ'.

Ὁκόταν δὲ φαρμακεύσῃς, τοῖσι ῥοφήμασι χρῶ, διαφυλάσσων τοὺς παροξυσμοὺς τῶν πυρετῶν, ὅκως μηδέποτε προσοίσῃς ἐόντων μηδὲ μελλόντων ἔσεσθαι, ἀλλὰ ληγόν- (98) των ἢ παυσαμένων καὶ ὡς ποῤῥωτάτω ἀπὸ τῆς ἀρχῆς. ποδῶν δὲ ψυχρῶν ἐόντων μήτε ποτὸν μήτε ῥόφημα μήτε ἄλλο μηδὲν δίδου τοιόνδε, ἀλλὰ μέγιστον ἡγοῖο τοῦτ' εἶναι διαφυλάσσεσθαι, ἕως ἂν διαθερμανθῇ σφόδρα, εἶθ' οὕτως τὸ ξυμφέρον πρόσφερε. ὡς γὰρ ἐπιτοπολὺ σημεῖόν ἐστι μέλλοντος παροξύνεσθαι τοῦ πυρετοῦ ψύξις ποδῶν· εἰ δὲ ἐν τοιούτῳ καιρῷ προσοίσεις, ἅπαντα τὰ μέγιστα ἐξαμαρτήσεις· τὸ γὰρ νόσημα αὐξήσεις οὐ μικρῶς. ὁκόταν δὲ ὁ πυρετὸς λήγῃ, τοὐναντίον οἱ πόδες θερμότεροι γίνονται τοῦ ἄλλου σώματος. αὔξεται μὲν γὰρ ψύχων τοὺς πόδας ἐξαπτόμενος ἐκ τοῦ θώρακος, εἰς τὴν κεφαλὴν ἀναπέμπων τὴν φλόγα· συνδεδραμηκότος δὲ ἄλεος τοῦ θερμοῦ ἅπαντος ἄνω καὶ ἀναθυμιωμένου ἐς τὴν κεφαλὴν, εἰκότως οἱ πόδες ψυχροὶ γίνονται, ἄσαρκοι καὶ νευρώδεες φύσει ἐόν-

XXXII.

Quum autem purgaveris, sorbitionibus utere, observatis febrium accessionibus, ut nequaquam quum adsunt neque quum futurae sunt exhibeas, sed quum cessant, vel quieverunt et quam longissime a principio recesserunt. *Frigentibus autem pedibus neque potum neque sorbitionem neque aliud quicquam hujusmodi dabis. Verum maximum esse ducito, si expectaveris, quousque valde incaluerint, deinde ita quod conferat exhibe. Frigus enim pedum plerumque febris accessurae signum est, at eo tempore si quid exhibueris, maxime per omnia peccaveris, morbum namque non parum auxeris. At quum febris desinit, vice versa pedes reliquo corpore calidiores evadunt; quum enim pedes refrigerat, augetur et ex thorace accensa flammam ad caput remittit. At fervido calore universo sursum concurrente atque ad caput exhalante, merito pedes frigescunt, quum natura excar-*

τες· ἔτι δὲ καὶ πολὺ ἀπέχοντες τῶν θερμοτάτων τόπων ψύχονται, συναθροιζομένου τοῦ θερμοῦ εἰς τὸν θώρακα. καὶ πάλιν ἀνάλογον λυομένου τοῦ πυρετοῦ καὶ κατακερματιζομένου, ἐς τοὺς πόδας καταβαίνει· κατὰ τόνδε οὖν τὸν χρόνον ἡ κεφαλὴ καὶ ὁ θώρηξ κατέψυκται. τουτέων εἵνεκεν τουτέου προσαρτέον· ὅτι ὁκόταν οἱ πόδες ψυχροὶ ἔωσι, θερμὴν ἀνάγκη τὴν κοιλίην εἶναι καὶ πολλῆς ἄσης μεστὴν καὶ ὑποχόνδριον ἐντεταμένον καὶ ῥιπτασμὸν τοῦ σώματος διὰ τὴν ἔνδον ταραχὴν καὶ μετεωρισμὸν γνώμης καὶ [141] ἀλγήματα καὶ ἕλκεται καὶ ἐμέειν ἐθέλει καὶ ἢν πονηρὰ ἐμέῃ, ὀδυνῆται. θέρμης δὲ καταβάσης εἰς τοὺς πόδας καὶ οὔρου διελθόντος, καὶ ἢν μὴ ἱδρώσῃ, πάντα λωφᾷ. κατὰ τόνδε οὖν τὸν καιρὸν δεῖ τὸ ῥόφημα διδόναι, τότε δὲ ὄλεθρος.

Περὶ τοῦ κατὰ μέρος καιροῦ τῆς τροφῆς εἴρηται μὲν κἂν τῷ γνησίῳ μέρει τοῦ βιβλίου διὰ βραχέων, οὐδὲν δ' ἧττον καὶ νῦν λέγεται διὰ μακροτέρων καὶ σαφεστέρων, ὥστ'

nes et nervosi sint. Praeterea et a calidissimis locis multum distantes refrigerantur, sese colligente ad thoracem calore. Ac sursum eadem ratione quum febris solvitur et in minutas partes distribuitur, ad pedes calor descendit. Hoc igitur tempore caput et thorax refrigerantur, eas ob res sorbitio exhibenda. Quod quum pedes frigidi fuerint, calidum ventriculum esse necesse est multoque fastidio plenum, intendi hypochondrium et corporis jactationem propter internam turbationem, mentis abalienationem et dolores, aeger vellicatur, vomere affectat, et si prava vomuerit, dolet. At quum calor ad pedes descenderit, urinaque prodierit, etiamsi non sudaverit, omnia cessant. Eo igitur tempore sorbitio exhibenda est, alias perniciosa existit.

De particulari cibi ministrandi tempore dictum quidem est paucis in legitima libri parte, sed aeque et nunc prolixius manifestiusque dicitur, quasi sermo praesens sit

εἶναι τὸν λόγον τοῦτον ἐξήγησιν ἐκείνου, φυλαττομένης τῆς Ἱπποκράτους γνώμης, ἣν ἔν τε τοῖς ἄλλοις εἴρηκε καὶ ἐν τοῖς περὶ τοῦ τὸν πυρετὸν ἐκ μὲν τοῦ θώρακος ἐξάπτεσθαι, τουτέστιν ἐκ τῆς καρδίας, εἰς τὴν κεφαλὴν δὲ ἀναπέμπειν τὴν φλόγα.

λγ'.

Ὁκόσοισι δὲ διὰ τέλεος ἡ κοιλίη ἐν τοῖσι πυρετοῖσιν ὑγρὴ, τουτέοισι διαφερόντως τοὺς πόδας θερμαίνων καὶ περιστέλλων κηρώμασι καὶ ταινιδίοισι περιελίσσων πρόσεχε ὅκως μὴ ἔσονται ψυχρότεροι τοῦ ἄλλου σώματος. Θερμοῖσι δ' οὖσι θέρμασμα μηδὲν πρόσφερε, ἀλλὰ παρατήρει ὅκως μὴ ψυχθήσονται· πόματι δὲ χρέεσθαι ὡς ἐλαχίστῳ, ὕδατι ψυχρῷ ἢ μελικράτῳ.

Τὸ διὰ τέλεος τῷ διὰ παντὸς τοῦ χρόνου ταυτὸν σημαίνει· πολλῶν δ' οὐσῶν διαθέσεων, ἐφ' αἷς συμβαίνει δι' ὅλης τῆς νόσου τὰς κοιλίας ὑγρὰς εἶναι, καίπερ αὐτῶν μὴ δυναμένων μίαν ἔχειν θεραπείαν, ὡς δέδεικται πολλάκις, οὐ

illius explanatio, servata Hippocratis mente, quam tum in caeteris dixit, tum in eo quod febrem ex thorace, hoc est ex corde, accendi atque in caput flammam remittere ait.

XXXIII.

Quibus autem alvus per febres perpetuo liquida est, his ubi pedes eximie calefeceris, ceratis contexeris fasciisque obvolveris, animum attende, ut ne sint reliquo corpore frigidiores. Quod si caleant, calefactorium nullum admove, sed cave ne frigescant. Potu est utendum quam paucissimo, aqua frigida aut mulsa.

Id *perpetuo* idem ac per omne tempus significat. At quum multi existant affectus, in quibus per totum morbum alvum liquidam esse contingit, fierique nequeat, ut curationem habeant unam, ut saepius demonstratum est,

μόνον οὐδέν ἐστιν ἐκ τῆς ῥήσεως διδαχθῆναι χρηστὸν, ἀλλὰ καὶ βλαβῆναι, πιστεύσαντα τὸν γεγραμμένον τρόπον τῆς θεραπείας ἐπὶ πολλῶν διαθέσεων ἁρμόττειν. ἵνα γὰρ τἄλλα παραλείπω, τῆς κοιλίας ὑγρᾶς εἶναι δυναμένης καὶ διὰ φλεγμονὴν τὴν κατὰ τὴν γαστέρα καὶ διὰ συντηκτικὸν πυρετὸν, ἡ τοῦ ψυχροῦ πόσις ἐναντιωτάτη ἐστὶ τῇ φλεγμονῇ, συμφορωτάτη δὲ τοῖς συντηκτικοῖς πυρετοῖς, καθ' ὃν ἔμαθες καιρὸν γιγνομένη.

λδ'.

Ὁκόσοισι δὲ ἐν πυρετοῖσι κοιλίη ὑγρὴ καὶ γνώμη τεταραγμένη καὶ οἱ πολλοὶ τῶν τοιουτέων τὰς κροκίδας ἀφαιρέουσι καὶ τὰς ῥῖνας σκάλλουσι καὶ κατὰ βραχὺ μὲν ἀποκρίνονται τὸ ἐρωτώμενον, αὐτοὶ δὲ ἀφ' ἑωυτῶν οὐδὲν λέγουσι κατηρτημένον. δοκέει οὖν μοι τὰ τοιάδε μελαγχολικὰ εἶναι. ἢν δὲ τῶν τοιῶνδε ἐόντων ἡ κοιλίη ὑγρὴ ᾖ καὶ συντήκῃ, δοκέει μοὶ τὰ ῥοφήματα ψυχρότερα καὶ παχύτερα

tantum abest ut ex dictione quicquam utiliter discatur, ut etiam jacturam facturus sit, qui scriptum curationis modum in affectibus multis juvare crediderit. Nam ut caetera omittam, quum alvus liquida esse possit tum propter ventris phlegmonem, tum propter colliquantem febrem, frigidae potus maxime contrarius est phlegmonae, colliquantibus vero febribus convenientissimus, eo quod didicisti tempore exhibitus.

XXXIV.

At quibus per febres alvus liquida est et mens perturbata et horum multi floccos vellunt naresque fodiunt et parum quidem ad interrogata respondent, ipsi vero per se nihil compositum dicunt, sane talia mihi melancholica esse videntur. His autem ita se habentibus, si alvus liquida fuerit et colliquescens, sorbitiones frigidiore

προσφέρειν καὶ τὰ πόματα σταλτικὰ καὶ οἰνωδέστερα, ἢ καὶ στυπτικώτερα.

Ἄλλα μέν εἰσι τὰ τῶν φρενιτικῶν συμπτώματα, τὸ δὲ τῆς ὑγρᾶς κοιλίας γίνεται μέν ποτε καὶ μετὰ φρενίτιδος, οὐ μὴν [142] ἴδιον ταύτης ἐστὶν, ὥστε τὴν μὲν ὑγρὰν κοιλίαν ἐκ τῶν διορισμῶν θεραπεύειν προσήκει, τὴν δὲ φρενῖτιν ἰδίᾳ θεραπείας ἑτέρας ἀξιοῦν. ἣν δ' οὗτος ἔγραψε θεραπείαν, οὐδ' ὅλως στοχάζεται τῆς φρενίτιδος, ἀλλὰ μᾶλλόν μοι δοκεῖ βούλεσθαι θεραπεύειν τινὰ διάθεσιν, ἐκ μὲν τοῦ κατὰ κοιλίην ὁρμωμένην, εἰς συμπάθειαν δὲ τὴν κεφαλὴν ἐπισπωμένην, ὡς παραληρεῖν ἐπὶ τῷ πάθει τῆς κοιλίας. οὐκ ὀρθῶς δὲ εἴρηται μελαγχολικὰ τὰ τοιαῦτα εἶναι, μᾶλλον γὰρ ὑπὸ τῆς ξανθῆς χολῆς τὰ τοιαῦτα γίγνονται, τῆς γαστρὸς ἐπεχομένης.

λε'.

Ὁκόσοισι δὲ τῶν πυρετῶν δῖνοί τε ἀπ' ἀρχῆς καὶ σφυγμοὶ

et crassiores exhibendae mihi videntur et quae potiones alvum sistant vinosioresque, vel etiam astringentiores.

Caetera sane phreniticorum sunt symptomata. Sed alvi liquidae symptoma interdum quidem in phrenitide fit, non tamen proprium ipsi est, quapropter alvum liquidam ex distinctionibus curare convenit, phrenitidem vero alia peculiari persequi curatione. Quam autem ipse scripsit curationem, nullo modo animi intentionem ad phrenitidem dirigit, sed curare eum magis velle arbitror affectionem quandam ex ventris quidem parte aliqua prodeuntem, sed caput ad sympathiam trahentem, ut ex ventris affectu deliret. Talia autem non recte melancholica esse dictum est, magis enim ea a flava proficiscuntur bile, alvo suppressa.

XXXV.

Quibus autem per febres ab initio tum vertigines tum

κεφαλῆς εἰσι, καὶ οὖρον λεπτὸν, τουτέοισι δεῖ προσδέχεσθαι πρὸς τὰς κρίσιας παροξυνόμενον τὸν πυρετὸν, οὐ (99) θαυμάσαιμι δ' ἂν οὐδ' εἰ παραφρονήσειαν.

Ὅταν ἡ κεφαλὴ περιφέρεσθαι φαντάζηται, δῖνος ὀνομάζεται τὸ πάθος, ὅταν δὲ καὶ σκοτώδης ἡ ὄψις ἅμα τῷδε φαίνηται, σκοτόδινος καλεῖται καὶ γίνεται διὰ κίνησιν ἄτακτον φυσώδους πνεύματος, ἢ μετὰ τὴν κεφαλὴν ἔχοντος τοπικὴν γένεσιν, ἢ κάτωθεν ἀναφερομένου. πᾶσαι δὲ τῶν τοιούτων πνευμάτων γενέσεις ταραχῆς εἰσι δηλωτικαὶ, δι' ἃς καὶ κρίσεις γίνονται μετὰ τῶν συμπτωμάτων θορυβωδῶν. εἰδέναι γὰρ χρὴ τὰς τοιαύτας διαθέσεις μεταξύ πως οὔσας τῶν τε ἀκινδύνων καὶ τῶν ὀλεθρίων· ἐπιχειρεῖ μὲν γὰρ ἡ ἔμφυτος θερμασία διαλύειν τε καὶ χεῖν τοὺς κατὰ τὸ σῶμα χυμοὺς, λεπτύνειν δὲ ἀκριβῶς αὐτοὺς καὶ κατὰ τὸ ἄδηλον αἰσθήσει ἐκκρῖναι οὐ δύναται. τελέως δὲ ἀῤῥωστήσασα τὴν ἀρχὴν οὐδ' ἐπιχειρεῖ τῇ λύσει καὶ κατὰ τοῦτο πνεῦμα φυ-

capitis pulſus fiunt, ac urina tenuis, in his ad criſes febrem exacerbari concedendum eſt, neque ſi delirarent, mirarer.

Quum caput circumagi videtur, vertigo vocatur affectio, quum autem et tenebricoſa ſimul fuerit viſio, tenebricoſa vertigo appellitatur. Fit autem ob inordinatam ſpiritus flatulenti motionem, qui aut in capite localem habet generationem, aut ſurſum ex infernis fertur partibus. Omnes autem hujusmodi ſpirituum generationes perturbationem indicant, ob quas et cum ſymptomatis tumultuoſis judicationes fiunt. Scire etenim oportet affectiones hujusmodi medium quodammodo obtinere tum earum quae periculo vacant tum perniciofarum. Conatur ſiquidem calor nativus corporis humores tum diſſolvere tum fundere, ſed ipſos plane tenuare, ac abdita ſenſui diſcuſſione excernere non poteſt. Quum autem imbecillimus eſt, principio ſolutioni non incumbit, atque ob id

σῶδες οὐκ ἀῤῥωστούσης ἐσχάτως τῆς ἐμφύτου θερμασίας γεννᾶται. τὸ μὲν οὖν ἀῤῥωστεῖν ἀκινδυνότατόν ἐστιν, ὑπερέχει γὰρ ἡ φύσις τοῦ νοσήματος· τὸ δ' ἐσχάτως ἀῤῥωστεῖν ὀλέθριον, ὑπερέχεται γὰρ οὐ σμικρῶς. ὅταν δὲ μὴ ὑπερέχηται, τὰ εἰρημένα γίνεται συμπτώματα, καὶ μετὰ τὸ νοσῆσαι κρίσεις ἀποτελοῦνται, τινὲς μὲν εἰς ὑγείαν, τινὲς δὲ εἰς θάνατον. οἵ γε μὴν σφυγμοὶ κατὰ τὴν κεφαλὴν γινόμενοι, τουτέστιν αἱ τῶν ἀρτηριῶν αἰσθηταὶ κινήσεις, θερμασίας εἰσὶ πολλῆς συμπτώματα, δι' ἃς καὶ παραφροσύναι γίνονται πολλάκις. οὕτως οὖν ἐχόντων ἐν τῷ καθόλου τῶν εἰρημένων, ὅταν ἀρξαμένου τινὸς ἀσθενεῖν, ὑπὸ μὲν τῆς τῶν οὔρων λεπτότητος ἄπεπτον εἶναι δηλοῦται τὸ νόσημα, τὴν δὲ κεφαλὴν ἐμπεπλῆσθαι πνεύματος φυσώδους σημαίνουσιν οἱ δῖνοι μετὰ τῶν σφυγμῶν· εἰδέναι χρὴ τὴν φύσιν οὐχ ἡσυχάζουσαν, ἀλλ' ἐπιθησομένην ποτὲ τοῖς περιεχομένοις ἐν τῷ σώματι μοχθηροῖς χυμοῖς, ὡς διακρῖναί τε τῶν χρηστῶν αὐτοὺς, ἐκκρῖναί τε καθ' ὀντιναοῦν τρόπον ἢ εἰς ἄκυρον ἀποθέσθαι μόριον. ὁ τοίνυν εἰρημένος λόγος χρησιμώτατός

ſpiritus flatulentus non ſumme imbecillo facto nativo calore procreatur. Imbecillitate igitur affici periculoſiſſimum non eſt, natura ſiquidem morbum evincit. Verum ſumma imbecillitate proſterni lethale eſt, *natura* enim non parum *a morbo* vincitur. Quum autem non vincitur, praedicta fiunt ſymptomata, atque poſteaquam aegrotaverit, judicationes abſolvuntur, aliae ad ſalutem, aliae ad mortem. Pulſus autem qui in capite fiunt, hoc eſt ſenſibiles arteriarum motiones, caloris multi ſymptomata exiſtunt, a quibus ſaepenumero deliria fiunt. Sic itaque his quae dicta ſunt univerſim ſe habentibus, quum ubi quis debilitari coeperit, ab urinarum quidem tenuitate crudus morbus prodatur, caput autem flatulento impletum eſſe ſpiritu ſignificent vertigines cum pulſibus; ſcire oportet naturam non quieſcere, ſed interdum contentos in corpore pravos humores ita aggredi, ut a bonis eos ſecernat, atque quovis modo excernat, aut ad ignobilem partem amandet. Praedictus igitur ſermo ad ante dictorum

ἐστιν εἰς πρόγνωσιν τῶν εἰρημένων. ἐνίοτε γὰρ ἀπὸ τῆς ἀρχῆς τοῦ νοσήματος. οἱ μὲν πυρετοὶ μέτριοι γίγνονται, συμπτώματα δὲ τοιαῦτα κατὰ τὴν κεφαλήν ἐστι δι' ἔγκαυσιν ἢ ἀναθυμίασιν ἐκ τῶν κατὰ τὸ σῶμα τῆς κοιλίας περιεχομένων χυμῶν. τὴν οὖν ἄλλως ὁπω- [143] σοῦν ἐχομένης αὐτῆς τῆς κεφαλῆς μόνης θερμότητα, τῇ τοιαύτῃ διαθέσει τῆς κεφαλῆς λουτρὸν ὀνίνησι καὶ τὸ ῥόφημα δ' ἀρκέσει χυλὸν εἶναι τῆς πτισάνης. ὅταν δ' ἐκ τῆς τῶν χυμῶν μοχθηρίας ἐπὶ τὴν κεφαλὴν ἀναφέρηται θερμὸν πνεῦμα φυσῶδες, οὐ λούειν συμφέρει τούτοις. ἀσφαλῶς δὲ προσήκει ταῦτα πράττειν ἕκαστα. διορισμὸς δὲ τῶν διαθέσεων εἷς μόνος ἐστὶν, ἐκ τῆς τῶν οὔρων ἀπεψίας τε καὶ πέψεως, ὧν ὀρθῶς ὁ συγγραφεὺς ἐμνημόνευσεν, εἰπὼν οὖρον λεπτὸν, ὅπερ εἴρηται πολλάκις ἀπεψίας εἶναι σημεῖον· ὥστ' οὐδεὶς ἰατρὸς ἐν τοῖς τοιούτοις νοσήμασιν ἀμελεῖ τῆς τῶν οὔρων ἐπισκέψεως.

λϛʹ.

Οἷσι δ' ἐν ἀρχῇ τὰ οὖρα νεφελοειδέα ἢ καὶ παχέα, τοὺς

praenotionem maxime confert. Nam interdum ab initio morbi febres quidem moderatae fiunt, sed symptomata hujusmodi caput obsident propter exustionem aut exhalationem humorum in ventriculi corpore contentorum. Sane capite solo alias quocunque modo calore affecto, tali capitis affectui balneum proderit ptisanaeque cremor pro sorbitione satis erit. Verum quum spiritus calidus flatulentus ob humorum pravitatem ad caput fertur, hos lavare non confert. Tuto igitur singula haec facienda sunt. Distinctio autem affectionum una sola est, tum ex urinarum cruditate, tum concoctione, quorum auctor recte meminit, inquiens: *urina tenuis*, quam saepius cruditatis signum esse pronunciatum est. Quare nullus medicus in morbis hujusmodi urinarum inspectionem negligit.

XXXVI.

At quibus principio urinae nebulosae aut etiam crassae

τοιούσδε ὑποκαθαίρειν, ἢν καὶ τἄλλα ξυμφέρῃ· ὁκόσοισι δὲ ἐν ἀρχῇ τὰ οὖρα λεπτὰ, μὴ φαρμάκευε τοὺς τοιούσδε, ἀλλ' ἢν δοκέῃ, κλύσαι. τούτους ξυμφέρει οὕτως θεραπεύεσθαι.

Εἴτε συνάπτει ταῦτα τοῖς κατὰ τὴν προειρημένην ῥῆσιν εἰρημένοις εἴτε καὶ μὴ, τὸ ὅπερ! ἐξ αὐτῶν χρήσιμον ἔχειν δύναταί τις κοινὸν, ὡς φυλάττεσθαι καθαίρειν τὰ σώματα, παντελῶς ἀπειρίας οὔσης ἐν τοῖς χυμοῖς, ἐδήλωσεν εἰπὼν οὖρα λεπτὰ, ὡς τά γε παχέα πέψεως ἔχοιεν. ἤδη τοῦτ' αὐτὸ τὴν σύστασιν, καὶ τὸ νεφελοειδέα δὲ τὰ τὰς νεφέλας ἔχοντα δηλονότι δηλοῖ· προσετίθη γὰρ μέλανας, εἴπερ ἐκείνας ἀκούειν ἡμᾶς ἐβούλετο. πολλὰ γὰρ τῶν κοινῶν ὀνομάτων ἄνευ διορισμῶν λέγειν εἰώθασιν, ὅταν τὸ βέλτιον ἐν τοῖς σημαινομένοις ἐπ' αὐτῶν τῶν πραγμάτων δηλῶσαι βουληθῶσιν. οὕτως οὖν ὅταν εἰς σωτηρίαν τελευτῶσιν αἱ κρίσεις, λέγουσιν ἁπλῶς ἐκρίθη· ἀποθανόντος δὲ τοῦ κριθέντος οὐχ ἁπλῶς ἀλλ' ὅλον τοῦτο λέγουσι, κριθεὶς ἀπέ-

existunt, hos si caetera quoque conferant, subpurgare oportet. Quibus vero urinae inter initia tenues, eos non purgato, sed si videatur, alvum sublue. Hos ita curare confert.

Sive iis quae in praecedenti oratione relata sunt haec conjungat, sive quoque non, quod ex ipsis utile quis habere commune potest, quod corporis purgationem prorsus vitare oporteat, quum in humoribus adest cruditas, id manifestavit inquiens: *urinae tenues*, tanquam crassae coctionis *notas* habeant. Jam hoc ipsum consistentiam indicat et verbum hoc *nebulosae* urinas significat nebulas habentes. Nam nigras adjecisset, si nos eas audire voluisset. Multa siquidem nomina communia citra distinctionem dicere consueverunt, quum id quod in significatis rerum melius est declarare voluerint. Sic sane quum judicationes ad salutem fuerint, simpliciter dicunt, judicatus est; defuncto vero judicato, non simpliciter efferunt,

θανε· καὶ χολὴν δὲ ὅταν τις ἐκκριθῆναι ἁπλῶς εἴπῃ, τὴν ὠχρὰν, οὐ τὴν μέλαιναν νοοῦμεν. οὕτως οὖν καὶ νῦν ἀκουστέον οὖρα νεφελοειδέα τὰ λευκὰς ἔχοντα τὰς νεφέλας, αἵπερ εἰσὶ πέψεως σημεῖα. ἐπεὶ τοίνυν τὰ πέπονα φαρμακεύει, διὰ τοῦτο καὶ νῦν οὕτως ἔγραψεν ὁ τούτου τοῦ βιβλίου συγγραφεὺς, συμφέρει τουτέοισι οὕτως θεραπεύεσθαι. μηδὲν δ' εἰπὼν οὗτος περὶ φλεβοτομίας τὰ κατὰ μέρος διεξέρχεται πάντα ἐφεξῆς, οὐχ ὡς ἄν ποτε οὕτως ἐχόντων μὴ δεῖσθαι φλεβοτομίας, ἀλλ' ὡς καὶ νῦν τὰ ἄλλα διδάξαι βουλόμενος μόνα. περὶ γὰρ τῆς φλεβοτομίας αὐτάρκως ἐν τοῖς ἔμπροσθεν εἴρηται. οὕτως θεραπεύεσθαι.

λζ'.

Τῷ σώματι ἡσυχίην ἄγοντα, ἀλείφοντά τε καὶ περιστέλλοντα ὁμαλῶς· ποτῷ δὲ χρέεσθαι μελικρήτῳ ὑδαρεῖ καὶ ῥοφήματι χυλῷ πτισάνης ἐς ἑσπέ- [144] ραν· κοιλίην δ' ὕπαγε κατ' ἀρχὰς κλυσμῷ, φάρμακα δὲ μὴ πρόσαγε τούτοισιν. ἢν γάρ τι κινήσῃς κατὰ κοιλίην, τὸ οὖρον οὐ

ſed hoc totum, judicatus obiit. Praeterea quum quis excretam bilem ſimpliciter dixerit, pallidam, non nigram intelligimus. Sic certe et nunc urinas nebuloſas audire oportet eas, quae albas habent nebulas, quae coctionis notae exiſtunt. Quoniam igitur cocta purgat, ob id et nunc ita ſcripſit libri hujus auctor: *tales autem ita curare confert.* Nihil autem de ſanguinis miſſione loquutus, ea particulatim enarrat ex ordine omnia, non quod interdum ita habentibus ſanguinis miſſione opus non ſit, ſed quod nunc ſola alia docere velit; nam de ſanguinis miſſione abunde ſupra dictum eſt. Sic curandum.

XXXVII.

Corpus quieti conciliare, ungere et aequaliter contegere oportet, at pro potu mulſa aquoſa uti et in ſorbitione cremore hordei ad veſperam; alvum ab initio clyſtere ſubducito, ſed his purgantia medicamenta minime exhibeto. Si quid enim circa ventrem commoveris, urina

πεπαίνεται, ἀλλ' ἄνιδρός τε καὶ ἄκριτος ὁ πυρετὸς ἐπὶ πολὺν χρόνον ἔσται.

Καὶ τόνδε τὸν λόγον διεξέρχεται, σκοπὸν ἔχων ἐν αὐτῷ τὴν μετὰ συμμέτρου θάλψεως ἡσυχίαν· χυλοῦ δὲ πτισάνης δίδωσιν ἀπ' ἀρχῆς, ὡς ἂν μὴ δυναμένων ἐξαρκέσαι μέχρι τῆς ἀκμῆς τε καὶ κρίσεως ἐπὶ τῷ μελικράτῳ, ἐπειδὰν ἄπεπτος μὲν ἡ νόσος, οὐκ ἐγγὺς δὲ οἱ πεπασμοί· δίδωσι δὲ καὶ μελίκρατον ὑδαρὲς, ἐπειδὴ τὸ ὕδωρ ἐδείχθη μηδὲν ἀγαθὸν ἔχειν αὐτὸ καθ' αὐτὸ μόνον. εἰς ἑσπέραν δὲ ἀξιοῖ δίδοσθαι τὴν πτισάνην, ἤπερ τὸ μελίκρατον· προμεμαθηκότων δ' ἡμῶν ἔμπροσθεν ἐν τῷ γνησίῳ μέρει τοῦ συγγράμματος, ὡς ὑστέραν χρὴ τὴν πτισάνην προσφέρεσθαι τοῦ μελικράτου, ἄμεινον ἦν καὶ νῦν οὕτως εἰρῆσθαι, μελίκρατον μὲν πρῶτον, ὕστερον δὲ χυλὸν πτισάνης προσφέρεσθαι· ὅταν δὲ ἀντὶ τοῦ ὕστερον φάναι τὸ εἰς ἑσπέραν εἴπῃ, μερικωτέραν τὴν διδασκαλίαν ποιεῖται, οὐ καθολικωτέραν. διὰ τί δὲ κελεύει μὴ καθαίρειν, ἐφ' ὧν ἀπεψία παντελής ἐστι,

non concoquitur, ſed ſebris citra tum ſudorem tum judicationem ad diuturnum tempus producetur.

Sermonem quoque hunc percurrit, ſcopum in eo habens cum moderata calefactione quietem. Cremorem autem ptiſanae ab initio dat, quod mulſa tum ad vigorem usque tum judicationem ſufficere non poſſit. Morbus ſiquidem crudus eſt et longe abſunt concoctiones. Praeterea mulſam aquoſam exhibet, quod aquam ipſam per ſe ſolam nihil boni habere demonſtratum ſit. Veſperi autem ptiſanam mavult exhiberi, quam mulſam. Quum antea in legitima libri hujus parte didicerimus, ptiſanam mulſa poſterius exhibendam, melius fuit et nunc ita dicere, mulſam quidem prius, poſteriorem vero ptiſanae cremorem exhibe. At vero, quum *veſperi* pro *poſterius* dixerit, magis particularem efficit doctrinam et non univerſaliorem. Cur autem eos purgare haud velit, in quibus ſum-

τὴν αἰτίαν αὐτὸς εἶπεν, ἐπιλογιστικὴν μᾶλλον ἤπερ ἀναλογιστικήν· ἔστι γοῦν αὐτὴν εἰπεῖν καὶ τῷ χωρὶς ἐνδείξεως λογικῆς, ἐξ ἐμπειρίας μόνης τὸ γιγνόμενον ἐγνωκότι· δογματικοῦ δ' ἀνδρὸς ἦν διδάξαι, διὰ τί καθαιρόντων ἡμῶν τοὺς οὕτως ἔχοντας, οὔτε πεπαίνεται τὸ οὖρον, (100) ἄνιδρός τε καὶ ἄκριτος ὁ πυρετὸς διαμένει. τελεώτερον μὲν οὖν ἐν ἑτέροις περὶ τῶν τοιούτων ἁπάντων ἐπεσκέμμεθα, νυνὶ δὲ ἐπὶ κεφαλαίων εἰρήσεται τὸ χρήσιμον εἰς τὰ παρόντα· σὺ δέ μοι πρόσεχε τὸν νοῦν. τεττάρων οὐσῶν δυνάμεων, ὡς ἔμαθες, οὐκ ἐλαχίστην δ' ἐν αὐταῖς ἰσχὺν ἐχούσης καὶ τῆς ἀλλοιωτικῆς, καθ' ἣν ἐξομοιοῖ τοῖς ὑφ' αὐτῆς διοικουμένοις σώμασι τὴν τροφὴν ἡ φύσις, αὕτη πέψις ὀνομάζεται, κατὰ ποιότητα μεταβολὴ τῆς μελλούσης θρέψειν οὐσίας οὖσα. δεῖται τοίνυν ἡ φύσις, ὥσπερ εἰς γαστέρα καταποθείσης τῆς τροφῆς, ἡσυχίας μὲν ἀπὸ τῶν ἄλλων κινήσεων, ἵνα τῇ περὶ τὴν πέψιν ἐνεργείᾳ μόνῃ σχολάσῃ, βοηθείας δέ τινος ἔξωθεν, ὅταν ἀσθενεστέρα γένηταί ποτε· κατὰ τὸν τοιόνδε τρόπον ἐπὶ τῆς ἐν ταῖς φλεψὶ πέψεως τῶν χυμῶν, ἡσυχίας

ma inest cruditas, causam ipse recensuit, epilogisticam magis quam analogisticam, quam recensere ad eum spectat, qui quod fit, sola citra logicam indicationem experientia novit. Dogmatici autem viri erat docere, cur purgantibus nobis ita habentes, non coquatur urina febrisque sine sudore et judicatione perseveret. Perfectius quidem alibi haec omnia sumus contemplati, sed nunc quod praesenti enarrationi prodesse possit summatim dicemus. Tu ergo animum ad me converte. Quum facultates, ut scis, quatuor sint, atque inter eas non minima vi polleat alteratrix, per quam distributis ab ea corporibus natura alimentum assimilat, ipsa coctio nuncupatur, nutriturae substantiae permutatio secundum qualitatem existens. Natura igitur absorpto in ventrem alimento, a caeteris quidem motionibus cessare debet, ut soli quod coquendis deputatum sit operi vacet, sed auxilio externo aliquo indiget, quum aliquando imbecillior reddita fuerit, quo modo et in ea humorum, quae in venis fit, concoctione *contin-*

μὲν δεῖται πρὸ τῆς δευτέρας θερμασίας, ἐκ τοῦ θερμανθῆναι καὶ ψυχθῆναι ἢ ξηρανθῆναι καὶ ὑγρανθῆναι, κατ' ἄλλον καὶ ἄλλον δηλονότι χρόνον ἑκάστου τῶνδε γιγνομένου. κατὰ τοῦτ' οὖν ὁ γράψας ταῦτα συνεβούλευσεν ἡσυχίαν ἄγοντα τῷ σώματι θεραπεύεσθαι τὸν ἄνθρωπον ἀλειφόμενόν τε καὶ περιστελλόμενον ὁμαλῶς τοῖς ἱματίοις· πρὸς γὰρ τὴν τοῦ πυρετοῦ δύναμιν ἀντίῤῥοπον ἡγήσατο ἂν εἶναι τὴν ἐκ τῶν ἀλειμμάτων ὑγρότητα, πρὸς τῷ μήτε θερμαίνειν ἰσχυρῶς μηδὲ ψύχειν, ἀλλὰ λεαίνειν, ὧν μάλιστα δεῖται τὰ πεττόμενα. καὶ εἴπερ ταῦτα συντελεῖ τῇ πέψει τῶν χυμῶν, αἱ καθάρσεις ἐναντίαι εἰσί· κινοῦσαι μὲν γὰρ σφοδρῶς τὸ σῶμα ῥήσσουσι· τοιαύτης γὰρ δυνάμεως ἅπαντ' ἐστὶ τὰ καθαίροντα φάρμακα. αὕτη μὲν οὖν ἐστιν ἡ αἰτία τοῦ τὰς καθάρσεις ἐναντιοῦσθαι ταῖς πέψεσι· πρὸς δὲ τὸ συνεχὲς ἴωμεν ἤδη τοῦ λόγου τοῦδε.

λη'.

[145] *Τὰ δὲ ῥοφήματα, ὁκόταν τῶν κρίσεων ἐγγὺς ᾖ, μὴ*

git, quiete quidem indiget sequentem ante caliditatem, quod calefactum frigefactumque vel exiccatum et humectatum sit, singulis horum alio nimirum et alio tempore factis. Ob id igitur qui haec scripsit, quietem inducens corpori, hominem curari voluit unctum et aequaliter vestimentis obvolutum. Nam adversus vim febris humiditatem eam quae unctionibus comparatur remedium par esse putavit, praeterquam quod neque vehementer calefaciat, neque refrigeret, sed leniat, quibus maxime indigent quae coquuntur. Quod si haec coctioni humorum conferant, purgationes contrariae existunt, nam corpus vehementer moventes frangunt; tali siquidem facultate praedita sunt omnia quae purgant medicamenta. Haec est ergo causa, cur purgationes coctionibus adversentur. Ad eam autem quae sermoni huic continuatur seriem pergamus.

XXXVIII.

Sorbitiones autem, quum prope judicationes fuerit, ne de-

Ed. Chart. XI. [145.] Galen. V. (100.)
δίδου, ἢν θορυβῆται· ὁκόταν δ' ἀνῇ καὶ ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον. φυλάσσεσθαι δὲ χρὴ καὶ πάντων τῶν πυρετῶν τὰς κρίσιας καὶ ἀφαιρέειν τὰ ῥοφήματα κατὰ τοῦτον τὸν καιρόν.

Φυλάττει κἀνταῦθα τὴν Ἱπποκράτους γνώμην ὁ τοῦ βιβλίου συγγραφεὺς, ἐν ἀρχῇ μὲν ἐπὶ μελικράτου καὶ χυλοῦ πτισάνης διαιτῶν, ἐγγὺς δὲ τῶν κρίσεων ἀφελὼν τὸν χυλόν.

λθ'.

Μεμαθήκασι δὲ μακροὶ οἱ πυρετοὶ οἵδε γίγνεσθαι καὶ ἀποστήματα ἴσχειν, ἢν μὲν τὰ κάτω ψυχρὰ ᾖ, περὶ ὦτα καὶ τράχηλον· ἢν δὲ μὴ ψυχρὰ ᾖ, ἄλλας ἴσχειν μεταβολάς. ῥέει δὲ αἷμα ἐκ ῥινῶν καὶ κοιλίαι τοῖσι τουτέοισι ἐκταράσσονται.

deris, fi perturbetur, fed quum perturbatio *remiferit resque in melius procefferit. Omnium autem febrium judicationes obfervandae funt, atque eo tempore forbitiones detrahendae.*

Mentem Hippocratis hoc in loco fervat qui librum hunc fcripfit. In principio quidem mulfam et ptifanae cremorem pro victu exhibet et cum prope eft judicatio, cremorem tollit.

XXXIX.

Hae vero febres longae fieri confueverunt et abfceffus habere circa aures et cervicem, fi quidem infernae partes frigidae fuerint. Quod fi frigidae non fuerint, alias habent mutationes. Fluit autem fanguis e naribus et his alvi exturbantur.

Οἷς ἐστι λεπτὸν τὸ οὖρον διὰ τὴν ἀπεψίαν τῶν χυμῶν, εἰκότως μηκύνουσιν οἱ πυρετοὶ, μὴ δυνάμενοι λυθῆναι πρὸ τῆς πέψεως. ὅτι δ' ἀποσκήμμασιν οἱ τοιοῦτοι κρίνονται πολλάκις ἤδη λέλεκται· σπανιώτερον δέ που καὶ δι' ἐκκρίσεως αἱ λύσεις αὐτῶν γίγνονται· πότερον δ' ἄνω τοῦ σώματος ἢ κάτω τὸ ἀπόστημα γενήσεται, τοῖς ἐν τῷ προγνωστικῷ γεγραμμένοις ὡμολόγηται τὰ νῦν εἰρημένα.

μ'.

Ὁκόσοισι δὲ πυρετοὶ ἀσώδεές εἰσι καὶ ὑποχόνδρια συντείνουσι καὶ κεκλιμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτέῳ καὶ τὰ ἄκρεα ψύχονται πάντα, πλείστης ἐπιμελείης καὶ φυλακῆς δέονται. διάγειν δὲ τούτοισι προσφέροντας μηδὲν ἄλλο ἢ ὀξύμελι ὑδαρές· ῥόφημα δὲ μὴ πρόσφερε, ἕως ἂν λήξῃ καὶ οὖρον πεπανθῇ.

Ἀσώδεις ὀνομάζει πυρετοὺς, ἐν οἷς οἱ κάμνοντες ἀσῶν-

Quibus urina ob humorum cruditatem tenuis est, jure optimo protrahuntur febres, quae ante coctionem solvi nequeunt. Quod autem tales per abscessus judicentur saepius jam dictum est. Rarius autem et per excretionem solutiones horum fiunt. Utrum autem in superiore corporis parte, aut inferiore abscessus generabitur, quae hic dicuntur iis quae in prognostico scripta sunt astipulantur.

XL.

Quibuscunque vero febres jactatrices sunt et hypochondria contendunt, quique decumbentes eodem in loco stare nequeunt et extremis omnibus perfrigerantur, hi tum maximam diligentiam tum custodiam requirunt; eos autem ita degere oportet, ut nihil aliud quam acetum mulsum acutum exhibeas, neque sorbitionem offeras, donec ipsis febris desierit et urina concocta fuerit.

Jactantes febres appellat in quibus aegri jactantur

ται καὶ ἀηδῶς ἔχουσι· τὸ δὲ δυσφορεῖν ἑπόμενόν ἐστιν ἐνίοτε μὲν τῷ μόνιμον εἶναι τὸν πυρετὸν καὶ καυσώδη, πολλάκις δὲ καὶ τῇ τοῦ στομάχου κακώσει· στόμα δὲ τῆς γαστρὸς οὕτως ἀκουέ μου [146] λέγοντος νῦν. ἤρξατο μὲν οὖν ἀπ' αὐτῶν πυρετῶν, ἀσώδεις εἰπὼν αὐτοὺς, ὑποχόνδριά τε συντείνοντας· ἐφεξῆς δὲ ἐπὶ τοὺς πυρέσσοντας μετέβη· τὸ γὰρ κεκλιμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτῷ, κατὰ τῶν πυρεττόντων εἴρηται, καθάπερ καὶ τὸ τὰ ἄκρα ψύχονται. τὸ μὲν οὖν μὴ ἀνέχεσθαι κεκλιμένους ἐν τῷ αὐτῷ τῶν ἀσώντων τε καὶ δυσφορούντων ἐστὶ γνώρισμα· τὸ δὲ ψύχεσθαι τὰ ἄκρα, φλεγμονῆς μεγάλης ἐν τοῖς σπλάγχνοις ἐπὶ παχέσι χυμοῖς, ὡς ἔμπροσθεν ἐδείκνυον, ἡνίκα περὶ τοῦ δευτέρου τῶν καύσων εἴδους ὁ λόγος ἦν· καὶ εἴπερ σφοδρὰ ἡ κατάψυξις εἴη, τεκμήριον ἤδη σοι τοῦ καὶ τὴν δύναμιν εἶναι ἄῤῥωστον ἰσχυρῶς· εἰκότως οὖν ἔφη φυλακῆς πλείστης καὶ ἐπιμελείας δεῖσθαι τοὺς κάμνοντας οὕτως. εἰκότως δὲ καὶ ὀξύμελι δίδωσιν αὐτοῖς ὑπὸ παχέων τε καὶ γλίσχρων χυμῶν ἐνοχλουμένοις· προσέθηκε δὲ τῷ λόγῳ ὑδαρὲς, ὡς

et graviter afficiuntur. Haec autem gravis tolerantia sequitur interdum quidem febrem ſtabilem et ardentem, ſaepius autem et ſtomachi vitium, os autem ventriculi ita me dicentem nunc audi. Incipit ergo a febribus ipſis, jactantes ipſas vocans et hypochondria contendentes, deinde ad febricitantes pertranſiit. Nam quod decumbentes ſeſe continere non poſſint, de febricitantibus dictum eſt, ut et quod extrema refrigerentur. Jacentes autem ſeſe eodem in loco non continere, jactatorum ac difficulter ferentium nota eſt. Extrema autem frigere, magnae viſcerum phlegmones, quae ex craſſis humoribus orta ſit, ut antea demonſtravimus, quum de ſecunda cauſi ſpecie ageremus. Quod ſi vehemens frigus fuerit, quod vires valde infirmae ſint, jam tibi conjectura eſt. Merito igitur ita aegrotantes plurima tum cuſtodia tum diligentia indigere ait. Sed et merito ipſis acetum mulſum dat, ut qui a craſſis et viſcoſis humoribus vexantur. Adjecit autem ſermoni *aquoſum*, tanquam contrarium illi quod his

πρὸς τὸ διδόμενον οἷς ἐν πνεύμονι τοιοῦτοι περιέχονται χυμοί· πολὺ γὰρ ὀξύτερον ἐπ' ἐκείνων εἶναι προσῆκεν, ἐπεὶ διὰ τὸ μῆκος τῆς κατὰ τὴν ἀνάδοσιν φορᾶς ἐπὶ τὸ πεπονθὸς μέρος ἀναγκαῖόν ἐστιν ἐκλυθῆναι τὴν δύναμιν· τοῖς δὲ καθ' ὑποχόνδριον εὐθέως προσπίπτει τοιοῦτον οἷον ἐπόθη. τὸ δὲ μηδ' ὅλως διδόναι ῥόφημα τοῖς οὕτως ἔχουσι, πρὶν πεπανθῆναι τὴν νόσον, ἀδιορίστως εἴρηται φυλαττόντων γε ἡμῶν ὃ ἐδίδαξεν ὁ Ἱπποκράτης· προσκεῖσθαι δεῖ τῷ λόγῳ, ἢν ἀρκέῃ ὁ νοσέων, ὅπερ ὡς φανερὸν ἴσως παραλέλοιπεν.

μα'.

Κατακλίνειν δὲ εἰς ζοφερὰ οἰκήματα καὶ κατακεκλίσθαι ὡς ἐπὶ μαλθακωτάτοισι στρώμασι, πολὺν χρόνον ἐπὶ τὰ αὐτὰ καρτερέοντα καὶ ὡς ἥκιστα ῥιπτάζειν· μάλιστα γὰρ τοῦτο τοὺς τοιούσδε ὠφελέει.

Τὴν ἐν ζοφεροῖς οἰκήμασι κατάκλισιν οὐχ ὡς πεπαν-

datur, in quorum pulmonibus tales continentur humores. Nam acidius longe in illis esse convenit, quod propter longam in distributione ad affectam partem delationem vires exolvi necessarium sit, his vero tale hypochondrio incursat, quale epotum est. Nullo autem pacto sorbitionem ita habentibus dare, priusquam morbus coctus fuerit, indistincte est pronunciatum, servantibus nobis quod edocuit Hippocrates. Adjiciendum est sermoni, si aeger suffecerit, quod tanquam manifestum forte praetermisit.

XLI.

Decumbere autem in conclavi obscuro debent, *et in stratis quam mollissimis reclinati, longo tempore eundem decubitum perferre et quam minime sese jactare. Id enim eos maxime juvat.*

Nunc decubitum obscura in domo non tanquam coctivum

τικὸν βοήθημα συνεβούλευσε νῦν, ἀλλ' ὡς τῆς διὰ τὴν ἄσην γινομένης δυσφορίας ἐπανορθωτικὸν, ἧς ἕνεκα καὶ τῆς μαλθακῆς στρωμνῆς ἐμνημόνευσε. τὸ δὲ πειρᾶσθαι μὴ ῥιπτάζειν ἑαυτὸν, ἀλλ' ἡσυχάζειν ἑκατέρως χρήσιμον τῷ κάμνοντι καὶ ὡς τῇ πέψει τῆς ὅλης νόσου συντελοῦν καὶ ὡς διαφυλάττον τὴν δύναμιν.

μβ'.

Ἐπὶ δὲ τὸ ὑποχόνδριον λίνου σπέρμα ἐγχρίων ἐπιτίθει φυλασσόμενος ὅκως μὴ φρίξῃ προστιθέμενον· ἔστω δὲ ἀκροχλίαρον, ἑφθὸν ὕδατι καὶ ἐλαίῳ.

(101) *Μαλακτικόν ἐστι τὸ λινόσπερμον καὶ μὴ θερμαῖνον ἐπιφανῶς, ὧν μάλιστα δεῖται φλεγμονὴ πᾶσα· καὶ μέντοι κατὰ τὴν θίξιν αὐτὸ παρασκευάζει τοιοῦτον, ὁποῖον καὶ κατὰ τὴν δύναμίν ἐστιν, ἀκροχλίαρον ἀξιῶν προσφέρειν.* [147] *καὶ ἡ μίξις δὲ τοῦ ἐλαίου καὶ τοῦ ὕδατος χλιαρᾶς θερμασίας ἐστὶ γεννητικὴ, μετὰ τοῦ μαλάττειν τε καὶ παρη-*

auxilium, ſed tanquam jactationis ob gravem moleſtiam factae emendatorium voluit, cujus gratia et lecti mollis meminit. Tentare autem ſeipſum non projicere, ſed conquieſcere, laboranti modo utroque commodat, tanquam et morbi totius concoctionem juvans et tanquam vires conſervans.

XLII.

Supra vero hypochondrium lini ſemen linteo *illitum admove, cavendo ne inhorreſcat* aeger, *quum apponitur; ſit autem ſumme tepidum, ex aqua et oleo coctum.*

Emollit lini ſemen, nec manifeſte calefacit, quae maxime expoſtulat omnis phlegmone. Et ſane tactu tale ipſum comparat, quale et ſecundum facultatem eſt, ſumme tepidum ipſum admovere praecipiens. Caeterum aquae et olei mixtura tepidum generat calorem mollitque et mitigat moderate, habens facultatem, cujus potiſſimum eſſe

γορεῖν μετρίως, ὑπάρχον δυνάμεως ὁποίας μάλιστα ἐδείχθη δεῖν εἶναι τὰ πέττοντά τε καὶ τὰ διαφοροῦντα.

μγ'.

Τεκμαίρεσθαι δ' ἐκ τῶν οὔρων τὸ μέλλον ἔσεσθαι· ἢν μὲν γὰρ παχύτερα καὶ ὠχρότερα ᾖ, βελτίω· ἢν δὲ λεπτότερα καὶ μελάντερα, πονηρότερα.

Οὐ πᾶν τὸ μέλλον ἔσεσθαι διδάσκει ἐκ τῶν οὔρων, ἀλλὰ σωτηρίαν ἢ θάνατον· σωτηρίαν μὲν γὰρ δηλοῖ τὰ παχύτερα καὶ ὠχρότερα. σαφῶς δὲ τὰ παχύτερα τοῖς λεπτοῖς παραβάλλων εἶπεν, οὐ τοῖς κατὰ φύσιν, ὡς καὶ μικρὸν ἔμπροσθεν ἠξίουν ἀκούειν· οὔτε γὰρ ἂν παχέα λέγοις, ἑρμηνεύειν ὀρθῶς ἐθέλων, οὔτε λεπτὰ τὰ κατὰ φύσιν οὖρα. τά γε μὴν λεπτὰ καὶ μέλανα χείριστα· πρὸς γὰρ τῶν λεπτῶν μόνον γινομένων ἄπεπτον δηλοῦται τὸ νόσημα· τὸ γὰρ ἀκριβῶς λεπτὸν ὑδατῶδές ἐστιν, ὥστε καὶ λευκόν. αἱ δὲ τῶν

debent, ut demonſtravimus, quae tum concoquunt tum diſcutiunt.

XLIII.

Conjectare vero oportet ex urinis quid futurum ſit. Si namque craſſiores pallidioresque fuerint, meliores, ſi vero tenuiores et nigriores, deteriores.

Non quicquid futurum ſit ex urinis docet, ſed vel ſalutem vel mortem. Salutem enim indicant craſſiores et pallidiores. Craſſiores autem perſpicue dixit, tenuibus et non naturalibus comparans, ut et paulo ante intelligere volui, neque enim craſſas urinas, neque tenues, quae ſecundum naturam ſunt, dixeris, ſi recte volueris interpretari. Sane tenues et nigrae deterrimae ſunt. A tenuibus ſiquidem ſolis morbus crudus indicatur. Nam quod exacte tenue eſt, id aquoſum eſt, quapropter et album.

οὔρων προγνώσεις ἐν τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν εἴρηνται.

μδ΄.

Ἢν δὲ μεταβολὰς ἔχῃ, χρόνον τε σημαίνει καὶ ἀνάγκη τῷ νοσήματι μεταβάλλειν καὶ ἐπὶ τὰ χείρω καὶ ἐπὶ τὰ βελτίω τὴν ἀνωμαλίην.

Καὶ τοῦτο γὰρ φυλάττων ἐπὶ τῶν νοσούντων εὑρήσεις ἀληθὲς, εἰς χρόνον πλείονα καὶ μεταβολὰς μεταξὺ γιγνομένας ἐμπίπτοντα τὸν ἄνθρωπον ἐπὶ τοῖς ποικίλοις οὔροις· πλείους γὰρ αἱ διαθέσεις δηλοῦνται αἱ μὴ τῆς αὐτῆς θεραπείας δεόμεναι, οὐδὲ τὴν ἴσην ἔχουσι προθεσμίαν τῆς λύσεως.

με΄.

Τοὺς δὲ ἀκαταστάτους τῶν πυρετῶν ἐᾷν μέχρις ἂν κατα-

Sed praenotiones ex urinis in commentariis prognoſtici dictae ſunt.

XLIV.

Si autem mutationes habeant, temporis diuturnitatem indicant morbusque neceſſario tum ad deterius, tum ad melius commutat inaequalitatem.

Nam ſi id et in aegrotantibus obſervaveris, verum comperies, hominem ex urinarum varietate in longius decidere tempus, atque medias incurrere permutationes. Plures namque ſignificantur affectiones, quae non eadem egent curatione, neque aequalem habent ſolutionis praefinitionem.

XLV.

Inconſtantes vero febres, donec conſtent, ſinere oportet.

στῶσιν· ὁκόταν δὲ στῶσιν, ἀπαντῆσαι διαίτῃ καὶ θεραπείῃ τῇ προσηκούσῃ, κατὰ φύσιν θεωρέων.

Ἀκαταστάτους πυρετοὺς εἴρηκεν ἐφ' ὧν μηδέν ἐστι καθεστηκὸς, ὅπερ σημαίνει τὸ βέβαιον· ἔστι δὲ βέβαια τὰ ἐν ταῖς περιόδοις φαινόμενα καὶ τοῖς οὔροις, ἔτι δὲ καὶ ταῖς ἠκριβωμέναις ἰδέαις τῶν πυρετῶν. αἱ μὲν οὖν περίοδοι τὴν ἀρχὴν οὐδὲ φαίνονται ταῖς πρώταις ἡμέραις· [148] τὰ δὲ ἐπιγίνεται ἄλλοτε ἄλλα καὶ πολλάκις τρὶς καὶ τετράκις οὐρεῖν, διά γε τῆς ἡμέρας καὶ τῆς νυκτὸς συμβαίνει· καὶ ἀνόμοια φαίνεται τὰ οὖρα πρὸς ἄλληλα. τὴν τοίνυν ἰδέαν τοῦ τοιούτου πυρετοῦ ἀκατάστατον εἶναί φησιν, ὅπερ ταὐτόν ἐστι σημαίνειν τῷ μὴ διασώζοντι τὴν ἰδέαν μίαν ἀκριβῶς. ἐδήλωσα δέ σοι τὰς ἀκριβεῖς ἰδέας τῶν πυρετῶν ἔν τε τοῖς περὶ διαφορᾶς αὐτῶν ὑπομνήμασι κἀν τῷ δευτέρῳ περὶ κρίσεων· ἐπὶ τῶν τοιούτων οὖν πυρετῶν ἀξιοῖ μὴ κατ' ἀρχὰς τῇ διαίτῃ χρῆσθαι, ἀλλ' ἐὰν ἕως ἂν ἴδωμεν ποῖοί τινές εἰσι καὶ τηνικαῦτα τὸ τῆς διαίτης εἶδος ὁρίζειν.

Quum autem conſtiterint, victu et curatione convenienti occurrere, facta ſecundum naturam ſpeculatione.

Febres inconſtantes dixit, in quibus nihil conſtans exiſtit, quod ſignificat ſtabile. Sunt autem ſtabilia quae in periodis et urinis et exquiſitis febrium ideis apparent. Periodi itaque principium non oſtendunt primis diebus. Urinae vero ſuperveniunt alias aliae et ſaepenumero ter quaterque interdiu et noctu mejere contingit diſſimilesque inter ſe apparent urinae. Ideam ergo talis febris inconſtantem eſſe ait, quod idem ſignificatione eſt ac quae plane ideam unam non ſervat. Expoſui tibi exquiſitas febrium ideas et in commentariis de febrium differentiis et in ſecundo de criſibus. In hujusmodi itaque febribus non in principio victu uti praecipit, ſed ſinere, donec qualis ſit febris cognoſcamus et tunc victus formam praefinire.

μστ'.

Εἰσὶ δὲ ὄψιες πολλαὶ τῶν καμνόντων.

Ὄψιας εἴρηκεν ὡσανεὶ διαφορὰς ἢ τρόπους ἢ ἰδέας· τῶν καμνόντων δὲ, ἀντὶ τοῦ τῶν τοῖς κάμνουσιν γινομένων νοσημάτων. ἐδείχθη γὰρ ἤδη πολλάκις ὡς ἅπασι τοῖς παλαιοῖς ἔθος ἐστὶν ἀπό τε τῶν παθημάτων ἐπὶ τοὺς πάσχοντας αὐτοὺς μεταφέρειν τὰς προσηγορίας, ἀπό τε τῶν πασχόντων ἐπὶ τὰ πάθη· ὡς μηδὲν διαφέρειν τῶν πυρετῶν εἰπεῖν διαφορὰς ἢ τῶν πυρεττόντων, οὕτως δὲ καὶ πλευριτικῶν ἢ συναγχικῶν ἢ πλευρίτιδος ἢ συνάγχης. ὄψιας οὖν εἶπε καμνόντων, ἐπειδὴ τοῖς ὀφθαλμοῖς αὐτοὺς θεωροῦντες εὑρίσκομεν τὰς διαφοράς.

μζ'.

Διὸ προσεκτέον τῷ ἰωμένῳ, ὅκως μὴ διαλήσεταί τις τῶν προφάσιων.

XLVI.

Sunt autem facies aegrotantium multae.

Facies dixit quasi differentias vel modos vel species, *aegrotantium* vero, pro iis, qui aegrotantibus oriuntur, morbis. Jam enim saepius demonstratum est eam esse antiquis omnibus consuetudinem, ut ab affectibus ad affectos et ab affectis ad affectus transferant appellationes, quasi febrium vel febrientium differentias dicere nihil referat, sic et pleuriticorum vel angina laborantium, aut pleuritidis vel anginae. Facies ergo dixit laborantium, quoniam eos oculis contemplantes reperimus differentias.

XLVII.

Quare medenti animadvertendum est, ne aliqua ipsum manifesta causa lateat.

Ἐμάθομεν ὅτι τὰς φανερὰς αἰτίας ὀνομάζει προφάσεις· ἀλλὰ καὶ νῦν εὔδηλός ἐστιν ἐπὶ τούτου φέρων τὴν προσηγορίαν. ἐπιφέρει γοῦν·

μη'.

Μήτε τῶν κατὰ λογισμὸν μήτε ὁκόσας εἰς ἀριθμὸν ἄρτιον ἢ περισσὸν δεῖ φανῆναι.

Ὡς τῶν αἰτιῶν τὰς μὲν φανερὰς ἁπάντων γινωσκόντων ἄνευ τεχνικοῦ λογισμοῦ, τὰς δὲ μόνων τῶν χρωμένων τῷ τεχνικῷ λογισμῷ· προσέχειν δὲ δεῖ, φησι, κἀκείναις, ἃς ἐς ἄρτιον ἢ περιττὸν φανῆναι δεῖ.

μθ'.

[149] *Μάλιστα μὲν οὖν δεῖ τὸν περισσὸν ἀριθμὸν εὐλαβέεσθαι, ὡς αὗται αἱ ἡμέραι ἑτεροῤῥεπέας ποιοῦσι τοὺς κάμνοντας.*

Quod manifestas caufas occafiones appellet didicimus, fed et nunc eam de his appellationem ferre conftat. Infert igitur:

XLVIII.

Neque earum quae ratiocinatione cognofcuntur, neque earum quas die pari aut impari apparere oportet.

Quafi caufarum alias quidem manifeftas absque ratiocinatione artificiofa cognofcant omnes, alias vero foli qui ratiocinatione artificiofa utuntur. His quoque et attendendum, ait, quas in numerum parem vel imparem apparere oportet.

XLIX.

Maxime igitur numerus impar verendus eft. Quod hi dies in alterutram partem aegrotos procumbere faciant.

Οὐχ ἁπλῶς ἀκουστέον ἐστὶν, ἀλλ' ἐπὶ τῶν ὀξέων νοσημάτων, μέγα δύνασθαι τὰς περισσὰς ἡμέρας, ὡς μεταβολὰς ἑκατέροις ἀξιολόγους ἐμποιούσας εἰς ὑγείαν τε καὶ θάνατον· τοῦτο γὰρ σημαίνει τὸ ἑτερορῥεπέας. ἐπὶ μὲν τῶν ὀξέων ἡ γ' καὶ ἡ ε' καὶ ζ' καὶ θ' καὶ ια' καὶ ιδ' καὶ ιζ', ἐπὶ δὲ τῶν χρονίων ξ' καὶ π'. μέσαι δ' αὐτῶν εἰσι κ' καὶ λδ' καὶ μ', περιτταὶ δὲ καὶ αὗται.

ν'.

Φυλάττεσθαι οὖν δεῖ τὴν πρώτην ἡμέραν, ἐν ᾗ ἤρξατο ἀσθενέειν ὁ κάμνων, ἰδόντα τὴν ἀρχὴν ἐξ ὅτου καὶ ὅτε· ἡγέεται γὰρ τοῦτο τὸ πρῶτον εἰδῆσαι. ὁκόταν δὲ ἔρῃ αὐτὸν καὶ διασκέψῃ πάντα, πρῶτον μὲν κεφαλὴν ὅπως ἔχῃ, εἰ ἀνάλγητος καὶ μὴ βάρος ἔχῃ ἐν ἑωυτῇ· ἔπειτα ὑποχόνδρια καὶ τὰ πλευρὰ, εἰ ἀνάλγητα. ὑποχόνδριον μὲν γὰρ εἰ ἐπίπονόν ἐστιν ἢ ἐπηρμένον ἢ ἔχει τινὰ σκολιότητα ἢ κόρον ἢ πλευροῦ ἀλγηδὼν ἐνείη καὶ ἅμα τῷ ἀλγήματι ἢ βηχίον ἢ στρόφος ἢ πόνος κοιλίης. ὁκόταν

Dies impares multa pollere virtute, non ſimpliciter, ſed in acutis morbis eſt intelligendum, quod inſignes in utramque, tum ſalutem, tum mortem mutationes efficiant; id enim ſignificat in alterutram partem procumbentes. In acutis quidem *hi ſunt*, tertius, quintus, ſeptimus, nonus, undecimus, decimusquartus et decimus ſeptimus. In longis ſexageſimus et octogeſimus. Medii horum ſunt vigeſimus, trigeſimusquartus et quadrageſimus. Impares autem et hi.

L.

Obſervare itaque oportet primum diem, quo aeger debilis eſſe coepit, cognito unde et quando principio, id enim noſſe praecipuum exiſtimatur. Quum autem ipſum aegrum interrogaveris, etiam omnia conſideraveris, in primis quidem, quomodo caput habeat, an dolore vacet, neque gravitatem in ſe habeat, deinde an hypochondria lateraque dolore careant. Si videlicet hypo-

δέ τι τούτων παρῇ ἐν ὑποχονδρίῳ, μάλιστα λύειν τὴν κοιλίην κλυσμοῖσι· πινέτω δὲ μελίκρητον θερμὸν ἀφη- (102) ψημένον. καταμανθάνειν δὲ καὶ ἐν τῇσιν ἐξαναστάσεσιν, εἰ λειποθυμέῃ καὶ εἰ τοῦ πνεύματος εὐφορίη αὐτὸν ἔχει. ἰδεῖν δὲ καὶ διαχώρησιν, μή τι μέλαν ἰσχυρῶς διεχώρησεν χρῶμα ἢ καθαρὸν, ὁκοῖα ὑγιαίνοντος ἂν εἴη διαχωρήματα· καὶ ὁ πυρετὸς εἰς τὴν τρίτην ἐπιπαροξυνόμενος. κατιδὼν δὲ εὖ μάλα τοὺς τοιούσδε ἐν ταύτῃσι τῇσι νούσοισι τριταίους, πρὸς ταῦτα ἤδη καὶ τὰ ἄλλα συνορῇν· καὶ ἢν ἡ τετάρτη τῇ τρίτῃ ἡμέρᾳ ὅμοιον ἔχῃ τι τῶν αὐτῶν τούτων, κινδυνώδης ὁ κάμνων γίγνεται. τὰ δὲ σημεῖα ἡ μὲν μελαίνη διαχώρησις θάνατον σημαίνει, ἡ δὲ ὁμοίη τῷ ὑγιαίνοντι, ὁκόταν ἀνὰ πάσας τὰς ἡμέρας φαίνηται, σωτήριον.

Φυλάττεσθαί φησι χρῆναι πρῶτον μὲν τὴν πρώτην

chondrium doleat aut attollatur, aut obliquitatem aliquam habeat aut ſatietatem, aut lateris dolor aſſuerit, ſimulque cum dolore aut tuſſicula aut tormina aut ventris dolor, quum autem horum quicquam hypochondrio adſuerit, alvum potiſſimum clyſmis ſolvere oportet. Bibat autem mulſam calidam coctam. At et perdiſcendum, an in exurrectionibus defectu animi corripiatur et an ſpiritus ducendi facilitas ipſum habeat. Inſpicienda vero quoque dejectio, num vehementer atro colore prodierit, vel ſincera, quales ſunt ſanorum dejectiones, et an tertio die exacerbetur febris. Ubi autem hujusmodi tertianos circuitus in his morbis probe admodum inſpexeris, praeterea jam et alia conſideranda ſunt, et ſi quartus dies tertio quicquam his in ipſis ſimile habuerit, aeger in periculo verſatur. Ex ſignis autem nigra dejectio mortem ſignificat, quae vero ſani dejectioni ſimilis eſt, ubi per omnes dies apparuerit, ſalutaris.

Obſervandum in primis ait primum eſſe diem, in quo

ἡμέραν, ἐν ᾗ γνῶναι κελεύει τὴν αἰτίαν τοῦ νοσήματος· τὸ γὰρ ἐξ ὅτου καὶ ὅτε τὸ τί ποτ᾽ ἐστὶ τὸ νόσημα δηλοῖ. πυνθάνεσθαι δὲ κελεύει πρῶτον μὲν τὴν κεφαλὴν ὅπως ἔχει, ἔπειτα ὑποχόνδρια καὶ πλευράς. ὑποχόνδριον μὲν εἴ τις ἐστὶν ὀδύνη ἢ ἐξήρτηται ἤ τινα ἔχει σκολιό- [150] τητα, τουτέστιν ἀνωμαλίαν· ὅπερ ἐν τῷ προγνωστικῷ κατὰ τήνδε τὴν λέξιν ἔγραψεν, εἰ ἀνωμάλως διακείμενον τὰ δεξιὰ καὶ τὰ ἀριστερά. ἢ εἰ κόρον ἔχει, φησὶ, τοῦτο δέ μοι δοκεῖ τὴν πλήρωσιν τῶν σιτίων εἶναι. ἐρωτᾷν δὲ ἀξιοῖ καὶ τὰ ἄλλα περὶ τὴν ἑξῆς λέξιν· κἄπειτα κελεύει, τῶν μὲν ὑποχονδρίων πεπονθότων λύειν τὴν κοιλίαν κλυσμοῖς, πίνειν δὲ μελίκρατον θερμὸν ἀφηψημένον. ἀδιορίστως δὲ ταῦτ᾽ εἰπὼν ἐφεξῆς γράφει· καταμανθάνειν δὲ χρὴ καὶ τὰ ἐν ταῖς ἐξαναστάσεσιν, εἰ λειποθυμεῖ καὶ ἣν τοῦ πνεύματος, φησὶν, εὐφορίη αὐτὸν ἔχει· τοῦτο δ᾽ ἀντίκειται τῷ λειποθυμοῦντι. ὁρᾷν δ᾽ ἀξιοῖ καὶ τὸ διαχώρημα, πότερον μέλαν ἐστὶν ἢ καθαρὸν καὶ ἄμεμπτον, ὁποῖον τῶν ὑγιαινόντων, ὥσπερ καὶ εἰ ὁ πυρετὸς εἰς τὴν τρίτην ἡμέραν ἐπιπαροξύ-

morbi causam cognosci jubet, nam *unde et quando* quisnam sit morbus indicat. Interrogari autem praecipit in primis quidem quo modo habeat caput, mox hypochondria et latera. Hypochondrium quidem, si quis dolor sit, aut tollatur, aut quandam habeat obliquitatem, hoc est inaequalitatem, quod in prognostico his verbis scripsit: *si inaequaliter affecta dextra ac sinistra parte. Vel si satietatem habeant*, inquit, quod ciborum repletionem esse arbitror. Interrogari quoque et alia, quae in dictione sequenti habentur, jubet. Deinde hypochondriis ita affectis, solvere alvum clysteribus imperat mulsamque bibere calidam et coctam. Sed indistincte haec loquutus deinceps scribit: *Sed et perdiscendum, si quum exurgit, defectu animi corripiatur, et si*, inquit, *ipse facilem spiritum ducat*, quod defectu animi correpto opponitur. Inspiciendam praeterea jubet dejectionem, utrum nigra sit, aut sincera et inculpata, qualis sanorum est, quemadmodum et si febris tertio exacerbetur die. His ita se habentibus, si

νεται. τούτων οὕτως ἐχόντων ἐὰν ἡ δ' τῇ γ' παραπλήσιον ἔχῃ τι κατὰ τὸν παροξυσμὸν, κινδυνώδη δηλονότι ταύτην φησί. τὸ γὰρ καὶ τὴν δ' ἡμέραν ἐπίδηλον οὖσαν τῆς ζ' νεωτερίσαι τι τῶν χαλεπῶν ἐστι σημείων· ὁ δὲ νεωτερισμὸς δῆλος. εἰ γὰρ τῇ α' τῶν ἡμερῶν καὶ τῇ γ' παροξυσμὸς ἐγένετο, τῇ β' δὲ οὐκ ἐγένετο, προσῆκον ἦν τὴν ε'. ἔχειν παροξυσμὸν, τὴν δὲ δ' μὴ ἔχειν· ἔχουσα τοίνυν καὶ αὕτη κακοῦ τινος ἑτέρου γένεσιν ἐνδείκνυται. εἰ δὲ καὶ μέλανα διαχωρήσειε, θάνατον ἔσεσθαι δηλοῖ. μέμνησο δὴ τούτου παραλιπὼν τὰ πολλὰ τῶν εἰρημένων. εἰ γὰρ τῇ α' τῶν ἡμερῶν ἡ γ' τὸν ἀνάλογον ἤνεγκε παροξυσμὸν, νεώτερον μὲν, εἰ καὶ ἡ δ' παρώξυνεν· εἰ δὲ καὶ μέλανα διεχώρησεν, ὀλέθριόν ἐστι τὸ σημεῖον· ἐὰν δὲ πάλιν ὅμοια τοῖς ὑγιαίνουσιν ἀνὰ πάσας τὰς ἡμέρας διαχωρῇ, σωτηρίαν ἔλπιζε τοῦ κάμνοντος ἔσεσθαι.

να'.

Ὁκόταν δὲ μὴ ὑπακούῃ τῇ βαλάνῳ, ἐνῇ δὲ τοῦ πνεύματος

quartus dies tertio quicquam ſimile in acceſſione habuerit, periculoſum eum eſſe aſſeverat, nam quartum diem, qui ſeptimi index eſt, rem novam edere ex periculoſis eſt ſignis. Rei autem novae editio manifeſta. Nam ſi primo die et tertio acceſſio fiat et ſecundo facta haudquaquam fuerit, quod quintus acceſſionem habiturus ſit par eſt et non quartus, quapropter ſi quartus habuerit, mali cujuspiam alterius generationem demonſtrat. Si autem et nigra dejecerit, mortem indicat fore. Tu autem multa ex dictis praetermittens memoriam rei hujus habe. Nam ſi primo et tertio die conſentaneam attulerit acceſſionem febris, recentius quidem ſi et quartus paroxyſmum fecerit, ſed ſi et *aeger* nigra dejecerit, ſignum eſt lethiferum. Quod ſi rurſum diebus omnibus ſanis ſimilia dejecerit, ſalutem aegro futuram ſpera.

LI.

Quum autem alvus glandi ſubditae non ceſſerit et facilis

εὐφορίῃ, διαναστὰς ἐπὶ τὸν θρόνον ἢ αὐτοῦ ἐν τῇ κλίνῃ ἢν ἀψυχίῃ ἐνῇ· ταῦτα δὲ ὁκόταν προσῇ τῷ κάμνοντι ἢ τῇ καμνούσῃ κατ' ἀρχὰς, παραφροσύνην προσδέχου ἐσομένην.

Συγκέχυται τῆς ῥήσεως ταύτης ἡ διάνοια. τὸ γὰρ ὅταν βάλανος μηδὲν ἀνύῃ, δοκῇ δ' εὐφόρως ἔχειν ὁ κάμνων, εἴ γε κἂν ταῖς διαναστάσεσι λειποψυχεῖ, παραφροσύνην προσδέχεσθαι, κακῶς εἰρῆσθαί μοι δοκεῖ, μήτε τῆς ἐμπειρίας μαρτυρούσης αὐτῷ μήτε τοῦ λογισμοῦ. γένοιτο γὰρ ἄν ποτε καὶ τοιοῦτόν τι· αἱ δὲ προγνώσεις εἰσὶν οὐ τῶν σπανίως γιγνομένων, ἀλλὰ τῶν διὰ παντὸς ἢ ὡς τὸ πολύ.

νβ'.

Προσέχειν δὲ χρὴ καὶ τῇσι χερσίν· ἢν γὰρ τρομεραὶ ἔωσι, προσδέχου τῷ τοιῷδε ἀπόσταξιν αἵματος διὰ ῥινῶν ἐσομένην.

ſpiratio aſſuerit ſurgensque aeger ad ſedem aut in ipſius lecto animi defectu corripiatur, quum haec aegro aut aegrae inter initia aſſuerint, delirium aſſore expecta.

Confuſa eſt hujus textus intelligentia. Nam ubi glans nihil profecerit videaturque aeger facile ferre, ſi utique et quum exurgit, defectu animi corripiatur, delirium expectandum, male dictum eſſe mihi videtur, quum rei huic neque experientia, neque ratio patrocinentur, quanquam tale quicquam aliquando fiat. Praenotiones tamen non eorum ſunt, quae raro accidunt, ſed eorum, quae ſemper aut magna ex parte.

LII.

Mens vero manibus quoque adhibenda eſt. Nam ſi tremulae fuerint, huic ſanguinis e naribus deſtillationem futuram expecta.

[151] *Καὶ οὗτος ὁ λόγος οὐ τὸ διηνεκὲς, οὐδ᾽ ὡς τὸ πολύ τι γιγνόμενον, ἀλλὰ τὸ σπάνιον διδάσκει.*

νγ΄.

Ὁρῆν δὲ χρὴ αὐτοὺς τοὺς μυκτῆρας, ἢν ὁμοίως τὸ πνεῦμα δι᾽ ἀμφοτέρων ἕλκηται· καὶ ἢν πολὺ φέρηται ἐκ τῶν μυκτήρων, φιλέει γίνεσθαι σπασμός· ἢν δὲ σπασμὸς γένηται, τῷ τοιῷδε θάνατος προσδόκιμος καὶ καλῶς ἔχει προλέγειν.

Οὐσῶν τῶν χειρῶν τρομωδῶν, οὕτω γὰρ προσῆκον εἰπεῖν, εἰ τὸ πνεῦμα πολὺ φέρεται δι᾽ ἀμφοτέρων τῶν μυκτήρων, σπασμὸν ἐπιγίνεσθαί φησιν· εἴωθε δ᾽ οὕτω καλεῖν τὴν σπασμώδη διάθεσιν, γινομένην κατὰ τῶν τὰ πτερύγια τῆς ῥινὸς κινούντων μυῶν.

νδ΄.

Ἢν δὲ ἐν πυρετῷ χειμερινῷ ἡ γλῶσσα τρηχείη γένηται καὶ

Hic quoque fermo neque quod continuum fit, neque quod plerumque, fed quod raro accidat, docet.

LIII.

Infpicere vero ipfas quoque nares oportet, an per utrasque fpiritus aequaliter trahatur, et fi multus e naribus feratur, convulfio fieri affolet, fi vero convulfio fiat, huic mors expectanda eft, quam praedicere pulchrum fuerit.

Quum tremulae funt manus, nam ita dicere confentaneum eft, fi fpiritus multus per utrasque nares feratur, convulfionem fupervenire ait. Confuevit autem ita appellare convulfivam affectionem, quae in mufculis naris pinnas moventibus fit.

LIV.

At fi in febre hiberna lingua afpera fiat adfintque animi

ἀψυχίαι ἐνίωσι, φιλέει τῷ τοιῷδε καὶ ἐπάνεσις εἶναι τοῦ πυρετοῦ· ἀλλ' ὅμως τὸν τοιόνδε παραφυλάσσειν τῇ λιμοκτονίῃ καὶ ὑδατοποσίῃ καὶ μελικρήτου πόσει καὶ χυλοῖσι παραφυλάσσειν· μηδὲ πιστεύων τῇ ἀνέσει τῶν πυρετῶν, ὡς οἱ τὰ τοιάδε ἔχοντες σημεῖα ἐπικίνδυνοί εἰσι θνήσκειν. ὁκόταν δὲ ταῦτα συνειδῇς, οὕτω προλέγειν, ἤν σοι ἀρέσκῃ, θεωρήσας εὖ μάλα.

Χειμερινὸν πυρετὸν ἔνιοι μὲν ἁπλῶς ἀκούουσι τὸν ἐν χειμῶνι γινόμενον, ἔνιοι δὲ τὸν οἰκεῖον φύσει χειμῶνι, εἴη δ' ἂν ὁ τοιοῦτος ἐπὶ φλέγματι, καθάπερ ὁ θερινὸς ἐπὶ χολῇ. ἐὰν οὖν, φησιν, ἐπὶ τῷ τοιῷδε πυρετῷ γλῶσσα γένηται τραχεῖα καὶ λειποθυμίαι, συγγινώσκειν αὐτὸν ὄντα κινδυνώδη καὶ διὰ τοῦτο μὴ πιστεύειν ταῖς ἐπανέσεσι τῶν πυρετῶν, ὅταν μετὰ συμπτωμάτων ἢ σημείων μοχθηρῶν γίγνωνται, καθάπερ νῦν ἅμα τῇ λειποθυμίᾳ τε καὶ τῇ τῆς γλώττης τραχύτητι. μὴ τοίνυν, φησὶν, ἀμελῶς δίαιτα τοὺς κάμνοντας, ἀλλ' ὕδωρ τε καὶ μελίκρατον καὶ χυλὸν (103)

deliquia, huic remissio febris contingere consuevit. Verumtamen eum summa inedia curare oportet et aquae ac mulsae potione ptisanaeque cremore. Neque febris remissioni fidendum est, quod hujusmodi signa habentes in mortis periculis versentur. Quum autem haec cognoveris optimeque contemplatus fueris, ita fore, si lubeat tibi, praedicendum.

Nonnulli febrem hibernam simpliciter intelligunt eam quae hieme fit, alii eam quae hiemi peculiaris sit. Ea autem ex pituita est, veluti aestiva ex ipsa bile. Si ergo, inquit, in hujusmodi febre lingua aspera fuerit, atque animi defectus, eam periculosam esse est fatendum, ob idque febrium remissioni fidendum non est, si cum pravis fiant tum symptomatis tum signis, veluti nunc cum animi defectu et linguae asperitate. Non negligenter itaque ait regendos aegros, aquamque et mulsam et

πτισάνης ῥοφεῖν δίδου. δόξει δὲ ταῦτα μάχεσθαι τῷ χρῆναι λιμοκτονεῖν· ἡ γὰρ λιμοκτονία μάλιστα μὲν ἀσιτίαν παντελῆ σημαίνει· εἰ δ' οὔ, ἀλλὰ τήν γε ἐπὶ τοῖς πόμασι μόνοις δίαιταν· οὕτως δὲ καὶ μελίκρατον καὶ χυλὸν πτισάνης συνεχώρησε δίδοσθαι. δοκεῖ δέ μοι διὰ τοῦτο λιμοκτονεῖν λέγειν αὐτοὺς, ὅτι χρονίζουσι τὰς ἐπανέσεις τῶν πυρετῶν ἴσχοντες εὐφορωτάτας, ὡς ἐξαπατηθέντας τινὰς τροφὴν ἰσχυροτέραν δοῦναι καὶ μάλιστα διὰ τὴν λειποθυμίαν· ὡς πρὸς τοιαύτην οὖν δίαιταν ἡ διὰ τοῦ μελικράτου τε καὶ τοῦ χυλοῦ γιγνομένη ἐν πολλαῖς ἡμέραις εἴρηται ὀρθῶς λιμοκτονία.

νέ.

[152] Ὁκόταν δ' ἐν πυρετοῖσι φοβερόν τι γένηται πεμπταίοισιν ἐοῦσιν, ἢ κοιλίη τε ἐξαίφνης ὑγρὰ διαχωρήσει καὶ ἀψυχίη γένηται ἢ ἀφωνίη ἐπιλάβῃ ἢ σπασμώδης γένηται ἢ λυγμώδης, ἐπὶ τούτοισιν καὶ ἀσώδης φιλέει γί-

ptisanae cremorem exhibendum. Sed sane haec pugnare videntur adversus id quod summa inedia eos macerandos esse dixerit. Nam summa inedia maxime quidem abstinentiam integram significat, aut si non, saltem eam quae in potibus solis sit, victus rationem. Sic sane et mulsam et ptisanae cremorem dare permisit. Videtur ergo mihi eos ob id fame integra macerandos dicere, quod qui remissiones hujusmodi quietissimas habent, longo ita tempore in his morentur protrahantque, ut falsi circumventique nonnulli validiorem ministraverint alimoniam et potissimum ob animi defectionem. Quo fit ut ad hunc victum, qui per mulsam atque ptisanae cremorem multis fit diebus, is recte dictus sit limoctonia, *quod integra inedia est.*

LV.

Quum autem in febribus quinto die quid terrificum contigerit, aut alvus repente liquida dejecerit et animi defectus inciderit, aut vocis suppressio prehenderit, aut convulsio vel singultus contigerit, ex his jactari aeger

νεσθαι καὶ περὶ ὑπορίνιον καὶ μέτωπον ἱδρῶτες καὶ αὐχένα ὄπισθεν τῆς κεφαλῆς· οἱ δὲ ταῦτα πάσχοντες θνήσκουσι πνευματωθέντες οὐκ ἐς μακράν.

Τῶν ἐκ τηρήσεως ἐμπειρικῶς γεγραμμένων τοῖς ἰατροῖς ἔνια τοιαῦτά ἐστι, τουτέστιν ἐκ τῶν ὀφθέντων ἅπαξ ἢ δὶς, ἀπόφασιν ἔχει καθόλου τρόπου, ὡς πλειστάκις ἐπὶ τῶν αὐτῶν καὶ ὡσαύτως δυνάμενα θεωρηθῆναι. τοιοῦτον δέ τι καὶ τοῦτό ἐστι τὸ νῦν λεγόμενον· ἑορακὼς γὰρ ἔγραψε ταῦτα πεμπταῖόν τινα, διαχωρήσαντα μέν τινα ὑγρὰ διαχωρήματα, λειποψυχήσαντα δὲ καὶ ἄφωνον γενόμενον, ἕτερον δὲ σπασμώδη καὶ μετὰ τοῦτο ἤτοι γε ἀμφοτέρους ἢ τὸν ἕτερον ἀσώδη καὶ τὰ περὶ τὸ πρόσωπόν τε καὶ τὸν αὐχένα ἐφιδρώσαντας, εἶτα ἀποθανόντας ἔγραψεν, ὡς οἴεται, συνδρομὴν σημείων ἐμπειρικῶν. ἔστι δ' αὐτὰ δυνάμενα καὶ στομαχικῆς προηγεῖσθαι συγκοπῆς· δυνάμενα δὲ καὶ διὰ πλῆθος γίνεσθαι θλιβομένης τῆς δυνάμεως ἢ καὶ ἄλλως ἀῤῥωστούσης. ἕκαστον γάρ τοι τῶν εἰρημένων καθ' ἑαυτὸ μο-

consuevit et sudores sub naso et circa frontem ac cervicem posteriore capitis parte suboriri. At qui his afficiuntur, suspiriosi non multo post intereunt.

Ex iis quae per observationem empirice a medicis scripta sunt, quaedam talia existunt, ut ex semel aut bis conspectis modi universalis annotationem habeant, tanquam saepenumero in eisdem et similiter considerari possint. Tale autem quippiam et id est, quod nunc dicitur. Nam contemplatus haec dixit aegrum quinto quodam die liquida quaedam dejecisse atque animi defectu prehensum voceque captum, alium vero convulsum et postea vel ambos vel alterum fastidio jactatum partesque tum faciei tum colli sudasse, deinde obiisse, scripsit, quod signorum Empiricorum concursum existimaret. Sed sane haec possunt et stomachicam praecedere syncopen, fierique valent et propter copiam, oppressa facultate, vel alio debilitata modo. Unumquodque siquidem eorum quae dicta sunt

χθηρόν ἐστι, μήτοι γε συνελθόντα πάντα. τὸ γὰρ ἐπὶ ταῖς ἐξαίφνης διαχωρήσεσι λειποθυμεῖν ἐπικίνδυνόν ἐστιν, ὥσπερ καὶ τὸ ἄφωνον γενέσθαι καὶ ἀσώδη· οὐκ ἀγαθὸν δὲ καὶ τὸ περὶ τὸ πρόσωπόν τε καὶ τὴν κεφαλὴν ἱδροῦν μόνα. καθάπερ οὖν ταῦτα πολλὰ καὶ μοχθηρὰ συμπτώματά ἐστιν, οὕτω καὶ τἄλλα τὰ ἐν τῷ προγνωστικῷ γεγραμμένα καὶ δύναταί τις ἐπιπλέκων αὐτὰ ἀλλήλοις δοκεῖν τι διδάσκειν νεώτερον· ἐὰν δέ που καὶ λέξιν ἀσαφῆ μίξῃ τῷ λόγῳ, καθάπερ αἴνιγμα, τοῖς μὲν πολλοῖς κἀκ τούτου σοφώτερος εἶναι δόξει, θαυμάζουσι γὰρ ἃ μὴ νοοῦσιν· ἀνθρώπῳ δὲ ἐγνωκότι διακρίνειν ἀπὸ τῆς παθογνωμονικῆς συνδρομῆς τὰ ἐπιγινόμενα, φωραθήσεται ποικίλος μὲν, ἄχρηστος δὲ ὁ λόγος. ἡ μὲν γὰρ παθογνωμονικὴ συνδρομὴ τὸ τοῦ νοσήματος εἶδος ἐνδείκνυται, τὰ δ' ἐπιγινόμενα συμπτώματα τὴν ἐπιείκειάν τε καὶ κακοήθειαν αὐτοῦ. καὶ χρὴ μαθόντα περὶ τούτων τῶν συμπτωμάτων ἑκάστου τὴν δύναμιν ἐκλογίζεσθαί τε καὶ παραβάλλειν ἀλλήλοις τὰ φανέντα· κἂν μὲν ἰσχυρότερά τε καὶ πλείω φαίνηται τῶν ἀγαθῶν τὰ μοχθηρὰ,

per ſe malum eſt, nedum ſi omnia convenerint. Nam ex repentinis dejectionibus deficere animum periculoſum eſt, ut et mutum fieri et faſtidiis jactatum eſſe, partibus vero tum faciei tum capitis duntaxat ſudare non bonum. Quo igitur modo haec tum multa tum prava ſymptomata exiſtunt, ſic et alia quae in prognoſtico ſcripta ſunt. Poteſtque aliquis haec inter ſe connectens, videri novum quid docere. Quod ſi et dictionem obſcuram veluti aenigma ſermoni miſcuerit, jam plebejis et ex ea ſapientior eſſe videbitur. Admirantur ſiquidem, quae non intelligunt. Viro autem qui ſupervenientia ſymptomata a pathognomonicorum concurſu diſtinguere novit, ſermo is varius quidem deprehendetur, ſed inutilis, nam pathognomonica ſyndrome morbi ſpeciem demonſtrat, ſupervenientia vero ſymptomata, manſuetudinem ipſius et malignitatem. Eumque qui ſingulorum horum ſymptomatum vires didicit, quae apparent, tum aeſtimare tum inter ſe compa-

γινώσκειν ἐν κινδύνῳ τὸν ἄνθρωπον ὑπάρχειν· εἰ δὲ τὰ ἀγαθὰ τῶν φαύλων ἰσχυρότερά τε εἴη καὶ πλείω, καλὴν προσδοκίαν ἔχειν ἐπὶ τῷ κάμνοντι. τοῦτο δέ σε καὶ αὐτὸς Ἱπποκράτης ἀξιοῖ πράττειν· ἐν γοῦν τῷ προγνωστικῷ πάντων τῶν συμπτωμάτων καὶ τῶν σημείων ἑκάστου καταμόνας ἐδίδαξε τὴν δύναμιν, ἐπὶ τῇ τελευτῇ δὲ τούτου τοῦ συγγράμματός φησι· χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προλέγειν τούς τε περιεσομένους καὶ τοὺς ἀποθανουμένους, οἷς τε ἂν μέλλοι πλέονας ἡμέρας παραμένειν τὸ νόσημα καὶ οἷς ἂν ἐλάσσους, τὰ σημεῖα ἐκμανθάνοντα πάντα, κρίνειν ἐκλογιζόμενον τὰς δυνάμεις αὐτῶν πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται. [153] τὰς δυνάμεις ἀξιοῖ τῶν σημείων ἐκλογιζόμενον προγινώσκειν ἐξ αὐτῶν τὸ ἀποβησόμενον· ἔνθα μὲν οὖν ἀγαθὰ μοχθηροῖς μέμικται παρισούμενά πως ταῖς δυνάμεσι, γεγυμνασμένου μὲν ἀνδρὸς δεῖται, τεθεωρηκότος ἐπὶ τῶν ἔργων αὐτὰ πολλάκις· ἔνθα δ' ἐστὶν ἤτοι πάντα κακὰ, καθάπερ νῦν, ἢ πάντα καλὰ, κατάδηλον ἅπαντι τὸ γενησόμενον. ὄντος γὰρ καὶ καθ' αὐτὸ σημείου κακοῦ τοῦ

rare oportet. Atque sane si mala tum validiora tum plura videantur quam bona, hominem in periculo versari sciendum. Verum si bona malis et fortiora et plura fuerint, de aegro bene sperandum. Id autem te facere jubet et ipse Hippocrates. Nam in prognostico singulorum tum symptomatum tum signorum vires particulatim docuit, atque circa libri finem ita ait: *oportet autem eum qui recte sit tum convalituros tum morituros praedicturus, praeterea et in quibus morbus pluribus diebus et in quibus paucioribus permansurus sit, signa omnia perdiscere, atque aestimatis eorum inter se viribus, ut scriptum est, ferre sententiam.* Signorum autem vires aestimari praecipit, atque ex ipsis praenoscere quidnam futurum sit. Ubi ergo bona malis permixta fuerint, viribus quodam modo paria, exercitato est opus viro, qui in operibus ea saepenumero fuerit contemplatus. Ubi vero omnia vel mala, ut nunc, fuerint, vel bona, cuivis patet quod futurum sit. Quum enim dejiciente alvo deficere animum,

διαχωρούσης τῆς κοιλίας λειποψυχῆσαι, κακοῦ δ' ὡσαύτως καὶ τῆς ἀφωνίας, ἐὰν πρὸς τούτοις καὶ σπασμώδης ἢ λυγμώδης ἢ ἀσώδης ὁ κάμνων γίνεται, σαφέστερον ἐνδείξεται τὸν κίνδυνον· ἐὰν δὲ καὶ ἄλλο τι μοχθηρὸν αὐτῷ σημεῖον ἐπιγένηται, καθάπερ οἱ περὶ τὸν αὐχένα καὶ τὸ πρόσωπον ἱδρῶτες, ἔτι καὶ μᾶλλον· ἅπερ εἴρηται νῦν ὑπ' αὐτοῦ τοῦ γράψαντος τὸ βιβλίον, οὐδενὸς ἀγαθοῦ σημείου μεμιγμένου τοῖς κακοῖς. ὅτι μὲν ὁ τοιοῦτος ἐξ ἀνάγκης τεθνήξεται πρόδηλον ἐκ τοῦ τῶν κακῶν ἀθροίσματος σημείων· τὸ δὲ καὶ πνευματωθήσεται τῇ τελευτῇ τῆς ῥήσεως ὥσπερ αἴνιγμα προσέῤῥιπται ταύτης, ὥς τι τῶν ἐξ ἀνάγκης ὡμολογημένων ἔσεσθαι ὅ τί περ ἂν σημαίνῃ τὸ πνευματωθήσεται, εἴτε τὸ τῶν κατὰ τὴν γαστέρα πνευμάτων πλῆθος, ὡς ἐνὸν γαστέρα φυσηθῆναι πᾶσαν αὐτὴν, εἴτε τὴν μεγάλην καὶ πυκνὴν ἀναπνοήν· ἀλλὰ καὶ ταύτην ἐμάθομεν, αἷς ἔσεσθαι διαθέσεσιν οὐκ ἀγαθὸν, ὥσπερ γε καὶ τὴν τῆς γαστρός. ὥστ' οὐ χρὴ ζητεῖν ἄλλα σημεῖα, τούτων ἐξ ἀνάγκης προηγουμένων· ἐπὶ τούτοις γὰρ οὐκέτι, ὡς ἐπ' ἐνίοις τοῖς κατὰ

ſignum per ſe malum ſit, pari modo et malum vocis privatio; ſi praeterea aeger convulſione aut ſingultu aut jactatione vexetur, manifeſtius indicabit periculum. Si praeter haec et aliud quoddam malum ſupervenerit ſignum, ut circa faciem cervicemque ſudores, atque adhuc magis, quae nunc a ſcriptore hujus libri dicuntur, nullo quod bonum ſit, malis permixto ſigno, quod talis de neceſſitate ex ſignorum malorum acervatione morietur, notum evadit. Adjectum autem in fine hujus dictionis πνευματωθήσεται tanquam aenigma, ceu quippiam eorum quae de neceſſitate fore conceduntur, quicquid ſignificet, ſive ſpirituum copiam quibus venter inflari poſſit, ſive magnam et frequentem reſpirationem, quam ſane iis quas comitatur affectionibus haudquaquam bonam eſſe didicimus, veluti et eam quae ventris eſt. Quapropter inveſtiganda alia ſigna non ſunt, his de neceſſitate antecedentibus.

τύχην γενομένοις, ἡ τῶν ἀποβησομένων ἀσφαλής τις γίνεται πρόγνωσις.

νστ'.

Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ σκέλεα γίγνεται φυματώδεα καὶ ἐγχρονιζόμενα μὴ ἐκπεπαίνεται ἔτι ἐόντων ἐν πυρετοῖσιν καὶ προσπέσῃ πνιγμὸς ἐν φάρυγγι, ἰσχνῶν ἐόντων τῶν περὶ φάρυγγα καὶ μηδὲ πεπαίνηται, ἀλλὰ σβεσθῇ, φιλέει τῷ τοιῷδε αἷμα ἐκ τῶν ῥινῶν ῥέειν· κἢν μὲν πολὺ ῥυῇ, λύσιν σημαίνει τῆς νούσου· ἢν δὲ μὴ, μακρήν· ὁκόσῳ δ' ἂν ἔλασσον ῥυῇ, τοσῷδε χεῖρον καὶ μῆκος. ἢν δὲ τἄλλα ῥήϊστα γένηται, προσδέχεσθαι τῷ τοιῷδε ἐς πόδας ἀλγήματα· ἢν δ' ἅψηται τοῦ ποδὸς καὶ ἐπώδυνος γενόμενος παραμένει, πυριφλεγὴς γενόμενος καὶ μὴ λυθῇ, κατὰ σμικρὸν ἥξει καὶ ἐς αὐχένα ἀλγήματα καὶ ἐς κληῖδα καὶ ἐς ὦμον καὶ ἐς στῆθος καὶ ἐς ἄρθρον καὶ τοῦτο δεήσει φυ- (104) ματῶδες γενέσθαι. σβεννυμένων δὲ τούτων, ἢν αἱ χεῖρες ἐφέλκωνται ἢ τρομεραὶ γένωνται, σπασμὸς

Neque enim amplius ex his, veluti ex nonnullis quae casu eveniunt, futurorum firma quaedam fit praenotio.

LVI.

Quibus autem per febres crura scatent tuberculis, quae diu immoranti, febribus etiamnum perseverantibus non maturantur faucibusque irruit suffocatio, macentibus circa fauces partibus, neque tubercula maturuerint, sed extincta fuerint, iis sanguis e naribus fluere consuevit, qui si copiosus fluxerit, morbi solutionem portendit, sin minus, longitudinem. Quo vero parcius fluxerit, eo deterius et longitudo. Quod si et caetera facillima fuerint, huic dolores ad pedes expectandi sunt, qui si pedem attigerint isque dolere perseveret, inflammetur et non levetur, dolores paulatim ad cervicem pervenient et ad claviculam, ad humerum, ad pectus et ad articulum, huncque tuberculosum fieri oportebit. His vero extinctis, si manus contrahantur, vel tremulae fiant,

τὸν τοιόνδε ἐπιλαμβάνει καὶ παραφροσύνη· ἀτὰρ καὶ φλυζάκια ἐπὶ τὴν ὀφρὺν καὶ ἐρυθήματα ἴσχει καὶ βλέφαρον τὸ ἕτερον παρὰ τὸ ἕτερον παραβλαστάνει καὶ σκληρὴ φλεγμονὴ κατέχει καὶ οἰδέει ἰσχυρῶς ὁ ὀφθαλμὸς καὶ παραφροσύνη μέγα ἐπιδιδοῖ· αἱ δὲ νύκτες μᾶλλον ἐπισημαίνουσιν ἢ αἱ ἡμέραι τὰ περὶ τὴν παραφροσύνην. τὰ δὲ σημεῖα μάλιστα γίνεται πολλὰ ἐπὶ τὸν περισσὸν ἀριθμὸν ἢ ἐπὶ τὸν ἄρτιον· ὁκοτέρῳ δ' ἂν τούτων τῶν ἀριθμῶν γίνηται, ὀλέθριοι ἐπιγίνονται.

---

[154] *Καὶ πάντα ταῦτα τὰ νῦν εἰρημένα δοκεῖ μοι τεθεαμένος ἐφεξῆς ἀλλήλων ὁ συνθεὶς τὸ γράμμα τουτὶ, καθολικόν τινα ἐκ τῆς ἐν μέρει τηρήσεως λόγον πεποιηκέναι προπετῶς· ἄμεινον μὲν γὰρ, ὡς Ἱπποκράτης ἐν τοῖς τῶν ἐπιδημιῶν εἰώθει γράφειν, οὕτω καὶ αὐτὸν πεποιηκέναι, προειπόντα μὲν ἐν ἀρχῇ τὸ τοῦ παθόντος ὄνομα καὶ μετὰ ταῦτα καὶ τὰς ἡμέρας ἐν αἷς ἕκαστον ἐγένετο, καθάπερ ἐπ' αὐτῶν τῶν νῦν εἰρημένων συμπτωμάτων ἔνεστι ποιῆσαι. γε-*

eum convulſio prehendit ac delirium, quin etiam in ſuperciliis puſtulas ferventes et rubores habet et palpebra altera ad alteram progerminat, dura decumbit phlegmone, tumet vehementer oculus et delirium valde increſcit. At noctes magis quam dies delirii ſignificationem praebent. Multa vero ſigna ad numerum imparem magis quam parem contingunt. Utro tamen horum numerorum contingant, lethales morbi *ſuccedunt.*

Qui librum hunc confecit, is haec omnia quae jam dicta ſunt deinceps inter ſe contemplatus, univerſalem quendam particulari ex obſervatione ſermonem temere feciſſe mihi videtur. Melius ſiquidem, ut Hippocrates in epidemiis ſcribere conſuevit, ita quoque feciſſet, praefatus quidem ab initio affecti nomen, ac deinde dies in quibus ſingula facta ſint, *narratione aſſequutus*, ut et in ipſis quae nunc dicta ſunt ſymptomatis facere potuit.

γενήσθω γάρ τινι φυματώδη τὰ σκέλη καὶ μὴ πεπαινέσθω, προσυποκείσθω δὲ καὶ πυρετώδης εἶναι καὶ πνιγώδης γενόμενος παυσάσθω· προσδοκήσειεν ἄν τις ἄνω γεγονέναι μετάστασιν τῶν ἐν σκέλεσι χυμῶν, ἥτις ἐν ταῖς παρόδοις πνιγώδη τὸν ἄνθρωπον ἐποίησεν. ἐὰν οὖν ὁ τοιοῦτος, ὡς Ἱπποκράτης εἶπεν, ἐστὶ περιεστηκὼς, αἱμοῤῥαγῆσαι δυνήσεται διὰ ῥινῶν· καὶ ἐὰν πολὺ ᾖ τὸ αἷμα, λύσει τὴν νόσον· εἰ δ' οὒ, χρονίσει, καὶ εἰ τἄλλα καλῶς γένοιτο, πάλιν εἰς τοὺς πόδας ἀλγήματα τούτῳ κατασκῆψαι δυνατόν ἐστιν. ὑποκείσθω δὲ καὶ τοῦτο γεγονέναι, καθάπερ καὶ τὸ πυριφλεγῆ τὸν ἄνθρωπον ἐπὶ τούτοις γενέσθαι, ὅπερ ἤτοι θερμασίαν πολλὴν περὶ τὸν πόδα δηλοῦν εἴωθεν ἢ πυρετὸν πολὺν καὶ πυρώδη· καὶ εἰ ἐπὶ τούτοις μὴ λυθείη τὰ συμπτώματα, πάλιν ἀναχωρῆσαν ἄνω μᾶλλον τὸ πλῆθος, ἀλγήματα γεννήσει κατὰ τοὺς αὐχένας καὶ κλεῖς καὶ τὸν ὦμον καὶ τὸ στῆθος. ὡς δὲ πάντα συνέβη ταῦτα αὐτῷ ἀλόγως (τοῦτο γὰρ ἦν τὸ σβεσθῆναι) τὰς χεῖρας ὑποκείσθω γενέσθαι τρομώδεις, ἔπειτα σπασμὸν ἐπακολουθῆσαι, τοῦ πλή-

Nam in cujusdam cruribus orta ſint tubercula, eaque non maturuerint, febriculoſus quoque is eſſe ſubjiciatur et ſuffocatione affectus liberetur *tuberculis*, exiſtimabit profecto quis ſurſum factam humorum crus obſidentium translationem, quae in tranſitu ſuffocationem homini peperit. Si ergo talis (ut Hippocrates dixit) evaſurus ſit, profluere per nares ſanguis poterit, qui ſi multus fuerit, morbum ſolvet, ſi non, diuturnus evadet *morbus*. Atque ſi caetera bene fiant, rurſum ad pedes decumbere huic dolores poterunt. Id vero et ita factum eſſe ſtatuatur, veluti ex his hominem igne flagrantem factum eſſe, quod vel calorem multum circa pedem manifeſtare conſuevit, vel febrem multam ac igneam. Et ſi poſt haec ſoluta non fuerint ſymptomata, reverſa iterum ad ſuperiores partes humorum copia, dolores pariet in cervice, claviculis, humero et pectore. Ut autem huic omnia haec absque ratione contigerunt (nam id *extincta eſſe* fuit) ita manus tremulas factas eſſe ſtatuatur, deinde convulſio

θους ἀποσκήψαντος εἰς τὰ νευρώδη μόρια καὶ αὐτὴν τὴν ἀρχὴν αὐτῶν καταλαβόντος, ἐντεῦθεν γὰρ αἱ παραφροσύναι. Θεασάμενος οὖν ὁ γράψας τῶν οὕτως τινὰ νοσησάντων φλυκταίνας ἔχοντα κατὰ τὴν ὀφρὺν (τοῦτο γὰρ σημαίνει τὰ φλυζάκια) προπετῶς ἀπεφήνατο πᾶσι τοῖς οὕτως ἔχουσιν ἐσόμενον τοῦτο τὸ σύμπτωμα· καὶ περὶ τῶνδε τῶν ἐφεξῆς γεγραμμένων ὁ αὐτὸς λόγος· ὃ γὰρ ἐγένετό τινι τῶν οὕτω νοσούντων εἴτε δυοῖν, ἐπὶ πάντας ἐκτείνων, ἔφη καὶ ἐρυθήματα ἴσχειν αὐτοὺς καὶ τὸ βλέφαρον ἕτερον παρὰ τὸ ἕτερον παραβλαστάνειν καὶ ξηρὰν γίνεσθαι τὴν φλεγμονὴν καὶ οἰδεῖν ἰσχυρῶς τοὺς ὀφθαλμούς. τούτων δὲ τὰ μὲν ἄλλα σαφῆ, τὸ δὲ παραβλαστάνει τὸ βλέφαρον τὸ ἕτερον, ἀσαφές ἐστι πότερον ἐκ μέρους αὐτῶν τινα γινομένην σύμφυσιν ἢ σαρκῶδές τι βλάστημα, θατέρου μὲν ἐκφυόμενον, ἐπὶ δὲ θάτερον ἐκτεινόμενον ἠβουλήθη δηλῶσαι. εἰ δέ τι χρήσιμον ἦν τῆς εὑρέσεως αὐτοῦ σχεῖν, πλέον ἂν περὶ αὐτοῦ διασκεψαίμην.

---

nem, quod ad nervofas partes decubuerit humorum copia, principiumque ipforum prehenderit, unde certe deliria, fubfequutam effe. Contemplatus igitur auctor quendam ita aegrotantium phlyctaenas in fuperciliis habentem (id enim fignificat phlyzacia) omnibus ita habentibus futurum hoc fymptoma temere pronunciavit. Idemque de iis quae deinceps fcripta funt fermo exiftit. Nam quod uni ita affectorum vel duobus factum eft, id ad omnes extendens, ait et ipfos rubores habere et ex palpebris alteram ad alteram germinare, duram quoque fieri phlegmonem et vehementer tumere oculos. Quorum caetera quidem cuivis patent, fed ex palpebris alteram germinare eft ambiguum, utrum fignificare voluerit quandam ex parte earum exurgentem confertionem, vel carnofum quendam furculum, ab altera quidem enafcentem, fed ad alteram fefe extendentem. At rei hujus inventio fi quid utile afferret, de ea amplior foret fcrutatio.

νζ'.

Τοὺς τοιούτους δὲ ἢν μὲν ἐξ ἀρχῆς φαρμακεύειν προαιρῇ, πρὸ τῆς πέμπτης ἢν βορβορύζῃ ἡ κοιλίη· ἢν δὲ μὴ, ἐᾷν ἀφαρμακεύτους εἶναι· ἢν δὲ διαβορβορύζῃ καὶ τὰ ὑποχωρήματα χολώδεα ᾖ, σκαμ- [155] μωνίῳ ὑποκάθαιρε μετρίως. τῇ δὲ ἄλλῃ θεραπείῃ, ὡς ἐλάχιστα προσφέρειν ποτὰ καὶ ῥοφήματα, ἵνα βελτιόνως ἔχῃ, ἢν μὴ ὑπερβῶσι τὴν τεσσαρεσκαιδεκάτην ἐπανέντες.

Θεραπείαν γράφει προειρημένης τῆς συνδρομῆς· ὀνομάζειν δ' αὐτὴν ἐμοὶ μὲν, ὡς εἴρηκα, οὐδὲ τοῦτο δοκεῖ· καὶ ἡ θεραπεία δὲ οὐδὲν κοινὸν ἔχει παρὰ τὰ πρόσθεν ἤδη εἰρημένα πολλάκις· προσεπισκεψάμενον γὰρ εἰρήκει καὶ τὰ ἐν τῇ γαστρὶ καὶ γνωρίσαντα ταῦτα διὰ τῶν βορβορυγμῶν καθαίρειν. εἰ δὲ καὶ χολώδη τὰ κάτω ῥέποντα εἴη, σκαμμωνίαν δίδωσι φάρμακον χολώδη καθαῖρον. ἐν δὲ τῇ ἄλλῃ θεραπείᾳ κελεύει προσφέρειν ἐλάχιστα ῥοφήματα, μέχρις ἂν ἐπανιῶσιν ὑπερ-

LVII.

Ilos vero ſi per initia quidem medicamentis purgare volueris, id *ante quintum* facito, *ſi venter murmuraverit, ſi non, impurgatos ſinito. Verum ſi murmuraverit alvique dejectiones biliofae fuerint, ſcammonio moderate ſubpurgato. In reliqua vero curatione potus ac ſorbitiones parciſſime exhibeto, quo melius aeger habeat, niſi remiſſione facta decimum quartum transgreſſus fuerit.*

Curationem praedicti concurſus ſcribit; eam vero ſic nominare ſane mihi, ut dixi, non placet, curatio namque nihil commune habet praeter ea quae ſupenumero ante enarrata ſunt. Ait ſiquidem conſiderandam alvum, quam murmurillis cognitam purgandam eſſe praecipit, at ſi et bilioſa deorſum repant, ſcammonium medicamentum bilioſa purgans exhibet. In reliqua vero curatione ſorbitiones

βαίνοντες τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν· τούτῳ δὲ τῷ λόγῳ συνενδείκνυται πρὸ τῆς ιδ' μὴ δύνασθαι πεφθῆναι τὴν νοῦσον.

νη'.

Ὁκόταν πυρέσσοντι τεσσαρεσκαιδεκαταίῳ ἐόντι ἀφωνίη προσγένηται, οὐ φιλέει λύσις ταχείη, οὐδ' ἀπαλλαγὴ τοῦ νοσήματος γίγνεσθαι, ἀλλὰ χρόνον τῷ τοιῷδε σημαίνει· ὁκόταν δὲ φανῇ ἐπὶ τῇ ἡμέρῃ ταύτῃ, μακρότερον ξυμπίπτει.

Οὗτος ὁ λόγος περιττός ἐστι τοῖς μεμαθηκόσι τὰ μοχθηρὰ συμπτώματα μείζονα δύναμιν ἔχειν ἐν κρισίμοις ἡμέραις φαινόμενα· τούτῳ γὰρ τῷ καθόλου κέχρηται καὶ νῦν ὁ γράψας τὸ βιβλίον, ἐφ' ἑνὸς τῶν κατὰ μέρος πραγμάτων τῆς ιδ' ἡμέρας. ὡς γὰρ ἐν ταῖς ἄλλαις κρισίμοις, οὕτω καὶ ἐν ταύτῃ εἰ φανῇ τι μοχθηρὸν σύμπτωμα, μείζονα τὴν δύναμιν

perquam exiguas ministrari praecipit quousque decimum quartum remissione facta diem pertransierint, qua oratione morbum ante decimumquartum diem coctum esse non posse significatur.

LVIII.

Quum febricitanti decimoquarto die vocis interceptio accesserit, non cita morbi fieri solutio, neque liberatio solet, sed tali temporis diuturnitatem indicat. Quum itaque hoc die apparuerit, diuturnior morbus confligit.

Haec oratio supervacanea est his qui prava symptomata majori praedita esse facultate didicerunt, quum in diebus judicatoriis apparent. Nam qui librum hunc scripsit, nunc in re una, quae decimoquarto diei particularis est, hoc usus est universali. Ut enim diebus caeteris judicatoriis, sic et hoc *decimoquarto*, si malum aliquod symptoma apparuerit, id majores habet vires. Annotare

ἔχει. χρὴ δὲ τὴν ἀπόφασιν τοῦ γενησομένου μηδ᾽ ἁπλῶς, μηδ᾽ ὡς ἔτυχεν, ἀλλὰ μετὰ διορισμοῦ ποιεῖσθαι· εἰ μὲν γάρ τινα τῶν ἀγαθῶν σημείων, μείζονα δύναμιν ἔχοντα παρείη τῷ κάμνοντι, νοσήσας πλειόνως δυνηθήσεται σωθῆναι· μηδενὸς δὲ ὄντος τοιούτου τεθνήξεται, μὴ δυναμένης τῆς δυνάμεως ἐξαρκέσαι τῇ πέψει τοῦ νοσήματος. κακῶς οὖν ὁ ταῦτα γράψας ἔφη, μακρότερον πάντως ἔσεσθαι τὸ νόσημα· δύναται γὰρ καὶ διὰ ταχέων ἀποθανεῖν ὁ τὴν ἀφωνίαν ἐν τῇ ιδ᾽ σχὼν ἡμέρᾳ, μετὰ τῶν χαλεπῶν ἄλλων σημείων γενομένου τοῦ συμπτώματος.

νθ'.

(105) Ὁκόταν δὲ πυρέσσοντι τεταρταίῳ ἡ γλῶσσα ἐκτεταραγμένα διαλέγεται καὶ ἡ κοιλίη χολώδεα ὑποχωρέει ὑγρὰ, φιλέει παραληρεῖν ὁ τοιόσδε· ἀλλὰ χρὴ παραφυλάσσειν παρεπόμενον τοῖσιν ἀποβαίνουσι.

[156] Ἀλλὰ καὶ ἐν ἄλλῃ τινὶ τῶν ἡμερῶν· ἐὰν δὲ καὶ

autem oportet quod futurum eſt, neque ſimpliciter, neque ut res tulerit, ſed cum diſtinctione. Nam ſi ex ſignis bonis quae majores habent vires, laboranti quaedam affuerint, longiori tempore ſalvari aeger poterit. At ſi nullum tale fuerit, morietur, nequeuntibus morbi concoctioni ſatisfacere viribus. Qui igitur haec ſcripſit, longiorem omnino fore morbum male pronunciavit. Nam et is cito mori poteſt, cui vox decimo quarto die interrupta eſt, ſi cum ſaevis aliis notis factum fuerit hoc ſymptoma.

LIX.

Quum febricitanti lingua quarto die obturbata ſermocinatur et alvus birioſa liquida dejicit, is delirare conſuevit. Sed ex eventis quid conſequatur, obſervandum.

Sed id quoque in alio quodam die *apparet*. Verum

τεταρταία φανῇ πρῶτον, κινδυνωδεστέραν εἶναι τὴν ζ΄. δηλοῖ, τουτέστι τὰ ἐκείνῃ γενησόμενα.

ξ.

Θερινῆς καὶ μετοπωρινῆς ὥρης ἐπὶ τῶν ὀξέων, αἵματος ἀπόσταξις ἐξαπίνης, συντονίην καὶ πολλὴν φλεγμασίην κατὰ τὰς φλέβας δηλοῖ καὶ ἐς τὴν ὑστεραίην λεπτῶν οὔρων ἐπιφάσιας· καὶ ἢν ἀκμάζῃ τῇ ἡλικίῃ καὶ τὸ σῶμα ἐκ γυμνασίων ἢ εὐσαρκώσιος ἔχῃ ἢ μελαγχολικὸς ἢ ἐκ πόσιος χεῖρες τρομεραὶ, καλῶς ἔχει παραφροσύνην προειπεῖν ἢ σπασμόν.

Καὶ αὕτη πάλιν ἡ ῥῆσις ἐπιπλοκὴν ἔχει συμπτωμάτων πολλῶν οὐ συγγινομένων ἐν ἅπαντι ἀνθρώπῳ νοσοῦντι, διὸ καὶ ἄχρηστα τὰ οὕτως γραφόμενα, τῆς χρησίμου διδασκαλίας διὰ τῶν καθόλου γινομένης, ὡς Ἱπποκράτης εἴωθε ποιεῖν. εἴρηται δ᾽ ὅτι τῶν καθόλου τὰ μὲν διηνεκῆ τὴν πρώτην

si quarto apparuerit, in primis periculosiorem septimum fore demonstrat, hoc est quae illo die futura sunt.

LX.

Aestiva ac autumnali tempestate in acutis repentina sanguinis destillatio, venarum contentionem multumque fervorem significat, ac postero die tenuium urinarum facies. Et si aeger aetate viguerit fueritque corpore ob exercitationes bene carnoso aut melancholico, vel ex potatione manus tremulae fuerint, delirium aut convulsionem praedicere decet.

Hic quoque textus symptomatum multorum non in omni aegrotante homine simul existentium implicationem habet, proindeque inutilia sunt quae ita scribuntur, quum utilis doctrina ab universalibus oboriatur, qualem Hippocrates astruere consuevit. Dictum autem est universalia, quae quidem perpetua sunt, primam habere tum faculta-

ἔχει δύναμίν τε καὶ χρείαν, τὰ δ' ὡς τὸ πολὺ τὴν δευτέραν· εἴ τι δ' ἀμφίδοξον ἢ σπάνιόν ἐστιν, ἄχρηστον ἐς τὴν διδασκαλίαν. ἃ γοῦν εἶπεν, ἐπισκεψοίμεθα κατὰ μέρος· καὶ πρῶτόν γε τὸ πρῶτον εἰρημένον. *Θερινῆς καὶ μετοπωρινῆς ὥρης ἐπὶ τῶν ὀξέων αἵματος ἀπόσταξις ἐξαπίνης συντονίην καὶ πολλὴν φλεγμασίην κατὰ τὰς φλέβας δηλοῖ καὶ ἐς τὴν ὑστεραίην λεπτῶν οὔρων ἐπιφάσιας· καὶ ἢν ἀκμάζῃ τῇ ἡλικίῃ καὶ τὸ σῶμα ἐκ γυμνασίων ἢ εὐσαρκώσιος ἔχῃ ἢ μελαγχολικὸς ἢ ἐκ πόσιος χεῖρες τρομεραὶ, καλῶς ἔχει παραφροσύνην προειπεῖν ἢ σπασμόν.* βέλτιον οὖν ἦν εἰπεῖν τὴν συντονίαν ἐνδείκνυσθαι, θεραπείας χρήζειν τὰς φλέβας· ἐπιστάμεθα δ' ὅτι τὰς στάξεις τοῦ αἵματος ἐκ τῶν μυκτήρων μοχθηρὸν ἀεί τί φησιν εἶναι, διὰ τὸ τὴν φύσιν μὲν ἐφίεσθαι ἐκκρίνειν τὸ περιττὸν, ἀδυνατεῖν δὲ δι' οἰκείαν ἀῤῥωστίαν ἢ πάχος τοῦ αἵματος ἢ πύκνωσιν τῶν μορίων, ἤ τινα τούτων ἢ πάντα συνελθόντα. μοχθηροῦ δ' ὄντος ἀεὶ τοῦ σημείου, μᾶλλον δέ τι καὶ κατὰ θέρους καὶ φθινοπώ-

tem tum usum, quae vero ut plerunque, secundam. Quod si quid anceps aut rarum sit, id ad doctrinam inutile. Quae igitur recensuit, particulatim contemplemur, atque primum quod primo dictum est. *In acutis aestiva ac autumnali tempestate repentina sanguinis destillatio contentionem ac multum in venis fervorem prodit, ac postero die tenuium urinarum facies. Quod si aeger aetate floruerit fueritque corpore ob exercitationem corpulento aut melancholico, aut ex potatione manus tremulae huic fuerint, delirium aut convulsionem decet praedicere.* Melius siquidem erat pronunciare, quod contentio venas curatione egere indicaret. Novimus enim, quod ait, sanguinis e naribus stillationes quoddam malum semper esse, quod natura quidem velit, quod superfluum est, excernere, sed ob propriam imbecillitatem nequeat, vel ob sanguinis crassitiem aut partium densitatem aut quaedam ex his, aut propter omnium concursum. Quum autem malum semper hoc signum sit magisque quod primis tum aesta-

ρου τὰ πρῶτα, τὴν δύναμιν αὐτοῦ συμβέβηκεν ἐπιτείνεσθαι· ἐν ταύταις γὰρ ταῖς ἡμέραις ἥ τε ξανθὴ πλεονάζει χολὴ καὶ τὸ περιέχον θερμόν ἐστιν, ὥστε εὔρουν ἐχρῆν δι' ἄμφω εἶναι τὸ αἷμα· μέγεθος οὖν αἰτίας δηλοῦται, δι' ἣν κωλύεται ῥεῖν, ἣν τὴν συντονίαν εἶναί φησιν, ἴσως τὴν πύκνωσιν οὕτως ὀνομάζων. τό γε μὴν θεραπείας δεῖσθαι κατὰ φλέβας τοὺς οὕτως ἔχοντας οὐδὲν οὐδέπω διδάσκει, πρὶν εἰπεῖν ἥντινα λέγει θεραπείαν· οὐ μὴν εἶπε, πρόῤῥησιν δὲ μόνην πρώτην ἔγραψε, λεπτῶν οὔρων ἐπιφάσιας γίνεσθαι κατὰ τὴν ὑστεραίαν, οὐ κατὰ μόνην ταύτην ἐξ ἀνάγκης φαινομένων αὐτῶν ἀπέπτων, ἀλλὰ καὶ κατὰ τὰς ἔμπροσθεν αὐτῆς. καὶ σπασμόν φησι καὶ παραφροσύνην ἔσεσθαι τοῦ κάμνοντος ἀκμάζοντος κατὰ τὴν ἡλικίαν οὕτως· ἔτι πρὸς τούτοις καὶ γυμναστικοῦ καὶ τῆς εὐσαρκίας αὐτοῦ μέμνηται καὶ τῆς κράσεως (οἱ γὰρ μελαγχολικοὶ κράσεως ὄνομα) καὶ μέντοι καὶ ἐκ πόσεώς φησιν αὐτὸν χεῖρας ἴσχειν τρομεράς. τὰ μὲν οὖν συμπτώματα ταῦτα δυνατά ἐστιν ἀλλήλοις ἐπι-

tis, tum autumni temporibus vires ipsius intendi contingat; his enim diebus flava redundat bilis ambiensque nos aër calidus est, quare sanguinem utranque ob causam bene fluentem esse oportebat, causae igitur magnitudo indicatur, ob quam fluere prohibetur, quam contentionem esse ait, forte densitatem ita appellans. Quod porro ita affecti venarum curatione egeant nondum docet, priusquam astruat, quam dicat curationem, nec tamen dixit. Praedictionem autem solam primam scripsit, postero die urinas tenues apparituras, non solo eo *die* de necessitate incoctis illis apparentibus, verum etiam aliis praecedentibus. Convulsionem quoque et delirium fore ait, si laborans sic aetate viguerit. Praeterea et exercitati et bonae ipsius corpulentiae meminit et temperamenti (nam melancholicus nomen est temperamenti) huc adde, quod ex potatione eum manus habere tremulas ait. Haec ergo symptomata possunt inter se complicari, non tamen de

πλακῆναι, οὐ μὴν ἐξ ἀνάγκης γε ἢ ὡς τὸ πολὺ τούτοις ἐπακολουθήσει παραφροσύνη καὶ σπασμός.

ξα'.

[157] *Κῆν μὲν ἐν ἀρτίησιν ἐπιγένηται, βέλτιον· ἐν κρισίμησι δὲ, ὀλέθριον, ἢν μὴ πολὺ ἅλις ἀποσσυθὲν αἷμα ἐξόδους ποιήσηται τῆς πλεονεξίης κατὰ ῥῖνας ἢ καθ' ἕδρην ἐμπυήσεις ἢ μεταστάσεις ἢ ἀποστάσεις ἢ πόνους τῶν ὑποχονδρίων ἢ ἐς ὄρχιας ἢ ἐς σκέλεα· πεφθέντων δὲ τουτέων ἔξοδοι γίγνονται πτυσμῶν, παχέων οὔρων ἢ λείων λευκῶν.*

Δύο γραφαί εἰσι τῆς ἐπιγίνεσθαι λέξεως· μία μὲν διὰ τοῦ τ στοιχείου τῆς τρίτης συλλαβῆς γεγραμμένης, ἄλλη δὲ διὰ τοῦ γ. ἀλλ' ἐάν τε κατὰ τὴν προτέραν ἐπιτείνεσθαι λέγῃ τοὺς κάμνοντας ἐν ἀρτίαις ἡμέραις, ἐάν τε κατὰ τὴν δευτέραν ἐπιγίνεσθαι τὰ εἰρημένα συμπτώματα κατὰ τὰς ἀρτίας ἡμέρας, οὐκ εὐθέως ἐστὶ καὶ βέλτιον (τοῦτο δ' αὐ-

necessitate aut plerumque his succedent delirium et convulsio.

LXI.

Et si paribus quidem diebus *supervenerint, melius, judicatoriis vero, perniciosum, nisi copiosus cumulate concitatus sanguis redundantiae vias fecerit per nares aut per sedem puris excretiones aut abscessus aut humorum translationes aut hypochondriorum dolores aut ad testes aut ad crura. His autem concoctis viae patent sputis urinisque crassis, laevibus, albis.*

Duae sunt hujus dictionis *ἐπιγίνεσθαι* scripturae, una quidem, scripta per *τ* elementum tertia syllaba, altera vero per *γ*. Verum sive per priorem scripturam aegros diebus paribus *ἐπιτείνεσθαι intendi* dixerit, sive secundum posteriorem, praedicta symptomata diebus paribus *ἐπιγίνεσθαι supervenire* affirmaverit, non continuo existit

τὸς εἶπεν) οὐδὲ γὰρ εἰ ἄρτιοι προσήκει σκοπεῖν, ἀλλ' εἰ καὶ κρίσιμοι· τὴν γοῦν τετάρτην ἡμέραν ἀρτίαν οὖσαν καὶ αὐτὸς ἑξῆς ὀλίγον ἔμπροσθεν εἶπεν, ὅτι μεγίστην δύναμιν ἔχει. τό γε μὴν ἐφεξῆς εἰρημένον ἀληθές· ἐὰν γὰρ αἷμα πολὺ καθ' ὁντιναοῦν τρόπον ἐκκριθῇ, σωτηρίας ἔχειν ἐλπίδα. καὶ δι' ἀποστάσεως αὐτοὺς καὶ μεταστάσεώς φησι σώζεσθαι, τὴν μὲν ἀπόστασιν ἄντικρυς διὰ τῆς ἰδίας προσηγορίας δηλώσας, τὴν δὲ μετάστασιν διὰ τοῦ φάναι πόνους ἐν ὑποχονδρίῳ ἢ ἐς ὄρχιν ἢ σκέλεα. διαφέρει δ' ἀλλήλων τῷ τὴν μὲν ἀπόστασιν αὐτὴν τὴν κρίσιν ἐπιφέρειν καὶ ἀπαλλάττειν ἁπάντων τῶν ὀχληρῶν τὸν κάμνοντα, τὴν δὲ μετάστασιν ἑτέρων ἴσχειν ἀρχὴν παροξυσμῶν τε καὶ πόνων, ὡς δεῖσθαι πάλιν ἄλλου χρόνου πρὸς τὴν πέψιν τὸν τόπον τοῦ σώματος, εἰς ὃν ἡ μετάστασις ἐγίνετο τῶν λυπούντων χυμῶν· διὸ καὶ προσέθηκε, πεφθέντων δὲ τούτων, αἱ διέξοδοι γίγνονται πτυσμῶν ἢ παχέων οὔρων, λείων, λευκῶν· σημεῖα διδάσκων τοῦ πεπέφθαι τὴν μετάστασιν ἐκ τῶν πεπεμμένων πτυσμάτων τε καὶ οὔρων.

---

et melius (id autem ipse dixit); neque enim si pares fuerint, intueri oportet, sed si et judicatorii. Quartum igitur diem, qui par est et ipse ex ordine paulo ante maximam habere facultatem asseruit. Caeterum quod deinceps dicitur verum existit. Nam si sanguis copiosus quovis modo excretus fuerit, salutis spem habet. Praeterea et per abscessum ipsos et per translationem servari ait, abscessum quidem fere sua peculiari appellatione declarans, sed translationem, quum ait: *hypochondriorum dolores aut ad testes aut ad crura.* Differunt autem inter se, quod abscessus judicationem inferat aegrumque a molestiis omnibus liberet, translatio vero humorum aliarum habeat principium tum accessionum tum laborum, ut alio rursum egeat tempore ad coctionem corporis locus, ad quem infestantium humorum facta sit translatio. Ideoque adjecit: *his autem coctis, exitus fiunt sputorum aut crassarum urinarum, laevium et albarum,* signa coctae translationis edocens ex coctis tum sputis tum urinis.

ξβ'.

Πυρετῷ λυγγώδει ὀπὸν σιλφίου, ὀξύμελι, δαῦκον τρίψας, πιεῖν δίδου καὶ χαλβάνην ἐν μέλιτι καὶ κύμινον ἐκλεικτικὸν καὶ χυλὸν πτισάνης ἐπὶ τ κτέοισι ῥοφέειν. ἄφυκτος δ' ὁ τοιοῦτος, ἢν μὴ ἱδρῶτες κριτικοὶ καὶ ὕπνοι ὁμαλοὶ ἐπιγένωνται καὶ οὖρα παχέα καὶ δριμέα καταδράμῃ ἢ εἰς ἀπόστασιν στηρίζῃ.

Τὰς λύγγας εἰώθασι καὶ λυγμοὺς ὀνομάζειν· εἰσὶ δὲ κινήσεις τινὲς τοῦ στομάχου σπασμώδεις· γίνεσθαι δέ φασι δι' ἄμετρον κένωσιν ἢ πλήρωσιν. οἱ μὲν οὖν διὰ κένωσιν γιγνόμενοι σχεδὸν ἀνίατοι τυγχάνουσιν ὄντες· οἱ δὲ διὰ [158] *πλήρωσιν ὑπὸ τῶν τεμνόντων καὶ ῥυπτόντων τὰ ἐμπεπλασμένα βοηθημάτων θεραπεύονται· τοιαῦτα δέ εἰσι καὶ τὰ νῦν γεγραμμένα. φαίνεται δὲ νῦν ἡ δῆξις αὕτη γιγνομένη καὶ διὰ δριμύτητα δάκνουσαν τὸν στόμαχον, ὡς ἐπειδάν τις πέπερι πλέον ἤ τι* (106) *τοιοῦτον καταπίῃ· καὶ μέντοι καὶ τῶν πυρεσσόντων ἔνιοι λύγξαντες ἤμεσαν*

LXII.

Febri ſingultuoſae laſeris ſuccum, acetum mulſum, daucum tritum potui dato, galbanumque ex melle et cuminum in eclegmate, poſteaque ptiſanae cremorem ſorbendum. Is autem evadere non poteſt, niſi judicatorii ſudores et ſomni aequales acceſſerint urinaeque craſſae et acres decurrerint, aut in abſceſſum morbus *decubuerit.*

Λύγγας et *λυγμοὺς ſingultus* appellare conſueverunt. Sunt autem motus quidam ſtomachi convulſivi. Hos quidem fieri ajunt propter immoderatam inanitionem vel repletionem. Qui ſi propter inanitionem fiant, fere ſanationem non recipiunt, ſi vero ob repletionem fuerint, ab incidentibus ac detergentibus praeſidiis infarcta curantur, talia vero ſunt quae nunc ſcripta ſunt. Videtur autem nunc morſus is fieri et propter acrimoniam ſtomachum mordentem, ut quum quis piperis plus vel quid ſimile devoraverit. Et ſane febricitantium nonnulli ſingultien-

διαβρωτικὸν καὶ δριμύτατον χυμὸν, ἐφ' ᾧ τελέως ἐπαύσαντο τοῦ συμπτώματος· ἀλλ' ὅ γε τοιοῦτος πυρετὸς οὐ καλεῖται λυγγώδης, ἐπὶ πλέον γὰρ δεῖ παραμένειν τὸν λυγμὸν ἢ καὶ δι' ὅλου τοῦ νοσήματος εἶναι συμπαροξυνόμενον τοῖς πυρετοῖς, ἵνα λυγγώδης ὀνομασθῇ. τὸν τοιοῦτον πυρετὸν ὑφ' ἱδρώτων κρισίμων καὶ ὕπνων ὁμαλῶν καὶ οὔρων δριμέων καὶ παχέων ἐκκενωθέντων θεραπεύεσθαί φησιν, ἤτοι γε ἐκκριθέντων τῶν τοιούτων ἢ εἰ εἰς ἀπόστημα στηριχθῇ.

ξγ'.

Κόκκαλος καὶ σμύρνα ἐκλικτόν· πίνειν δὲ τοῖσι τοιουτέοισιν ὀξύμελι δίδου ὡς ἐλάχιστον· ἢν δὲ διψώδεες ἔωσι σφόδρα, τοῦ κριθίνου ὕδατος.

Ἀτάκτως τοῦτο γέγραπται· βέλτιον γὰρ ἦν αὐτὸ μικρῷ πρόσθεν γεγραφέναι κατ' ἐκεῖνο τοῦ λόγου τὸ μέρος, ἔνθα ἐθεράπευσε τοὺς δεομένους τὸν θώρακα καὶ πνεύμονα διὰ πτυσμάτων ἐκκαθαίρεσθαι, οὐ πρὸς τὸν λυγγώδη πυρε-

tes erodentem acerrimumque humorem vomuerunt, a quo tandem ſymptomate ſunt liberati. Verum febris hujusmodi nequaquam ſingultuoſa appellatur, nam ut ſingultuoſa vocitetur, permanere amplius debet ſingultus, vel etiam per totum morbum ſimul cum febre exacerbari. Febrem hanc per ſudores judicatorios ſomnosque aequales vacuatasque urinas tum craſſas tum acres ſanari ait, talibus quidem vel excretis vel in abſceſſum firmatis.

LXIII.

Nux pinea et myrrha in eclegmate exhibeantur; *his vero acetum mulſum quam pauciſſimum potui dato. Sed ſi vehementer ſiticuloſi fuerint, aquam hordei.*

Id inordinate ſcriptum eſt. Satius enim erat eum paulo ante in ea orationis parte, qua eos curavit quibus tum thorax tum pulmo per ſputa expurgari debent, id praeſcripſiſſe, non febri ſingultuoſae. Verum quod dici-

τόν· ἀλλὰ καὶ αὐτὸ τὸ εἰρημένον ἀσαφές. ὁ μὲν γὰρ κόκκαλος ὑπ᾽ αὐτοῦ λελεγμένος οὐχ οὕτως, ἀλλὰ κῶνος μᾶλλον ὑπὸ τῶν παλαιῶν Ἑλλήνων ὠνομάζετο, καθάπερ ὑπὸ τῶν νεωτέρων ἰατρῶν σχεδὸν ἁπάντων στρόβιλος· εἴωθε δὲ ἐξ αὐτοῦ σκευάζειν ἐκλικτὸν, ὅταν ᾖ λιπαρὸς μάλιστα, τουτέστι πολλὴν ἐκ κύκλῳ περικεχυμένην ἔχῃ τὴν ἰδίαν ῥητίνην. ἑψόμενοι δ᾽ αὐτὸν ἐν ὕδατι μετὰ πρασίου πρόσφατον, εἶτα τῷ ἀφεψήματι μιγνύντες μέλι σύμμετρον, ἕψοντές τε πάλιν τοῦτο μέχρι μελιτώδους συστάσεως, οὕτω τῷ γενομένῳ φαρμάκῳ χρώμεθα πρὸς τὰς ἐκ θώρακος καὶ πνεύμονος πτύσεις. ὥσπερ δὲ καὶ ἄλλα τινὰ προσεπεμβάλλομεν τούτῳ τῷ φαρμάκῳ πολλάκις, οὕτως ἐστὶν εἰκὸς καὶ τὸν ταῦτα γράψαντα σμύρναν ἐπεμβάλλειν, εἶτα διὰ συντόμων ἐδήλωσε καὶ τοῦτο, κόκκαλον καὶ σμύρναν ἐκλικτὸν εἰπών. δύναται δὲ καὶ αὐτοὺς τοὺς ἐσθιομένους κώνους μετὰ σμύρνης διδόναι, τάχα κἀνταῦθα πάλιν ὑπακουσάντων ἡμῶν οὐ κακῶς μίγνυσθαι μέλι τῷ φαρμάκῳ. τινὲς μὲν οὖν χωρίσαντες τῆς

tur, id obfcurum eft. Nam coccalus ab ipfo dictus, non ita, fed conus magis ab antiquis Graecis appellitatur, veluti a recentioribus medicis propemodum omnibus ftrobilus. Confuevit autem ex eo eclegma conficere, quum maxime pinguis fuerit, id eft ubi multam circumfufam habuerit peculiarem refinam. Coquunt autem fructum hunc in aqua cum marrubio recentem, mox decocto mellis exiguum mifcent coquuntque iterum adusque mellis craffitudinem, quo ad hunc modum confecto medicamento utimur ad thoracis pulmonisque expuitiones. Ut autem et alia quaedam medicamento huic faepius immittimus, ita et auctorem libri hujus myrrham immittere verifimile eft, quod poftea velut compendio manifeftavit, inquiens: *coccalus et myrrha in eclegmate exhibeantur.* Poteft autem et ipfos, qui eduntur, conos cum myrrha exhibere, atque hic fortaffis nos mel non male medicamento mifceri intellexerimus. Quidam fane hanc ipfam dictionem ab ante fcripta feparant feorfumque fcribunt, nonnulli vero

προγεγραμμένης ῥήσεως ταύτην, αὐτὴν καθ' ἑαυτὴν γράφουσι· τινὲς δὲ τὸ πέρας αὐτῆς ἀρχὴν ποιοῦσι κατὰ τόνδε τὸν τρόπον· ἢν δὲ ἀποστήματα στηρίζῃ, κόκκαλος καὶ σμύρνα ἐκλεικτόν· ἵνα τῶν εἰς ἀπόστημα στηριζόντων νοσημάτων ἀκούωμεν αὐτὸ φάρμακον ὑπάρχειν. ἔστι δὲ ἄλογον τοῦτο καὶ μάλιστα διὰ τὸ ἐπιφερόμενον, ἐν ᾧ φησι, πίνειν δὲ τοῖσι τοιουτέοισιν ὀξύμελι δίδου ὡς ἐλάχιστον· ἐπὶ μὲν γὰρ τοῦ λυγγώδους πυρετοῦ λόγον ἔχει δεδιέναι τὸ ὄξος, ἐπὶ δὲ τῶν εἰς ἀπόστημα στηριζόντων, οὐδένα. καὶ διὰ τοῦτό τινες ἄλλοι κατὰ τὶ μὲν συνάπτουσι τὴν ῥῆσιν ταύτην τῇ προγεγραμμένῃ, κατὰ τὶ δὲ διαζευγνύουσι, προστιθέντες τὸν δέ σύνδεσμον καὶ γράφοντες οὕτως· ἢν δὲ εἰς ἀπόστημα στηρίζῃ. περὶ τοῦ λυγγώδους πυρετοῦ τοῦ προειρημένου καὶ τοῦτ' ἔστι λεγόμενον, συμβουλεύσαντος τοῦ γράψαντος τὸ βιβλίον, [159] ἐὰν εἰς ἀπόστημά ποτε συμβῇ στηρίξαι τὸν λυγγώδη πυρετὸν, κόκκαλον μετὰ σμύρνης διδόναι καὶ φυλάττεσθαι τὴν δαψιλῆ πόσιν τοῦ ὀξυμέλιτος. τὸ δ' εἴτε διὰ τοῦ ζ γράμματος ἡ τελευταία συλλαβὴ τοῦ στηρίζῃ γρά-

finem ante fcriptae principium hujus efficiunt hoc pacto. *Si autem abfceffus firmentur, coccalus et myrrha in eclegmate exhibeantur,* ut morbis in abfceffum firmatis id medicamentum effe intelligamus. Id autem a ratione alienum, maxime propter id quod ita infertur, in quo dicit: *his vero acetum mulfum quam pauciffimum potui dato.* Nam in fingultuofa febre formidandum acetum praecipit ratio, in iis vero quae in abfceffum firmantur, nequaquam. Eam ob caufam quidem alii dictionem hanc quadantenus quidem antea fcriptae copulant, quadantenus vero feparant, atque adjecta conjunctione *autem* ita fcribunt: *Si autem in abfceffum firmetur.* De fingultuofa ante dicta febre id dictum fit, volente libri auctore, fi in abfceffum aliquando firmari contigerit fingultuofam febrem, coccalum cum myrrha exhibere et copiofam aceti mulfi vitare potionem. Syllaba autem ultima verbi hujus *στηρίζῃ,* five per ζ literam fcribatur, five per ξ, nullam in-

φοιτο, εἴτε διὰ τοῦ ξ, μεγάλην οὐδεμίαν ἐξαλλαγὴν ὁ λόγος ἕξει. ἢν δὲ διψώδεες σφόδρα ἔωσι, τοῦ κριθίνου ὕδατος. ὅτι μὲν ὡς ἄδιψον πόμα εὔδηλόν ἐστιν· ἄμεινον δ' ἦν εἰρῆσθαι πρὸς αὐτοῦ πῶς χρὴ σκευάσαι τὰς κριθὰς, πότερον ἀποβρέξαντας ἁπλῶς ἢ ὡς οἱ νῦν ἐξ αὐτῶν τὸν ζυθὸν ποιοῦντες ἢ κατ' ἄλλον τινὰ τρόπον.

ξδ'.

Τὰ δὲ περιπνευμονικὰ καὶ πλευριτικὰ ὧδε χρὴ σκέπτεσθαι· ἢν ὀξύς τε ὁ πυρετὸς ᾖ καὶ τὰ ὀδυνήματα τοῦ πλευροῦ τοῦ ἑτέρου ἢ καὶ ἀμφοῖν καὶ τοῦ πνεύματος ἄνω φερομένου, ἢν πονέῃ καὶ βῆχες ἐνέωσι καὶ πτύσματα ἀνείῃ πυῤῥὰ ἢ πελιὰ ἢ καὶ λεπτὰ καὶ ἀφρώδεα καὶ ἀνθηρὰ καὶ εἴ τι ἄλλο διαφέρον ἔχῃ παρὰ τὰ μεμαθηκότα τούτοισιν· οὕτω χρὴ διάγειν.

Τὰ μεγάλα καὶ ἀξιόλογα πλευρίτιδος καὶ περιπνευμονίας

signem facit sermonis mutationem. *Sed si vehementer siticulosi fuerint aquam hordei.* Quod potum hunc tanquam sitim adimentem exhibeat manifestum est. Sed melius fecisset, si quo pacto parare hordeum oporteat, enunciasset, utrumne simpliciter madefacere, vel ex eo zythum, ut hujus temporis homines, conficere, vel quovis parare alio modo.

LXIV.

Peripneumonicos et pleuriticos affectus ita considerare oportet, an febris acuta sit et dolores lateris alterius aut utriusque, et quum sursum fertur spiritus, num laboret, tusses adsint et sputa educantur rufa aut livida aut etiam tenuia et spumosa et florida, et si quid aliud diversum habeant ab iis quae didicimus. Ita degere oportet.

Pleuritidis peripneumoniaeque tum magna tum effatu

διώρισται ἅπαντα κατὰ τὸ γνήσιον μέρος τοῦ βιβλίου, τὰ δὲ πᾶσιν ἰατροῖς γινωσκόμενα παραλέλειπται· τοιαῦτα δὲ ἐστιν ἃ νῦν οὗτος γράφει· καὶ πρῶτον μὲν τὴν συνδρομὴν ὀνομαζομένην ὑπὸ τῶν παλαιῶν ἐμπειρικῶν, οἱ παλαιοὶ δὲ συνεδρεύοντα τοῖς πάθεσιν ἐκάλουν τὰ τοιαῦτα συμπτώματα. πυρετὸς οὖν ὀξὺς καὶ ὀδύνη πλευροῦ θατέρου ἢ ἀμφοτέρων, μάλιστα κατὰ τὴν ἐκπνοὴν γιγνομένη (τοῦτο γάρ ἐστι καὶ τοῦ πνεύματος ἄνω φερομένου, ἢν πονέῃ) καὶ βῆχες καὶ πτύελα πυῤῥὰ ἢ πελιδνὰ καὶ λεπτὰ καὶ ἀφρώδη καὶ ἀνθηρὰ καὶ ὁπωσοῦν ἄλλως ἐξηλλαγμένα παρὰ τὰ εὐήθη (τοῦτο γὰρ δηλοῖ λέγων καὶ εἴ τι ἄλλο διαφέρον ἔχει παρὰ τὰ μεμαθηκότα) ταῦτα πάντα τοῖς πλευριτικοῖς τε καὶ περιπνευμονικοῖς ἐμφαίνεσθαί φησι συμβαίνοντα. τουτέοισιν οὕτω χρὴ διάγειν.

ξε'.

Ἢν μὲν ὀδύνη ἄνω περαίνῃ πρὸς κληῖδα ἢ περὶ μαζὸν καὶ

digna quidem omnia in legitima libri hujus parte distincta sunt, sed quae a medicis omnibus cognoscuntur, praetermissa sunt. Talia autem sunt quae nunc hic scribit. Et primum quidem a veteribus empiricis appellatam syndromen, veteres autem affectibus assidentia haec symptomata appellabant. Febris igitur acuta, dolor lateris alterius vel utriusque, potissimum qui in expiratione fit (nam id est *et quum sursum fertur spiritus, num laboret*) tusses et sputa rufa vel livida et tenuia et spumosa et florida, et quovis aliter modo praeter solitum evariantia (hoc enim significat inquiens: *et si quid aliud diversum habeant ab iis quae didicimus*). Haec omnia tum in pleuriticis tum peripneumonicis apparere ait, si contingant. Sed hos ita degere ac curare oportet.

LXV.

Si dolor quidem sursum ad claviculam aut circa mam-

βραχίονα, τέμνειν χρὴ τὴν ἐν τῷ βραχίονι φλέβα τὴν εἴσω, ἐφ' ὁκότερον ἂν ᾖ τῶν μερῶν, κατὰ τόδε.

Κἀνταῦθα πάλιν ἐξεργάζεται τὴν τοῦ γνησίου μέρους γνώμην· ἐπεὶ παρελέλειπτο τὸ συνεπινοούμενον τοῖς [160] εἰρημένοις αὐτῷ, προστιθεῖ, οἷον καὶ τοῦτο, κατ' εὐθὺ τῆς πεπονθυίας πλευρᾶς ποιεῖσθαι τὴν φλεβοτομίαν, ὅπερ ἐδήλωσεν εἰπών· τέμνειν χρὴ τὴν ἐν τῷ βραχίονι φλέβα τὴν εἴσω, ἐφ' ὁκότερον ἂν ᾖ τῶν μερῶν, κατὰ τόδε. προδήλως συντέμνων τῆς ἑρμηνείας ἀμελεῖ· δέον γὰρ εἰπεῖν τὴν κατ' ἀγκῶνα φλέβα, τὴν ἐν τῷ βραχίονι λέγει.

ξστ'.

Ἀφαιρέειν δὲ κατὰ τὴν τοῦ σώματος ἕξιν καὶ ὥρην καὶ ἡλικίην καὶ χροιὴν πλέον· καὶ θαρσέων, ἢν ὀξὺ τὸ ἄλγημα ᾖ, ἀγαγεῖν πρὸς λειποψυχίην· ἔπειτα ὑποκλύζειν μετὰ τοῦτο.

---

mam et brachium feratur, internam brachii venam secare oportet utracunque fuerit parte, ea in ipsa.

Rursus et in praesenti loco partis legitimae sententiam elaborat, quoniam in ea praetermissum est quod simul cum dictis intelligitur, adjicitque illud, venam secandam e directo lateris affecti, quod exposuit inquiens: *Venam brachii internam secare oportet utracunque dolor afficit parte.* Sed manifesta usus brevitate orationem negligentius percurrit, nam venam cubiti dicere debuit, quum venam brachii dixit.

LXVI.

Sanguinem detrahere pro corporis habitu, anni tempestate, aetate et colore copiosius et vero audacter, si dolor acutus fuerit, ad animi usque deliquium ducere. Postea clystere alvum subducere.

Ἐνταῦθα πάλιν πλέον τοῦ μέτρου τοὺς σκοποὺς τῆς φλεβοτομίας ἅπαντας εἰπεῖν φιλοτιμηθεὶς, ὅμως παραλέλοιπέ τινας· οὔτε γὰρ τῆς δυνάμεως ἐμνημόνευσεν οὔτε τῆς μεταβολῆς τοῦ αἵματος, ἀλλ' οὐδὲ χώρας ἢ καταστάσεως. πλέον δ' ἀφαιρεῖν κελεύων καὶ θαῤῥεῖν μέχρι λειποθυμίας ἄγειν, ἥμαρτεν ἐν τῇ λέξει προσθεὶς δι' ὃ θαῤῥεῖν προσήκει· διὰ μὲν γὰρ τὴν ὀξύτητα τοῦ ἀλγήματος ἐπὶ τὸ πλέον ἐκκενοῦν τοῦ αἵματος ἀφικνούμεθα· τὸ δ' ἐᾷν ῥεῖν, οὐκ ἐκ τῆς ὀξύτητος, ἀλλ' ἐξ ἄλλων ἔχομεν, ἐὰν ἥ τε δύναμις ἐῤῥωμένη καὶ ἡ τῶν ἀκμαζόντων ἡλικία καὶ τὸ πλῆθος αἱματικὸν (107) καὶ ἡ τοῦ κάμνοντος φύσις πυκνοτέρα τε καὶ σκληροτέρα καὶ δυσδιαφορητοτέρα καὶ πολύαιμος, ἥ τε ὥρα τοῦ ἔτους καὶ ἡ κατάστασις εὔκρατος, οὕτω γὰρ καὶ ἡ χώρα· τὸ γὰρ ἄχρι λειποθυμίας ἄγοντα θαῤῥεῖν, ἐκ τούτων ἡμῖν προσγίνεται. ἔπειτα ὑποκλύζειν μετὰ τοῦτο. μετὰ τὴν φλεβοτομίαν κλύζειν κελεύει, βέλτιον δὲ ἦν προστεθεικέναι τὸν Ἱπποκράτειον διορισμὸν, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς.

Rurſum hic plus quam mediocriter ſcopos detractionis ſanguinis omnes recenſere conatus, quosdam tamen ſilentio praeteriit. Neque enim virium meminit, neque ſanguinis mutationis, imo neque regionis aut conſtitutionis. Plus autem detrahere atque ad animae usque defectionem id audacter agere praecipiens, deliquit in dictione, quum adjecit quam ob cauſam audere conveniat. Nam quod dolor acutus ſit, plus quidem ſanguinis vacuamus, ſed fluere ſinimus, non quia acutus ſit, ſed ob alia, ſi vires robuſtae fuerint, viguerit aetas, ſanguis abundaverit et laborantis natura tum denſior, tum durior, atque aegre magis perſpirabilis et ſanguinis copioſi fuerit, anni etiam tempus et conſtitutio bene temperata, ſic ſane et regio. Nempe quod ad animae usque defectionem ſanguinem auferre non vereamur, nobis ex his accidit. *Clyſtere poſtea alvum ſubducere.* A ſanguinis miſſione clyſtere alvum proluere jubet. Sed melius erat Hippocraticam diſtinctionem adjeciſſe, ſi non ſponte probe dejecerit alvus.

ξζ'.

Ἢν δὲ ὑποκάτω τοῦ θώρακος τὸ ἄλγημα ᾖ καὶ συντείνῃ λίην, τῷ πλευριτικῷ τὴν κοιλίην ὑποκάθαιρε· μεσσηγὺ δὲ τῆς καθάρσεως μηδὲν δίδου, μετὰ κάθαρσιν δὲ ὀξύμελι. φαρμακεύειν δὲ τεταρταῖον· τὰς δὲ ἐξ ἀρχῆς τρεῖς ὑποκλύζειν· κἂν μὴ κουφίζῃ οὕτως, ὑποκάθαιρε. φυλακὴ δὲ ἔστω ἕως ἀπυρέτου καὶ ἑβδόμης· ἔπειτα ἢν ἀσφαλὴς ἐὼν φαίνηται, οὕτω χυλῷ ὀλίγῳ καὶ λεπτῷ τὸ πρῶτον, σὺν μέλιτι μίσγων δίδου· ἢν δὲ ἀνάγηται ῥηϊδίως καὶ εὔπνοος ᾖ καὶ ἀνώδυνος ᾖ τὰ πλευρὰ, κατὰ σμικρὸν παχυτέρῳ τε καὶ πλείονι καὶ δὶς τῆς ἡμέρης.

---

[161] *Πλευριτικὸν ὠνόμασε τὸ εἰρημένον ὑφ' Ἱπποκράτους ἐν τῷ γνησίῳ μέρει βιβλίου, ἐν ᾧ καθαίρει τοὺς οὕτως ἔχοντας πλευριτικούς· σκευάζει δὲ αὐτὸ διττῶς. τὸ φαρμακεύειν δὲ τεταρταῖον, ἀδιορίστως εἴρηκε καὶ τοῦτ' αὐτό. τὴν γὰρ ἀρχὴν οὐδὲν τῶν τοιούτων βοηθημάτων*

LXVII.

Si vero deorſum ſub thorace dolor fuerit valdeque urgeat, pleuritico alvum ſubpurgato, at medio purgationis tempore nihil dato, poſt purgationem autem acetum mulſum. At quarto die purgandum, verum per tres ab initio dies alvus ſubluenda, quod ſi ita non levetur, ſubpurgato. Cuſtodia vero imperetur aduſque febris deceſſionem ac ſeptimum diem. Deinde ſi in tuto eſſe videatur, in primis exiguum ac tenuem cremorem admiſſo melle dato. Quod ſi facile ſputum educatur, facile ſpiret et laterum dolore careat, paulo craſſiorem et copioſiorem, ac bis die dato.

Pleuriticum nominavit, quod ab Hippocrate in legitima libri hujus parte dictum eſt, ubi ita affectos pleuriticos purgat. Id autem facit duobus modis. Quarto vero die purgandum, indiſtincte etiam hoc ipſum pronunciavit. Nullum enim per initia hujusmodi remediorum aegro

προσακτέον τῷ κάμνοντι, σκοπὸν ποιησάμενον ἡμερῶν ἀριθμόν· ἀλλ' ὅπερ Ἱπποκράτης εἶπεν, ἤτοι κατὰ τὴν ἀρχὴν εὐθέως πρὶν στηριχθῆναι τοὺς χυμοὺς, κέλευε φαρμακεύειν ἢ ὕστερον, ὅταν πεφθῶσιν· ὥστε καὶ περὶ τὴν πρώτην ἡμέραν, ἐνίοτε δὲ καὶ β' καὶ δ', ἐνίοτε δὲ καὶ ε', ἐφαρμακεύσαμεν οὐκ ἐν τῇ τετάρτῃ μόνον, καθάπερ οὗτος ἔγραψεν.

ξη'.

Ἢν δὲ μὴ ῥηϊδίως ἀπαλλαγῇ, ἔλασσόν τε τὸ πόμα καὶ τὸ ῥόφημα ὀλίγον, χυλὸν λεπτὸν καὶ ἅπαξ, ἐν ὁκοτέρῃ ἂν ὥρῃ βέλτιον διάγῃ· γνώσῃ δὲ ἐκ τῶν οὔρων. δεῖ δὲ ῥόφημα προσφέρειν τοῖσιν ἐκ τῶν νοσημάτων μὴ πρότερον ἢ πέπονα τὰ οὖρα ἢ πτύσματα ἴδῃς γεγενημένα. ἢν δὲ φαρμακευθεὶς συχνὰ καθαρθῇ, ἀναγκαῖον διδόναι, ἔλασσον δὲ καὶ λεπτότερον· οὐ γὰρ δυνήσεται ὑπὸ κενεαγγείης ὑπνώσσειν, οὐδὲ πέσσειν ὁμοίως, οὐδὲ τὰς κρίσιας ὑπο-

admovendum est, desumpto a numero dierum scopo. Verum quod Hippocrates recensuit, vel statim in principio, priusquam in partem aliquam decubuerint humores, medicamento purgandum esse impera, vel postea, quum concocti fuerint. Quare et primo interdum die et secundo et quarto et interdum quinto, medicamento purgavimus et non in quarto solum, quemadmodum ipse scripsit.

LXVIII.

Quod si non facile liberetur, pauciorem potionem, modicam sorbitionem, cremorem tenuem et semel exhibeto, *eo quo melius degit tempore, quod ex urinis deprehendes. Sorbitionem autem his in morbis prius afferre non oportet, quam coctas urinas aut sputa matura facta videris. Quod si medicamento purgatus multum dejecerit, dare necesse est, verum pauciorem ac tenuiorem. Non enim poterit prae vasorum vacuatione dormire neque concoquere similiter neque judicationes susti-*

μένειν· ἀλλ' ἐπειδὰν ξυντήξιες ὠμῶν γένωνται καὶ τὰ ἀντέχοντα ἀποβάλλῃ, ἀνθέξει οὐδέν.

Περὶ τοῦ κατὰ μέρος καιροῦ τῆς τροφῆς ἐπισκοπούμενος ὁ Ἱπποκράτης καὶ αὐτὸς δὲ οὗτος ὁ ταῦτα γράψας ἐν τοῖς ἀνωτέρω γεγραμμένοις αὐτῷ θερμασίᾳ προσέχειν ἠξίου τῇ κατὰ τὸν θώρακα καὶ τοὺς πόδας. ἡ γὰρ τῶν οὔρων ἐπίσκεψις εἰς τὴν καθόλου δίαιταν, οὐκ εἰς τὴν τοῦ μερικοῦ μέρους τῆς τροφῆς ἐστι χρήσιμος· ὥστε οὐκ ὀρθῶς εἶπε νῦν, χυλὸν λεπτὸν ἅπαξ διδόναι καθ' ἣν ὥρην βέλτιον διάγει, γνώσεσθαι δ' ἐκείνην ἐκ τῶν οὔρων· εἰ γὰρ καὶ ὅτι μάλιστα βραχεῖαν ῥοπὴν ἐπὶ τὸ βέλτιον ἴσχει τὰ οὖρα κατὰ τοὺς μερικοὺς παροξυσμοὺς, ἀλλ' οὐχ οὕτως γε μακρὸς ὁ χρόνος ἐκεῖνός ἐστιν, ὡς ἀποθέσθαι ταῦτα ἡμᾶς καὶ περιμεῖναι, πότερον νεφέλας ἐπαιωρουμένας ἢ κάτω χωρούσας ἴσχει· ταῦτα γὰρ ἐν πολλῷ χρόνῳ γίγνεται, τρέφεσθαι δ' ἐν τοῖς ὀξέσι νοσήμασι τοὺς κάμνοντας ἐνίοτε ἀναγκαῖόν ἐστι καὶ ἐν ἀρχῇ τῆς παρακμῆς.

---

nere, verum ubi crudorum colliquationes factae fuerint et quae renituntur rejecerit, nihil obſtabit.

De particulari cibi exhibendi occaſione agens Hippocrates et libri hujus auctor in iis quae ſuperius ſcripta ſunt, eum qui tum in thorace tum in pedibus eſt calorem animadvertendum eſſe voluerunt. Nam urinarum conſideratio ad univerſalem victum, non ad particularem, utilis eſſe videtur. Quare non recte dicit hic, cremorem tenuem ſemel exhibendum eo quo melius degit tempore, idque deprehendendum ex urinis. Nam etiamſi breviſſimam in particularibus acceſſionibus ad melius inclinationem urinae habuerint, illud tamen tempus non uſqueadeo protrahitur, ut has recondamus expectemusque dum nebulas vel ſublimes vel ſubſidentes habuerint, haec ſiquidem multo fiunt tempore. Atqui in acutis morbis interdum aegri in declinationis principio de neceſſitate ſunt alendi.

ξθ'.

Πέπονα δέ ἐστι τὰ μὲν πτύελα, ὁκόταν γένηται ὅμοια πύῳ· τὰ δὲ οὖρα τὰς ὑποστάσιας ἔχοντα ὑπερύθρους, ὁκοῖον ὀρόβων. οὐδὲν δὲ κωλύει καὶ πρὸς τὰ ἄλλα ἀλγήματα τῶν πλευρέων χλιάσματα προστιθέναι καὶ κηρώματα· ἀλείφειν δὲ τὰ σκέ- [162] λη καὶ ὀσφὺν θερμῷ καὶ λίπος ἐγκαταλείφειν· ἐπὶ δὲ ὑποχόνδρια λίνου σπέρμα καταπλάσσειν ἕως μαζῶν. ἀκμαζούσης δὲ τῆς περιπλευμονίης, ἀβοήθητον μὴ ἀνακαθαιρομένου καὶ πονηρὸν ἢν δύσπνοος ᾖ καὶ οὖρα λεπτὰ καὶ δριμέα καὶ ἱδρῶτες περὶ τράχηλον καὶ κεφαλὴν γίγνονται· οἱ τοιοῦτοι γὰρ ἱδρῶτες πονηροὶ, ὑπὸ πνιγμοῦ καὶ ῥωγμῆς καὶ βίης ἐπικρατεόντων τῶν νουσημάτων, ἢν μὴ οὖρα πολλὰ καὶ παχέα ὁρμήσῃ καὶ πτύσματα πέπονα ἔλθῃ· ὅ τι δ' ἂν τούτων αὐτοματήσῃ, λύει τὸ νόσημα.

Οὔτε αὐτοῦ μέμνηται διὰ τῶν ἔμπροσθεν οὕτω γράψαντος ὑπὲρ τῶν πεττομένων οὔρων, οὔθ' Ἱπποκράτους

LXIX.

Concocta autem ſputa quidem ſunt, quum puri ſimilia extiterint. Urinae vero, ubi ſedimenta ſubrubra habuerint, quale ervum eſt. Caeteris autem laterum doloribus tepeſactoria ac cerata admovere nihil prohibet, crura et lumbos oleo *calido inungere et pinguedine illinere, hypochondriis autem aduſque mammas ex lini ſemine cataplaſma imponere. Quum autem peripneumonia ad ſtatum pervenerit, niſi repurgetur, auxilium non admittit, ac prava eſt ſi aeger difficile ſpiraverit, urinae tenues et acres ſint ſudoresque circa cervicem et caput oboriantur. Hi enim ſudores pravi ſunt, prae ſuffocatione, impetu et violentia morbis ſuperantibus, niſi urinae copioſae ac craſſae procurrerint et ſputa cocta prodierint. Horum autem quodcunque ſua ſponte evenerit, morbum ſolvit.*

Neque ſui ipſius eſt memor, qui *non* ita de coctis urinis ſupra ſcripſerit, neque Hippocratis, qui aliter dixe-

ἄλλως εἰπόντος· οὖρον δὲ ἄριστον, ὁκόταν ὑπόστασις λευκή τε καὶ λείη καὶ ὁμαλή. τὰ δ' ἄλλα τῆς ῥήσεως τὰ περὶ τῶν πλευριτικῶν τε καὶ περιπνευμονικῶν εὔδηλα καὶ χωρὶς τῆς ἐμῆς ἐξηγήσεως, ὅπη τε τῶν ὑφ' Ἱπποκράτους εἰρημένων ὁ ταῦτα γράψας ἀποχωρεῖ καὶ ὅπη μάλιστα πάντη ἢ ἐκ μέρους γέ τινος ἕπεται.

ο'.

Περιπνευμονίης ἐκλεικτόν. κόκκαλον, χαλβάνην ἐν μέλιτι Ἀττικῷ· ἀβρότονον ἐν ὀξυμέλιτι· πέπερι, ἐλλέβορον μέλανα ἀποζέσας καὶ πλευριτικῷ ἐν ἀρχῇσι περιωδύνῳ ἐόντι πίνειν δίδου. ἀγαθὸν δὲ καὶ τὸ πάναχες ἐν ὀξυμέλιτι ἀναζέσαντα καὶ διηθέοντα διδόναι πίνειν καὶ ἡπατικοῖσι καὶ τῇσι ἀπὸ τῶν φρενῶν περιωδυνίῃσιν. καὶ ὁκόσα δεῖ ἐς κοιλίην ἢ (108) ἐς οὔρησιν, ἐν οἴνῳ καὶ μέλιτι· τὰ δὲ ἐς κοιλίην ξὺν ὕδαρεῖ μελικρήτῳ πίνειν πλεῖον δίδου.

rit: *Urinam optimam esse, quum sedimentum est tum album, tum laeve, tum aequale.* Quae caetera de pleuriticis ac peripneumonicis in textu narrantur, etiam citra meam explicationem conspicua sunt, tum ubi libri hujus auctor ab Hippocratis recedit sententia, tum ubi maxime vel prorsus vel aliqua ex parte huic astipulatur.

LXX.

Peripneumoniae eclegma. Galbanum et nucleum pineum ex melle Attico dabis, *abrotonum ex aceto mulso. Piper et veratrum nigrum fervefacta pleuritico etiam per initia perdolenti bibenda dato. Confert etiam panacem ex aceto mulso fervefactum percolatumque propinare tum hepaticis, tum septi transversi dolore plurimum affectis. Et quaecunque ad alvum aut ad mictionem impellenda sunt, haec ex vino et melle* dabis. *Quae ad alvum, illa cum mulsa aquosa copiosiore propinato.*

Καὶ τὸ τῶν φαρμάκων πρῶτον καὶ δεύτερον ἀναγωγὰ πτυέλων ἐστί· τὸ δὲ διὰ τοῦ μέλανος ἐλλεβόρου, γαστρὸς ὑπακτικόν· τὸ δὲ διὰ τοῦ πάνακος, οὗτος εἶπεν εἰς ὃ ἂν χρήσιμον ὑπάρχῃ.

οα'.

Δυσεντερίη ἀπόστημα ἢ ἔπαρμά τι παυσαμένη ποιήσει, ἢν μὴ ἐς πυρετοὺς ἢ ἱδρῶτας καὶ οὖρα παχέα καὶ λευκὰ καὶ λίαν ἐπιφανῆ ἢ· ἐς τριταίους ἢ ἐς κιρσὸν ἢ ἐς ὄρχιν ἢ ἐς σκέλεα ἢ ἐς ἰσχίον στηρίξῃ ὀδύνη.

Καὶ οὗτος ὁ λόγος ἀδιόριστός ἐστιν, οὐθ' ὁποίαν λέγει δυσεντερίαν ἐνδειξαμένου τοῦ συγγραφέως, οὔτε πᾶσα ἐπαύσατο ταῦτ' ἐπιφέρουσα.

οβ'.

[163] Ἐν πυρετῷ χολώδει πρὸ τῆς ἑβδόμης ἡμέρας μετὰ

Medicamentorum primum et ſecundum ſputa educunt. Sed quod ex elleboro nigro conficitur, alvum ſubducit. Quod vero ex panace eſt, quibusnam utile ſit ipſe recenſuit.

LXXI.

Dyſenteria ſedata abſceſſum aut tumorem aliquem faciet, niſi deſierit *aut in febres aut ſudores aut urinas craſſas et albas valde perſpicuas, aut in tertianas aut in varices aut in teſticulum aut in crura aut in coxam dolor decubuerit.*

Hic quoque ſermo ſine diſtinctione eſt, quod neque qualem dicat dyſenteriam auctor demonſtraverit, et quod neque omnis quae ceſſaverit haec inferat.

LXXII.

In bilioſa ſebre morbus regius ante ſeptimum diem cum

ῥίγους ἴκτερος ἐπιγινόμενος λύει τὸν πυρετόν· ἄνευ δὲ ῥίγεος ἢν ἐπιγένηται ἔξω τῶν καιρῶν, ὀλέθριον.

Οὐ δήπου πρὸ τῆς ζ' μετὰ ῥίγους ἐπιγενόμενος ἴκτερος λύει τὸν πυρετὸν, οὐχὶ δὲ μετὰ τὴν ζ', ἀλλ' ὁ διορισμός ἐστι τοιόσδε· τοῖς πυρέττουσιν ἴκτερος ἐπιγίγνεται, ἐνίοτε μὲν ὡς σύμπτωμα τῆς κατὰ τὸ ἧπαρ διαθέσεως, ἐνίοτε δὲ τὴν χολὴν τῆς φύσεως ἐκκρίνειν διὰ τοῦ δέρματος ἐπιχειρησάσης, εἶτα μὴ δυνηθείσης αὐτὸ, καθάπερ εἴωθεν ἐπὶ πάντων γίνεσθαι τῶν ἀποστημάτων· εἴρηται δὲ περὶ τῶν τοιούτων ἰκτέρων ἐν ἀφορισμοῖς.

ογ.

Τέτανος δὲ ὀσφύος καὶ ἐπὶ μελαγχολικῶν διὰ φλεβῶν πνευμάτων ἀπολήψιες ὁκόταν ἔωσι, φλεβοτομίη λύεται.

Ὅταν δὲ, φησὶ, διὰ μελαγχολικὸν αἷμα πλεονάζον ἐν

rigore succedens febrem solvit, citra rigorem vero intempestive obortus lethale.

Neque sane ante septimum diem cum rigore succedens morbus regius febrem solvit, neque post septimum. Sed ita distinguere oportet. Febricitantibus morbus regius supervenit, interdum quidem tanquam affectionis hepatis symptoma, interdum quoque natura bilem per cutim excernere contendente, sed id nequeunte, velut in abscessibus omnibus fieri consuevit. Verum in aphorismis de hujusmodi morbis regiis enunciatum est.

LXXIII.

Lumborum tetanus atque in melancholicis per venas spirituum interceptiones quum fuerint, venae sectione solvuntur.

Quum, inquit, ob melancholicum sanguinem in venis

ταῖς φλεψὶ πνευμάτων ἀπολήψιες γίνωνται, φλεβοτομία ταῦτα λύει. πνευμάτων δὲ ἀπόληψιν εἰ μὲν τῶν κατὰ τὰς ἀρτηρίας λέγει (καὶ γὰρ καὶ ταύτας φλέβας ὠνόμαζον οἱ παλαιοὶ) τί ἄλλο ἢ ἀσφυξία γένοιτ' ἂν τὸ πάθος; εἰ δὲ τῶν κατὰ τὸν πνεύμονα, πάλιν ἐνταῦθα τὴν καλουμένην ἄπνοιαν αἰνίττεται. δύναται δὲ καὶ πλῆθός τε καὶ πάχος αἵματος οὐ μόνον τὰς ἀρτηρίας πνευματῶσαί ποτε καὶ διέξοδον οὐκ ἔχειν, ἀλλὰ καὶ ταύτας τὰς ἰδίως ὀνομαζομένας φλέβας.

οδ'.

Ὁκόταν δὲ ἀπὸ τῶν τενόντων σφοδρῶς ἔμπροσθεν ἀντισπῶνται καὶ περὶ τὸν τράχηλον καὶ πρόσωπον ἱδρῶτες, ὑπὸ τοῦ πόνου δακνομένων καὶ ξηραινομένων τῶν τενόντων καὶ τῶν οὐρωδέων, οἳ παχύτατοι μὲν τὴν ῥάχιν ξυνέχουσιν, ᾗ οἱ μέγιστοι σύνδεσμοι καταπεφυκότες, ἕως εἰς πόδας ἀποτελευτῶσι· τῷ τοιῷδε ἢν μὴ πυρετὸς καὶ ὕπνος ἐπιγένηται καὶ ἑπόμενα οὖρα πέψιν ἔχοντα ἔλθῃ καὶ ἱδρῶ-

redundantem spirituum interceptiones fiunt, venae sectio haec solvit; si interceptionem dicat spirituum, qui in arteriis sunt (etenim et arterias antiqui venas appellabant) quaenam alia fuerit affectio quam pulsus defectio? si vero eorum, qui in pulmone sunt, *spirituum interceptionem dicat*, rursum et appellatam respirationis privationem obscure significat. Potest quoque sanguinis tum copia tum crassitudo non arterias modo inflare, ut permeare non possit, verum quoque et proprie appellatas venas.

LXXIV.

Quum autem a tendonibus vehementer in anteriorem partem revelluntur sudoresque circa cervicem et faciem oriuntur, dum prae dolore mordentur ac resiccantur tendines adusque ossis sacri extremum exporrecti, qui quidem crassissimi spinam continent, qua parte maxima ligamenta exorta ad pedes usque desinunt. Huic nisi febris et somnus successerit et quae sequuntur coctionem habentes urinae sudoresque judicatorii prodierint, vinum

τες κριτικοὶ, πίνειν οἶνον Κρητικὸν οἰνώδεα καὶ ἄλητον ἑφθὸν ἐσθίειν καὶ κηρωτῇ ἀλείφειν καὶ ἐγχρίειν, τά τε σκέλεα περιελίσσειν ἕως τῶν ποδῶν, θερμῷ προσβρέχων [164] ἐν σκάφῃ καὶ βραχίονας ἕως δακτύλων κατελίσσειν καὶ ὀσφὺν ἀπὸ τοῦ τραχήλου ἕως τῶν ἰσχίων, σίαλον ἐγκηρώσας μαλακῷ δέρματι, ὅκως καὶ τὰ ἔμπροσθεν περιέξῃ καὶ διαλείπων πυρία τοῖσιν ἀσκίοισι θερμὸν ὕδωρ ἐγχέων καὶ περιτείνων σινδόνιον, ἐπανάκλινε αὐτόν. κοιλίην δὲ μὴ λίην λύσῃς ἢν μὴ βαλάνῳ, ἢν μὴ πολὺν χρόνον ᾖ ἀδιαχώρητος ἐοῦσα. καὶ ἢν μέν τί σοι ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον· εἰ δὲ μὴ, τοῦ μόδου τῆς ῥίζης τρίβων ἐν οἴνῳ εὐώδει καὶ δαῦκον πίνειν δίδου πρωῒ νήστει πρὸ τοῦ βρέχειν καὶ ταχὺ ἐπὶ τούτοισι τὸ ἄλευρον ἑφθὸν χλιαρὸν ἐσθιέτω ὡς πλεῖστον καὶ οἶνον ὁκόταν βούληται εὔκρητον ἐπιπινέτω. καὶ ἢν μέν σοι ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον· ἢν δὲ μὴ, προλέγειν.

Creticum vinoſum bibendum et pultem ſeu farinam coctam edendam exhibeto. Cerato quoque perungere atque illinere convenit et crura ad pedes usque calida in pelvi madefacta, velamentis contingere, ac brachia ad digitos usque involvere lumbosque ac ſpinam a cervice ad coxas usque, molli pelle cerato ex axungia et cera illita obducere, ita ut anteriora etiam contineat. Et ex intervallis per utriculos calida aqua affuſa foveto ac linteo obvoluto, ipſum decumbere jubeto. Alvum autem ne admodum niſi balano ſolveris, niſi ex longo tempore non dejecerit, et ſi quid tibi proceſſerit in melius, ſatis; *ſin minus, modi radicem in vino odorato tritam et daucum mane jejuno ante calidae perfuſionem propina et poſt haec cito farinam coctam tepidam quam plurimam edat vinumque quum voluerit bene temperatum ſuperbibat, et ſi res quidem in melius tibi proceſſerit,* bene habet, *ſin minus, praedicere te* oportet.

Καὶ οὗτος ὁ λόγος ἀδιορίστως εἴρηται μετὰ τοῦ καὶ ἀκύρως ἔνια τῶν ὀνόματων γεγράφθαι· τὸ γὰρ ὑπὸ τοῦ πόνου δάκνεσθαι τοὺς τένοντας ἀκύρως λέλεκται, δριμέσι χυμοῖς πρέποντος τοῦ δάκνειν ῥήματος, οὐ τοῖς πόνοις. καὶ μέντοι καὶ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως ἐπὶ τοῦ σφοδρῶς ἔμπροσθεν ἀντισπῶνται, μετὰ ταῦτά φησι, ξηραινομένων τῶν τενόντων οὐρωδέων, οἳ παχύτεροι τὴν ῥάχιν συνέχουσι· τοὺς ἄχρι τοῦ οὐραίου καλέσας οὕτως, ὀνομάζουσι δὲ οὐραῖον τὸ πέρας τοῦ ὀστέου. εἰ δ' ἀμφότερα τὰ μέρη δηλῶσαι βούλεται τεινόμενα καὶ περὶ τὰ πρόσω καὶ ὀπίσω, τέτανον ἐπιτείνασθαι δυνατὸν, καθάπερ ὀλίγον ἔμπροσθεν ἔφη, τετάνοισι δὲ ὀσφύος. οὐκ ἀσφαλῶς δὲ οὐδὲ τῇ πέψει τῶν οὔρων, τὴν ῥᾳστώνην τῶν παθῶν προγινώσκει· πυρετώδους γὰρ νοσήματος ἀπεψίαι διὰ τῶν οὔρων δηλοῦνται σαφῶς, τῶν δὲ κατὰ τοὺς μῦς οὐκ ἀσφαλὴς ἡ διὰ τῶν οὔρων σημείωσίς ἐστιν. ἀλλὰ τοῦτο μὲν μικρόν· τὸ δ' οἶνον αὐτοῖς διδόναι χωρὶς τοῦ διορίσασθαι πότερον ὑπὸ ψύξεως

Atque hic ſermo indiſtincte prolatus eſt, praeter id quod et nomina quaedam improprie ſcripta ſint. Nam ob labores morderi tendones, improprie dictum eſt, verbo hoc *mordere* acribus humoribus et non doloribus quadrante. Praeterea et quod in principio dictionis dicitur: *Vehementer in anteriorem partem revelluntur.* Deinde ait: *dum reſiccantur tendones ad oſſis ſacri extremum exporrecti, qui craſſiores ſpinam continent*, eos qui usque ad extremum protenduntur, ita vocans. Appellant autem οὐραῖον oſſis extremum. Quod ſi partem utramque tendi manifeſtare velit, atque tum in anteriora tum in poſteriora, tetanus intendi ſane poteſt, quomodo paulo ante dixit: *Tetani lumborum.* Non tuto autem morbi facilitatem ex urinarum concoctione praenoſcit. Nam morbi febrem excitantis cruditates per urinas manifeſte declarantur, morborum autem muſculis inſidentium ſecura non eſt per urinas ſignificatio, ſed hoc quidem exiguum. Vinum autem his exhibere, diſtinctione non facta utrumne

ἔπαθον ἢ δι' ἄλλην τινὰ αἰτίαν οὐ σμικρὸν ἁμάρτημά ἐστιν, ἀλλὰ καὶ πάνυ προπετές. ἀλόγως δ' εἴρηται καὶ τὸ, κοιλίην δὲ μὴ λύειν, εἰ μὴ βαλάνῳ· λυθείη γὰρ ἂν ποτε ἐπὶ τοῖς τοιούτοις ὠφελίμως. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

οε'.

Τὰ δὲ νουσήματα πάντα λύεται ἢ κατὰ στόμα ἢ κατὰ κοιλίην ἢ κατὰ κύστιν ἤ τινος ἄλλου τοιοῦδε ἄρθρου· ἡ δὲ τοῦ ἱδρῶτος ἰδέη κοινὸν ἁπάντων.

(109) Οὐκ ἔστιν ὁ λόγος καθόλου, οὐδὲ κοινὸς ἁπάντων· οὐ γὰρ διὰ τούτων μόνον, ἀλλὰ καὶ διὰ μήτρας καὶ διὰ τῆς ἐκ τῶν ῥινῶν αἱμοῤῥαγίας γιγνομένης αἱ λύσεις γίνονται τῶν νοσημάτων.

ob frigiditatem passus aeger fuerit, an aliam ob causam, non exiguum est delictum, imo sane praeceps. Citra quoque rationem dictum est, ventrem solvendum non esse, nisi balano. Nam in hujusmodi morbis commode interdum solvitur. Caetera textus manifesta sunt.

LXXV.

At morbi omnes solvuntur aut per os, aut per alvum, aut per vesicam aut alterum quendam ejusmodi articulum. Sudoris autem species morbis omnibus communis est.

Non est sermo universalis, neque omnibus communis; non enim per haec solum, verum etiam per uterum et per obortam sanguinis e naribus eruptionem fiunt morborum solutiones.

οστ'.

[165] Ἐλλεβορίζειν δὲ χρὴ οἷσιν ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα.

Οὐκ ἀναγκαῖον, ὅσοις ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα πάντας ἐλλεβορίζειν, ἀλλ' ἐνίοτε τῆς κεφαλῆς μόνης ποιεῖσθαι πρόνοιαν εἰθίσμεθα.

οζ'.

Ὁκόσοι δ' ἐξ ἀποστημάτων ἢ φλεβοῤῥαγίης ἢ δι' ἀκρησίην ἢ δι' ἄλλην τινὰ ἰσχυρὰν αἰτίαν ἔμπυοι γίνονται, μὴ δίδου ἐλλέβορον τοῖσι τοιουτέοισιν· οὐδὲν γὰρ ὠφελήσει, καὶ ἤν τι πάθῃ, αἴτιον δόξειεν εἶναι ὁ ἐλλέβορος. ἢν δὲ διαλύηται τὸ σῶμα ἢ πόνος ἐν κεφαλῇ ἢ ἐμπεπλασμένα τὰ οὔατα ἢ ῥὶς ἢ πτυαλισμὸς ἢ τῶν γονάτων βάρος ἢ σώματος ὄγκος παρὰ τὸ ἔθος, ὅ τι ἂν συμβαίνῃ, μήθ' ὑπὸ πότων, μήθ' ὑπὸ ἀφροδισίων, μήθ' ὑπὸ λύπης, μήθ'

LXXVI.

Quibus a capite fluxio fertur, his veratrum dare oportet.

Non est necessarium, quibus a capite fluxio fertur, omnibus veratrum exhibere, imo interdum capiti soli providere consuevimus.

LXXVII.

Quicunque vero ex abscessibus aut venae ruptura, aut ob intemperantiam aut ob aliam vehementem quandam causam suppurati fiunt, his ne elleborum dederis, nihil enim proderit et si quid patiatur aeger, *in causa esse videbitur elleborus. Si vero corpus dissolvatur, aut dolor in capite fit, aut oppletae aures aut nares aut sputatio aut genuum gravitas aut corporis praeter consuetudinem tumor, quodcunque* horum *contigerit,* dabis, *si haec neque a potibus fiant, neque a rebus venereis, neque a moerore, neque a curis, neque a vigiliis obo-*

ὑπὸ φροντίδων, μήθ' ὑπὸ ἀγρυπνιῶν· κἢν μέν τι τουτέων ἔχῃ αἴτιον, πρὸς τοῦτο ποιέεσθαι τὴν θεραπείαν.

Φλεβοῤῥαγίην μὲν λέγει τὴν ῥῆξιν τῶν φλεβῶν. ὅτι δ' οὔτε τοὺς ἐκ τοιαύτης αἰτίας ἐμπύους γενομένους ἐλλεβορίζειν προσῆκεν οὔτε τοὺς ἐξ ἀποστημάτων οὔτε τοὺς ἐξ ἄλλης αἰτίας εὔδηλον· οἱ δὲ δι' ἀκρασίαν ἔμπυοι, κακῶς ἐν τῷ νῦν εἴρηται καταλόγῳ, τῆς ἀκρασίης αὐτῆς καθ' ἑαυτὴν βλαπτούσης τοὺς ἀκρατεῖς, οἷον πλησμονῆς, ἀπεψίας, οἰνοφλυγίας, ἀφροδισίων πολλῶν καὶ ἀγρυπνιῶν, ὅσα τε ἄλλα τοιαῦτα. προειπὼν δὲ τίσιν ἐλλέβορον οὐ χρὴ διδόναι φησίν· ἢν διαλύηται τὸ σῶμα, τουτέστιν ἐὰν ἔκλυτον ἱκανῶς γένηται, χωρὶς προφάσεως δηλονότι ἢ πόνος ἐν κεφαλῇ χρόνιος καὶ δύσλυτος (ὑπακοῦσαι γάρ σε τοῦτο κἀν τῷ τῆς κεφαλῆς χρὴ πόνῳ καὶ τοῖς ἐφεξῆς εἰρημένοις ἅπασι, τοῖς ἐμπεπλασμένοις ὠσὶ καὶ ῥινὶ καὶ τῷ πτυαλισμῷ) προστίθησι δὲ γονάτων βάρος καὶ πόνον καὶ σώματος ὄγκον παρὰ

riantur. Et si quid sane horum causam fecerit, ad id curationem instituere oportet.

Phleborrhagiam venarum ruptionem dicit. Quod autem neque iis qui ex hujusmodi causa, neque iis qui ex abscessibus, neque iis qui ex causa alia suppurati facti sunt, dare elleborum oporteat, perspicuum est. Sed qui ob intemperantiam suppurati sunt, male in hoc catalogo recensentur, intemperantia ipsa per se intemperantes laedente, ut redundantia, cruditate, crapula, venere multa, vigiliis et quibusdam similibus. At ubi praedixit, quibus elleborum exhibere non oporteat, inquit: *Si vero corpus dissolvatur*, hoc est, si viribus fractum admodum reddatur, citra manifestam causam nimirum, aut *dolor in capite* diuturnus et solutu difficilis fuerit (nam et id te subaudire oportet in capitis dolore, ac deinceps in iis quae serie continuata dicuntur omnibus, oppletis auribus, naribus et sputatione). Adjicit et genuum gravitatem, dolorem et corporis praeter consuetudinem tumorem. In

τὸ ἔθος· ἐπὶ πάντων γὰρ τούτων ἄνευ φανερᾶς αἰτίας γενομένων ἐλλεβορίζειν συμβουλεύει, διελὼν τε τὸν καθόλου τοῦτον λόγον εἰς τὰ κατὰ μέρος ἔφη, μήθ' ὑπ' ἀφροδισίων, μήθ' ὑπὸ λύπης, μήθ' ὑπὸ φροντίδος ἢ ἀγρυπνιῶν, τῶν εἰρημένων γεγονότων· εἰ γὰρ ἐκ τούτων τινὸς εἴη γεγονότα, πρὸς τὸ ποιῆσαν αἴτιον ἁρμόττεσθαι κελεύει. τίνα δ' ἐκ τούτων ἁπάντων ὧν εἶπεν ἀληθῶς ἀκριβῶς εἴρηται καὶ τίνα μὴ μεμαθήκατε κἀκ τῶν Ἱπποκράτους βιβλίων καὶ τῶν ἡμετέρων πραγματειῶν.

οη'.

[166] *Τὰ δὲ ἐκ πορείης ἀλγήματα πλευρέων, νώτου, ὀσφύος, ἰσχίων καὶ ὁκόσα ἀναπνέοντες ἀλγέουσι πρόφασιν ἔχοντες· πολλάκις γὰρ μεμάθηκε φοιτᾶν ἐκ κραιπαλέων καὶ βρωμάτων φυσωδέων ἀλγήματα καὶ εἰς ὀσφὺν καὶ ἐς ἰσχίον. οἷσι δ' ἂν αὐτέων ἢ τοιάδε δυσουρέεται· τούτων δὲ πορείη αἰτίη καὶ κορυζέων καὶ βράγχων.*

his enim omnibus quae fine manifesta caufa facta funt, vult elleborum exhibere. Ac divertens hunc fermonem universalem ad particularia, inquit: *Modo neque a venereis, neque a moerore, neque a curis, neque a vigiliis, dicta facta fint.* Si enim ex horum aliquo facta fint, adverfus efficientem caufam idonea praefcribere jubet. Quae vero ex omnibus his quae recenfuit vere diligenter dicta fint et quae non, didiciftis tum in Hippocratis libris tum in commentariis noftris.

LXXVIII.

Dolores autem laterum, dorfi, lumborum, coxarum, qui ex itinere contingunt et quaecunque inter fpirandum ex caufa manifefta dolent. Saepius enim dolores ex crapulis cibisque flatulentis ad lumbos et coxas venire confueverunt. Quibus vero ipforum talia fuerint, his urinae difficultas accedit. Horum autem iter caufa eft gravedinis quoque et raucedinis.

Οὐ τεταγμένως ἡρμήνευσε ταῦτα· προειπὼν γὰρ τὰ ἐκ πορείης ἀλγήματα, πλευρῶν, νώτου, ὀσφύος, ἰσχίων, ἔμφασιν ἐποίησεν ὡς μέλλων ἐρεῖν ὅπως τὰ τοιαῦτα θεραπεύηται· κἄπειτα παρενθεὶς, πολλάκις γὰρ μεμάθηκε φοιτᾷν ἐκ κραιπαλέων καὶ βρωμάτων φυσωδέων, μετὰ ταῦτα ἐπήνεγκεν, ὅσα ἂν ᾖ τοιάδε δυσουρέεται. καὶ μετὰ τοῦτο πάλιν ἐφεξῆς ἔφη, τούτων δὲ πορείη αἰτίη καὶ κορυζέων καὶ βραγχῶν· ἀκέφαλον, ὡς ἂν εἴποι τις, ἐργασάμενος τὸν λόγον.

οθ'.

Ὁκόσα δὲ ἀπὸ διαιτημάτων, τὰ μὲν πολλὰ ἕκαστος, ὡς ἂν παρὰ τὸ ἔθος διαιτηθῇ, μάλιστα ἐπισημαίνει· καὶ γὰρ ὁκόσοι ἂν μὴ μεμαθηκότες ἀριστᾷν, ἢν ἀριστήσωσιν, ὄγκος πολὺς αὐτοῖσι τῆς γαστρὸς καὶ νυσταγμὸς καὶ πληθώρη· ἢν δὲ ἐπιδειπνήσωσι, κοιλίη ἐκταράσσεται. ξυμφέρει δὲ τουτέοισιν ἐκλουσαμένοισι καθεύδειν, κοιμηθέντας δὲ περιπατῆσαι βραδέως συχνὴν περίοδον· καὶ ἢν μὲν λαπαχθῇ,

Non ordine haec interpretatus eſt. Nam praedicens dolores ex itinere, laterum, dorſi, lumborum et coxarum, rei inanis exhibitionem fecit, perinde atque quonam modo haec curentur eſſet dicturus. Deinde facto ita additamento: *Saepius enim ex crapulis cibisque inflantibus venire ſolent*, poſtea intulit, quibus talia fuerint, urinae difficultas accedit. Poſt haec rurſum inquit: *Horum iter cauſa eſt, coryzae item, ac raucedinis*; acephalum, ut quispiam dixerit, rei faciens ſermonem.

LXXIX.

Quaecunque ex victus ratione contingunt, multa quidem unusquisque, prout praeter conſuetudinem victu uſus fuerit, maxime obſervat. Etenim qui prandere non conſueverunt, ſi pranſi fuerint, his ingens ventris tumor oboritur, *tum dormitatio, tum plenitudo. Si vero ſupercoenaverint, alvus exturbatur. His a balneo dormire confert et a ſomno lenta deambulatione multos*

δειπνῆσαι καὶ πιεῖν οἶνον ἐλάσσονα ἀκρητέστερον· ἢν δὲ μὴ λαπαχθῇ, ὑποχρίσασθαι τὸ σῶμα θερμῷ· κἢν διψῇ, ὑδαρέα οἶνον λευκὸν ἢ γλυκὺν ἐπιπιόντα, ἀναπαύεσθαι· ἢν δὲ μὴ ἐγκοιμηθῇ, πλείω ἀναπαύεσθαι, τὰ δὲ ἄλλα ὁμοίως τοῖσιν ἐκ κραιπάλης διαιτάσθω. τὰ δὲ ἀπὸ πομάτων, ὁκόσα μὲν ὑδαρέα βραδυπορώτερά ἐστι καὶ ἐγκυκλέεται καὶ ἐπιπολάζει περὶ ὑποχόνδρια καὶ εἰς οὔρησιν οὐ κατατρέχει· τοιούτου δὲ πόματος πληρωθεὶς μηδὲν ἔργον ὀξέως διαπράξῃ, ὁκόσα τῷ σώματι ξυνταθέντι βίῃ ἢ τάχει πονέειν ξυμβαίνει· ὡς μάλιστα δὲ ἡσυχαζέτω, μέχρι καταπεφθήτω μετὰ τῶν σιτίων. ὁκόσα δὲ τῶν πομάτων ἀκρητέστερά ἐστιν ἢ αὐστηρότερα, παλμὸν ἐν τῷ σώματι καὶ σφυγμὸν ἐν τῇ κεφαλῇ ἐμποιέει· τούτοισι καλῶς ἔχει ἐπικοιμᾶσθαι καὶ θερμόν τι ῥοφέειν πρὸς ἅπερ μάλιστα ἥδιστα ἔχουσι· νηστείη δὲ πονηρὸν πρὸς τὴν κεφαλαλγίην καὶ κραιπάλην. ὁκόσοι δὲ μονοσιτέουσι,

conficere circuitus. Quod si quidem alvus evacuata fuerit, coenare et paucum vinum, sed meracius bibere. Si vero alvum non exorneraverint, corpus oleo calido illinere. Et si sitis urgeat, epoto vino aquoso albo aut dulci quiescere, si vero non dormierint, amplius quiescere. In reliquis his similis victus ratio, qualis crapula gravatis, instituatur. Ex potionibus autem quae quidem aquosiores sunt, tardioris sunt transitus, ac velut in orbem actae circum hypochondria fluitant et ad mictionem non decurrunt. His vero potionibus repletus nullum celeriter ex iis absolvet opus, quae contendenti corpori vi et celeritate elaborare accidit. Quam maxime autem quiescat, donec cum cibis concoctae fuerint. Quaecunque vero potiones meraciores et austeriores sunt, palpitationem in corpore atque in capite pulsationem efficiunt. His belle fuerit, si superdormiant et calidum quid ex iis quae potissimum suavissima ipsis sunt sorbeant. At vero jejunium ad capitis dolorem et crapulam malum est. Qui semel tantum

κεῖνοι καὶ ἀδύνατοί εἰσιν καὶ οὐρέουσι θερμὸν παρὰ τὸ ἔθος κενεαγγέοντες· γίνεται δὲ καὶ στόμα ἁλικὸν καὶ πικρὸν καὶ τρέμουσιν ἐν παντὶ ἔργῳ καὶ κροτάφοις ἐπιξυντείνονται καὶ τὸ (110) δεῖπνον οὐ δύνανται πέσσειν, ὅκωσπερ ἢν ἠριστηκότες ἔωσιν. τούτους δὲ χρὴ πίνειν [167] ἔλασσον ἢ μεμαθήκασιν καὶ ὑγροτέρην μάζαν ἀντὶ ἄρτου· καὶ λαχάνων, λάπαθα ἢ μαλάχην ἢ πτισάνην καὶ σεῦτλα. πίνειν δὲ κατὰ τὸ σιτίον οἶνον ὁκόσον σύμμετρον καὶ ὑδαρέστερον· καὶ ἀπὸ δείπνου περιπατῆσαι ὀλίγον, ἕως οὖρα καταδράμῃ καὶ οὐρήσει. χρῆσθαι δὲ καὶ ἰχθύσιν ἑφθοῖσι· βρώματα δὲ μάλιστα ἐπισημαίνει.

Μεμνήμεθα δήπου τοῦτον ἅπαντα τὸν λόγον ἐπὶ τῷ γνησίῳ μέρει τοῦ συγγράμματος ἱκανῶς ἐξειργασμένον· ἐξ ἐκείνων οὖν δυνήσῃ ὡσαύτως εἰρημένα καὶ ταῦτα διαγνῶναί τε καὶ κρῖναι, ἐμοὶ δ' οὐκ ἀναγκαῖον ἐν τοῖς τοιοῖσδε μηκύνειν. βρώματα δὲ μάλιστα ἐπισημαίνει. οὐκ ἐκ λόγου

die cibum aſſumunt, hi et imbecilli ſunt et calidum mejunt, praeter conſuetum vaſis vacuatis, os ipſis tum ſalſum tum amarum efficitur, in omni opere tremunt, tempora diſtenduntur coenamque perinde ac ſi pranſi fuiſſent, concoquere nequeunt. Hos autem minus bibere oportet quam conſueverunt liquidioremque mazam pro pane aſſumere, atque ex oleribus rumicem aut malvam aut ptiſanam et betas. At vinum in cibis, quantum liceat moderatum ac dilutius bibendum eſt, atque a coena paululum deambulandum, donec excurrat urina minxerintque. Piſcibus etiam coctis utantur. Edulia vero de ſe potiſſimum praebent indicia.

Totum hunc ſermonem in legitima libri hujus parte abunde elaboratum eſſe ſcimus. Ex illis igitur quae dicuntur modo ſimili, potueris et haec tum diſcernere tum judicare. Neque mihi diutius morari in his neceſſe eſt. *Edulia vero de ſe potiſſimum praebent indicia.* Edulio-

τινός, ἀλλ' ἐμπειρίας προσήκει κρίνεσθαι τῶν ἐδεσμάτων τὴν δύναμιν· οὐ διοίσει δὲ νῦν βρώματα λέγειν ἢ ἐδέσματα. καὶ μέντοι καὶ ὁ γράψας ταυτὶ τοιοῦτόν τι δηλοῖ διὰ τοῦ ἐπισημαίνειν· ἐπίσημον γάρ, φησί, τοῖς σώμασι γίνεται καθ' ἑκάστην ἀλλοίωσιν ἐξ ἰσχυρῶν ἐδεσμάτων. εἶθ' ἑξῆς αὐτὰ καταλέγει.

π'.

Σκόροδον φῦσαν καὶ θέρμην περὶ τὸν θώρηκα καὶ κεφαλῆς βάρος καὶ ἄσην καὶ εἴ τι ἄλλο ἄλγημα εἴη μεμαθηκὸς πρόσθεν, παροξύνειεν ἄν· οὐρητικὸν δὲ καὶ τοῦτο ἔχει ἀγαθόν. ἄριστον δ' αὐτοῦ φαγέειν ἢ μέλλοντι ἐς πόσιν ἰέναι ἢ μεθύοντι.

Εἰ τῇ πείρᾳ χρὴ κρίνειν ἓν ἕκαστον τῶν ἐσθιομένων, οὐκ ἂν ὀρθῶς λέγοιτο φυσῶδες εἶναι τὸ σκόροδον, οὐδὲ θέρμης πλείονος ἢ κατὰ κρόμμυον, αἴσθησιν φέρον τοῖς φαγοῦσιν, οὔτ' ἐν ἄλλῳ τινὶ μέρει τοῦ σώματος οὔτ' ἐν τῷ

rum facultates non ex ratione aliqua, fed experientia judicari convenit. Neque hic refert cibos vel edulia dicere. Caeterum qui haec fcripfit, tale quiddam oftendit per *de fe indicia praebere.* Nam indicium corpori fit, inquit, fecundum unamquanque, quae ex cibis valentibus fit, mutationem. Confequenter autem ea enumerat.

LXXX.

Allium flatum et calorem circa thoracem, capitis gravitatem et jactationem et fi quis alius dolor antea fieri confueverit, eum exacerbaverit. Urinas autem ciet, idque habet bonum. At ipfum edere aut ad compotationem profecturo, aut inebriato optimum eft.

Si unumquodque eduliorum experientia judicandum fit, non recte dictum effe videtur flatulentum effe allium, neque caloris majoris fenfum quam caepam comedentibus inferre, neque in ulla alia corporis parte, neque etiam

θώρακι· κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδ' ἄσης, καὶ μάλιστα, ἄν τις αὐτὸ βραχὺ προαποζέσας προσάρηται. τὰ δὲ πολλὰ τῶν ἐδεσμάτων, ὅταν μὲν πληθωρικὸν ᾖ τὸ σῶμα, θερμαίνει, ὅταν δὲ προκεκενωμένον ᾖ, ξηραίνει γε ἱκανῶς. ἡμάρτηκεν οὖν ὁ συγγραφεὺς τοῦ βιβλίου, χωρὶς διορισμοῦ τὴν ἀπόφασιν ποιησάμενος· ἄμεινον γὰρ ἦν διορίσαι, καθὸ λέλεκται, νυνὶ δὲ ἁπλῶς εἰπὼν ἀπεφήνατο περὶ σκορόδου· βέλτιον δ' ἦν εἰπεῖν ξηραίνειν καὶ θερμαίνειν αὐτὸ καὶ ἄφυσον εἶναι· οὐ κατὰ γὰρ ἀδιορίστου ἀποφαίνεσθαι ἔθος ἐστίν. προσυπακούειν δ' ὅταν ἐν καιρῷ δοθῇ, ὃ τῷ προπαρεσκευασμένῳ τῷ σώματι δηλοῖ· προπαρασκευάζεται δὲ μήτε πληθωρικὸν μήτε κακόχυμον ὄν. οὐκ ὀρθῶς οὖν οὐδὲ κεφαλῆς βάρος ὑπ' αὐτοῦ γίνεσθαί φησιν· ἐὰν γὰρ προκενώσας τὸ σῶμα προσενέγκῃ σκόροδον καὶ κεφαλῆς βάρος ἰάσῃ καὶ παντὸς ἄλλου μορίου. θαυμάζω δὲ πῶς ἃ μέχρι τοῦ νῦν διῆλθεν ἐπ' αὐτοῦ προειπὼν ἐφεξῆς φησιν· ἄριστον δ' αὐτὸ φαγεῖν μέλλοντι ἐπὶ πόσιν ἰέναι ἢ μεθύοντι. φαίνεται δὲ

in thorace, neque ſimili modo jactationem et potiſſimum ubi quis ipſum parum ante ferveſactum aſſumpſerit. Eduliorum autem multa, quum corpus plethoricum fuerit, calefaciunt, quum vero ante vacuatum fuerit, ſiccant abunde. Peccavit igitur libri hujus auctor, qui citra diſtinctionem enunciationem fecit, nam melius erat ut dictum eſt definire. Nunc autem ſimpliciter de allio cenſuit, ſed melius feciſſet, ſi et exiccare et calefacere ipſum dixiſſet et non flatulentum eſſe. Nam adverſus rem indiſtinctam ferre ſententiam conſuetudo non eſt. Subaudire autem oportet, ubi tempeſtive datum fuerit, quod parato ante corpore manifeſtat. Ante autem paratur, ſi neque plethoricum, neque cacochymum fuerit. Non recte igitur capitis gravitatem ab eo fieri ait, nam ſi praevacuato corpore allium obtuleris, capitis gravitatem ſanabis partisque alterius omnis. Demiror autem quonam pacto quae hucusque percurrit, de eo praefatus, deinceps dixerit: *At ipſum edere, aut ad compotationem profecturo aut inebriato optimum eſt.* Videtur autem ex his

ἐκ τούτων οὔτε κραιπάλην οὔτε μέθην ἐργαζόμενον, ἀλλὰ καὶ προφυλακτικὸν αὐτῶν ὑπάρχον, ὡς καὶ βάρος ὦσαι δύνασθαι καὶ θεραπευτικὸν γενέσθαι φυσῶν. ἀληθῆ μὲν ταῦτα εἶπε καὶ προσέτι τῶν οὐρητικῶν εἶναι [168] φαρμάκων αὐτό· ψευδῶς δὲ τἄλλα προσέθηκεν, ἅμα καὶ τῷ μαχόμενα λέγειν αὐτά.

κα'.

Τυρὸς δὲ φῦσαν καὶ στεγνότητα καὶ σιτίων ἔξαψιν ποιέει, ὠμὸν καὶ ἄπεπτον· κάκιστον δ' ἐν τῷ ποτῷ φαγεῖν πεπληρωμένοισιν.

Φυσώδης μᾶλλόν ἐστι τοῦ ξηροῦ ὁ μαλακὸς καὶ νέος τυρὸς καὶ ἧττον στεγνοῖ, τουτέστιν ἵστησι τὴν γαστέρα τοῦ ξηροῦ· τούτῳ γὰρ ὑπάρχει φυσώδει μὲν ἧττον εἶναι, μᾶλλον δ' ἱστάναι τὴν γαστέρα· καὶ μέντοι καὶ διψώδης μᾶλλόν ἐστιν, ὅπερ ἐδήλωσεν εἰπὼν, σιτίων ἔξαψιν ποιεῖ. τὸ δὲ ὠμὸν καὶ ἄπεπτον μεταξὺ παρέγκειται κατὰ τὴν ῥῆσιν οὐκ

neque crapulam neque ebrietatem efficere, ſed ab his ita praeſervare, ut et gravitatem expellere poſſit et flatus ſanare. Vera quidem haec dixit, atque adhuc ex cientibus urinas medicamentis unum eſſe allium. Sed alia falſo adjecit ſimulque et pugnantia, ſi dicantur.

LXXXI.

Caſeus flatum et adſtrictionem et ciborum incendium facit, crudum et incoctum edulium. *Repletos autem in potu edere deterrimum eſt.*

Caſeus recens et mollis duro ac ſicco magis flatulentus exiſtit minusque ſicco adſtringit, hoc eſt ventrem ſiſtit. Siccus etenim flatulentus minus eſt, ſed ventrem magis ſiſtit, praeterea et ſiticuloſus magis exiſtit, quod oſtendit quum inquit: *ciborum incendium facit. Crudum autem et incoctum,* in dictionis jacet medio, quod exacta enun-

ἐπιμελῶς ἑρμηνευόμενον· ἐμφαίνει γοῦν ὅτι τὸ κατὰ τὸ σῶμα συνιστάμενον πᾶν ὠμὸν καὶ ἄπεπτον ἐν χυμοῖς, ἐκ τοιούτων ἐδεσμάτων πέφυκε γίνεσθαι, ὁποῖός ἐστι καὶ ὁ τυρὸς, ὠμὸν καὶ ἄπεπτον ἔδεσμα, ὡς εἰ καὶ οὕτως ἔλεγε· τυρὸς δὲ καὶ φῦσαν καὶ στεγνότητα τῆς γαστρὸς ἐργάζεται καὶ καυσώδης ἐστὶν, ἔτι δ᾽ ὠμὸν καὶ ἄπεπτόν ἐστιν ἔδεσμα καὶ χυμῶν τοιούτων γεννητικόν. κάκιστον δὲ, φησὶ, καὶ πεπληρωμένον μετὰ πόματος φαγεῖν αὐτὸ, ὅπερ εὔδηλόν ἐστι καὶ τοῖς ἰδιώταις· ἔστι μὲν γὰρ καὶ ἄλλως οὐκ ἀγαθὸν ἔδεσμα τυρὸς, ὡς ἂν παχύχυμος καὶ δύσπεπτος ὑπάρχων· εἰ δ᾽ ἐν τῷ πίνειν αὐτῷ τις χρήσαιτο πεπληρωμένος ὢν, χείριστος ἁπάντων τῶν ἐδεσμάτων γίνεται, βαρύνων τε τὸ στόμα τῆς γαστρὸς, αὐτός τε πρῶτος διαφθειρόμενος, εἶθ᾽ ἑαυτῷ συνδιαφθείρων καὶ τἄλλα.

πβ΄.

Ὄσπρια δὲ πάντα φυσώδεα καὶ ὠμὰ καὶ ἑφθὰ καὶ πεφρυγμένα, ἥκιστα δὲ βεβρεγμένα ἢ χλωρά· τουτέοισι δὲ

ciatione caret. Oſtendit autem quod crudum omne incoctumque in corporis humoribus ſiſtens ex hujusmodi eduliis fieri conſuevit, cujusmodi eſt caſeus, crudum et incoctum edulium, quaſi ita diceret, caſeus flatum parit, atque adſtrictionem ventris, aeſtuoſusque eſt, praeterea crudum et incoctile eſt edulium, talesque ſuccos generat. Ait praeterea et deterrimum eſſe iis qui ſe potu repleverunt, quod et idiotis ipſis patet. Neque ſiquidem alias bonum eſt edulium caſeus, ut qui craſſum humorem et coctu difficilem pariat. Si vero inter bibendum eo quis utatur repletus, deterrimum omnium eduliorum redditur, gravat ſiquidem os ventriculi primusque ipſe corrumpitur et alia deinceps ſecum corrumpit.

LXXXII.

Legumina omnia flatulenta ſunt et cruda et elixa et frixa, minime vero vel macerata vel viridia. His autem niſi

μὴ χρέεσθαι, εἰ μὴ μετὰ σιτίων. ἔχει δὲ καὶ ἰδίας μοχθηρίας ἕκαστον αὐτέων.

Ἐμπίπλησι τὴν κοιλίαν πάντα τὰ ὄσπρια, πρὸς τούτοις δὲ καὶ δυσπεπτότατα αὐτῶν ἐστι τὰ ὠμά· τὰ δὲ πεφρυγμένα φυσώδη μὲν ἧττον, ἄπεπτα δ' οὐδὲν ἧττον· ὅσα δὲ πλεῖστον ἥψηται, μετριώτερα. τὸ δ' ἐφεξῆς ἔν τισι μὲν τῶν ἀντιγράφων γέγραπται καὶ βεβρεγμένα καὶ χλωρὰ, ὡς καὶ τῶν τοιούτων τὰς προειρημένας κακίας ἐχόντων· ἐν τοῖς πλείστοις δὲ οὐχ οὕτως, ἀλλ' ἐφ' ἑτέρας ἀρχῆς· ἥκιστα δὲ βεβρεγμένα ἢ χλωρά. χλωρὰ μὲν οὖν λέγεται τὰ μὴ ξηρὰ μηδὲ ἀκριβῶς ἤδη τέλεα· βεβρεγμένα δὲ τὰ ὕδατι βρεχθέντα. συμβουλεύει τοίνυν ἄνευ σιτίων ὀσπρίοις μὴ χρέεσθαι· σιτία δηλονότι μάλιστα μὲν τοὺς ἐκ πυρῶν ἄρτους λέγων ἢ ἁπλῶς ἅπαντα τὰ ὁπωσοῦν σκευαζόμενα, τάχα δὲ καὶ τἄλλα πάντα ἐξ ὅσων ἄρτοι γίνονται, ζειὰς καὶ

cum cibariis utendum non est. Sed horum singula suum vitium habent.

Ventrem implent legumina omnia, praeterea coctu difficillima sunt cruda. Frixa, flatuosa minus, sed concoctioni non minus renituntur. Quae autem plurimum elixa sunt, ea existunt moderatiora. Quod autem sequitur, in exemplaribus nonnullis scriptum est ita *et macerata et viridia*, ut et talia praefatis vitiis sint praedita. In quamplurimis vero non ita scriptum reperitur, sed principio altero in hunc modum: *Minime autem macerata vel viridia.* Viridia dicuntur quae neque sicca sunt, neque exquisite jam perfecta, macerata vero, quae in aqua fuerint madefacta. Caeterum leguminibus haudquaquam sine cibariis utendum esse praecipit, cibaria nimirum maxime quidem eos, qui ex tritico panes sunt, affirmans, vel simpliciter omnia, quae quovis modo parantur, forsitam vero et alia omnia, ex quibus panes conficiuntur,

τίφας καὶ κριθάς· οἱ δ' ἀγροῖκοι καὶ ἀπὸ τῶν κέγχρων ἄρτους ποιοῦνται.

πγ'.

[169] Ἐρέβινθος φῦσαν μὲν ὠμὸς καὶ πεφρυγμένος καὶ πόνον ἐμποιέει.

Τινὲς γράφουσι διὰ τοῦτ' αὐτὸν φυσώδη, ὡς ἐντείνοντα τὰ αἰδοῖα, τὸν ἐρέβινθον· διὰ μέντοι τὸν ὑπογεγραμμένον τῆς λέξεως τὸν πόνον φέρομεν ἐπὶ τὴν διὰ τὴν ἐμφύσησιν ὀδύνην.

πδ'.

(111) Φακὸς δὲ στύφει καὶ ἄραδον ἐμποιέει, ἣν μετὰ τοῦ φλοιοῦ ᾖ.

Τὴν ἄραδον φωνὴν ἔφην σημαίνειν ταραχήν τινα καὶ οἷον μάχην ἐν τῇ γαστρὶ γινομένην ἐκ τῶν διαφόρων ταῖς

zeam, tipham et hordeum, rustici autem et ex milio panes conficiunt.

LXXXIII.

Cicer quidem flatum tum crudum tum frixum et laborem inducit.

Quidam cicer scribunt ob id flatulentum esse quod pudenda intendat. Quod autem in fine dictionis laborem dixerit, id ad eum referre oportet qui propter inflationem fit dolorem.

LXXXIV.

Lens astringit, ac turbationem inducit, si cum cortice sit.

Hanc vocem ἄραδον turbationem quandam ac veluti pugnam in ventre ex discrepantibus facultate cibariis con-

δυνάμεσι σιτίων· ὥσπερ καὶ νῦν ὅταν μετὰ τοῦ φλοιοῦ προσενέγκηται, πολὺ τῆς σαρκὸς αὐτῆς ἐστι δυσπεπτοτέρα.

πέ.

Θέρμος δὲ ἥκιστα τουτέων κακὰ ἔχει.

Τὸ ἥκιστα τοὐναντίον ἐνταῦθα σημαίνει τῷ μάλιστα· δηλονότι τὸν θέρμον ἐλάχιστα τῶν προειρημένων ἔχειν φησὶ τὰ κακά.

πστ'.

Σιλφίου δὲ καυλὸς καὶ ὀπὸς ἔστι μὲν οἷσι μάλιστα, τοῖσι δὲ ἀπείροισιν οὐ διέρχεται τῇ κοιλίῃ· ἀλλὰ καλέεται ξηρὴ χολέρη, μάλιστα δὲ γίνεται, ἢν μετὰ πολλοῦ τυροῦ μιχθῇ ἢ κρεηφαγίης βοείων κρεῶν.

Τὴν ῥίζαν τοῦ σιλφίου καλεῖν ἔθος ἐστὶ τοῖς ἀνθρώποις ὁμωνύμως ὅλῃ τῇ βοτάνῃ. ταύτην δέ φησι καὶ προσέτι

citatam, significare dixi, quo modo et nunc si cum cortice assumatur, ipsius carne longe coctu difficilior existit.

LXXXV.

Lupinus autem horum malorum habet minima.

Vocabulum *minime* huic *maxime* omnino contrarium indicat. Lupinum autem minime praedictorum ait habere mala.

LXXXVI.

Laserpitii tum caulis tum succus nonnullis quidem maxime, inexpertis vero per alvum non descendit. Verum arida cholera hoc malum *vocatur, fit autem maxime, si cum multo caseo aut bubularum carnium edulio mixtus fuerit.*

Laserpitii radicem homines aequivoce cum tota herba vocare consueverunt, hanc et praeterea herbae succum,

τὸν ὀπὸν τῆς πόας τοῖς ἀπείροις, τουτέστι τοῖς ἀήθεσι, ξηρὰν ἐργάζεσθαι χολέραν· ἥτις δ' ἐστὶν αὕτη μετ' ὀλίγον αὐτὸς διδάξει γράφων ὡδί· χολέρης δὲ ξηρῆς ἡ γαστὴρ πεφύσηται καὶ ψόφοι ἔνεισιν. εὔδηλον οὖν ὅτι πνεῦμα φυσῶδες ἀθροίζεται κατὰ τὴν κοιλίην ἐκ τῆς τοῦ σιλφίου προσφορᾶς, ἔστι δὲ δριμὺ καὶ καυσῶδες τοῦτο. τί δὴ οὖν σημαίνει τὸ ἔστι μὲν οἷσιν, οὐδὲν ἐκ τῆς λέξεως σαφὲς καὶ διὰ τοῦτο ἐξηγούμενός τις ἕκαστον τούτων ἐρεῖ τὸ πιθανώτατον ἑαυτῷ φαινόμενον· ἄπορον γὰρ τὸ κατὰ λόγον ἐρεῖν ἐν τοῖς [170] τοιούτοις. μάλιστα δὲ γίγνεται, ἢν μετὰ πολλοῦ τυροῦ μιχθείη ἢ κρεηφαγίης βοείων κρεῶν. τὴν ξηρὰν χολέρην αὐτῷ κεκλημένην μάλιστα γίγνεσθαί φησι τοῖς τὸ σίλφιον ἅμα τῷ τυρῷ πλέον προσενεγκαμένοις ἢ βοείοις κρέασιν. ἡ γὰρ ἐκ τοῦ σιλφίου γεννωμένη φῦσα τοῖς ἐμπλαστικοῖς καὶ βραδυπόροις ἐδέσμασι μιχθεῖσα μένει κατὰ τὴν γαστέρα μὴ διεξερχομένη.

---

inexpertis, i. e. inassuetis, siccam generare choleram ait. Sed quaenam ea sit post paulo ipse docebit ita scribens: *Ab arida cholera venter inflatur et strepitus insunt.* Patet ergo spiritum flatuosum ex laserpitii ingestione colligi in ventre, est enim acre et aestuosum. Quid autem significet vocabulum hoc, *nonnullis*, nihil ex dictione est manifestum, atque ob id explanaturus quispiam horum singula, quod maxime probabile sibi videbitur, dicet. Nam in talibus dicere quod ex ratione est, difficile existit. *Fit autem maxime, si cum multo caseo aut bubularum carnium edulio mixtus fuerit.* Siccam ab eo vocatam choleram ait maxime iis fieri, qui laserpitium simul cum caseo copiosius assumpserunt, aut cum carne bubula. Nam qui flatus ex laserpitio oritur, cum emplasticis et tarde penetrantibus eduliis mixtus, in alvo non percurrens moratur.

πζ'.

Τὰ μὲν γὰρ μελαγχολικὰ καὶ παροξυνθείη ἂν παθήματα ὑπὸ βοείων κρεῶν ἐδωδῆς· ἀνυπέρβλητος γὰρ ἡ φύσις αὐτέων καὶ οὐ τῆς τυχούσης κοιλίης καταπέψαι· βέλτιστα δὲ ἂν ἀπαλλάσσοιεν, εἰ διέφθοισί τε χρέοιντο καὶ ὡς παλαιοτάτοισι.

Ἦν μὲν αὐτῷ περὶ σιλφίου δυνάμεως ὁ λόγος, ἐπέμιξε δὲ τούτῳ τὴν τῶν βοείων κρεῶν ἐδωδὴν καὶ μετὰ ταῦτα ἑξῆς ἐπ' αὐτὰ μεταβὰς τὰ μελαγχολικὰ πάθη παροξυνθήσεσθαί φησιν ὑπ' αὐτῶν· εἶθ' ἑξῆς ὡς ἂν ἐπαναδιπλοῦς αἰτίας ἀποδιδοὺς τοῦτό φησιν· ἀνυπέρβλητος γὰρ ἡ φύσις αὐτῶν. ἐχρήσατο μὲν οὖν τῷ γάρ συνδέσμῳ, καθάπερ οἱ τὰς αἰτίας ὧνπερ εἰρήκασι λέγοντες· οὐ μὴν αὐτοῦ γε τοῦ παροξύνεσθαι τὰ μελαγχολικὰ πρὸς τῶν βοείων κρεῶν εἶπεν αἰτίαν, τινὰ δὲ ἄλλην κοινοτέραν τὴν κατὰ τὸ δυσκατέργαστον τῆς φύσεως καὶ ἰσχυρόν· ἡ γὰρ ἀνυπέρβλητος φύσις ἐστὶν, ἣν οὐκ ἄν τις ὑπερβάλλοιτο. βέλτιστα δὲ ἂν ἀπαλ-

LXXXVII.

Nam et melancholicae affectiones bubularum carnium esu ingravescunt, quod earum natura minime superari queat, neque omnis eas ventriculus concoquere. At optime liberabuntur qui perelixis et perquam vetustis utentur.

Erat quidem ipsi de laserpitii facultatibus sermo, sed bubularum carnium esum cum eis supermiscuit, ac postea deinceps facto ad eas transitu pathemata melancholica ab ipsis proritari ait. Deinde geminas referens causas, hoc ait: *Nam harum natura insuperabilis est.* Usus est igitur hac conjunctione *nam* eorum modo, qui dictorum causas referunt. Non tamen cur a bubulis melancholica roritentur pathemata causam dixit; quanquam aliam quandam communiorem dixerit, qua natura agre conficiatur et valida sit; natura enim ea insuperabilis est, quam nullus superaverit. *At optime liberabuntur qui perelixis*

λάσσοιεν, εἰ διέφθοισί τε χρέοιντο καὶ ὡς παλαιοτάτοισι. καὶ τοῦτο καθολικωτέραν ἔχει τὴν συμβουλὴν, οὐ κατὰ τὰ μελαγχολικά· τοῖς γὰρ βοείοις κρέασιν ἄμεινον χρῆσθαι διέφθοις τε καὶ παλαιοῖς, ὥσπερ τοῖς ἄλλοις ἅπασι δυσπέπτοις. οὐ κυρίως δὲ ἐχρήσατο τῇ βέλτιστα λέξει· οὔτε γὰρ οἱ μελαγχολικῶς νοσοῦντες οὔτ᾽ ἄλλος τις ἄνθρωπος ὑγιαίνων ἢ νοσῶν βέλτιστα ἂν ἀπαλλάσσοι βόεια δίεφθα καὶ παλαιὰ προσφερόμενος, τῶν γὰρ ἐσθιόντων εἰσὶν αὐτὰ πάντων οὐκ ἀγαθὴ τροφή· ἀλλ᾽ ἧττον τῶν ἄλλων οἱ τὰ τοιαῦτα προσφερόμενοι βλάπτονται. μεταθεὶς οὖν τὸ βέλτιστα καὶ ποιήσας ἥκιστα τὸν λόγον ἄμεμπτον ἐργάσῃ.

πη΄.

Αἴγεια δὲ κρέα ὅσα τε ἐν βοείοισιν ἔνι κακὰ, ἅπαντ᾽ ἔχει τήν τε ἀπεψίην· καὶ φυσωδέστερα καὶ ἐρευγματωδέστερα καὶ χολέρην ποιέει. ἔστι δὲ τὰ εὐωδέστατα στερεὰ καὶ ἥδιστα, ταῦτ᾽ ἄριστα δίεφθα καὶ ψυχρά· τὰ δ᾽ ἀηδέστατα

et perquam vetustis utentur. Id quoque univerſaliorem habet admonitionem, non in melancholicis. Nam bubulis carnibus et perelixis et vetuſtis uti praeſtat, quemadmodum et aliis omnibus quae difficulter concoquuntur. At improprie voce hac *optime* eſt uſus. Neque enim melancholico laborantes morbo, neque homo alius quispiam vel ſanus vel aeger optime liberatur, bubulas carnes et perelixas et vetuſtas ingerens. Nam inter omnia quae eduntur, hae non bonam praeſtant alimoniam, alia tamen ingerentes caeteris minus laeduntur. Si ergo pro voce hac *optime* dixeris *maxime*, ſermonem reddes integrum.

LXXXVIII.

At caprinae carnes, quae bubulis inſunt vitia, habent omnia et cruditatem flatusque et ructus magis movent et choleram generant. Verum quae odoratiſſimae, ſolidae et ſuaviſſimae ſunt, hae optimae ſunt tum perelixae tum frigidae, quae vero inſuaviſſimae, graveolen-

καὶ δυσώδεα καὶ σκληρὰ, ταῦτα κάκιστα καὶ τὰ πρόσφατα. βέλτιστα δὲ ἐπὶ τῇ θερινῇ, μετοπωρινῇ δὲ κάκιστα.

---

[171] Κἀνταῦθα πάλιν εἶπε τὴν αἰτίαν τοῦ τῶν βοείων κρεῶν εἶναι φαυλότερα τὰ αἴγεια· δύσπεπτα γὰρ ὁμοίως ὄντα τὰ αἴγεια, φυσωδέστερα τῶν βοείων εἰσὶν, ἐρυγάς τε πολλάκις ποιεῖ μοχθηρὰν ἐχούσας ποιότητα. δριμύτερα δ' ὄντα καὶ θερμότερα τῶν βοείων, εἰ ἀπεπτηθῇ καὶ χολέραν ἐργάζεται· διὸ καὶ ψυχρὰ μᾶλλον ἢ θερμὰ δεῖ ἐσθίειν αὐτά. βέλτιστα δ' ἐστὶ τῇ θερινῇ, μετοπωρινῇ δὲ κάκιστα. βέλτιστα δ' εἶναί φησι σφῶν αὐτῶν τὰ κρέα τῶν αἰγῶν, οὐ γὰρ δὴ τῶν ἄλλων γε κρεῶν. ἐχρῆν μὲν οὖν ὅσον ἐπὶ τῇ ὥρᾳ φαυλότατα διὰ τὴν κρᾶσιν εἶναι· συμβαίνει δὲ βελτίονα τὴν τροφὴν αὐταῖς κατὰ τὸ θέρος εἶναι καθάπερ τὰ ποηφάγα τῶν ζώων μοχθηρὰ, διὰ τὸ μηκέτι ἔχειν τὴν πόαν χλωράν· ταῖς δ' αἰξὶν ἐπιτηδειοτάτη τροφή τῶν δένδρων οἱ βλαστοὶ καὶ καυλοί ἐστιν, οὓς ἐπὶ τῇ τελευτῇ τοῦ ἦρος ἔχει δαψιλεῖς κατὰ τὸ θέρος. ὅτι δὲ τροφὴ

tes et durae, hae deterrimae, imo etiam quae recentes. Optimae autem sunt aestate, autumno vero pessimae.

Cur caprinae carnes bubulis vitiosiores sint causam hic rursus dixit. Nam quum caprinae coctu difficiles bubularum modo existant, flatuosiores etiam sunt et saepius movent ructus, pravam habentes qualitatem. Quum igitur bubulis et acriores et calidiores sint, si incoctae fuerint, etiam choleram pariunt. Propereaque ipsae frigidae magis quam calidae sunt comedendae. *Optimae autem aestate, autumno vero pessimae.* Optimas esse ait caprinas carnes, inter se quidem, non cum caeteris carnibus comparatas; oportebat igitur pro anni tempestate temperamento vitiosissimas esse. Contingit autem *capris* aestate meliorem esse alimoniam, quomodo prava sunt quae herbas vorant animalia, quod viridem herbam non habeant. Capris autem maxime idoneam praebent alimoniam arborum germina caulesque, quos a fine veris aestas largi-

πλεῖστον δύναται πρὸς τὴν τῶν κρεῶν ἐπιτηδειότητα κἀκ τῶν ἀλωπέκων ἔνεστί σοι μαθεῖν ἐν φθινοπώρῳ μάλιστα καλλίστην ἐχουσῶν διὰ τὰς σταφυλὰς σάρκα· οὕτως δὲ καὶ τὸ στρουθίον ἡ συκαλὶς καλλίστην ἔχει τὴν σάρκα. φθινοπώρου τοίνυν αἱ αἶγες ἀποροῦσαι τροφῆς ἐπιτηδείου χειρίστην καὶ ἰσχνοτάτην ἔχουσι τὴν σάρκα· κατὰ δὲ τὸν χειμῶνα πάλιν ἀμείνω τὴν τοῦ σώματος ἕξιν ἴσχουσι, τὴν φυσικὴν δυσκρασίαν ὑπὸ τῆς κατὰ τὴν ὥραν κράσεως ἐπανορθούμεναι.

πθ'.

Χοίρου δὲ πονηρὰ, ὁκόταν ᾖ ἐνωμότερα καὶ περικαῆ· χολερώτερα δ' ἂν εἴη καὶ ἐκταρακτικά. ὕεια βέλτιστα τῶν κρεῶν ἁπάντων· κράτιστα δὲ τὰ μήτ' ἰσχυρῶς πίονα μήτε πάλιν ἰσχυρῶς λεπτὰ, μήθ' ἡλικίην φέροντα ἱερείου παλαιοῦ. ἐσθίειν δὲ ἄνευ τῆς φορίνης ἢ καὶ ὑπόψυχρα.

---

ter habet. Quod autem alimonia ad carnium bonitatem plurimum possit potes ex vulpibus certior fieri, quae autumno probatissimam ob uvas habent carnem. Sic passer et ficedula maxime laudabilem carnem obtinent. Autumno igitur caprae nutrimento idoneo destitutae tum deterrimam tum perquam tenuem habent carnem. Hieme autem meliorem corporis consequuntur habitum, naturalem intemperiem a temperamento temporis emendantes.

LXXXIX.

Porcelli carnes *pravae, quum crudiusculae et ambustae fuerint. Magis autem tum choleram tum turbationem efficiunt. Suillae autem carnium omnium optimae sunt, praestantissimae vero quae neque vehementer pingues, neque contra vehementer graciles sunt, neque veteris victimae aetatem assequutae. Edendae vero sunt citra pellem ac frigidiusculae.*

Χοῖρον ἐξαιρέτως ὠνόμαζον οἱ παλαιοὶ τὸν μικρὸν λίαν, ὥσπερ παρὰ τῷ ποιητῇ ἔστιν εὑρεῖν·

Ἔσθιε νῦν ὦ ξεῖνε, τὰ δὴ δμώεσσι πάρεστι
Χοίρε', ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν.

οἱ δὴ μνηστῆρες οὐκ οἶδ' ὅπως (112) τοὺς σιάλους ἤσθιον (τοὺς γὰρ ὑπὲρ τοὺς τελείους οὕτως ὠνόμαζον) ἀναισθητότατοι πάντων ἦσαν οἱ μνηστῆρες εἰς διάγνωσιν εὐπέπτων τε ἅμα καὶ ἡδέων ἐδεσμάτων, ὥσπερ κἂν τῷ τὰς γαστέρας τῶν αἰγῶν ἐσθίειν, τὰς ἐμπλησθείσας αἵματος καὶ λίπους, οὗ δυσπεπτότερον τί ἂν εὕροις ἔδεσμα; κάλλιστον δὲ κρέας εἰς ἡδονὴν καὶ πέψιν ἐστὶ τὸ τῶν μέσων κατὰ τὴν ἡλικίαν, τὸ δὲ καὶ γεννητικόν ἐστιν αἵματος χρηστοῦ· χείριστον δέ ἐστι τὸ τοῦ παλαιοτάτου καὶ τὸ τοῦ μετὰ τὴν ἀποκύησιν εὐθέως ἐσθιομένου. τοῦτο γὰρ σχεδὸν ἁπάντων ὧν ἄνθρωπος ἐσθίει ζώων χερσαίων ὑγροτάτην ἔχει τὴν σάρκα καὶ διὰ τοῦτο ὑπερβαλλόντως ὑγρὰ ἡ σὰρξ τῶν ἀρτιγενῶν οὖσα φλέγμα γεννᾷ πλεῖστον· [172] ἐὰν δὲ καὶ ἐνωμοτέρα τύχῃ,

Χοῖρον potiſſimum appellabant veteres porcum valde parvum, ut apud poetam reperitur:

Nunc epulare hoſpes, ſunt porcelli eſca miniſtris,
Porcos namque ſues epulatur turba procorum.

Non ſane video quo pacto ederent ſyalos proci (eos enim *veteres* ita appellabant ſues perſectis majores) quum proci omnium maxime eſſent hebetes ad eduliorum tum coctu facilium tum ſimul ſuavium dignotionem, quemadmodum quum ventres caprarum ſanguine ac pinguedine impletos eſitarent, quo ſane quod difficilius concoquatur, edulium reperies nullum. Caro autem optima tum ad ſuavitatem, tum ad concoctionem eorum eſt, qui mediam aetatem ſunt aſſequuti; haec etiam ſanguinem bonum gignit, at deterrima eſt *porci* vetuſtiſſimi, atque ejus, qui confeſtim a partu voratur *porcelli.* Nam hi terreſtrium fere omnium, quae vorant homines, animalium maxime humidam obtinent carnem, atque ob eam rem, quum nuper genitorum caro ſupra modum humida ſit, plurimam generat pituitam, quod ſi ſubcrudior fuerit, multo magis.

πολὺ μᾶλλον. τῷ δ' αὐτῷ τούτῳ λόγῳ καὶ τὴν τῶν ὑῶν λιπαρωτάτην οὖσαν σάρκα χείρονα νομίζει τῆς τῶν μέσων εὐσάρκων, ὑποπτεύων αὐτῆς τὴν ὑγρότητα, δι' ἣν καὶ πᾶσα πιμελὴ τῆς ὁμογενοῦς σαρκὸς χείρων ἐστὶν, εἰς πέψιν τε καὶ θρέψιν. καὶ τὰ περικεκαυμένα δὲ κατὰ τὴν ὄπτησιν ἀνεπιτήδεια πρὸς εὐχυμίαν τε καὶ πέψιν ἐστὶ καὶ χολέρας ποιητικὰ, διὰ τὴν προσελθοῦσαν αὐτοῖς δριμύτητα· κοινὴ γὰρ αὕτη κακία τῶν χολερωδῶν ἐδεσμάτων ἐστὶν, ὅταν ὑγρά τε εἴη καὶ δριμέα. διαφθείρεται γὰρ ὁμοίως τὰ τοιαῦτα καὶ τῇ δριμύτητι τὰ στόματα τῶν καθηκόντων εἰς τὴν κοιλίαν ἀγγείων ἀναδάκνοντα, τῶν ἐξ ὅλου τοῦ σώματος εἰς αὐτὴν ῥευμάτων αἴτια γίνεται. τὸ δ' ἄνευ τῆς φορίνης δεῖν ἐσθίειν τὰ χοίρεια, τουτέστιν ἄνευ τοῦ δέρματος, πρόδηλον· οὐ γὰρ ὁμοίως τῇ σαρκὶ τοῦ ζώου τὸ δέρμα πέττεσθαι πέφυκεν, ὡς ἂν ψυχρότερον ὑπάρχον. ὑπόψυχρα δὲ καὶ ταῦτα ἀξιῶν ἐσθίειν δῆλός ἐστι τὰ θερμὰ πάντα εὐλαβούμενος κρέα, νομίζων ἴσως αὐτὰ καυσωδέστερα καὶ φυ-

Hac autem quoque ratione pinguiffimam fuum carnem ea, quam medii et bene carnofi habent, deteriorem exiftimat, fufpicionem humiditatis habens, ob quam pinguedo omnis carne fui generis deterior tum ad concoctionem tum nutritionem exiftit. Quae autem ob affationem ambuftae funt, tum ad fucci bonitatem tum ad concoctionem funt ineptae, choleramque pariunt propter eam quae his accedit acrimoniam, nam ea choleraceorum eduliorum communis eft malitia, quum et humida et acria fuerint. Talia fiquidem fimiliter corrumpuntur fuaque acrimonia vaforum, quae ad ventrem decumbunt, ora remordent, atque humorum a toto corpore in eum confluentium caufae efficiuntur. Quod autem porcelli absque pelle, hoc eft absque cute, edendi fint manifeftum, non enim cutis animalis carni fimiliter concoqui nata eft, quod frigidior exiftat. Frigidiusculos autem et hos manifefte edendos praecipit, calidas omnes carnes veritus, ac fortaffe calidas frigidiufculis tum aeftuofiores tum magis flatulentas effe

σαθρότερα τῶν ὑποψύχρων εἶναι. ἐγὼ δ᾽ ἐπὶ μὲν τῶν αἰγείων κρεῶν, ὅσα τε ἄλλα φύσει θερμὰ, προσίεμαι τὸν λόγον· ἐπὶ δὲ τῶν εὐκράτων κατὰ θερμότητα καὶ ψύξιν, οἷα τῶν ὑῶν ἐστιν, ἁπλῶς οὕτως λεγόμενον ἀδιορίστως, οὐ προσίεμαι· διορισαμένῳ γὰρ ἐπιτηδειότερα γένοιτο τὰ θερμὰ τῶν ψυχρῶν.

ϟ'.

Χολέρης δὲ ξηρῆς ἡ γαστὴρ πεφύσηται καὶ ψόφοι ἔνεισι καὶ ὀδύνη πλευρέων καὶ ὀσφύος· διαχωρέει δὲ οὐδὲν κάτω, ἀλλ᾽ ἀπεστέγνωται.

Τὴν ἁπλῶς ὀνομαζομένην ὑπὸ τῶν ἀνθρώπων χολέραν ὑγρότητι διορίζει τῆς ξηρᾶς· ὀνόματι δὲ κοινῷ κατ᾽ ἄμφω κέχρηται, πρὸς τὸν τῆς γενέσεως τρόπον ἀποβλέπων ὄντα κοινόν. ὡς γὰρ ὑγρὴ χολέρα γίνεται δριμέων χυμῶν ἐκ τῆς διαφθορᾶς τῶν ἐδηδεσμένων γεννηθέντων, οὕτως ἡ ξηρὰ πνεύματος φυσώδους δριμέος· διὸ καὶ τὰ πλησιάζοντα τῇ

existimans. Ego vero in caprinis carnibus et quaecunque calidae sunt natura sermonem admitto, in moderatis autem tum caliditate tum frigiditate, cujusmodi suillae *carnes* sunt, simpliciter indistincte ita dici non admitto, nam ei qui distinxerit, calidae frigis idoneae magis erunt.

XC.

Ab arida cholera venter inflatur, strepitus insunt et dolor tum laterum tum lumborum, nihilque alvus dejicit, sed adstricta est.

Choleram ab hominibus simpliciter appellatam ab arida per humiditatem distinguit. In utraque autem nomine communi est usus, generationis modum, qui communis est, respiciens. Ut enim cholera humida ex acribus oritur humoribus, ex eduliorum corruptione procreatis, sic arida ex spiritu flatuoso acri. Quo fit ut quae prope

γαστρὶ νευρώδη σώματα δακνόμενά τε καὶ τεινόμενα πόνον ποιοῦσι. δυναμένων δὲ τῶν πνευμάτων τούτων ποτὲ μὲν ἴσχεσθαι, ποτὲ δὲ διεξιέναι, διὰ τὰ ἰσχόμενα πνεύματα τὴν ξηρὰν χολέραν ἐπιγεννᾶσθαι, οὐκ ἔχω φάναι· πιθανώτερον γὰρ ἦν οὕτως ὀνομάσαι τὰ διεξερχόμενα.

ϟα'.

Τὸν τοιόνδε διαφύλαξον, ὅκως μὴ ἐμέσηται, ἀλλὰ κοιλίη ὑπελεύσηται. κλύσον οὖν ὅτι τάχος θερμῷ καὶ ὡς λιπαρωτάτῳ καὶ ἐς ὕδωρ ἀλείφων ὡς πλεῖστον κάθιζε θερμὸν, ἐν σκάφῃ κατακλίνων καὶ τοῦ θερμοῦ κατὰ μικρὸν παράχεε· καὶ ἢν θερμαινομένῳ αὐτέῳ ἡ κοιλίη ὑπίῃ, λέλυται. ξυμφέρει δὲ [173] καὶ ἐγκοιμᾶσθαι τῷ τοιῷδε· καὶ πίνειν οἶνον λεπτὸν καὶ παλαιὸν καὶ ἀκρητέστερον· καὶ ἔλαιον δίδου, ὥστε ἡσυχίῃ καὶ ἡ κοιλίη ὑπίῃ καὶ λέλυται· σιτίων δὲ καὶ τῶν ἄλλων ἀπεχέσθωσαν. ἢν δὲ μὴ ἀνῇ ὁ πόνος, ὄνου γάλα δίδου πίνειν, ἕως καθαρθῇ.

ventrem ſint nervoſa corpora mordeantur intendanturque et dolorem pariant. At quum ſpiritus poſſint interdum quidem retineri, interdum vero exire, aridam propter retentos ſpiritus generari choleram aſſerere non poſſum, nam probabilius fuerit ita appellare eos qui permeant.

XCI.

Ita affectum ne vomat ſervato, verum alvus ſubducatur. Clyſterem itaque calidum ac pinguiſſimum celeriter injice perunctumque in aquam calidam et quam plurimam, in ſolio collocatum et calida ſenſim affuſa demittito, ac ſi calefacto ipſi alvus ſubducatur, morbus ſolutus eſt. Huic etiam dormire confert ac vinum tenue et vetus et meracius bibere. Oleum quoque dato, ut quieſcat et alvus ſubducatur et ſolvatur morbus. *A cibis autem atque caeteris abſtineat, verum ſi dolor non remiſerit, lac aſininum bibendum, donec purgatus fuerit, exhibeto.*

Τὸ μὲν ὅτι τάχιστα κλύζειν καὶ κωλύειν ἐμεῖν, κοινὰ παραγγέλματα πάντων τῶν ἐν κοιλίᾳ περιεχομένων παρὰ φύσιν, ἃ σπουδάζομεν ἐκκριθῆναι κάτω· κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὸ θερμῷ κλύζειν κλύσματι, προκλητικὸν γὰρ τὸ θερμὸν, ὥσπερ ἀποκρουστικὸν τὸ ψυχρόν· τὸ δὲ λιπαρὸν εἶναι τὸ κλύσμα τῆς ξηρᾶς ἴδιον ἴαμα, διότι καὶ τὴν δύναμιν ἐναντίον ἐστὶν, ὑγραῖνον τὴν ξηράτητα, παρηγοροῦν τε τὴν δῆξιν. τῶν αὐτῶν ἔχεται σκοπῶν καὶ τὸ δι' ὕδατος καὶ δι' ἐλαίου θερμαίνειν τε καὶ παρηγορεῖν, ἐν τῇ σκάφῃ πυριῶντα. ξυμφέρει δὲ καὶ ἐγκοιμᾶσθαι τῷ τοιῷδε. ἄδηλον πότερον ἐν τῇ σκάφῃ πυριώμενον αὐτὸν ἢ καὶ χωρὶς ἐκείνης κοιμᾶσθαι κελεύει· αὐτὸ δὲ καθ' ἑαυτὸ σκοπουμένῳ πρόδηλον, ὅτι πᾶσι τοῖς ἐξ ἀπεψίας ὠφελιμώτατόν ἐστιν. καὶ πίνειν οἶνον λεπτὸν καὶ παλαιὸν καὶ ἀκρητέστερον. οἶνον μὲν ὡς τῇ πέψει συντελοῦντα δίδωσι· λεπτὸν δὲ ὡς μὴ μένοι κατὰ τὴν γαστέρα· παλαιὸν δὲ καὶ ἀκρατέστερον ἕνεκα τοῦ θερμαίνειν μᾶλλον· ἅπας γὰρ οἶνος θερμαίνει τὴν ἕξιν, μᾶλλον δὲ ὁ παλαιός. καὶ ἔλαιον δίδου, ὥστε ἡσυχίῃ καὶ

Quam citissime clysterem injicere et vomitum prohibere praecepta sunt communia omnium, quae in ventre praeter naturam continentur, quae ut deorsum excernantur vehementer contendimus. Simili modo et calidum exhibere clysterem; provocat siquidem calidum, ut frigidum reprimit. Clysma autem pingue aridam proprie sanat, quoniam et facultate contrarium est, siccitatem humectans morsusque leniens. Eundem habes scopum, si in scapha fovendo tum aqua tum oleo et calefacias et mitiges. *Huic etiam dormire confert.* An eum, dum in scapha fovetur, dormire jubeat, an sine illa, non constat. Quod autem ipsum *dormire* per se cruditatibus omnibus maximo remedio sit, consideranti maxime patet. *Ac vinum tenue, vetus et meracius bibere.* Vinum quidem exhibet, ut concoctioni conducat, sed tenue, ut in ventre non moretur, vetus vero et meracius, ut calefaciat magis. Vinum siquidem omne habitum calefacit magisque quod vetus est. *Oleum quoque dato, ut quiescat et alvus*

ἡ κοιλίη ὑπίῃ καὶ λέλυται. τῶν δριμέων δὲ πραϋντικὸν τὸ ἔλαιον καὶ τῆς ξηρότητος ἐπανορθωτικὸν, ὑπάγει δὲ μετρίως τὴν κοιλίην· ὧν ἁπάντων δεῖ τῷ θεραπευομένῳ. σιτίων δὲ καὶ τῶν ἄλλων ἀπεχέσθωσαν. οἷς ἔνδεια μὲν οὐδεμία ἐστὶ κατὰ τὸ σῶμα, οὐδὲ χρεία προσθέσεως, ἄπεπτα δέ τινα περιέχεται πέψεως δεόμενα, τούτοις ἡσυχίας μέν ἐστι χρεία, σιτίων δὲ οὔ, πρὶν πεφθῆναι μετρίως τὰ περιεχόμενα. ἢν δὲ μὴ ἀνῇ ὁ πόνος, ὄνου γάλα δίδου πίνειν ἕως καθαρθῇ. εἰ δὲ τὸ προειρημένον ποιοῦντός σου ὁ πόνος μὴ λύοι, πλείων ἐστὶν ἡ δριμύτης τοῦ λυποῦντος αἰτίου καὶ διὰ τοῦτο καθᾶραι προσήκει τὸ σῶμα. ὄνου δὲ χρῆσθαι γάλακτι προστάττει, τῶν μὲν καθαιρόντων ἁπάντων φαρμάκων ὄντι πραϊτέρῳ καὶ ἀπρακτοτέρῳ· τοῦτο δὲ τῶν ἄλλων γαλάκτων ὑγρότερόν τ' ἐστὶ καὶ ὑπακτικώτερον.

ϟβ'.

Ἢν δὲ ὑγρὴ ἡ κοιλίη ᾖ καὶ χολὴ ὑποχωρέῃ καὶ στρόφοι

subducatur et solvatur morbus. Oleum quae acria sunt lenit et siccitatem emendat ventremque moderate subducit, quibus omnibus ei, qui curatur, opus est. *A cibis autem atque caeteris abstineat.* Si corpori nihil desit nullaque apponendi quippiam premat necessitas et cruda quaedam concoctionis indiga contineantur, his requie est opus et non cibariis, priusquam contenta mediocriter concoquantur. *Verum si dolor non remiserit, lac asininum bibendum, donec purgatus fuerit, exhibeto.* Si feceris quod dictum est et dolor non solvatur, laedentis causae majorem esse acrimoniam existimandum, atque ob id corpus purgare oportet. Lacte asinae utendum praecipit, quod purgantia inter medicamenta omnia mitius tranquilliusque existat; id quoque et lacte omni humidius est et ventrem magis subducit.

XCII.

At si alvus liquida fuerit, ac bilis dejiciatur vexentque

καὶ ἔμετοι καὶ πνιγμοὶ, τούτοισι κράτιστον ἀτρεμίζειν, πίνειν δὲ μελίκρητον καὶ ἐξεμέειν.

Ἄδηλον εἴτε περὶ τῆς ξηρᾶς χολέρας ἔτι καὶ νῦν ἐστιν ὁ λόγος ἢ τούτων ἀκούειν χρὴ καθ' ἑαυτά· ὁποτέρως δ' ἂν ἔχῃ, (113) φαίνεται δὴ χολὴ δριμεῖα δυσεκνιπτοτέρα περιέχεσθαι κατὰ τὴν γαστέρα· ταύτην δὲ ὑπάγειν πειρᾶται μετρίως, ἅμα τῷ συμπέττειν τὰ περιεχόμενα κατ' αὐτήν· ὑπαχθήσεται μὲν οὖν μετρίως τῷ μελικράτῳ, πεφθήσεται δὲ τῇ ἡσυχίῃ. πολλάκις δὲ ἐπὶ τῶν τοιούτων διαθέσεων ἀγωνιστικῶς βοηθῶν ἀθρόως ἐκκαθαίρει τὴν κακοχυμίαν ἰσχυρῷ φαρμάκῳ, προσεπισκεψάμενος τὴν δύναμιν καὶ τὴν [174] ἕξιν τοῦ νοσοῦντος καὶ τὴν ὥραν καὶ τὴν ἡλικίαν καὶ τὴν κατάστασιν. τὸ δ' ἐπὶ τέλει τῆς ῥήσεως εἰρημένον, πίνειν δὲ μελίκρητον καὶ ἐξεμέειν, ὡς βουλομένου τοῦ συγγραφέως ἐκκαθᾶραι τὴν ἄνω κοιλίαν εἴρηται· ἀμείνων δὲ ἡ ἑτέρα γραφὴ ἡ μετὰ τοῦ μή. ῥυπτικὸν γὰρ ὂν τὸ μελίκρατον ἐπὶ τὴν κατὰ φύσιν

tormina, vomitus et suffocationes, quiescere his est optimum, mulsam bibere et vomere.

An de arida adhuc cholera sit sermo, an per se haec intelligenda sint, non constat. Sed utrocunque modo se res habuerit, contineri in ventre videtur bilis, quae acris et elui contumax sit. *Ventrem* autem ipsum moderate subducere, atque ea, quae in ventre continentur, concoquere molitur. Subducetur autem mediocriter aqua mulsa et quiete concoctio fiet. Qui autem in affectionibus hujusmodi saepius valenter auxiliatur, is cacochymiam vehementi medicamento affatim expurgat, vires aegri et habitum contemplatus, anni tempus, aetatem et constitutionem. Quod autem in fine dictionis dicitur, *mulsum bibere et vomere*, quasi superiorem ventrem expurgari auctor voluerit, melius cum adverbio *non* dicetur. Nam mulsa detergendi pollens facultate, quae corrupta sunt, in

ὁδὸν προτρέπεται τὰ διεφθαρμένα χωρὶς τοῦ βλαβῆναι καὶ κινδυνεῦσαι τὸ στόμα τῆς κοιλίας κατὰ τοὺς ἐμέτους.

ϟγ΄.

Ὑδρώπων δύο φύσιες, ὧν ὁ μὲν ὑποσαρκίδιος ἐγχειρέων γίνεσθαι ἄφυκτος, ὁ δὲ μετ᾽ ἐμφυσημάτων, πολλῆς εὐτυχίης δεόμενος, μάλιστα δὲ ὑπὸ ταλαιπωρίης καὶ πυρίης καὶ ἐγκρατείης· ξηρὰ δὲ καὶ δριμέα ἐσθιέτω, οὕτω γὰρ ἂν οὐρητικώτατος εἴη καὶ ἰσχύοι μάλιστα. ἢν δὲ δύσπνοος εἴη καὶ ἡ ὥρη θερινὴ ἐοῦσα τύχῃ καὶ ἡ ἡλικίη ἀκμάζῃ καὶ ῥώμη ᾖ, ἀπὸ τοῦ βραχίονος αἷμα ἀφαιρέειν, εἶτα θερμοὺς ἄρτους ἐξ οἴνου μέλανος καὶ ἐλαίου ἀποβάπτων ἐσθιέτω καὶ ὡς ἐλάχιστα πίνων ὡς πλεῖστα πονεέτω καὶ κρέα ὕεια σαρκώδεα ἐσθιέτω μετὰ ὄξους ἑφθὰ, ὅκως πρὸς τοὺς προσάντεας περιπάτους ἀντέχῃ.

---

naturalem praevertit viam, citra oris ventriculi tum laesionem tum periculum, quae per vomitus oboriuntur.

XCIII.

Hydropum duae naturae sunt, quorum alter quidem hyposarcidius, qui procreari incipiens vitari non potest, alter vero cum flatibus, multum prosperam curationem expostulat, maxime autem laboribus, fotu et temperantia. Sicca autem et acria edat, sic enim maxime tum urinam excreverit tum viribus praepolluerit. Si vero difficulter spiraverit fueritque aestiva anni tempestas, aetas viguerit et virium robur adsit, sanguinem e brachio detrahere oportet, deinde calidos panes vino nigro et oleo intinctos edat et quam paucissimum bibat et quam plurimum laboret, suillasque carnes carnosas ex aceto coctas edat, ut adversus acclives ambulationes obnitatur.

Τινὲς οὐχ ὑποσαρκίδιον, ἀλλ' ἐπισαρκίδιον γράφουσιν, οὐ μὴν ἀνὰ σάρκα τε καὶ κατὰ σάρκα γεγραμμένον εὗρόν που, καίτοι καὶ τῶν νεωτέρων οὕτως ὀνομαζόντων· εἰπόντος δ' αὐτοῦ δύο φύσιας εἶναι ὑδρώπων καὶ περὶ μὲν τοῦ δευτέρου τὰ ἐμφυσήματα γράψαντος, ἄλλο δ' οὐδὲν σύμπτωμα προσθέντος, ἐπὶ δὲ τοῦ προτέρου οὐδὲν παντάπασιν εἰπόντος, δῆλόν ἐστιν ὅτι κατά τι συγκέχυται καὶ σφάλλεται κατὰ τὴν τῶν ὑδέρων διαφοράν. ἔνιοι μὲν οὖν τῶν ἰατρῶν τέτταρας λέγουσιν εἶναι διαφορὰς τῶν ὑδέρων, ὑπερβαίνοντες τὸ προσῆκον, ἀλλ' οὐ νῦν καιρὸς ἐλέγχειν αὐτούς· ὁ δὲ ταῦτα γράψας ἐλλείπει φανερῶς. ἔστι γὰρ τῶν ὑδέρων ὁ μέν τις ὑγροῦ λεπτοῦ κατὰ τὴν σύστασιν ἀθροίζων πλῆθος ἐν τῷ κάτω τοῦ θώρακος χωρίῳ παντὶ, ὃ παρακεντοῦντες ἐνίοτε τὸ ὑγρὸν ἐκκενοῦμεν· ἄλλος δ' οὐχ ὕδατος, ἀλλὰ πνεύματος ἔχει τὸ χωρίον τοῦτο μεστὸν καὶ σχεδὸν τὰ ἄνω πάντα διοιδισκόμενα, τοῦτον τυμπανίαν προσαγορεύουσιν· ὁ δέ τις φλέγματος ἔχει τὴν ὅλην ἕξιν μεστὴν, τοῦτον ὑποσαρκίδιον ἔνιοι προσαγορεύουσιν. ὥστε ἐλλιπῶς εἶπε τῶν

Quidam non hyposarcidium, sed episarcidium scribunt. Non tamen et anasarca et catasarca alicubi scriptum reperi, quanquam recentiores ita nominent. Quum autem hydropum naturas duas esse statuerit, atque de posteriore flatus citra quodvis aliud additum symptoma scripserit, de priore autem nihil omnino protulerit, manifestum est aliqua ex parte confusum ipsum esse ac falli in hydropum differentia. Quidam ergo ex medicis quatuor hydropum differentias esse dicunt, a justo recedentes, sed nunc eos arguere tempestivum non est. Verum qui haec scripsit, manifeste defecit. Nam hydropum unus quidem humidi consistentia tenuis copiam, in tota inferiore thoracis regione acervat, quam aliquando perpungentes, humidum evacuamus. Alter vero locum hunc non aqua sed spiritu flatulento plenum habet et fere superiora omnia tumentia; hunc tympaniam appellant. Alius autem habitum totum pituitae plenum habet, eum hyposarcidium nonnulli appellant. Quare cum defectu

ὑδέρων εἶναι δύο φύσεις· οὐ μὴν οὐδ' ὀρθῶς εἶπε, τὸ ἐγχειρέειν γίγνεσθαι, ἀληθέστερον γὰρ ἂν εἶπεν, οὕτω γράψας· ἀποκτείνει δ' εὐθὺς ὁ ὕδερος, ἐπὴν γένηται· γέγραπται δ' ἡ λέξις οὕτω, κακῶς γεγραμμένη παρὰ τοῦ πρῶτον γράψαντος. τοῦ γε μὴν ἑτέρου τῶν ὑδρώπων, ὃν μετ' ἐμφυσημάτων φησὶ γίγνεσθαι, θεραπείαν γράφει, τὸ μέν τι κοινὸν ἔχουσαν πάντων ὑδέρων, ὡς κατὰ τὴν ἀρχὴν ἔγραψε ταλαιπωρίαν καὶ πυρίαν καὶ ἐγκράτειαν, συμβουλεύων ἐσθίειν θερμὰ καὶ ξηρά· τὸ δέ τι μόνου τοῦ ἀνὰ σάρκα, ὃν ὡς ἀθεράπευτον ἀπέλιπεν· οὗτος γὰρ μόνος ἀρχόμενος, ἐνίοτε δεῖται φλεβοτομίας, ὅταν γ' ἐξ αἱμοῤῥοΐδος ἐπισχέσεως ἢ καταμηνίων ταῖς γυναιξὶν ἤ τινος οὕτω πληθωρικῆς αἰτίας ἀρξάμενος συνίσταται· τὸν δὲ τυμπανίαν ἢ τὸν ἀσκίτην ὕδερον, [175] οὐδεὶς ἐτόλμησε διὰ φλεβοτομίας ἰάσασθαι· ἐπὶ γοῦν τοῦ δεομένου τῆς φλεβοτομίας ἡ ἐφεξῆς θεραπεία θερμαίνουσα καὶ ξηραίνουσα γίγνοιτ' ἄν. ταῦτα μὲν οὖν γράψας τοῦ προσήκοντος ἐστοχάσθαι φαίνεται καὶ ὁ ταῦτα γράψας·

duas hydropum esse naturas dixit. Neque etiam recte protulit, *qui procreari incipiens*, nam verius dixisset ita scribens, interficit autem protinus hyderus, postquam procreatus fuerit. Scripta est autem ita dictio, male scripta ab eo qui primum scripsit. Alterius sane hydropum, quem ex flatu constare ait, curationem scribit, quae profecto hydropum omnium aliquid commune habet, ut in principio scripsit, labores, fotum et temperantiam, calida et sicca edere consulens, aliquid vero solius anasarca, quem ut insanabilem praetermisit. Nam hic solus quum incipit, eget interdum sanguinis detractione, quum scilicet ex retentione vel haemorrhoidum vel muliebrium menstruorum vel ex aliqua, quae ita plethorica sit, causa inceperit. Tympaniam vero et ascitem nullus per sanguinis missionem curare ausus est. In eo igitur qui venae sectione opus habet, fiat subsequens curatio, quae calefacit et siccat. Sane qui haec scripsit, ad id quod expedit, intentionem direxisse videtur. Non tamen recte auctor

οὐ μὴν ὀρθῶς γε εἶπεν, ἢν δὲ δύσπνοος ᾖ ὁ κάμνων, φλεβοτομίας χρήζει, μὴ διὰ πληθώραν ὄντως ἰσχυρὰν εἰς τὸν ὕδερον ἐμπίπτων, κινδυνευούσης δηλονότι σβεσθῆναι τῆς ἐμφύτου θερμασίας ὥσπερ τὸ πῦρ. ὡς γὰρ τὸ πῦρ κινδυνεύει σβεσθῆναι, ἐπιβληθέντων αὐτῷ ξύλων ὑγρῶν πολλῶν, εἰ μή τις τοῦ πλήθους ὑφέλοιτο, οὕτω καὶ ἐπὶ τοῦ διὰ πλῆθος αἵματος ψυχροτέρου σβεσθῆναι κινδυνεύοντος ἐμφύτου θερμοῦ μέγιστόν ἐστιν ἴαμα ἡ φλεβοτομία, καθ' ἣν ὥραν ὁ κίνδυνος οὕτως καταλάβῃ. κακῶς οὖν πρόσκειται τῷ λόγῳ καὶ ὥρα θερινὴ ἐοῦσα. τοῦ μὲν γὰρ πλέον ἢ ἔλασσον ἀφελεῖν, ἄλλα τέ τινα εἴρητ' ἂν ὥσπερ καὶ ἡ ὥρα σκοπὸς, αὐτοῦ δὲ τοῦ βοηθήματος ἡ τοῦ πάθους φύσις σκοπός ἐστιν. ἔνιοι δὲ ὥσπερ καὶ Διοσκορίδης οὐ θερινὴν ὥραν, ἀλλ' ἐαρινὴν ἔγραψαν, ὑποπτεύοντες τῆς μὲν θερινῆς τὴν διάλυσιν τῆς δυνάμεως, τῆς δὲ χειμερινῆς τὴν προσγενησομένην τῷ πάθει ψύξιν. ἰδιωτικῶς δὲ καὶ ἀρχαίως πάνυ θερμοὺς ἄρτους ἐξ οἴνου μέλανος καὶ ἐλαίου δίδωσιν ἐσθίειν τῷ φλεβοτομηθέντι, σκοπὸν μὲν ἔχων ἀληθῆ ῥωννύναι τὴν δύνα-

libri dixit: *Si difficile ſpiraverit aeger, eget phlebotomia,* non re vera ob plethoram vehementem in hyderum incidit, periclitante ſcilicet extinctionem innato calore, ut igni contingit. Nam ut ignis prope extinguitur, injectis in eum lignis tum humidis, tum multis, niſi quis multitudinem ſuſtulerit, ſic et in frigidiore ob copiam ſanguine, ubi calor nativus prope extinguitur, maximum eſt remedium phlebotomia, quo tempore periculum ita prehenderit. Prave quoque orationi apponitur: *Fueritque anni tempus aeſtivum.* Nam uberius aut parcius ſanguinis detrahendi, alia quaedam ſcopi eſſe dicta ſunt, ſicuti et anni tempus, auxilii vero hujus affectionis natura ſcopus eſt. Nonnulli vero quemadmodum Dioſcorides non aeſtivum anni tempus ſcripſerunt, ſed vernum, virium exolutionem aeſtate affuturam ſuſpicati, hieme vero affectionis refrigerationem. Ruſtice autem ac inepte admodum panes calidos ex vino nigro et oleo ei cui ſanguis eſt detractus, exhibet, ſcopum quidem verum vi-

μιν, ὅπως ἐξαρκέσῃ ταῖς κατὰ τὰ γυμνάσια ταλαιπωρίαις, οὐχ εὑρὼν δὲ τὴν ὕλην ἀξίαν τοῦ σκοποῦ. μέλας γὰρ οἶνος πλεῖστον αἷμα γεννᾷ, τοσοῦτον δὲ ὡς περιττὸν καὶ μελαγχολικὸν γενέσθαι ἐκείνῳ· βέλτιον δ' ἐστὶ κιῤῥὸν οἶνον διδόναι, λεπτὸν μὲν τὴν σύστασιν, ὅπως καὶ τὴν οὔρησιν κινῇ, τὴν δ' ἡλικίαν μὴ νέον, ὥσπερ οὖν καὶ τὰ πολλὰ συμβαίνει· τῶν νέων γὰρ οἴνων οὐδεὶς ἔσται κιῤῥός, ἀλλ' ἤτοι λευκὸς ἢ ἐρυθρὸς ἢ μέλας, παλαιούμενοι δὲ κιῤῥοί τε γίνονται καὶ ξανθοί. τό γε μὴν ὡς ἐλάχιστον πίνοντα πλεῖστον πονεῖν ὀρθότατα εἴρηται· ξηραίνει γὰρ ἡ τοιαύτη δίαιτα καὶ θερμαίνει. τὰ δ' ὕεια κρέα καθ' ὃν εἴρηται τρόπον ἐσθιόμενα, ἀκμάζουσι καὶ ἰσχυροῖς οὐ κακῶς ἂν δοθείη· τῶν δ' ἄλλων οὐδεὶς ἂν δύναιτο πέψαι καλῶς αὐτά, ἤδη κινδυνεύων σβεσθῆναι τὴν ἔμφυτον θερμασίαν· ἄμεινον οὖν ὅσα καλῶς πέψουσι, διδόναι τοῖς ἔχουσιν οὕτως.

---

rium roborandarum habens, ut magnis exercitationum laboribus sufficere possit. Sed materiam scopo dignam non invenit; vinum etenim nigrum sanguinem plurimum generat, sed tantum, ut et supervacaneus et melancholicus fiat. Verum huic melius est vinum dare fulvum, tenue quidem consistentia, ut urinas moveat, sed non aetate novum, quo modo sane multis contingit. Vinorum etenim novorum nullum est fulvum, sed vel album vel rubrum vel nigrum, vetustate autem fiunt et fulva et flava. Atqui quamminimum bibere, quamplurimum laborare, rectissime dictum est, nam talis vivendi modus calfacit et siccat. Suillae carnes, si quo dictum est modo edantur, vigentibus aetate et validis non male dari possunt, caeterorum autem nullus utique eas probe coquere potest, ut qui jam prope est, ut caloris nativi patiatur extinctionem. Melius ergo ita affectis dare quae probe coquent.

ϞΔ.

Ὁκόσοι κοιλίας τὰς κάτω θερμὰς ἔχουσι καὶ δριμέα τὰ ὑποχωρήματα καὶ ἀνώμαλα διέρχεται ὑπὸ συντήξεως αὐτέοισιν· ἢν μὲν δυνατοὶ ἔωσιν, ἐλλεβόρῳ τῷ λευκῷ ἀντισπάσαι· ἢν δὲ μὴ, ὁ χυλὸς τῶν σιτανείων πυρῶν παχὺς, ψυχρὸς καὶ τὸ φάκινον ἔτνος καὶ ἄρτοι ἐγκρυφίαι καὶ ἰχθύες, πυρέσσοντι μὲν ἑφθοὶ, ἀπυρέτῳ δ᾽ ἐόντι ὀπτοί· καὶ οἶνος μέλας ἀπυρέτῳ. ἢν δὲ μὴ, ὕδωρ ἀπὸ μεσπίλων ἢ μύρτων ἢ μήλων ἢ οὔων ἢ φοινικοβαλάνων ἢ οἰνάνθης ἀμπέλων.

(114) *Κυριώτερον ἂν εἰρήκει, τὰ διαχωρήματα τούτοις ὑπὸ συγκαύσεως, οὐχ ὑπὸ συντήξεως διέρχεσθαι· σύντηξις μὲν γὰρ ἐν αὐτῷ γίνεται διὰ πυρετὸν [176] κακοήθη τηκομένης τῆς πιμελῆς ἢ καὶ σαρκὸς τῆς ἀπαλῆς· σύγκαυσις δὲ ἐν τῇ γαστρὶ τῶν ἐδηδεσμένων, ὑπὸ θερμασίας δριμείας, δι᾽ ἣν καὶ πυρέττειν συμβαίνει. τούτῳ οὖν ἐλλέβορον διδόναι κελεύει λευκὸν, ἐνεδείξατο γὰρ τοῦτο διὰ τοῦ*

XCIV.

Quicunque ventres inferiores calidos habent, ipsis et acres et inaequales dejectiones a colliquatione prodeunt. Quibus quidem si vires validae fuerint, revelles elleboro albo, sin minus, tritici cremor sitanii crassus et frigidus exhibendus et lenticulae pulmentum panesque subcinericii ac pisces, febricitanti quidem elixi, non febricitanti vero assi. Vinum etiam non febricitanti nigrum, sin minus, aqua ex mespilis aut myrti baccis aut malis aut sorbis aut palmulis aut vitium oenanthe.

Dejectiones his ob combustionem, non ob colliquationem deorsum prodire proprie magis dixisset. Nam colliquatio in eo fit, liquata ob febrem malignam pinguedine aut molli carne. Combustio vero in ventre *oritur* propter acrem eorum quae ingesta sunt calorem, quo et febrire contingit. Elleborum ergo huic album exhiberi imperat, id enim indicavit per hoc verbum *revellere,*

ἀντισπάσαι ῥήματος, ἐπειδὴ διὰ τῆς ἄνω γαστρός. ἢν δὲ μὴ δύναιτο δι' ἡντιναοῦν αἰτίαν ἐλλέβορον λαμβάνειν δριμύτητος ἐπικρατούσης ὁ ἄνθρωπος, ἐδέσματα κελεύει διδόναι καὶ πόματα στύφοντα καὶ ψύχοντα· προστίθησι δὲ τοῖς ἐδέσμασι καὶ τὰ ξηραίνειν δυνάμενα, καθάπερ τοὺς ἐγκρυφίας ἄρτους καὶ τοὺς ὀπτοὺς ἰχθύς. τούτων οὕτως εὐλόγως εἰρημένων ἐπισκεπτέον τίνα λέγει τὴν ἄνω κοιλίαν· ἐνίοτε μὲν γὰρ οἱ παλαιοὶ τὸν θώρακα τὴν ἄνω κοιλίαν ὀνομάζοντες, τὸ μετὰ τὸ διάφραγμα πᾶν τῆς τροφῆς ἀγγεῖον κάτω κοιλίαν προσαγορεύουσιν· ἐνίοτε δ' ἄνω κοιλίαν ὀνομάζοντες, εἰς ἣν καταπίνομεν τὰ σιτία, ποτὲ μὲν τὰ μετ' αὐτὴν ἅπαντα, κοιλίαν μὲν οὖν καλοῦσι κάτω, ἐνίοτε δὲ μόνα τὰ παχέα τῶν ἐντέρων· εἰσὶ δ' οἳ τὸ κῶλον μόνον ὀνομάζουσι τὴν κάτω κοιλίαν. ἴσως μὲν οὖν ἂν ἐζητήσαμεν, τί τῶν εἰρημένων μορίων ἢ τίνα, πιθανώτερον καὶ νῦν ἀκοῦσαι ἐλπίζομεν, εἰ μέγα τι κερδαίνειν ἐμέλλομεν· ἐπεὶ δ' ἡ τῶν τοιούτων εὕρεσις οὐδὲν μὲν ἡμᾶς διδάσκει πλέον ὧν

quia per ventrem ſuperiorem. Si vero aeger quavis ex cauſa non poſſit elleborum aſſumere viceritque acrimonia, edulia dare jubet et pocula tum aſtringentia tum refrigerantia. Adjicit autem eduliis *et quae ſiccare poſſunt*, veluti panes ſubcinericios atque aſſos piſces. His ita optima ratione enunciatis, quem ventrem ſuperiorem dicat contemplandum. Veteres enim thoracem interdum ventrem ſuperiorem appellantes, alimenti receptaculum omne, quod poſt ſeptum transverſum eſt, ventrem inferiorem nominant. Interdum autem ventrem ſuperiorem appellantes, in quem cibos devoramus, interdum quae poſt eum ſunt omnia ventrem inferiorem vocitant, interdum quoque et ſola quae craſſiora ſunt inteſtina. Sunt qui colon ſolum ventrem inferiorem vocant. Forſan igitur quaeſiviſſemus, quam vel quas ex praedictis partibus probabilius in praeſentia intelligere deberemus, ſi quid effatu dignum percepturi fuiſſemus. Sed quoniam horum inventio nihil nos admonet magis quam ea quae ipſi et ſcimus et dis-

ἴσμεν τε καὶ κρίνομεν αὐτοὶ περὶ τοῦ τίνα μὲν ὀρθῶς εἴρηται, τίνα δ' οὔ, περιεργίαν δὲ ἔχει μᾶλλον γνώσεως ἤπερ ὠφέλειαν, ἄμεινον ἀπολιπεῖν διὰ ταχέων καὶ μάλιστα ὅπου μηδὲ γνήσιον αὐτοῦ ἐστι τὸ σύγγραμμα.

ϟε΄.

Ἢν δὲ πυρετὸς μὴ ἔχῃ καὶ στρόφοι ἐῶσι, γάλα ὄνειον θερμὸν ὀλίγον τὸ πρῶτον, ἔπειτα ἐκ προσαγωγῆς πλεῖον καὶ λινόσπερμον καὶ πύρινα ἄλφιτα καὶ τῶν Αἰγυπτίων κυάμων ἐξελὼν τὰ πικρὰ, καταλεπίσας, ἐπιπάσσων πινέτω· ἢ ὠὰ ἡμιπάγεα ἐσθιέτω ὀπτὰ καὶ σεμίδαλιν καὶ κέγχρον καὶ χόνδρον ἑφθὸν ἐν γάλακτι, ἑφθὰ ψυχρὰ ἐσθίειν· καὶ τὰ τουτοισιν ὅμοια καὶ ποτὰ καὶ ἐδέσματα προσφερέσθω.

Οἱ μὲν πλεῖστοι τῶν ἐξηγουμένων βέλτιον τοῖς προειρημένοις συντάττουσι ταῦτα, περὶ τῶν θερμὴν ἐχόντων τὴν κάτω κοιλίην ἡγούμενοι καὶ νῦν ἔτι γίγνεσθαι τὸν λόγον·

cernimus, quod nonnulla quidem recte dicta sunt, nonnulla vero non, cognitionisque curiositatem magis quam commoditatem habent, melius est cito relinquere et potissimum quum hujusmodi liber Hippocratis legitimus non sit.

XCV.

Si vero febris non detineat adsintque tormina, lac asininum calidum, modicum primum, deinde sensim progressu facto amplius bibat et lini semen et triticeam polentam et fabas Aegyptias, detracto cortice amaro inspergens, potui exhibeto. Aut ova semiconcreta edat assa et similam et milium et alicam ex lacte coctam. Haec cocta frigida edenda hisque similia tum pocula tum edulia assumenda.

Plurimi interpretes melius haec praedictis contexunt, praesentem sermonem adhuc de iis, qui calidum habent ventrem inferiorem, fieri existimantes. Quidam vero se-

ὀλίγοι δέ τινες ἀποχωρίσαντες ἰδίᾳ ταῦτα ἐξηγοῦνται· σκοπὸς δέ ἐστιν αὐτοῖς τὸ μέν τι καθᾶραι τῆς κακοχυμίας, τὸ δ' ἐπικεράσαι, τὸ δ' ἐπιξηρᾶναι, τὸ δ' ἐμψῦξαι. τὸ μὲν οὖν γάλα τὸ ὄνειον καθαίρειν δύναται καὶ ἐπικεραννύναι, τὸ δὲ τοῦ λίνου σπέρμα ξηραίνειν τε καὶ ψύχειν· τὰ δ' ἐκ τῶν πυρῶν ἄλφιτα τὸ ἐπικεραστικὸν ἔχει· καλῶς δ' αὐτοῖς ἀναμέμικται καὶ τὰ κρίθινα, ξηραίνοντά τε καὶ ψύχοντα. οἱ δὲ Αἰγύπτιοι κύαμοι μετρίως ψῦξαι δύνανται· τὰ δὲ ᾠὰ καὶ ἡ σεμίδαλις καὶ ὁ χόνδρος παχύχυμα καὶ εὔχυμα καὶ ἐπικρατητικά· καὶ ξηραίνει δὲ ἱκανῶς ὡς ἐν ἐδέσμασιν ἡ κέγχρος, ὥσπερ γε καὶ ψύχει. ταῦτα δὲ πάντα δίδωσι ψυχρὰ, διὰ τὴν δριμύτητα καὶ θερμότητα τῶν τὸ πάθος ἐργαζομένων χυμῶν.

ϞϚʹ.

[177] *Τῆς διαιτητικῆς ἐστι μέγιστον παρατηρεῖν καὶ φυλάσσειν, ὥσπερ ἐν τοῖς ὀξέσι καὶ ἐν τοῖσι μακροῖσιν ἀῤῥωστήμασι καὶ τὰς ἐπιτάσιας τῶν πυρετῶν καὶ τὰς*

parant et feorfum exponunt, fcopusque his eft partim quidem cacochymiam expurgare, partim vero contemperare partimque reficcare et partim refrigerare. Lac ergo afininum expurgare poteft et contemperare. Lini femen tum ficcare tum refrigerare. Quae autem ex triticio conficiuntur polentae contemperant, quibus probe remifcentur hordeaceae, ut quae et ficcant et refrigerant. Fabae Aegyptiae mediocriter refrigerare poffunt. Ova autem et fimila et chondrus craffi funt fucci et boni et humorum acrimoniam infrenant. Siccat autem in edulio milium, quemadmodum et refrigerat. Haec autem omnia frigida exhibet, propter humorum affectum procreantium tum acrimoniam tum caliditatem.

XCVI.

Diaetetices maximum eft febrium tum intentiones, tum remiffiones ut in acutis, fic et longis morbis obfervare, ac cavere ut tempora quibus cibi offerendi non funt,

ἀνέσιας, ὥστε τοὺς καιροὺς διαφυλάττειν, ὁκότε μὴ δεῖ τὰ σιτία προσενεγκεῖν καὶ ἀσφαλέως, ὁκότε δέῃ προσενεγκεῖν εἰδέναι· ἔτι δὲ ὁκότε πλεῖστον ἀπέχωσι τῆς ἐπιτάσεως.

Τῆς διαιτητικῆς τέχνης μέγιστον εἶναί φησι τὸ τὸν κατὰ μέρος καιρὸν γνῶναι τῆς τροφῆς· αὐτὸς οὖν ἕνα σκοπόν φησι πλεῖστον ἀπέχειν τὸν καιρὸν ἐκεῖνον, ἐν ᾧ τὴν τροφὴν δεῖ διδόναι τῆς ἐπιτάσεως· εἴη δ' ἂν ἐπίτασιν λέγων τὴν ἀρχὴν τοῦ παροξυσμοῦ. τοῦτο δ' οὐ μόνον ἐπὶ τῶν χρονιζόντων, ἀλλὰ καὶ τῶν ὀξέων ἀληθὲς εἶναι δοκεῖ· διὰ τί οὖν προσέθηκε τοῖς μακροῖς ἀῤῥωστήμασιν; ὅτι μᾶλλον ἐπὶ τούτων ἐναργὴς ὁ σκοπὸς ἢ τάχα καὶ μόνον. ἐπὶ γὰρ τῶν ὀξέων αὔταρκες ἦν γνώρισμα καιροῦ τροφῆς καταλαβεῖν τὴν θέρμην εἰς τοὺς πόδας, οὐ μὴν ἐπὶ τῶν χρονίων γε θρεπτέον οὕτως, ἀλλὰ περιμένειν προσήκει τὰ βέλτιστα τῆς ἀνέσεως· κατὰ γὰρ τὰς ὀξείας νόσους ἀναμένειν οὐκ ἐγχωρεῖ, φόβῳ τῆς μελλούσης διὰ ταχέων ἐπιτάσεως ἔσεσθαι. ἔνιοι δὲ τὴν λέξιν γράφουσιν οὕτω· τῆς διαιτητι-

ſerves et quando tuto offerendi ſint cognoſcas, atque etiam quando plurimum ab intentione abſuerint.

Artis diaeteticae maximum eſſe ait, particulare cibi exhibendi opportunum tempus noſſe. Ipſe igitur ſcopum unum ait, tempus illud, quo cibus exhiberi debet, quamplurimum ab intentione febris abeſſe, quam intentionem eſſe dicit acceſſionis principium. Id autem non in diuturnis ſolum, ſed et in acutis verum eſſe videtur. Sed quare longis in morbis adjecit? Quod in his magis et forſan ſolis evidens ſit ſcopus. In acutis enim *morbis* deprehenſus in pedibus calor cibi tempeſtive offerendi ſignum ſufficiens fuit, non tamen in longis ita nutrire oportet, ſed melior remiſſionis pars eſt expectanda, quod in acutis haudquaquam expectari poteſt, timore cito futurae intentionis. Nonnulli dictionem hanc ita ſcribunt:

κῆς ἐστι μέγιστον τὸ παρατηρεῖν καὶ παραφυλάσσειν ὥσπερ ἐν τοῖς ὀξέσιν, οὕτω καὶ ἐν τοῖς χρονίοις, τὸ ἐπίστασθαι ὁπηνίκα χρὴ τρέφειν. ἔνιοι δὲ τὴν τελευτὴν ταύτης τῆς ῥήσεως οὕτω γράφουσιν· ἔτι δὲ ὅταν πλεῖστον ἀπέχωσι τῆς ἐπιτάσεως εἰδέναι· ὡς πρὸς τοῖς ἄλλοις οἷς ἐκέλευσεν ἡμᾶς ἐπισκέψασθαι περὶ τὸν ἄῤῥωστον καὶ τοῦτο συμβουλεύοντος αὐτοῦ. φαίνεται δὲ, εἰ αὐτό τις ἐξετάζει τοῦτο, μὴ συνάπτων τῇ κατὰ μέρος εὑρέσει τοῦ καιροῦ τῆς τροφῆς ἄκαιρον τὸ περὶ τῆς τροφῆς παράγγελμα καὶ οὐδενὸς ἄξιον.

ϞΖ'.

Εἰδέναι δὲ τοὺς κεφαλαλγικοὺς ἐκ γυμνασίων ἢ δρόμων ἢ πορειῶν ἢ κυνηγεσιῶν ἢ ἄλλου τινὸς πόνου ἀκαίρου ἢ ἐξ ἀφροδισίων· τοὺς ἀχρόους, τοὺς βραγχαλέους, τοὺς σπληνώδεας, τοὺς λειφαίμους, τοὺς πνευματώδεας καὶ ξηρὰ βήσσοντας καὶ διψώδεας, τοὺς φυσώδεας καὶ φλεβῶν ἀπολήψιας, ἐντεταμένους ὑποχόνδρια καὶ πλευρὰ καὶ μετάφρενον καὶ τοὺς ἀποναρκωμένους καὶ ἀμαυρὰ βλέποντας

Diaetetices maximum est ut in acutis, ita et in longis, obſervare et ſcire quando cibum dare oporteat. Alii finem dictionis ita ſcribunt: *Atque adhuc, quum plurimum a febris intentione aberunt, ſcire oportet*, ut praeter caetera, quae nos in aegro contemplari voluit et id admoneat. Quod ſi quis perquirat et non particulari tempeſtive cibandi inventioni copulet, id importunum eſſe de alimonia praeceptum atque re nulla dignum videtur.

XCVII.

At noſſe eos oportet, quibus caput dolet ob exercitationes aut curſus aut itinera aut venationem aut quemvis alium intempeſtivum laborem aut res venereas, decolores etiam, raucedinoſos, lienoſos, exangues, difficile ſpirantes, ſicca tuſſi laborantes, ſiticuloſos, flatulentos et venarum interceptiones et eos quibus intenta ſunt tum hypochondria, tum latera, tum dorſum, ac corpore detentos et ob-

καὶ οἷς ἦχοι τῶν ὐάτων ἐμπίπτουσι καὶ τὰς οὐρήθρας ἀκρατῶς διακειμένους, τοὺς ἰκτερώδεας καὶ ὧν αἱ κοιλίαι ὠμὰ ἐκβάλλουσιν, αἱμοῤῥαγέοντας ἐκ ῥινῶν ἢ καθ' ἕδρην σφοδρῶς ἢ ἐν ἐμφυσήμασιν ἐόντας, ἢν πόνος αὐτοῖς ἐπιτρέχει σφοδρὸς καὶ μὴ ἐπικρατέωσι· τῶν τοιούτων μηδένα φαρμακεύειν· κίνδυνόν τε γὰρ ἕξεις καὶ οὐδὲν ὀνήσεις, τάς τε ἀπὸ ταυτομάτου ἀπαλλάξιας καὶ κρισιας ἀφαιρήσεις.

---

[178] (115) Ὅτι μὲν ἀτάκτως καὶ τρόπον ὑπομνήσεως παρασκευῆς ἅπαντα τὰ κατὰ τὸ βιβλίον τοῦτο γέγραπται πρόδηλον οἶμαι παντί· πολλὰ δ' οὖν, ὡς ἔφην, ἐν αὐτῷ καλῶς εἴρηται, δι' ἃ καὶ τοῖς εἰρημένοις οὐκ ὀρθῶς ἐπείσθησαν ἔνιοι καὶ μᾶλλον ὅσοι συνῄδεσαν ἑαυτοῖς, ὡς οὐκ ἔχουσιν ἐπιστήμην κριτικὴν τῶν γεγραμμένων. τὰ δ' οὖν ἐν τῇδε τῇ ῥήσει λεγόμενα κατάλογον ἔχει τῶν ἀνεπιτηδείων φαρμακεύεσθαι· τὸ καθαίρεσθαι δὲ τῷ φαρμακεύεσθαι συμβαίνει ἐς ταὐτὸν, ὥσπερ γε καὶ φαρμακεύειν ἐν τῷ καθαί-

fcure videntes et eos quibus aurium tinnitus incidunt et qui urinas non continent, morbo regio laborantes, quorum alvi cruda dejiciunt, quibus fanguis e naribus aut fede vehementer erumpit aut inflationibus obfeffos, fi his vehemens dolor incurfet, neque fuperiores exiftant. Horum nullus medicamento purgandus eft. Etenim periculum invehes nihilque juvabis fpontaneasque tum liberationes, tum judicationes adimes.

Quod inordinate et praeparationis ad commentationem modo omnia hoc in libro fcripta fint cuivis patere arbitror. Multa fane, ut dixi, in hoc probe dicta funt, ob quae et iis, quae dicta funt non recte, nonnulli fidem adhibuerunt magisque qui fibi confcii fuerunt, ut critica fcriptorum fcientia non praediti. Quae ergo hoc in textu dicuntur, catalogum habent eorum, qui ut purgentur idonei non funt. At purgari et medicari in idem concidunt, ut et medicamentum dare et purgare. Videamus ergo

ρειν. ἴδωμεν οὖν τίνας ἀπ' ἀρχῆς ἀπαγορεύει καθαίρειν· τοὺς κεφαλαλγικούς φησιν ἐκ γυμνασίων ἢ ἄλλου τινὸς πόνου ἀκαίρου· συντόμως οὖν ἀκούσας τοὺς ἐξ ἀκαίρων πόνων κεφαλαλγικοὺς γενομένους μὴ κάθαιρε· ἄκαιροι πόνοι πάντως εἰσὶν οὓς ἡ παροῦσα κατ' ἐκεῖνον τὸν χρόνον διάθεσις τοῦ σώματος οὐ δύναται φέρειν. ἀναμνήσω δέ σε νῦν εἰς πολλὰ χρησίμου πράγματος, οὗ διὰ παντὸς ἀξιῶ μεμνῆσθαι· τοῦ σώματος ἡμῶν παρασκευῆς μετέχοντος, ἐγγὺς τοῦ συμπληρωθῆναι, τῶν ἔξωθέν τι προσιὸν ἐξήλεγξε τὴν διάθεσιν αὐτοῦ, πυρετὸν ἀνάψαν ἢ κεφαλαλγίαν ἢ κατάῤῥουν ἢ βῆχα κινῆσαν, ἤ τι τοιοῦτον ἄλλο· κἄπειτα ἐκ τούτου κατὰ τὸ συνεχὲς ἐπὶ τὴν παρασκευὴν τῆς νοσώδους διαθέσεως ἀσθενοῦσιν ἐπικινδύνως, οὔτε δρόμου τὴν νόσον γεννήσαντος ἢ ὅλως τῆς ἰσχυρᾶς κινήσεως, ὥσπερ οὐδὲ τῆς ἀκρασίας ἢ τῆς ψύξεως ἤ τινος ἄλλου τῶν τοιούτων. οὐδὲν γὰρ αὐτῶν ἱκανόν ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν ἀσθένειαν ἐργάζεσθαι σφοδράν, ἀλλ' εἴτε πυρετὸς ὑπό τινος αὐτῶν γένοιτο, τῶν ἐφημέρων ὀνομαζομένων ὁ τοιοῦτός ἐστι πυρετὸς, εἴτ'

quos ab initio purgare prohibet. Capite dolentes recenfet ob exercitationes aut alium quemvis intempeftivum laborem, fummatim eos intelligens qui ex intempeftivis laboribus capite dolent, minime purgandos. Labores autem intempeftivi omnino funt quos praefens hoc tempore corporis affectio ferre non poteft. Admonebo autem te nunc rei ad multa utilis, cujus femper te memorem effe velim. Corpore noftro praeparationem *ad morbum* ineunte eamque integram prope fubeunte, externum quid obveniens, ipfius affectionem manifeftavit, febrem accendens vel capitis dolorem vel catarrhum vel tuffim excitans vel aliud ejusmodi. Deinde ex eo continenter ad morbofae affectionis praeparationem periculofe aegrotant, neque curfu morbum generante aut vehementi omnino motione, ut neque intemperantia aut refrigeratione aut alia quadam fimili caufa. Nihil etenim eorum fuapte natura vehementem morbum generare poteft. Nam fi febris ab horum aliquo fiat, haec ex diariarum nomina-

ἄλλο τι σύμπτωμα, ὀλιγοχρόνιον ἔσται πολλάκις· καὶ τοῦτό γε, ὡς ἔφην, διὰ τὴν τοῦ σώματος διάθεσιν ἕκαστον τῶν τοιούτων οὐκ αἴτιον τοῦ νοσήματος, ἀλλὰ πρόφασις γίγνεται. κυρίως γὰρ ἄν τις μάλιστα τὰς τοιαύτας αἰτίας ὀνομάζοι προφάσεις, οὐχ ἁπλῶς φανερὰς, ὡς πολλάκις εἰώθασιν αὐτοὶ καλεῖν, ὅταν ὑπό τινος τῶν φανερῶν αἰτίων βλάβη γένηται σαφὴς ἐν τῷ σώματι· μηδεμιᾶς γὰρ ἑτέρας διαθέσεως νοσώδους ὑποκειμένης οὔτε νόσος ἀξιόλογος ἀκολουθήσει καὶ τῆς γινομένης ἐν τῷ σώματι βλάβης τὸ ποιῆσαν αὐτὴν αἴτιόν ἐστι. ἴσθι τοίνυν αὐτῷ τὸν ἐνεστῶτα λόγον ἐπὶ τοῖς τοιούτοις αἰτίοις γενόμενον, ἃ μὴ κατὰ τὸν ἑαυτῶν λόγον βλάπτει τὸ σῶμα· κεφάλαιον δ' αὐτῶν ἐστιν ἓν μὲν καὶ πρῶτον οἱ πόνοι, πολυειδεῖς κατὰ μέρος ὄντες, δρόμοι καὶ πάλαι καὶ παγκράτια, ἀφροδίσια, τρίψεις, ἔγκαυσις, ψύξις, ἀγρυπνία, θυμοὶ, λῦπαι, φόβοι. τῶν μὲν οὖν ἀφροδισίων ἐμνημόνευσε, τὰ δ' ἄλλα παρέλιπε, καίτοι τὴν αὐτὴν δύναμιν ἔχοντα· τὰ γὰρ, ὡς εἴρηται, τὸ πνεῦμα τα-

tarum genere erit, aut si symptoma aliquod aliud generetur, id saepius pauco durabit intervallo. Et id sane saepius, ut retuli, propter corporis dispositionem unumquodque horum non morbi causa, sed occasio redditur. Nam hujusmodi causas proprie quis appellaverit *προφάσεις*, non simpliciter evidentes, ut hi saepe vocare consueverunt, quum ab aliqua manifestarum causarum noxa in corpore evidens fuerit. Si enim nulla alia corporis dispositio morbosa affuerit, neque morbus effatu dignus subsequetur, ac ejus quae in corpore fit laesionis, quod ipsam fecit, causa est. Sciveris itaque hoc in loco praesentem sermonem de his fieri causis, quae non sua ratione corpus laedunt. Summa autem horum est una quidem et prima labores varii particulares, cursus, luctae, pancratia, venerea, frictiones, aestuatio, frigus, vigilia, ira, moeror, timor. Venereorum quidem meminit, verum caetera subticuit, quanquam facultate eadem praedita forent. Nam quae, ut dictum est, spiritum perturbant, ea

ῥάττοντα καθάρσεως οὐ δεῖται διὰ τὸ μηδ' ὑπὸ κακοχυμίας γεγονέναι τὴν νόσον ταύτην. μεταβὰς δὲ ἀπὸ τούτων τῶν γνωρισμάτων αὐτὸς ἐδήλωσεν οὓς πρότερον εἶπεν· ἰδίως δὲ καλοῦσιν ἀχρόους τοὺς λειφαίμους, ἔτι τε δι' ἄλλην διάθεσιν οὐ κατὰ τὴν φύσιν ἔχοντας τὸ σῶμα κακοχρόους ὀνομάζουσιν· οὗτοι τοίνυν οἱ ἄχροοι θερμαίνεσθαι δέονται διά τε γυμνασίων καὶ πόσεων οἴνου θερμοῦ τῇ δυνάμει καὶ σιτίων παραπλησίων. ἀλλὰ καὶ τοὺς βραγχαλέους φησί· καὶ γὰρ καὶ τούτων τὴν ὑγρότητα καὶ ψύξιν τοῦ κατασκήψαντος εἰς τὸν λάρυγγα ῥεύματος, ἰάσασθαι προσήκει τὴν κεφαλὴν ξηραίνοντας καὶ τὰ πεπονθότα μόρια [179] διὰ τῶν τοπικῶν βοηθημάτων. ἀλλὰ καὶ τοὺς σπληνώδεάς φησιν οὐ δεῖσθαι καθάρσεως· τοῦτό μοι δοκεῖ μὴ λέγειν ὀρθῶς, δέονται γὰρ, εἴπερ τινὲς ἄλλοι καὶ οὗτοι καθαίρεσθαι μέλανα. τούτοις ἐφεξῆς τῶν λειφαίμων μνημονεύει, τουτέστι τῶν ἐνδεὲς ἐχόντων αἷμα, κᾂν μηδέπω. σαφῶς ὦσιν ἄχροοι, μετ' αὐτοὺς δ' ἐμνημόνευσε τῶν πνευματωδῶν καὶ ξηρὰ βησσόντων καὶ διψωδῶν, ἀσαφῶς ἑρμηνεύσας, ὡς μὴ

purgatione non egent, quod morbus hujusmodi a cacochymia contractus non ſit. Ab his autem digreſſus indiciis quos prius dixit declaravit. Proprie autem decolores exangues vocant eosque praeterea qui propter aliam affectionem corpus non ſecundum naturam affectum habent pravo colore infectos appellant. Hi ergo decolores calefieri expoſtulant tum exercitationibus tum vini facultate calidi potu et cibis facultate ſimilibus. Sed et raucedinoſos enunciat. Etenim et horum humiditatem et frigiditatem ob delapſum ad guttur rheuma ſanare convenit, exiccatis ſcilicet topicorum auxiliorum uſu tum capite tum caeteris quae affectae ſunt partibus. Praeterea et lienoſos purgatione haudquaquam egere inquit, quod non recte dictum arbitror. Nam his, ſi aliis quibusdam, nigra purganda ſunt. Poſt lienoſos meminit exanguium, hoc eſt eorum qui ſanguinis inopiam habent, etſi nondum aperte fuerint decolores. Deinde mentionem de difficile ſpirantibus facit, ſicce tuſſientibus et ſiticuloſis, obſcure

δηλῶσαι πότερον ἑκάστου κατὰ μόνας ἀκουστέον ἐστὶν ἢ τῶν τριῶν ἅμα γενομένων. ἔστι δ' οὐδὲ καθ' ἓν ἕκαστον αὐτῶν λεγόμενον σαφὲς, ὡς καὶ πρόσθεν ἤδη λέλεκται· πνευματώδεις γὰρ ὡς πολὺ μόνον ὀνομάζουσι τοὺς κατὰ τὴν εἰσπνοὴν ἀέρος δεομένους, ἔστι δ' ὅτε καὶ τοὺς ἐμπνευματουμένους· ἀλλ' ἑκάτερον αὐτῶν πολλὰς αἰτίας ἔχει, καὶ εἰ πάσας ἐπεξίω, μακρότερος ὁ λόγος ἔσται πρὸς τῷ καὶ φανῆναί τινας μὲν αὐτῶν φλεβοτομίας δεομένους, τινὰς δὲ καθάρσεως, τινὰς δ' ἄλλου βοηθήματος. οὕτω δὲ καὶ οἱ ξηρὰ βήσσοντες οὐ κατὰ μίαν γίγνονται διάθεσιν, οὐδ' οἱ διψώδεις αὐτῶν. οὕτως δὲ οὐδ' εἰ περὶ τῶν πυρεσσόντων διψωδῶν ὁ λόγος ἐστὶν αὐτῷ, ἐπίστασθαι νῦν ἡμᾶς ἢ περὶ τῶν ἀπυρέτων ἢ ἀμφοτέρων· κἂν γὰρ ἑνὸς αὐτῶν μνημονεύσω κατὰ τοὺς ἀφορισμοὺς εἰρημένου, τὸ καθόλου διαβεβλήσεται· λέλεκται δὲ ἐν ἀφορισμοῖς ὧδε· ἀπυρέτῳ ἐόντι ἀποσιτίη καὶ καρδιωγμὸς καὶ σκοτόδινος καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρ-

ita loquutus, ut non constet utrumne singuli horum seorsum intelligendi veniant, an hi tres una comprehendendi. Neque adhuc in singulis horum seorsum intellectis perspicuus est sermo, ut et antea jam enunciatum est. Nam spirituosos saepius eos duntaxat nominant, qui in inspiratione aëris indigent, interdum vero et inflatos. Verum eorum utrique multas habent causas, quas omnes si percurrero, prolixior sermo futurus est, praeter id quod eorum quidam venae sectionem exigere videntur, alii purgationem et remedium aliud alii. Sic autem et sicce tussientes non affectione una fiunt, neque inter eos siticulosi. Sic neque etiam nunc certiores fieri possumus anne de febricitantibus siticulosis sermo sit, an de non febricitantibus *siticulosis*, an de utrisque. Si etenim unius horum, quae in aphorismis recensentur, meminerimus, quod universale est tolletur. Dictum autem ita in aphorismis: *Non febricitanti cibi fastidium, oris ventriculi morsus, tenebricosa vertigo et oris amaror, purgatione per*

μακρίης δεῖσθαι σημαίνει· ἐὰν δὲ ἐκπικροῦται τὸ στόμα, διψώδεις εἰσίν. οὕτως δὲ καὶ οἱ φυσώδεις πρῶτον μὲν οἵτινες ὑπ' αὐτοῦ λέγονται ἀγνοῶ, εἰ σὺν τῇ φλεβῶν ἀπολήψιας τοὺς γεγονότας φυσώδεις ἀκούωμεν, ἐνίων ἀναγιγνωσκόντων καθ' ἑαυτό· κἂν μεταβάλλειν εἶχον τῆς λέξεως ταύτης ἕκαστον, ἐδυνάμην ἂν ἅπαντα, ὅσα γιγνώσκειν χρήσιμόν ἐστι, διδάξαι μὴ πολλὰ πληρῶν βιβλία, καθάπερ καὶ περὶ τῶν ἑξῆς λεγομένων. φησὶ γὰρ ἐκτεταμένους ὑποχόνδρια καὶ πλευρὰ καὶ μετάφρενον καὶ ἀμαυρὰ βλέποντας καὶ οἷς ἦχοι τῶν ὤτων εἰσὶ καὶ ὅσοι τὰς οὐρήθρας ἀκρατῶς διάκεινται· καθ' ἕκαστον γὰρ τούτων τῶν παθημάτων αἰτίαι τε καὶ διαθέσεις εἰσὶ πολλαὶ καὶ θεραπειῶν διαφερουσῶν δεόμεναι· αὐτῶν γοῦν ἔσθ' ὅτε καὶ καθάρσεως δεηθήσονταί τινες τῆς διὰ χολαγωγοῦ φαρμάκου. περὶ πάντων οὖν τούτων, ἔτι τε τῶν ἐφεξῆς εἰρημένων, οὐκ ἀποφάσεις ἀδιορίστους, ἀλλὰ διορισμούς τε καὶ σαφεῖς διδασκαλίας τῇ τε μακρᾷ πείρᾳ κεκριμένας ἐν ταῖς ἡμετέραις ἔχεις πραγματείαις, ἃς ἀναλεξάμενος ἱκανὸς ἔσῃ κρίνειν ἅπαντα τὰ

ſuperiora opus eſſe ſignificant. Si autem os amareſcat, ſiticuloſi ſunt. Ita vero et flatuoſi primum quinam ab ipſo dicantur ignoro; an cum venarum interceptione flatuoſi effecti intelligendi ſint, quum nonnulli per ſe legant. Atque adeo ſi ſingula dictionis hujus poſſem tranſmutare, poſſem omnia quae cognoſcere utile ſit, citra librorum multitudinem docere, veluti et de iis, quae deinceps dicuntur. Ait enim: *Et eos quibus extenta ſunt tum hypochondria, tum dorſum, tum latera, obſcure videntes, eos quibus aurium tinnitus ſunt et qui urinas non continent.* Nam in ſingulis his pathematis et cauſae et affectiones ſunt multae, variisque egentes curationibus, quarum profecto nonnullae eam quae per bilis eductorium medicamentum fiat, purgationem expoſtulabunt. De his ergo omnibus atque adhuc de iis quae deinceps dicuntur, non enunciationes indiſtinctas, ſed diſtinctiones doctrinasque tum claras tum longo rerum uſu probatas habes in noſtris tractationibus, quas ſi legeris, omnia quae ab auctore

τούτῳ λεγόμενα, μετὰ τοῦ μεμνῆσθαι τοῦ μέρους, ὅ γνήσιον ὡμολόγητο καὶ παρ' ἡμῶν, διδασκαλίας ἔχον ὠφελούσας· ἅπαντα γὰρ ἐν αὐτῷ γέγραπται σὺν ἀποδείξει τε καὶ σαφηνείᾳ καὶ διορισμοῖς τοῖς προσήκουσι. τὰ δ' οὕτως ἐσπαρμένα, καθάπερ ἡ νῦν ὑποκειμένη ῥῆσις, οὐδὲν ὀνίνησιν. ἐὰν μὲν γὰρ νῦν ἀκούῃ τις ἁπλῶς ἑκάστου τούτων ἄνευ τοῦ διορίσασθαι, πολλὰ κακῶς πράξει κατὰ τὴν τέχνην· ἐὰν δὲ ἕκαστον ὡς χρὴ διορίσηται, γνώσεται πρῶτον μὲν οὐδὲν ἐντεῦθεν εἰς τὴν εὕρεσιν αὐτῶν ὠφελούμενος, εἶτα πολλῶν βιβλίων δεόμενος εἰς τὴν περὶ τῶν προκειμένων σκέψιν. ἀλλὰ γὰρ οὐκ ἔστι πεῖσαι τοὺς πολλοὺς τῶν ἀνθρώπων ἐπέρχεσθαι μὲν τὰ σαφῆ τῶν γραμμάτων μόνα, καταλιπεῖν δὲ τοῖς γράψασι τὰ μὴ τοιαῦτα· καὶ γὰρ δίκαιόν ἐστιν, εἰ μηδεμίαν ἐκεῖνοι φροντίδα τοῦ γινώσκειν ἡμᾶς ἃ γεγράφασιν ἐποιήσαντο, μηδ' ἡμᾶς λιπαρῶς προσκεῖσθαι, ζητοῦντάς τε καὶ καταμαντευομένους ἃν λέγουσιν.

---

hoc recitantur, discernere valebis, si simul partis memineris, quam et legitimam et commodae doctrinae plenam fassi sumus. In ea siquidem parte cum demonstratione et perspicuitate congruentibusque distinctionibus scripta sunt omnia. Sed quae ita disseminata sunt, ut praesens oratio, nihil juvare possunt. Nam si quis nunc singula horum simpliciter et indistincte audierit, is multa in arte perperam molietur. Quod si singula ut oportet distinxerit, primum quidem nihil inde ad eorum inventionem juvari se deprehendet, deinde ad eam, quae de praesentibus sit, contemplationem multis egere libris. Enimvero plerisque hominum suaderi non potest, ut aggrediantur quidem sola ea scripta, quae manifesta sunt, quae vero talia non sunt, iis qui ea scripserunt relinquant. Etenim si nullam illi curam habuere, ut nos ea, quae scripserunt, intelligeremus et nos haudquaquam diligenter adhaereamus, ea quae dicuntur tum quaerentes tum divinantes, par est.

ϟη.

[180] *Ἢν δὲ αἷμά τινι ξυμφέρῃ ἀφαιρέειν, στερεὴν πρότερον ποιέειν τὴν κοιλίην καὶ οὕτως ἀφαιρέειν· καὶ λιμοκτονέειν καὶ οἶνον ἀφαιρέειν αὐτῷ, ἔπειτα τῇ διαίτῃ τῇ προσηκούσῃ τὰ ἐπί- (116) λοιπα αὐτέων καὶ πυριῇσιν ἐνίκμοισι θεράπευε.*

Μὴ ῥεούσης τῆς κοιλίης ἀφελεῖν τοῦ αἵματος· ἐὰν γὰρ ἐπιμένῃ μετὰ τὴν ἀφαίρεσιν ἀποῤῥέουσα, καταλύει τὴν δύναμιν. τό τε λιμοκτονεῖν ὧν ἀφέλῃς τοῦ αἵματος, οἴνου τε ἀπέχειν, ὀρθῶς εἴρηται, καθάπερ καὶ τὸ τῇ διαίτῃ τῇ προσηκούσῃ χρῆσθαι. τὸ δὲ καὶ ταῖς πυρίαις ταῖς ἐνίκμοις θεραπεύειν, εἰ μὲν ἐπὶ πάντων λέγοιτο τῶν ἀφαιρουμένων αἷμα, ψεῦδός ἐστιν· εἰ δ' ἐπί τινων, ἐχρῆν εἰπεῖν.

XCVIII.

At si cui sanguinem detrahere conferat, firmam prius alvum facere oportet, atque ita detrahere et aegrum inedia macerare, eique vinum demere, postea congruenti victu et fotibus humidis reliquam curationem peragere.

Fluente alvo sanguinem non detrahes. Nam si post detractionem perseveret fluor, vires prosternit. Inedia autem eos macerare, quibus detractus fuerit sanguis et vino abstinere, recte dictum est, ut et congruenti uti victu. Sed fotibus humidis curare, si de omnibus quidem, quibus detractus fuerit sanguis, dicatur, id falsum est; si vero de aliquibus, dicere oportuit.

ϟθ'.

Ἢν δέ σοι κατάπυκνος ἡ κοιλίη δοκῇ εἶναι, μαλθακῷ κλύσματι ὑπόκλυζε.

Οὐκ ἄξιον συγγράμματος τοῦτο, πρόδηλον γάρ ἐστιν ἅπασιν.

ρ'.

Ἢν δὲ φαρμακεῦσαι δόξῃ, ἐλλεβόρῳ ἀσφαλέως ἄνω κάθαιρε, κάτω δὲ μηδενὶ τῶν τοιούτων.

Ὡς προειρηκὼς τὸ πάθος ἐφ' οὗ κελεύει ταῦτα πράττεσθαι τὸν λόγον ποιεῖται, καίτοι οὐδὲν προείρηκεν· ἢ οὖν ἀπόλωλέ τις ῥῆσις, ἐν ᾗ τὸ πάθος ἐδηλοῦτο, ἢ ἐπιλή-

XCIX.

At si constricta alvus esse tibi videatur, eam molli clystere sublue.

Dignum conscriptione, quod omnibus pateat, hoc non est.

C.

Si vero purgandum esse visum fuerit, tuto per veratrum sursum purga, deorsum vero talium neminem.

Tanquam affectum praedixerit, in quo haec fieri jubet, sermonem facit, etiamsi nihil praedixerit. Vel ergo exempta est quaedam oratio, in qua ostendebatur affectus,

σμων ἦν ὁ ταῦτα γράψας καὶ τοιοῦτος οἷος ὁ νῦν ὀνομαζόμενος ὑπὸ τῶν πολλῶν μετέωρος.

ρα'.

Κράτιστον δὲ ἐς οὔρησιν καὶ ἐς ἱδρῶτας καὶ ἐς περιπάτους ἄγειν, καὶ τρίψει ἡσύχῳ χρέο, ἵνα μὴ πυκνώσῃς τὴν ἕξιν· ἢν δὲ κλινοπετὴς ᾖ, ἄλλοι τριβέτωσαν αὐτόν.

Καὶ ταῦθ᾽ οὕτως, ὡς προειρηκὼς τὸ πάθος ἔγραψεν.

ρβ'.

[181] *Κὴν μὲν ἐν τῷ θώρακι ὑπὲρ τῶν φρενῶν λυπέῃ τὸ πάθος αὐτὸν, ἀνακαθίζειν ὡς πλειστάκις καὶ ὡς ἥκιστα*

vel obliviofus fuit, qui haec fcripfit, vel talis qualis nunc a multis fublimis appellatur.

CI.

Optimum autem eft, ad urinas, ad fudores et ad deambulationes adducere et leni frictione uti, ut ne habitum denfum efficias. Si vero in lecto decumbat, alii eum fricent.

Scripfit quoque et haec ita, tanquam affectum praenunciatum fcripferit.

CII.

Et fi in thorace quidem fupra feptum tranfverfum affectus laeferit, eum ut plurimum defidere convenit et

προσκλινέσθωσαν ἐς ὅτε δυνατοί εἰσι καὶ καθίζοντα ἀνατρίβειν μὲν πολὺν χρόνον πολλῷ θερμῷ· ἢν δὲ ἐν τῇ κάτω κοιλίῃ ὑπὸ φρένας ἔχῃ τὰ ἀλγήματα, ἀνακέεσθαι ξυμφέρει καὶ μηδεμίαν κίνησιν κινέεσθαι τῷ τοιῷδε σώματι ξυμφέρει, ἔξω τῆς ἀνατρίψεως.

Ἐκ ταύτης τῆς ῥήσεως τεκμαίροιτ' ἄν τις ταῦτα καὶ τὰ πρὸ τούτων ἅπαντα περὶ ἀλγημάτων γεγράφθαι. τὰ οὖν ἐν ἀρχῇ τῆς ῥήσεως παραλέλειπται, ἁμαρτόντος τοῦ πρώτου βιβλιογράφου καὶ μετὰ ταῦτα μεινάσης τῆς ἁμαρτίας. ὥστ' οὐδ' ἐξετάζειν τὴν ἐν τοῖς εἰρημένοις ἀλήθειαν οἷόν τε, μή τινι κἂν τοῖς τοιούτοις ἐπὶ πλέον εἰκῇ κατατρίβεσθαι δόξωμεν.

ργ'.

Τὰ δ' ἐκ τῆς κάτω κοιλίης λυόμενα δι' οὔρων καὶ ἱδρώτων, ἢν ὀλισθῇ μετρίως, ὑπὸ αὐτοματισμοῦ λύεται τὰ σμικρά·

quam minimum reclinari, dum vires valeant sedentemque longo tempore oleo multo calido perfricari. Si vero in inferiore alvo sub septo transverso dolores afficiant, decumbere confert nulloque motu moveri, praeterquam frictione, tali corpori conducit.

Ex hac oratione quis conjecerit tum haec, tum quae praecedunt omnia de doloribus scripta esse. Praetermissa igitur in principio dictionis sunt haec, aberrante primo libri hujus scriptore et manente postea errore. Quamobrem fieri non potest ut aliquis in his veritatem pervestiget, ne cui plus temporis temere in hujusmodi conterere videamur.

CIII.

Qui vero ex inferiore alvo solvuntur dolores, *per urinas et sudores, si moderate delabantur qui parvi sunt sua*

τὰ σφοδρὰ δὲ πονηρόν· οἱ τοιοίδε γὰρ ἢ ἀπόλλυνται ἢ ἄνευ κακῶν ἄλλων οὐ γίνονται ὑγιέες, ἀλλ' ἀποστηρίζει καὶ τὰ τοιουτότροπα.

Καὶ διὰ ταύτης τῆς ῥήσεως ἔνεστι τεκμαίρεσθαι περὶ ἀλγημάτων θεραπείας ἅπαντα αὐτῷ τὰ προγεγραμμένα λελέχθαι.

ρδ'.

Πόμα ὑδρωπιῶντι. Κανθαρίδας τρεῖς, ἀφελὼν τὴν κεφαλὴν ἑκάστης καὶ πόδας καὶ πτερὰ, τρίψας ἐν τρισὶ κυάθοις ὕδατος τὰ σώματα· ὁκόταν δὲ πονέῃ ὁ πιὼν, θερμῷ βρεχέσθω, ὑπαλειφόμενος δὲ πρότερον, νῆστις δὲ πινέτω, ἐσθιέτω δὲ ἄρτους θερμοὺς ἐξ ἀλείφατος.

ſponte ſolvuntur. Vehementes autem pravi ſunt, his enim affecti aut intereunt aut aliorum malorum expertes ſani non evadunt, verum qui ejusmodi ſunt, decumbunt.

Per talem quoque dictionem conjicere licet, de dolorum curatione omnia ab ipſo praeſcripta dicta eſſe.

CIV.

Potio hydropi idonea. Cantharidas tres ablatis cujusque capite, pedibus et alis, earum nimirum corpora in tribus aquae cyathis trita exhibe, *atque quum exepoto medicamento laboraverit, calida perfundatur, ungatur prius, jejunus bibat et ex oleo panes calidos edat.*

Ταύτην τις ἀναγνοὺς τὴν ῥῆσιν ἰατρὸς τολμηρὸς ἀφελὼν τὰ προειρημένα μόρια τῶν κανθαρίδων ἔδωκεν ὑδρωπιῶντι· καὶ μετὰ μίαν ἡμέραν ἀπόστημά τι σχὼν ὁ ἄνθρωπος εἰς τὴν γαστροκνημίαν, εἶτα μετὰ τρεῖς ἄλλας τμηθεὶς ὑπ' αὐτοῦ, πλείστου ῥυέντος ὕδατος, ἔδοξε τεθεραπεῦσθαι· προσεστάλη γὰρ ἐν τῷ παραυτίκα τὸ πλεῖστον τοῦ παρὰ φύσιν ὄγκου· ἀλλ' ὅμως ἀπέθανεν οὐ μετὰ πολλὰς ἡμέρας. ἐπετίμησεν οὖν τις τῷ ἰατρῷ, κακῶς φάσκων δεδόσθαι τὰ σώματα τῶν κανθαρίδων· ἐχρῆν γὰρ ἀφελόντα τὰ σώματα δοῦναι πιεῖν τὴν κεφαλὴν [182] καὶ τοὺς πόδας καὶ τὰ πτερὰ καὶ τοῦτ' εἶναι τὸ κατὰ τὸ βιβλίον εἰρημένον. οὐκ ὀκνήσας οὖν ὁ εὔτολμος ἰατρὸς ἐπ' ἄλλου πάλιν δέδωκεν οὕτως, εἶτ' ἀποστήματος ὁμοίως κατὰ τὸν μηρὸν γενομένου καὶ τμηθέντος αὐτοῦ καὶ ῥυέντος ὁμοίως τοῦ ὑγροῦ παραχρῆμα, μετὰ πολλὰς ἡμέρας ἀποθανεῖν συνέβη καὶ τοῦτον. ἔστι γε μὴν οὐρητικῷ φαρμάκῳ διὰ κανθαρίδων σκευαζομένῳ κεχρημένους τινὰς εὑρεῖν ἄνευ βλάβης τῶν πινόντων αὐτό.

Quum quidam hunc textum legiſſet audax medicus, praedictas partes cantharidum amputavit deditque hydero laboranti, qui poſtridie quendam abſceſſum in ſura conſequutus, poſt tres alios dies ab eo ſectus eſt eſſuſaque copioſa aqua curatus eſſe viſus eſt, quod pars tumoris praeter naturam plurima ſtatim ad moderationem redacta ſit, verumtamen non multis poſt diebus obiit. Quam ob cauſam medico quidam crimen ingeſſit, prave data eſſe cantharidum corpora inquiens, nam propinanda ablatis corporibus, tum caput, tum pedes, tum alas, idque eſſe quod in libro enunciaretur. Quare non cunctatus audax ille medicus hydropi alteri ita propinavit moxque facto ſimiliter in femore abſceſſu eoque ſecto atque fluente ſtatim ſimiliter humore multis poſt diebus hominem mori contigit. Quanquam diuretico medicamento ex cantharidibus confecto quidam citra bibentium laeſionem uſi ſunt.

ρε'.

Ἴσχαιμον. Ὀπὸν συκῆς ἐν εἰρίῳ προσθεῖναι ἔσω πρὸς τὴν φλέβα. ἢ πιτύην συστρέψαντα ἐμβῆσαι εἰς τὸν μυκτῆρα. ἢ χαλκίτιδος τῷ δακτύλῳ προσεπισπασάμενος πίεσον καὶ τοὺς χόνδρους ἔξωθεν προσπίεζε ἑκατέρωθεν καὶ τὴν κοιλίην λῦσον ὄνου γάλακτι ἑφθῷ καὶ τὴν κεφαλὴν ξυρῶν, ψυκτικὰ πρόσφερε, ἢν ὥρη θερμὴ γίγνηται. σησαμοειδὲς ἄνω καθαίρει, ἡ πόσις ἡμιόλιον δραχμῆς ὁ σταθμὸς ἐν ὀξυμέλιτι τετριμμένον· ξυμμίσγεται δὲ καὶ τοῖσιν ἐλλεβόροισιν καὶ ἧσσον πνίγει, τὸ τρίτον μέρος τῆς πόσιος. τριχώσιος. ὑποθεὶς τὸ ῥάμμα τῇ βελόνῃ τῇ τὸ κύαρ ἐχούσῃ, κατὰ τὸ ὀξὺ τῆς ἄνω τάσιος τοῦ βλεφάρου ἐς τὸ κάτω διακεντήσας, δὶς καὶ ἄλλο ὑποκάτω τούτου· ἀνατείνας δὲ τὰ ῥάμματα ῥάψον καὶ κατάδει ἕως ἂν ὑποπέσῃ. κῆν μὲν ἱκανῶς ἔχῃ· εἰ δὲ μὴ, ἢν ἐλλείπῃ, ὀπίσω ποιέειν τὰ αὐτά. καὶ τὰς αἱμοῤῥοΐδας τὸν αὐτὸν τρόπον διώσεις τῇ βελόνῃ ὡς παχύτατον εἰρίου οἰσυπη-

CV.

Sanguinem sistens medicamentum. Fici succum lana exceptum intus ad venam appone. Aut coagulum involutum in nares immitte. Aut chalcitidem digito prius efformatam apprime et cartilagines utrinque foris comprime alvumque lacte asinae cocto solve et caput rade et refrigerantia, si anni tempestas calida fuerit, admove. Sesamoides sursum purgat, sesquidrachmae pondere ex aceto mulso tritum et potui datum, commiscetur autem et veratris tertia potionis pars, ac minus suffocat. Ad Trichiasin. Subjectum ubi acui foramen habenti filum in summa superioris palpebrae margine; deorsum versus facta perpunctione transmiseris aliudque sub hoc inferne trajeceris, extensa fila consue, ac colliga, quoad deciderit. Et si satis quidem habuerit, bene cedat, *sin minus, si quid deficiat, rursus eadem facienda. Haemorrhoidas quoque eodem modo impulso per acum crassissimo et quam maximo lanae succidae filo deliga-*

ρου ῥάμμα καὶ ὡς μέγιστον ἀποδήσας, (ἀσφαλεστέρη γὰρ γίνεται ἡ θεραπείη) εἶτα ἀποπιέσας τῷ σηπτῷ χρέο καὶ μὴ βρέχε πρὶν ἀποπέσῃ καὶ ἀεὶ μίαν καταλίμπανε· καὶ μετὰ ταῦτα ἀναλαβὼν ἐλλεβορίσαι· εἶτα γυμναζέσθω καὶ ἀφιδρούτω, γυμνασίου τε τρίψις πολλὴ ἀπὸ ὄρθρου· δρόμου δὲ ἀπεχέσθω καὶ μέθης καὶ (117) τῶν δριμέων ἔξω ὀριγάνου. ἐμεέτω δὲ δι᾽ ἑπτὰ ἡμερέων ἢ τρὶς ἐν τῷ μηνί· οὕτω γὰρ ἂν ἔχοι ἄριστα τὸ σῶμα. οἶνον δὲ κιῤῥὸν, αὐστηρὸν, ὑδαρέα τε καὶ ὀλίγον πινέτω. τοῖσι δὲ ἐμπύοισι σκίλλης καταταμὼν κυκλίσκους ἕψειν ὕδατι καὶ ἀποζέσας εὖ μάλα ἀπόχεον καὶ ἐπιχέας ἄλλο ἕψεε, ἕως ἂν ἁπτομένῳ δίεφθον καὶ μαλθακὸν φανῇ. εἶτα τρίψας λεῖον ξύμμισγε κύμινον πεφρυγμένον καὶ λευκὰ σήσαμα καὶ ἀμυγδάλας νέας τρίψας, ἐν μέλιτι ἐκλεικτὸν δίδου καὶ ἐπὶ τούτῳ οἶνον γλυκύν. ῥοφήματα δὲ, μήκωνος τῆς λευκῆς ὑποτρίψας ὁκόσον λεκίσκιον, ὕδατι διεὶς σητανίου πλύματι ἀλεύρου, ἑψήσας, μέλι ἐπιχέας, χλιηρὸν ἐπιῤῥοφέειν, οὕτω διαγέτω τὴν ἡμέρην· εἶτα ἐς τὰ ἀπο-

bis, (securior enim evadit haec curatio) deinde iis compressis septico medicamento utere, neque priusquam deciderit perfunde unamque perpetuo relinque et postea refectis viribus, elleboro purgandum, deinde exerceatur et exudet, et ante exercitationem mane frictio multa fiat, cursu abstineat, ebrietate et acribus, excepto origano. Vomat septem diebus aut ter in mense. Sic enim optime corpus habuerit. Vinum fulvum bibat, austerum et aquosum et paucum. Purulentis dissectos scillae orbiculos ex aqua coquito, aquamque valde fervefactam effunde, alia effusa coquito, quoad tactui percocti et molles apparuerint. Deinde laeviter tritis cuminum frixum commisce, alba sesama et amygdalas recentes tritas atque ex his melle exceptis eclegma facito datoque et postea vinum bibat dulce. Sorbitiones autem, papaveris subtriti parvum acetabulum, aqua loturae farinae setaniae maceratum melleque affuso coctum, tepidum sorbeat sicque diem transigat, deinde

βαίνοντα λογιζόμενος τὸ δεῖπνον δίδου. δυσεντερίης. κυάμων καθαρῶν τεταρτημόριον καὶ ἐρυθροδάνου δυοκαίδεκα κάρφεα λεῖα ξυμμίξαντα καὶ ἑψήσαντα λιπαρὰ διδόναι ἐκλείχειν. ὀφθαλμῶν. σποδὸς πεπλυμμένη, λιπαρῶς πεφυρημένη ὡς στέαρ, μὴ ὑγρὸν, λεῖον τρίψας, ὀμφακίῳ τῷ τῆς πικρῆς ὄμφακος ἀνυγρήνας, ἐν ἡλίῳ τε [183] ἀναξηράνας ὑγραίνειν ὡς ἐνάλειπτον· ὁκόταν δὲ ξηρὸν γένηται, λείῳ τετριμμένῳ ξηρῷ ὑπάλειφε τοὺς ὀφθαλμοὺς καὶ παράπασσε τοὺς κανθούς. Ὑγρῶν. Ἐβένου δραχμὴν, χαλκοῦ κεκαυμένου ἐννέα ὀβολοὺς ἐπ᾽ ἀκόνης τρίβων, κρόκου τριώβολον, ταῦτα τρίψας λεῖα, παράχει οἴνου γλυκέος κοτύλην Ἀττικὴν, κἄπειτα ἐς τὸν ἥλιον θεὶς, κατακαλύψας, ὁκόταν συνεψηθῇ, τούτῳ χρέο. πρὸς τὰς περιωδυνίας. ἔστω χαλκίτιδος δραχμὴ, σταφυλῆς ὁκόταν δύο μέρεα λειφθῇ, ἐκπιέσας, σμύρναν καὶ κρόκον τρίψας, ξυμμίξας τὸ γλεῦκος, ἕψησον ἐν τῷ ἡλίῳ καὶ τούτῳ ἐπάλειφε τοὺς περιωδυνέοντας· ἔστω δὲ ἐν χαλκῷ

quae contingunt expendens ratione coenam dato. Ad dysenteriam. Fabarum purarum quadrantem accipe *surculosque rubiae duodecim tritos commisceto et coquito, ac opime delingenda haec porrigito. Ad oculos. Spodium lotum, tanquam farinae massam probe subactum, non liquidum, laeviter teras, acerbo uvae immuturae et amarae succo humectatum et in sole resiccatum, ut illini queat humectato. Quum autem siccum evaserit, laeviter tritum siccum oculis illine eorumque angulis insperge. Ad eosdem humidos. Ebeni drachmam, aeris usti obolos novem, in cote terito croci obolos tres, his laeviter tritis, vini dulcis heminam Atticam affundito, deinde soli exponito et contegito, atque ubi cocta exaruerint, his utere. Ad vehementes eorum dolores. Chalcitidis drachmam, uvae expressae reliquas partes duas, myrrham crocumque terito, musto admixto, in sole coquito et eo vehementer dolentes* ocu-los *illinito, sit autem in vase aeneo. Earum quae ab*

ἀγγείῳ. ὑπὸ ὑστερικῶν πνιγομένων γνῶσις· πιέσαι τοῖσι δυσὶ δακτύλοισι καὶ ἢν αἴσθηται, τὰ ὑστερικά ἐστιν, ἢν δὲ μὴ, σπασμώδεα. τοῖσιν ὑδρωπιώδεσιν. μηκώνειον λεκίσκιον Ἀττικὸν στρογγύλον πόσις. λεπίδος μηλαὶ τρεῖς τῷ πλάτει καὶ ἀλεύρου σητανίου, κολλήσαντα ταῦτα, λεῖα τρίψας, καταποτὰ ξυστρέψας, δίδου· κάτω ὕδωρ καθαίρει καὶ κοιλίην ἐκκοπροῖ. ἐς ἰσχάδας, ὁπου τοῦ τιθυμάλλου ἀπόσταζε ὁκόσον ἑπτάκις ἐς ἑκάστην τῷ εἰρημένῳ, εἶτα ἐς καινὸν ἄγγος συνθεὶς ταμιεύεσθαι, δίδου τῷ εἰρημένῳ πρὸ τῶν σιτίων. τοῖς ὑδρωπικοῖς τὸ μὲν κώνιον τρίβων, ὕδωρ ἐπιχέας, δίδου ἐσθίειν καὶ ἐπιπίνειν. καὶ τὸ μηκώνειον τρίβοιν, ὕδωρ ἐπιχέων καὶ διηθέων, ἄλευρον φύρων, ἴτριον ὀπτῶν, μέλι ἑφθὸν παραχέων, τοῖσιν ὑδρωπικοῖσι τρώγειν δίδου, καὶ ἐπιπίνειν γλυκὺν ὑδαρέα, ἢ μελίκρητον ὑδαρές. τὸ δὲ ἀπὸ τῶν κοπρίων μηκώνειον ξυλλέγων ταμιεύου καὶ θεράπευε.

---

utero suffocantur cognitio. Digitis duobus comprime, quod si senserit, uteri strangulatio est, si non, convulsio. Ad hydropicos. Meconii seu peplii rotundi acetabulum parvum Atticum rotundum potui dato. Catapotia. *Squamae aeris specilla tria latitudine cum farina setania agglutinentur, haec laeviter trita in catapotia convolvantur denturque, deorsum aquam purgant et ex alvo stercus deturbant.* Aliud. *In caricas singulas succi tithymalli guttas septem instilla, deinde in vas novum compositas reconde, atque ante cibum exhibe. Hydropicis cicutam tritam, aqua affusa, dato edendam et superbibendum.* Aliud. *Meconium peplum terito, aqua affusa percolato et farina subactum in placentam coque, mel coctum affundens, hydropicis edendum exhibe, ac superbibendum* vinum *dulce aquosum, vel dilutam mulsam porrige. Quod autem ab excrementis meconium colligis, asserva et cura.*

Φανερῶς ἐκ τῶν τοιούτων δηλοῦται τοῦτο τὸ βιβλίον ὑπόμνημα συμμίκτων εἶναι θεωρημάτων, ἀτάκτως τῆς μεταβάσεως ἀπ' ἄλλων πρὸς ἄλλα γιγνομένης, ὥσπερ καὶ νῦν ἐπὶ τῆς ἐκ τῶν μυκτήρων αἱμοῤῥαγίας γέγραπται βοηθήματα, τὰ μὲν αὐτῷ τῷ μέρει τῷ αἱμοῤῥαγοῦντι προσφερόμενα, τὰ δὲ ἀντισπαστικὰ, καθάπερ ἡ γαστὴρ λυομένη, τὰ δὲ τῆς κεφαλῆς πυκνωτικὰ καὶ στυπτικὰ, καθάπερ τὰ ψύχοντα. τὰ δ' ἐφεξῆς τούτων ἅπαντα φαρμάκων ἔχει γραφὰς καί τινα παραμεμιγμένα βοηθήματα. περὶ πρώτου μὲν οὖν τὸν λόγον ποιεῖται καλουμένου σησάμου, ἐφεξῆς δὲ τριχῶν ἐν τοῖς βλεφάροις χειρουργίαν ἔγραψεν, ἣν ὀνομάζουσιν ἀναβροχχισμόν. καὶ μετὰ ταῦτα πάλιν ὁμοίως αἱμοῤῥοΐδων καὶ τῆς ἄλλης ἰάσεως, εἶτ' ἐμπύων φάρμακά τε καὶ ῥοφήματα καὶ μετὰ ταῦτα σκευασίας φαρμάκων ὀφθαλμικῶν. εἶτα περὶ τῶν ὑστερικῶν γινομένων, εἶτα περὶ τοῦ μηκωνείου, εἶθ' ἑξῆς ὑδραγωγὸν φάρμακον, εἶτ' ἐκκοπρωτικὸν, εἶθ' ἑδρικοῖς, ὑδερικοῖς τε δίδωσι διὰ μηκωνείου καὶ

Hic liber ex his plane ostenditur commentarius esse commixtorum theorematum, quod in eo inordinate ab aliis in alia fiat transitus, quomodo et hic in ea, quae per nares fit, sanguinis profusione, scripta sunt auxilia. Nam alia quidem parti ipsi sanguinem profundenti conferentia, alia vero revellentia, ut alvi solutio, alia denique, quae caput addensant astringuntque ut refrigerantia. Quae deinceps sunt omnia, medicamentorum scriptiones habent et quaedam commixta auxilia. De appellato igitur sesamo sermonem in primis facit. Mox pilorum in palpebris manualem operationem scribit, quam illaqueationem vocant. Postea quoque rursum pari modo haemorrhoidum alteriusque sanationis meminit. Postea purulentorum, tum medicamenta tum sorbitiones *scripsit*. Atque ab his compositiones eorum, quae ad oculos deputata sunt, medicamentorum. Praeterea de suffocationis uteri dignotione egit, mox et de meconio, postea de aquae eductorio medicamento et subinde faecis. Et demum hedricis et hydericis ex meconio et itriis exhibet. Sunt autem eorum,

ἰητρίων. ἔστιν οὖν ἐφεξῆς τῶν εἰρημένων τὰ μὲν πλεῖστα σαφῆ, παρέγκειται δέ τινα καὶ ἀσαφῆ, περὶ ὧν ἐφεξῆς ποιήσομαι τὸν λόγον.

quae ſerie continuata dicta ſunt, plurima quidem manifeſta, alia obſcura ſunt, de quibus deinceps faciam ſermonem.

LIPSIAE

LITERIS J. B. HIRSCHFELDI.